
# THEMISTII

# PARAPHRASES

# ARISTOTELIS

LIBRORUM QUAE SUPERSUNT.



# THEMISTII
# PARAPHRASES
# ARISTOTELIS
## LIBRORUM QUAE SUPERSUNT.

EDIDIT

**LEONARDUS SPENGEL.**

VOL. I.






LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXVI.

LIPSIAE TYPIS B. G. TEUBNERI.




Aristotelis scripta evolventem prae caeteris graecis commentatoribus Themistii paraphrases me adiuvabant, ut non indignas esse censerem quae post Aldum denuo excuderentur. Quod officium ut ipse praestarem, Petri Victorii diligentia effecit; codicum enim varietatem, qua et corrupta emendantur et lacunae implentur, margini editionis addidit. Nos ad vulgatum Aristotelicorum librorum ordinem hanc paraphrasim in capita divisimus; arcte enim Themistius Aristotelis vestigia legit, et rarissima sunt quae omittit, ut Physic. VI, 7 et VII, 1 quod eadem libro octavo explicantur; longior exstat excursus de discrimine quod est inter *νοῦν παθητικὸν* et *ἀπαθῆ* de anima III, 5. Philosophi verba ubique diligenter consulebamus, unde certas hauriremus emendationes, et in physicis magno usui erat Simplicius qui haud raro integra Themistii verba in commentarios suos transtulerat.

A. Aldi editio cura Victoris Trincavelli Venetiis 1534 excusa cum Themistii orationibus et Alexandri Aphrod. de anima libellis.

M. Codex Monacensis CCCXXX. saec. XV libros de anima continens, quem ut de Victorii varietate constaret, contulimus.

V. Codices Victorii; is usus est quod ex Bandinii catalogo comperimus, libris bibliothecae Lau-

rentianae, in Analyticis posterioribus codice 24 plutei LXXII saec. XIV. praeter lacunas aliquot in fine mutilo; deficit enim II, 12. In Physicis adhibuisse videtur codicem 13 plut. LXXXV saec. XIV; in libris de anima contulit codicem 25 plut. LXXXVII saec. XIII, ex quo descriptus est Monacensis [1]), quo fit ut mire uterque liber consentiat, nisi quod in M tituli desunt; nos ex V septem partes operi reddidimus, quas et Suidas invenit: *γέγραφε δὲ τῆς Ἀριστοτέλους φυσικῆς ἀκροάσεως παράφρασιν ἐν βιβλίοις η΄. παράφρασιν τῶν ἀναλυτικῶν ἐν βιβλίοις β΄. τοῦ περὶ ψυχῆς ἐν βιβλίοις ζ΄. ἐν δὲ τούτῳ καὶ ἴδια παρεισήγαγε περὶ τοῦ σκοποῦ καὶ τῆς ἐπιγραφῆς. τῶν κατηγοριῶν ἐν βιβλίῳ α΄, καὶ διαλέξεις.* ubi Aldus in Themistii editione scripsit *τοῦ π. ψ. ἐν βιβλίοις γ΄.* item male coniungunt *ἐπιγραφῆς τῶν κατηγοριῶν* quasi ibi de categoriis Themistius disputaret. Libros de anima in MV haec excipiunt: *τοῦ αὐτοῦ Θεμιστίου στίχοι ὅτε ἔπαρχον ἐποίησεν αὐτὸν ὁ βασιλεὺς Ἰουλιανὸς*

*ἄντυγος αἰθερίης ὕπερ ἥμενος εἰς πόθον ἦλθες*
*ἄντυγος ἀργυρέης, αἶσχος ἀπειρέσιον.*
*ἦσθα κάτω κρείσσων, ἀναβὰς δ' ἐγένου μέγα χείρων.*
*δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.* [2])

*τὰς μὲν ἄλλας ψυχὰς τὰς ἐν τοῖς θνητοῖς σώμασι ἐντελεχείας ἀχωρίστους τῶν σωμάτων φασί, τὴν δὲ λογικὴν ψυχὴν ἐντελέχειαν. τί ἐστι ψυχή; ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος.*

---

[1]) in fine: *ματθαῖος τοὔνομα σεβαστὸς λαμπούδης ὁ πελοπονήσιος γέγραφα ἐν τῇ φλωρεντίᾳ.*

[2]) vid. Iacobs Anthol. tom. III p. 704.

Librum περὶ αἰσθήσεως καὶ αἰσθητῶν a Themistio simili ratione expositum esse, verba eius docent de anima II, 9 fine δείξει δὲ ταῦτα ἐν τοῖς περὶ τῆς αἰσθήσεως ἀκριβῶς, καὶ ἐκεῖνα περιμενετέον. II, 11 fine καθ' ἑκάστην μὲν οὖν περὶ τῶν αἰσθήσεων εἴρηται τύπῳ· τεύξονται γὰρ ἰδίου λόγου. et init. de memoria ὥσπερ ἐν τοῖς περὶ αἰσθήσεως καὶ αἰσθητῶν ἐκ τῶν ὑποκειμένων τὸν λόγον ὡς μᾶλλον ἐναργῶν ἐποιούμεθα πρῶτον, sed desideratur.[1])

Victorius codice usus non est, quo librum περὶ μνήμης, et qui sequuntur περὶ ὕπνου καὶ ἐγρηγόρσεως, περὶ ἐνυπνίων et περὶ τῆς καθ' ὕπνον μαντικῆς castigaret, quo factum est ut plura inhaereant menda. Atque primum in suos fere commentarios Michael Ephesius, unde meliora quaedam hausimus, transtulit, reliquorum vero periphrasis longe ab ea qua Themistius utitur ratione distat, ut alius aetate multo inferior auctor esse videatur. Is Aristotelis verba integra exhibens et rara de suo addens, codice qualis est apud Bekkerum L usus est; nos gravissimos et apertos errores sustulimus, reliqua ut libri qui codicis vicem fert indoles melius perspiceretur, intacta reliquimus.

Commentatores est quando autoris verba aliter ac nunc leguntur, scripta invenerunt, cuius rei exemplum licet expromere. Aristoteles de anima III, 4 p. 429, 29 quale sit discrimen sensus et mentis indicans, illum maioribus quo minus sentiat minora impediri, hanc et maiora et minora perci-

---

[1]) Categoriarum paraphrasin laudat Physic. p. 110, 26 ὥσπερ ἡμεῖς ἐν κατηγορίαις ἐδείξαμεν.

pere docet his verbis: *ὅτι δὲ οὐχ ὁμοία ἡ ἀπάθεια τοῦ αἰσθητικοῦ καὶ τοῦ νοητικοῦ, φανερὸν ἐπὶ τῶν αἰσθητηρίων καὶ τῆς αἰσθήσεως. ἡ μὲν αἴσθησις οὐ δύναται αἰσθάνεσθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ, οἷον ψόφου ἐκ τῶν μεγάλων ψόφων, οὐδ' ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν οὔτε ὁρᾶν οὔτε ὀσμᾶσθαι· ἀλλ' ὁ νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον· τὸ μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστός.* In his interpretes non haeserunt, quamvis sententiae concinnitas desideretur; ut enim *τὸ σφόδρα νοητὸν* opponitur *τοῖς ὑποδεεστέροις*, sic verba *ἐκ τῶν μεγάλων ψόφων* et *ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν* quod opponatur flagitant; id sane indicant interpretes graeci omnes, v. c. Simplicius fol. 64 *ἡ μὲν αἴσθησις σφοδροῦ τινὸς ἀντιλαμβανομένη ἰδίου αἰσθητοῦ οἷον λαμπροῦ χρώματος ἡ ὄψις ἀδυνατεῖ παραυτίκα τῶν ἀμυδροτέρων ἀντιλαμβάνεσθαι.* Similiter Themistius in paraphrasi, Alexander fol. 139; non tamen ex his locum emendare audeas*), nisi infra idem Themistius III, 5, fol. 90. II, 193, 9 haec ipsius Aristotelis verba afferret: *ἡ μὲν γὰρ αἴσθησις οὐ δύναται αἰσθάνεσθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ οἷον ἐκ τοῦ ψόφου τοῦ μεγάλου τῶν μικρῶν ψόφων, οὐδὲ ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν*

---

*) Aristoteles ipse de sensu cap. 7 p. 447, 14 *ἀεὶ ἡ μείζων κίνησις τὴν ἐλάττω ἐκκρούει* item v. 21 et saepe illo capite, quo de hac re plura disputantur; item de somniis c. 2 p. 459, b, 20 *γίνονται δὲ καὶ ἀπὸ τῶν μεγάλων ψόφων δύσκωφοι καὶ ἀπὸ τῶν ἰσχυρῶν ὀσμῶν δύσοσμοι [καὶ ἐπὶ] τῶν ὁμοίων,* ubi optimi EMY et quae Themistii dicitur paraphrasis inclusa omittunt. p. 461, 1.

*τῶν ἀμυδροτέρων ὀσμῶν καὶ χρωμάτων, ὁ δὲ νοῦς ὅταν τι νοήσῃ*. Iam vides adesse illam concinnitatem quam graeci interpretes reddiderunt, et quid sibi velit varietas ex optimo codice E qui religiose vera vestigia servare solet *οἷον ἐκ τοῦ ψόφου τῶν μεγάλων ψόφων*, si re vera ibi *τῶν μεγάλων* exstat. Postquam *ὁμοιοτελεύτῳ* exciderunt verba *τῶν ἀμυδροτέρων ὀσμῶν καὶ χρωμάτων*, alius ex coniectura addidit *οὔτε ὁρᾶν οὔτε ὀσμᾶσθαι*, ut sententiam expleret; at videndum, ne supra quoque quaedam exciderint et scriptum fuerit *ἐκ τοῦ σφόδρα αἰσθητοῦ τοῦ ἧττον αἰσθητοῦ* vel simile quid.

Haec anno MDCCCXLI scripta iam nunc librarii nostri liberalitate lucem aspiciunt. Paraphrasin Metaphys. *Λ* ex hebraico latine redditam, cuius excerpta in scholiis edit. Berol. Arist. IV, 798—813 leguntur, nunquam vidimus eamque copiosae nostrae urbis bibliothecae ignorant. De hac Themistii opera non negligenda videntur, quae in orat. XXI p. 311 Dind. tradit: *αἱ Μοῦσαι ἐννέα οὖσαι συγχορεύουσιν ἀλλήλαις καὶ τῷ Ἀπόλλωνι, καὶ οὐδεμία αὐτῶν ἀγανακτεῖ πρὸς τὰς ἄλλας, ὅτι μὴ μόνη σοφή ἐστι μηδὲ αὐτῇ μόνῃ προσεύχονται οἱ ποιηταί . . . ἀλλ' οὐχ οἱ παράξενοι οὗτοι καὶ παράσημοι, ἀλλ' ἐάν τις ὑπὸ φιλοτιμίας καὶ ἅμα οὐκ ἔχων ἕτερόν τι περιεργάζεσθαι ἐν τῷ δωματίῳ τῷ αὐτοῦ καὶ τῷ κλινιδίῳ διαβουκολεῖται Ἀριστοτέλει καὶ Θεοφράστῳ, ὀξέως τι ἐπύθοντο καὶ ἐπαράμενοι πᾶσαν τὴν πόλιν ἐπικαλοῦνται τοὺς βασιλέως ὀφθαλμούς, εἰ ἀναπνεῖ ἔτι καὶ εἰς τὸν ἥλιον ἀφορᾷ ὁ μιαιφόνος καὶ ἀλιτήριος καὶ πατραλοίας καὶ φαρ-*

*μακεύς. καὶ ἡ μεγίστη κατηγορία ὅτι ἐπέθετο φησὶ ταῖς κατηγορίαις καὶ διειλέχθη περὶ τοῦ ἐν ὑποκειμένῳ πρὸς τὸν ξένον. εἰ δὲ δὴ καὶ συλλογισμοῦ ἅψοιτο καὶ περὶ φύσεώς τι συγγράψαι, τοῦτο ἐκείνῳ ἐπανάστασις τὸ χρῆμα καὶ καθαιρετέον ἐξ ἀκροπόλεως τὴν τυραννίδα. ἀλλ' εἰ προςποιεῖ τι τὴν ἀλήθειαν καὶ τὴν σοφίαν, καί σοι τῷ ὄντι προσήκει Πλάτωνος ἢ Σωκράτους ἢ Πυθαγόρου, μὴ κεντεῖν τε καὶ διολλύειν τὸν τὰ αὐτὰ ἀγαπῶντα, ἀλλὰ κυδαίνειν τε καὶ ἐπαίρειν καὶ συνεξορμᾶν καὶ συνεξοτρύνειν. οὕτω γὰρ ἂν μάλιστα ἴοι καὶ οὐκ ἀμβλύνοιτο οὐδὲ ἀπολήγοι τοῦ ἔρωτος, ὅταν ἔχῃ τὸν ἐπαινοῦντα καὶ ἐπιβοῶντα καὶ πρὸς ὃν φιλοτιμήσεται ἐκ τῶν πόνων.*

Quae Boethius in praedic. Arist. p. 114 Bas. tradit: *Archytes etiam duos composuit libros quos καθόλους λόγους inscripsit, quorum in primo haec decem praedicamenta disposuit, unde posteriores quidam non esse Aristotelem huius divisionis inventorem suspicati sunt, quod Pythagoricus vir eadem conscripsisset, in qua sententia Iamblicus philosophus est non ignobilis, cui non consentit Themistius, neque concedit eum fuisse Archytem, qui Pythagoricus Tarentinusque esset quique cum Platone aliquantulum vixisset, sed Peripateticum aliquem Archytem, qui novo operi auctoritatem vetustate nominis conderet, sed de his alias.* praestigias illius aetatis sanam Themistii mentem non obcaecasse dilucide ostendunt.

Monachii KAL. IAN. A. MDCCCLXVI.

**Leon. Spengel.**

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΤΩΝ ΥΣΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

fol.1 Ald.

---

Ἐμοὶ συντάττεσθαι μὲν ἐξηγήσεις τῶν Ἀριστοτελικῶν βιβλίων μετὰ τοσούτους τε καὶ τοιούτους οὐκ ἐδόκει πόρρωθεν εἶναι φιλοτιμίας ἀνωφελοῦς· οὔτε γὰρ πολλὰ ἔστιν εὑρεῖν ἐλλελοιπότας τοὺς πρότερον, τό τε σμικρῶν ἕνεκα παρεγχειρήσεων ὁλοκλήρους καταβάλλεσθαι πραγματείας ὅμοιον τῷ τὴν Ἀθηνᾶν βουλομένῳ μετακινεῖν τὴν τοῦ Φειδίου, ὅτι τὰ δεσμὰ τῆς κρηπῖδος ᾤετο ἀμείνω ποιήσειν· τὸ μέντοι ἐκλαμβάνοντα τὰ βουλήματα τῶν ἐν τοῖς βιβλίοις γεγραμμένων σὺν τάχει τε ἐξαγγέλλειν καὶ τῇ συντομίᾳ τοῦ φιλοσόφου κατὰ δύναμιν παρομαρτεῖν καινόν τε ἐδόκει καί τινα ὠφέλειαν παρέξεσθαι· εὔκολον γὰρ ἔσεσθαι διὰ τοῦ τοιούτου τρόπου τὴν ἀνάμνησιν ὑπειλήφαμεν τοῖς ἅπαξ μὲν τὰ Ἀριστοτέλους μεμαθηκόσιν, ἀναλαμβάνειν δὲ αὐτὰ συνεχῶς τῷ μήκει τῶν ὑπομνημάτων οὐ δυναμένοις· τὸ δὴ πρότερον τῶν ὑστέρων Ἀναλυτικῶν οὕτω σαφηνίσαι προελόμενοι σοὶ πρώτῳ τὸν τύπον κοινούμεθα τῆς γραφῆς,

---

2 οὐ δοκεῖ A  5 ἕνεκεν A  7 τοῦ om A  14 μὲν γὰρ V
15 τῷ μήκει] διὰ τὰ μήκη V  18 συγγραφῆς A

παιδείας τε ἕνεκεν ἀκριβοῦς καὶ φιλίας ἀληθινῆς, οὔτε λήσεσθαί τί σε τῶν μὴ δεόντως εἰρημένων, οὔτε κατασιωπήσειν πεπιστευκότες. πολλὰ μὲν οὖν ἔοικε τῶν Ἀριστοτέλους βιβλίων εἰς ἐπίκρυψιν μεμηχανῆσθαι, οὐχ ἥκιστα δὲ καὶ τὰ προκείμενα, πρῶτον μὲν διὰ τὴν συνήθη βραχυλογίαν, ἔπειθ᾽ ὅτι καὶ ἡ τάξις τῶν κεφαλαίων οὐ διακέκριται, ὥσθ᾽ ἡμῖν ἀνάγκη συγγινώσκειν, εἰ τὰ μὲν φαινοίμεθα μακρότερον ἑρμηνεύοντες· οὐ γὰρ ἐνῆν εἰπεῖν διὰ τῶν ἴσων σαφέστερον, τὰ δὲ μεθαρμοττόμενοι καὶ μετατιθέντες, ὡς ἂν φαίνοιτο ἕκαστα τῶν κεφαλαίων περιγεγραμμένα. εἰ δ᾽ ἐπί τινα καὶ συντομώτερον ἐπιδεδραμήκαμεν, οὐκ ἄξιον δυσχεραίνειν· ὅσα γὰρ τεχνικὴν ἔχει τὴν θεωρίαν, οὐ συντείνει δὲ ἄγαν εἰς τὸν περὶ ἀποδείξεως λόγον, τούτοις οὐκ ἦν ἄξιον ἐνδιατρίβειν τῷ ῥᾳστώνην ἐπινοῆσαι προελομένῳ τῆς κατανοήσεως τῶν χρησίμων.

1 Πρὸς πᾶσαν ἐπιστήμην καὶ πᾶσαν μάθησιν λογικὴν τὸν μέλλοντα προσέξειν μὴ μάτην ἀνάγκη φυσικάς τινας ἔχειν ἀρχάς, δι᾽ ὧν προγινώσκει τι περὶ τοῦ πράγματος· οὐ γὰρ οἷόν τε παρὰ τοῦ διδάσκοντος πάντα λαβεῖν, ἀλλὰ δεῖ τι καὶ οἴκοθεν φέρειν εἰς τὴν μάθησιν συντελοῦν· οὕτω γὰρ καὶ παρὰ τοῦ γεωμέτρου μανθάνομεν, ὅτι σημεῖόν ἐστιν οὗ μέρος οὐδέν, ἐπειδὴ τοῦ μέρους ἔννοιαν προκεκτήμεθα, καὶ παρὰ τοῦ ἀριθμητικοῦ, ὅτι περιττὸς ὁ διαιρούμενος εἰς τὰ ἄνισα, ἐπειδὴ τὰ ἄνισα προγινώσκομεν, καὶ οὐ μόνον γε τὰς ἐπιστήμας ἀλλὰ καὶ τὰς τέχνας ἁπάσας τοῦτον τὸν τρόπον περιποιούμεθα· οἰκοδομεῖν

---

8 μικρότερον A  15 οὐκ] δ᾽ οὐκ V  19 προέξειν A
21 διδασκάλου V

γὰρ μανθάνομεν πηλοῦ καὶ λίθου προέχοντες τὴν γνῶσιν, σκυτοτομεῖν δ' αὖ δέρματός τε καὶ σμίλης τὴν φύσιν προεπιστάμενοι, ναυπηγεῖσθαι ὁμοίως, ὑφαίνειν, χαλκεύειν. μάλιστα δὲ δῆλον ἐπὶ τῶν διὰ λόγου τι διδασκόντων, ὥσπερ οἱ διαλεκτικοὶ καὶ οἱ ῥήτορες· κέχρηνται γὰρ οἱ μὲν ἐπαγωγῇ τε καὶ συλλογισμῷ, οἱ δὲ ἐνθυμήματι καὶ παραδείγματι, ἐφ' ὧν ἀναγκαῖον ἢ τὰ καθ' ἕκαστα προγινώσκειν ἢ τὰ λήμματα ἢ τὰ ὅμοια. οὐ μόνον δὲ οἱ παρ' ἄλλων μανθάνοντες, ἀλλ' ὅσοι καὶ αὐτοί τι ζητοῦσιν ἔχοντές τινα ἐναργῆ τε καὶ φανερά, ἐκ τούτων ὁρμῶνται πρὸς τὸ τὰ ἀφανῆ ζητεῖν καὶ μὴ γνώριμα, ὥστε εἴπερ ἀληθῆ ταῦτα, πᾶσα ἂν διδασκαλία καὶ πᾶσα μάθησις λογικὴ ἐκ προϋπαρχούσης γίγνοιτο γνώσεως. μὴ θορυβείτω δὲ ἡμᾶς τὰ δι' αἰσθήσεως γινωσκόμενα, ἐφ' ὧν οὐδὲν προγινώσκειν ἀνάγκη· οὐ γὰρ διὰ μαθήσεως τὰ τοιαῦτα, οὐδ' ἐκ μεθόδου λογικῆς παραγίνεται.

Ἐφ' ὧν τοίνυν προγινώσκειν ἐστὶν ἀναγκαῖον, ἐπὶ τούτων διχῶς οἷόν τε προγινώσκειν· τὰ μὲν γὰρ ὅτι ἔστιν, ἀναγκαῖον προϋπολαμβάνειν, τὰ δὲ τί τὸ λεγόμενον ὄνομα ξυνιέναι δεῖ· ζητοῦντες μὲν γὰρ δὴ διὰ τί τὸν σίδηρον ἡ λίθος ἕλκει, πρότερον ὅτι ἕλκει γινώσκομεν, καὶ ζητοῦντες τί ἐστι κίνησις ἢ τί χρόνος, ἴσμεν ὅτι ἔστι κίνησις καὶ χρόνος. καὶ οὗτος μὲν εἷς τρόπος τῆς προγνώσεως, ἐφ' ὧν δὲ αὐτὸ τοῦτο ζητοῦμεν εἰ ἔστιν ἢ μή, καὶ μανθάνομεν, οἷον εἰ ἔστι θεός, ἆρα ἔστι πρόνοια; ἐπὶ τῶν τοιούτων τί σημαίνει τὸ λεγόμενον ὄνομα, ξυνιέναι πρότερον fol. 1b.

1 τὴν om V  4 δὲ] δὲ γίνονται V  8 ἕκαστον V  14 γίνεται V  19 ἐστὶν] ἐστὶ τὶ A  22 δὴ om A  28 ἆρα ἔστι] πρόσεστι A

ἀναγκαῖον. τὸ μὲν οὖν ὅτι ἔστιν ἄνευ τοῦ τί σημαίνει γινώσκειν ἀμήχανον, τὸ δὲ τί σημαίνει γινώσκειν δυνατὸν καὶ χωρὶς τοῦ εἰδέναι, ὅτι ἔστι. τί γὰρ ἱπποκένταυρος σημαίνει καὶ τί σκύλλα συνίεμεν οὐκ εἰδότες ὅτι ἔστιν, ἀλλὰ ζητοῦντες. οὐ γὰρ δὴ τὸ τί σημαίνει ταὐτὸν ὑποληπτέον εἶναι τῷ ὁρισμῷ τῷ τὸ τί ἦν εἶναι δηλοῦντι, ἀλλ' ἰστέον, ὅτι πάμπολυ διαφέρει τοῦ τί ἐστι τὸ τί σημαίνει. τῶν μεν γὰρ σημαινομένων ὑφ' ἑκάστης φωνῆς καὶ οἱ πάνυ ἀμαθεῖς ξυνιᾶσιν· οὐδεὶς οὖν οἰκέτης ὁμόγλωττος ἄνθρωπον ἀκούσας ἀγαγεῖν ἵππον ἤγαγεν, οὐδὲ βάθρον ἐνεγκεῖν ὕδωρ ἐκόμισε. τί δὲ δήποτε ἄρα ἕκαστον τούτων καὶ τίς ἑκάστου τῆς οὐσίας ὁρισμός, εἰδέναι χαλεπὸν τῷ μὴ περὶ ταῦτα γεγυμνασμένῳ· ἐκ δὲ τῶν προειρημένων δῆλόν ἐστιν, ὅτι τὸ γνωρίζειν καὶ τὸ μανθάνειν οὐ σμικρὸν διαφέρει, εἴγε τῶν μὲν προγινωσκομένων ἡ γνῶσις, ἐκ δὲ τῶν προγινωσκομένων ἡ μάθησις, καὶ γνωρίζει μέν τις, ἃ πρότερον ἐπίσταται, μανθάνει δὲ ἃ οὐκ ἐπίσταται. καίτοι γε ἔνια καὶ γνωρίζειν ἔστιν εὐθὺς καὶ πρῶτον μανθάνοντα, οἷον ὅσα ὑπό τι καθόλου ἐστὶν οὗ τὴν ἐπιστήμην πρότερον ἔχομεν· ὁ μὲν γὰρ εἰδὼς ὅτι πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, μὴ εἰδὼς δὲ ὅτι τρίγωνον τοῦτο τὸ ἐνταῦθα γεγραμμένον, ὅταν αὐτὸ θεάσηται, πρῶτον μανθάνοι τ' ἂν ἅμα αὐτὸ καὶ γνωρίζοι, ἀλλ' οὐ κατὰ ταὐτόν· ἀλλὰ μανθάνοι μὲν ἂν ὅτι τρίγωνον, γνωρίζοι δ' ἂν ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει [τὰς γωνίας]. ὅτι μὲν γὰρ τρίγωνον

---

4 σύνισμεν A 6 τὸ om A 11 ἀγαγεῖν] καλέσαι V 12 ἄρα] ἐστιν V 13 καὶ] ἢ V 16 οὐ om V 21 ὑπό τι . . οὗ] ὑπὸ τὸ . . ὧν Arist. p. 70, 19 ubi τὰ reponendum videtur. 28 τὰς γωνίας om A

*νῦν οἶδεν, ὅτι δὲ δύο ὀρθαῖς ἴσας ἔχει τῷ καθόλου προεπίσταται· δυοῖν γὰρ τούτοιν ὑπαρχόντων περὶ τὴν γνῶσιν τούτου τοῦ γεγραμμένου τριγώνου, ὅτι τε τρίγωνον καὶ ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει, ὅτι μὲν τρίγωνον θεάσασθαι δεῖ καὶ τοῦτον τὸν τρόπον μαθεῖν, ὅτι δὲ δυσὶν ὀρθαῖς ἴσας ἔχει, καὶ συλλογισμῷ τις ἂν λάβοι· τούτου γὰρ οὐκ αἴσθησις κυρία ἀλλ' ὁ λόγος καὶ ἡ ἀπόδειξις, ἡ δὲ ἀπόδειξις τῷ ἐπίστασθαι τὸ καθόλου· ἐπειδὴ γὰρ παντὶ τοῦτο ὑπάρχει τῷ τριγώνῳ, τοῦτο δὲ τρίγωνον, ὥστε ἡνίκ' ἂν ἔτι κρύπτηται τὸ τρίγωνον ἐν τῷ γραμματείῳ, τρόπον μέν τινα [οὐκ] εἰδέναι φατέον, ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει [ὃ μηδὲ εἰ τρίγωνόν ἐστιν ἴσμεν] ἄλλον τρόπον δ' [αὖ πάλιν οὐχ ἁπλῶς] ἀγνοεῖν· οὔτε γὰρ ἁπλῶς εἰδέναι ῥητέον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει, ὃ μηδὲ εἰ τρίγωνόν ἐστι ἴσμεν, οὔτ' αὖ πάλιν ἁπλῶς ἀγνοεῖν, οὗ τὸ καθόλου κοινότερον ἐπιστάμεθα. διὰ ταῦτα οὖν οὐ φοβητέον ἐκείνους τοὺς λόγους οὓς ἐγκεκαλυμμένους ὀνομάζουσιν οἱ σοφισταί· ἆρ' οἶδας ἅπασαν δυάδα ὅτι ἀρτία, φήσαντος δὲ ναί, καὶ μὴν ταύτην οὐκ οἶδας ἣν κατέχομεν ἐν ταῖν χεροῖν οὔθ' ὅτι δυάς, οὔθ' ὅτι ἀρτία, ὥστε τὸ αὐτὸ οἶδάς τε καὶ οὐκ οἶδας. ἀλλ' οὐδὲν ἄτοπον· οἶδα μὲν γὰρ τὸ καθόλου πάθος πάσης δυάδος, εἰ δὲ αὕτη δυάς, ἀγνοῶ. οὐχ ὅπερ οὖν ἐπίσταμαι, τοῦτο ἀγνοῶ, ἀλλ' ἐπίσταμαι μὲν τὸ καθόλου, ἀγνοῶ δὲ τὸ καθ' ἕκαστον, ὥσπερ καὶ πάντα ἄνθρωπον εἰδὼς ὅτι ζῶόν ἐστι, τὸν ἐν Σαρδοῖ βαδίζοντα νῦν οὔτε εἰ ἄνθρωπός ἐστιν, οὔτε εἰ ζῶον, ἔχω γινώσκειν. οὐ γὰρ ἐκείνως γε ἀπαντητέον ὡς ἐπιχειροῦσί τινες, ὅτι οὐ*

---

7 ὁ et 8 ἡ om A  10 ἔτι κρ.] ἐπικρύπτηται A  11—14 quae uncis inclusimus, om V. qui solus habet verba *οὔτε γὰρ . . . ἁπλῶς ἀγνοεῖν*  29 *ἐκείνῳ* V

*πᾶσαν ἴσμεν δυάδα ἀρτίαν 'οὖσαν, ἀλλ' ἣν ἴσμεν ὅτι δυάς· οὐχ ὑγιὲς γὰρ τοῦτό γε παντελῶς, εἴπερ ἴσασι μὲν οὗπερ τὴν ἀπόδειξιν ἔχουσι καὶ οὗ ἔλαβον, ἔλαβον δὲ τὴν ἀπόδειξιν οὐ μετὰ τοιαύτης προσθήκης, οἷον ἐκείνην εἶναι δυάδα ἀρτίαν ἣν ἂν εἰδῶσιν ὅτι δυάς, ἀλλὰ πᾶσαν ἁπλῶς δυάδα καὶ πᾶν τρίγωνον. ἀλλ' οὐδὲν οἶμαι κωλύει τοὺς μανθάνοντας ἃ μανθάνουσι πῇ μὲν ἐπίστασθαι, πῇ δὲ ἀγνοεῖν, καὶ τὶ μὲν αὐτοῦ προγινώσκειν, τὶ δὲ ζητεῖν. τούτοις δὲ αὐτοῖς χρωμένοις καὶ πρὸς τὸν ἐν τῷ Μένωνι λόγον ἀπαντητέον, ὃς τὸ ζητεῖν πειρᾶται δεικνύειν ἀδύνατον τῷ δεῖν μὲν ἅπαντα τὸν ζητοῦντα ἐκεῖνο ζητεῖν ὃ μὴ οἶδε· καὶ γὰρ εἰ κατὰ τύχην αὐτῷ περιπέσοι, μὴ γνώσεσθαι ὅτι τοῦτό ἐστιν ὃ ζητεῖ. εἰ δὲ πᾶσα μὲν ζήτησις ἕνεκα τοῦ μανθάνειν ὑπάρχει, οὐκ ἔστι δὲ τὸ ζητεῖν δυνατόν, ἂν μὴ γινώσκωμεν, ὥστε δυοῖν θάτερον περιλείπεται ἢ μηδὲν ὅλως ἡμᾶς μανθάνειν, ἢ ταῦτα μόνον μανθάνειν ἃ ἐπιστάμεθα. οὕτω γὰρ ἂν αὐτὰ καὶ γνωρίσαιμεν ἐξευρόντες ὅτι ταῦτά ἐστιν, ἃ διώκομεν, ὥσπερ οἶμαι οἰκέτην ἀποδράντα ὃν μὲν οὐκ ἴσμεν οὐδὲ ζητεῖν ἂν οἷόν τε ἡμῖν εἴη, ὃν δὲ γινώσκομεν, καὶ ζητεῖν δυνάμεθα καὶ ἐξευρίσκειν. πρὸς δὲ τοῦτον τὸν λόγον, μᾶλλον δὲ τὸ σόφισμα τοῦτο Πλάτων μὲν ἔοικεν ἐνδιδόναι· σχεδὸν γὰρ ὁμολογεῖ ταῦτα μανθάνειν ἃ ἴσμεν, ἀναμνήσεις ποιῶν τὰς μαθήσεις καὶ τὸ μανθάνειν οὐδὲν ἕτερον τοῦ γνωρίζειν· ἡμεῖς δὲ καὶ ταῦτα ἕτερα λέγομεν εἶναι, καὶ μανθάνειν μέν φαμεν ἃ πρότερον ἠγνοοῦμεν,*

---

1 *οὖσαν* om V 5 *ἴδωσιν* V 13 *μὴ* om A — vid. Plat. Menon. p. 80 Steph. — Excidisse post *οἶδε* quaedam videntur v. c. *οὐχ οἷόν τε δ' εἶναι ζητεῖν ὃ μὴ οἶδε.* 15 *ὑπάρχει*] *ἐστιν* V 19 *ἂν* om V 26 *τὰς μαθήσεις* om V 27 *ἕτερα ταῦτα* A

γνωρίζειν δὲ ἃ πρότερον ἠπιστάμεθα, καὶ μηδὲν ὅλως κωλύειν τὸν μανθάνοντά τι ὅταν μανθάνῃ, καὶ γνωρίζειν αὐτό, κατ᾽ ἄλλο μέντοι καὶ ἄλλο, καὶ προείρηται ἡμῖν ὁ τρόπος· ἁπλῶς δὲ ἅπασαν διδασκαλίαν καὶ μάθησιν ἀπό τινων ὁμολογουμένων καὶ φανερῶν προϊέναι, ἐξ ὧν καὶ τὸ ἀφανὲς γίνεται δῆλον. ὅτι μὲν οὖν ζητεῖν δυνατὸν καὶ ἀποδεικνύναι, διὰ τούτων ἔστω φανερόν· τί δέ ποτέ ἐστιν ἡ ἀπόδειξις, ἐφεξῆς ἂν εἴη διδάσκειν.

2

Λέγεται τοίνυν τὸ ἐπίστασθαι πολλαχῶς· καὶ γὰρ κοινῶς λέγεται καὶ κυρίως, κοινῶς μὲν ὅταν ἅπασαν γνῶσιν ὅπως δή ποτε γινομένην εἴτε διὰ τῶν συμβεβηκότων τῷ πράγματι, εἴτε καθ᾽ ἕτερον τρόπον ἐπιστήμην ὀνομάζωμεν, κυρίως δὲ καὶ ἁπλῶς ἐστιν ἐπιστήμη, ὅταν τήν τε αἰτίαν οἰώμεθα γινώσκειν δι᾽ ἣν τὸ πρᾶγμά ἐστιν, ὅτι ἐκείνου αἰτία ἐστί, καὶ ὅταν αὐτὸ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν ὑπολαμβάνωμεν. δῆλον δὲ ὅτι τοιοῦτόν ἐστι τὸ ἐπίστασθαι· ἅπαντες γὰρ οἱ τινὸς ἐπιστήμης μεταποιούμενοι οἱ μὲν οἴονται δεῖν οὕτως ἔχειν περὶ τοῦ πράγματος, οἱ δὲ καὶ ἔχουσιν οὕτως. εἰσὶ μὲν οὖν καὶ ἕτεροι τοῦ κυρίως ἐπίστασθαι τρόποι· καὶ γὰρ ἡ δι᾽ ὁρισμῶν θεωρία fol. 2. καὶ ἡ λῆψις τῶν ἀναποδείκτων ἀρχῶν ἐπιστῆμαι καλοῦνται κυρίως, ἀλλ᾽ ὅτι γε καὶ τοῦτο εἶδός ἐστι τῆς ἁπλῶς ἐπιστήμης, ὁμολογείσθω. τὸ δὴ τοιοῦτον εἶδος τῆς ἐπιστήμης τοῦτο εὐθὺς ἀπόδειξιν λέγω· ἀπόδειξις γάρ ἐστι συλλογισμὸς ἐπιστημονικός, ὥστε εἴπερ τῷ συλλογισμῷ μὲν δεῖ τὰς προτάσεις αἰτίας

6 γίνεται om A 7 ὅτι] εἰ A — δεικνύναι V 8 ἔστω] ὧδε A — ἡ om A 10 πολλαχῶς] φανερὸν πολλαχῶς A 14 ὀνομάζωμεν] ὀνομάζομεν A. ὀνομαζομένην V 15 ἐπιστήμη] ἐπιστημῶν V 27 ἐπιστημονικὸς] ἀποδεικτικὸς V

εἶναι τοῦ συμπεράσματος, τῷ δὲ ἐπίστασθαι οἰομένῳ προσήκει γινώσκειν καὶ τὴν αἰτίαν τοῦ πράγματος, καὶ ἄμφω δεῖ συνδραμεῖν ἐπὶ τῆς ἀποδείξεως, καὶ τὰ λήμματα μὴ τῆς ἐπιφορᾶς εἶναι μόνον, ἀλλὰ καὶ τοῦ πράγματος αἴτια τοῦ δεικνυμένου. ὡς μὲν γὰρ τοῦ συμπεράσματος αἴτιον τοῦ πῦρ ἐνταῦθα κεκαῦσθαι τὸ τὴν τέφραν ὑπολελεῖφθαι, ὡς τοῦ πράγματος δ' οὐκέτι· οὐ γὰρ ἡ τέφρα τοῦ πυρὸς αἴτιον, ἀλλὰ τὸ πῦρ μᾶλλον ἐκείνης. ἄμφω τοίνυν συνδραμεῖν ἀναγκαῖον καὶ τὸ ποιητικὸν συναγωγῆς ποιητικὸν εἶναι τοῦ γενέσθαι τὸ συναχθέν. ἀλλ' ἐπειδὴ πᾶν αἴτιον καὶ πρότερον τοῦ ποιουμένου καὶ οἰκεῖον αὐτῷ ὅτι μάλιστα, καὶ προτέρας εἶναι δεῖ καὶ οἰκείας τὰς προτάσεις τοῦ συμπεράσματος, καὶ ἐπειδὴ τὸ ἐπίστασθαί ἐστιν, ὅταν μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν ὑπολαμβάνωμεν, διὰ τοῦτο καὶ τὴν ἀλήθειαν αὐταῖς προσθετέον· εἰ γὰρ τὸ ψεῦδος ἔχοιεν, συμβήσεται τὸν ἐπιστάμενον ἐξ ἀνάγκης εἶναι ὑπολαμβάνειν ὃ μή ἐστιν, οἷον εἴ τινες ψευδεῖς προτάσεις συνήγαγον τὴν διάμετρον τῇ πλευρᾷ σύμμετρον εἶναι. ἀλλ' εἰ καὶ πᾶσα μάθησις καὶ διδασκαλία ἐκ προγινωσκομένων ἐστί, δεῖ καὶ τοῦτο σώζεσθαι ἐν τῇ ἀποδείξει· ἔσονται τοίνυν καὶ γνωριμώτεραι αἱ προτάσεις τοῦ συμπεράσματος διὰ τοῦτο, γνωριμώτεραι δ' οὐ μόνον τὸν ἕτερον τρόπον τῷ ξυνιέναι τί σημαίνουσιν ἀλλὰ καὶ τῷ εἰδέναι ὅτι εἰσί· τὸ γὰρ ἀληθὲς κατὰ τοῦτο. ἐξαριθμησώμεθα τοίνυν ὁπόσα προσδιωρίσαμεν τοῖς λήμμασιν ὑπάρχειν τοῖς ἀποδεικτικοῖς· ἔστι δὲ τάδε, αἰτίοις εἶναι καὶ οἰκείοις, ἀληθέσι τε καὶ γνωριμω-

---

6 γὰρ τοῦ] τοῦ om A 8 πυρὸς αἰτία A 10 ποιητικῇ εἶναι V 18 ἐπιστάμενον] ἐπιστήμονα V 19 εἴ] εἰσί V 21 καὶ om V 25 ξυνίεσθαι V

τέροις. πᾶσα μὲν οὖν ἀπόδειξις οὐκ ἐκ προτέρων μόνον ἀλλὰ καὶ ἐκ πρώτων· εἰ μὲν γὰρ αἱ λαμβανόμεναι προτάσεις δι' ἄλλων ἀποδεικνύοιντο, πρότεραι μὲν ἔσονται τοῦ συμπεράσματος, οὐ πρῶται δέ· εἰ δὲ μὴ δι' ἄλλων μηδ' ὅλως προσδέοιντο ἀποδείξεως, ἀλλ' αὐτόθεν εἶεν πισταὶ καὶ ἐναργεῖς, ἤδη καὶ πρῶται ἃς οἱ παλαιοὶ καλοῦσιν ἀξιώματα καὶ ἀμέσους προτάσεις, εἰς ἃ χρὴ πάσας ἀνάγεσθαι καὶ ἐξ ὧν ἀποδείκνυσθαι τὰς εἰς συλλογισμὸν ἐπιστημονικὸν τιθεμένας· διὰ τοῦτο γὰρ αὐτὰς καὶ ἀρχὰς ἀποδείξεως ὀνομάζουσιν. εἰ δ' οὕτως πρῶται καὶ οὕτως πρότεραι ἔσονται αἱ προτάσεις, δῆλον ὡς τὸ πρότερον ἂν ἔχοιεν οὐ τὸ πρὸς ἡμᾶς, ἀλλὰ τὸ πρὸς τὴν φύσιν· ἡμῖν μὲν γὰρ πρότερα τὰ αἰσθητὰ καὶ καθ' ἕκαστα, τῇ φύσει δὲ τὰ καθόλου τε καὶ πόρρω τῆς αἰσθήσεως, ἐπεὶ καὶ τὸ γνωριμώτερον ἕξουσιν οὕτως ὡς τῇ φύσει γνωριμώτεραι οὖσαι· τοιοῦτον γὰρ ἡ ἀπόδειξις, οὐ πρὸς τὴν ἡμετέραν γνῶσιν καὶ συγκατάθεσιν ἀφορᾷ, ἀλλὰ πρὸς ἀλήθειαν καὶ ὡς ἔχει τὸ πρᾶγμα κατὰ φύσιν, κἂν ἡμῖν μὴ δοκῇ· ὁ γὰρ ἐπιστημονικὸς συλλογισμὸς τούτῳ μάλιστα τῶν λοιπῶν διενήνοχεν· ἐν μὲν γὰρ τοῖς ἄλλοις δείκνυται καὶ διὰ ψευδῶν τἀληθές, ὡς παρὰ τοῖς ῥήτορσι πολλάκις, καὶ δι' ὑστέρων τὸ πρότερον, ὥσπερ οἱ διὰ σημείων συλλογισμοί, καὶ δι' ἀληθῶν μὲν οὐκ οἰκείων δέ, ὥσπερ εἴ τις ἰατρὸς τὰ περιφερῆ τῶν τραυμάτων δυσιατότερα ἀποδεικνύοι, διότι τὸ σχῆμα πολυχωρητότερον τῶν λοιπῶν· γεωμέτρου γὰρ ἡ ἀπόδειξις, οὐκ ἰατροῦ. ταῦτα οὖν ἅπαντα παρατηρητέον ταῖς

---

5 καὶ μηδ' A 13 ἀλλὰ πρὸς A 14 πρότερα ὡς τὰ V 20 κατὰ] τὸ κατὰ V 21 λοιπῶν δείξεων A 22 ταῖς ἄλλαις A 23 ὡς παρὰ] ὥσπερ V

μελλούσαις προτάσεσι τὴν ἀκρίβειαν τῆς ἀποδείξεως διασώσειν.

Ἄμεσος οὖν πρότασίς ἐστιν ἧς μή ἐστιν ἄλλη προτέρα καὶ ἣν οὐχ οἷόν τε ἀποδεῖξαι. τοιαῦται δέ εἰσι μὲν καὶ αἱ ἐκ τῶν καθόλου, εἰσὶ δὲ καὶ ἐκ τῶν αἰσθητῶν· ὅτι γὰρ τὸ τριβώνιον τοῦτο λευκόν, ἄμεσός ἐστι πρότασις, ἀλλ' οὐκ εἰσὶν αὗται τῶν ἀποδείξεων ἀρχαί, ἀλλ' αἱ καθόλου μᾶλλον· τὴν δὲ αἰτίαν μαθησόμεθα ἐφεξῆς. τῆς δὲ ἀμέσου προτάσεως τῆς ἀποδεικτικῆς ἡ μὲν τοιαύτην τὴν φύσιν ἐστίν, ὥστε ἀνάγκην εἶναι τὸν μανθάνοντα ὁτιοῦν οἴκοθεν αὐτὴν κομίζειν καὶ εἰδέναι παρ' ἑαυτοῦ, ὥσπερ ἔχει τὰ ἀξιώματα· τὰς γὰρ κοινὰς ἐννοίας ἀνάγκη ἕκαστον ἔχειν φύσει καὶ ἄνευ τούτων οὐδέν ἐστι μαθεῖν· ὁ γὰρ Θεόφραστος οὕτως ὁρίζεται τὸ ἀξίωμα· ἀξίωμά ἐστι δόξα τις ἡ μὲν ἐν τοῖς ὁμογενέσιν, ἐὰν ἴσα ἀπὸ ἴσων, ἡ δὲ ἁπλῶς ἐν ἅπασιν, οἷον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν. ταῦτα γὰρ καθάπερ σύμφυτα καὶ κοινὰ πᾶσι, διὸ καὶ ἡ προσηγορία τοῦ ἀξιώματος· ὃ γὰρ ἁπλῶς καὶ ἐπὶ πάντων ἢ ὅλως ἐπὶ τῶν ὁμογενῶν τίθεται, ταὐτὸν ἀξιοῦμεν καὶ ἐπὶ τῶνδε. ἓν μὲν οὖν εἶδος τῆς ἀμέσου προτάσεως τοῦτο· ἕτερον δὲ θέσις, ἥτις ἀναπόδεικτος μὲν καὶ αὐτή, οὐ μέντοι παρ' ἑαυτοῦ δύναται φέρειν αὐτὴν ὁ μανθάνων, ἀλλὰ παρὰ τοῦ διδάσκοντος χρὴ λαβεῖν. θέσεως δὲ τὸ μὲν ὁρισμὸς καλεῖται, τὸ δὲ ὑπόθεσις. ὁρισμὸς μὲν οὖν ἐστι λόγος ὁ οὐχὶ εἶναι τὸ πρᾶγμα ἢ μὴ εἶναι λέγων, ἀλλ' ὅτι τοῦτ' ἐστὶν

---

1 ἀκρίβειαν] ἀλήθειαν V 2 διασώζειν V 5 μὲν om A 6 αἰσθητῶν] αἰσθήσεων A 10 τῆς om A 12 αὐτὴν] αὐτὸν A 13 τὸ ἀξίωμα A 21 μονογενῶν A 23 τοῦτο] τόδε A 27 ὁ om A 28 μὴ om V

αὐτῷ τὸ τί ἦν εἶναι. καίτοι ἕπεται μὲν αὐτοῖς καὶ εἶναι τὸ πρᾶγμα οὗ λέγουσι τὸν ὁρισμόν, ἀλλ᾽ οὐ τοῦτο λέγουσι προηγουμένως, ἀλλὰ τοῦτο μὲν ὑπάρχει συμβεβηκός, προηγουμένως δὲ τί ἐστι λέγουσι· τοὺς γὰρ ὁρισμοὺς μόνον ξυνιέναι δεῖ. διὸ καὶ ἀπορήσειεν ἄν τις, εἰ πρότασις ὅλως ὁ ὁρισμός· ἰσοδυναμεῖ γὰρ τῷ ὀνόματι καὶ ἧπέρ φησιν Ἀριστοτέλης οὐ λαμβάνει τὸ εἶναι ἢ μὴ εἶναι. πῶς οὖν εἰ μὴ πρότασίς ἐστι, προσγένοιτ᾽ ἂν εἶδος τῆς ἀμέσου προτάσεως; ἀλλὰ τοῦτο μὲν ἐπισκεπτέον, ἔστω δ᾽ οὖν τοῦτο ἕτερον μὲν εἶδος τῆς θέσεως, ἕτερον δὲ ἡ ὑπόθεσις. κοινὸν μὲν οὖν ἁπάσης τῆς ὑποθέσεως τὸ μὴ ἐκ τῆς φυσικῆς ἐννοίας ἠρτῆσθαι, ἀλλὰ τίθεσθαι fol. 2b. παρὰ τοῦ τεχνίτου, καὶ πρότασιν εἶναι· φανερῶς μὲν γὰρ τοῦτο εἶναι ἢ μὴ εἶναι πάντως, οἷον κίνησιν εἶναι, ἐκ τοῦ μὴ ὄντος μηδὲν εἶναι, ἀπὸ παντὸς ἄγεσθαι σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν, ἀλλ᾽ ὅσαι μὲν γνώριμοι τούτων εἰσὶ καὶ ὅσας ἅμα τῷ πυθέσθαι προσίεται ὁ μανθάνων, ὑποθέσεις αὗται καλοῦνται, ὅσαι δ᾽ οὐ σαφεῖς καὶ οὐ γνώριμοι, αὗται αἰτήματα λέγονται, οἷόν ἐστιν ἐν γεωμετρίᾳ τὰς ἀπ᾽ ἐλαττόνων ἢ δυοῖν ὀρθῶν ἐκβαλλομένας συμπίπτειν. ἁπλῶς μὲν οὖν αἱ τοιαῦται ὑποθέσεις τε καὶ αἰτήματα. ἤδη δὲ λέγονταί τινες ὑποθέσεις καὶ τινὰ αἰτήματα οὔτε ἄμεσα οὔτε ἀναπόδεικτα, ἀλλὰ δεόμενα ἀποδείξεως, λαμβανόμενα δὲ χωρὶς ἀποδείξεως ἐν τοῖς λόγοις, καὶ εἰσὶν οὐχ ἁπλῶς ὑποθέσεις ταῦτα οὔτε αἰτήματα, ἀλλὰ πρὸς ἐκεῖνον μόνον τὸν διδόντα καὶ συγχω-

---

3 ὑπάρχει] ὑπάρχειν A, ἐστι V  5 ξυνιεῖσθαι V, scrib. ξυνίεσθαι ex Arist. I, 10 p. 76, b. 37.  9 προσγένοιτ᾽] καὶ γένοιτ᾽ V  11 τοῦτο et μὲν om A  18 ὅσας] ἃς V . 19 μανθάνων] ἀκούων V

ροῦντα, ἀλλ' αἵγε ἀποδείξεις οὐκ ἐκ τῶν τοιούτων ἀλλ' ἐκ τῶν προτέρων διορισμῶν. τί μὲν οὖν ἐστιν ἄμεσος πρότασις καὶ τί ἀποδεικτικὴ καὶ τί ὑπόθεσις καὶ θέσις καὶ τί αἴτημα, ἐκ τούτων ἐστὶ φανερόν· ἃ δὲ εἴπομεν δεῖν προσεῖναι ταῖς ἀρχαῖς τῆς ἀποδείξεως, καθ' ἕκαστον αὐτῶν ἀναλαβόντες ἐπισκεψώμεθα, εἰ καλῶς εἴπομεν. φαμὲν τοίνυν ὅτι πρῶτον μὲν εἰκότως εἰρήκαμεν γνωριμωτέρας εἶναι τὰς προτάσεις ἐν ταῖς ἀποδείξεσι τοῦ συμπεράσματος, εἴπερ δεῖ πιστεύειν τε καὶ εἰδέναι τὸ συμπέρασμα δι' ἐκείνας· ἀεὶ γὰρ οἷς ἂν ὑπάρχῃ ταὐτόν, θατέρῳ δὲ διὰ θάτερον, ἐκείνῳ μᾶλλον ὑπάρχει, δι' ὃ καὶ τῷ λοιπῷ ταὐτὸ τοῦτο συμβέβηκεν, ὥστ' εἴπερ τῷ συμπεράσματι διὰ τὰς προτάσεις ὑπάρχει τὸ πιστεύεσθαι καὶ γινώσκεσθαι, ταῖς προτάσεσιν ἂν μᾶλλον ὑπάρχοι· καὶ γὰρ εἰ τὸν παιδαγωγὸν φιλοῦμεν διὰ τὸν παῖδα, τὸν παῖδα φιλοῖμεν ἂν μᾶλλον, ὥστ' ἐξ ἀνάγκης γνωριμώτεραι αἱ προτάσεις πολλάκις μὲν καὶ ἅπασαι, δι' ὧν ὁ συλλογισμός, πολλάκις δ' οὐχ ἅπασαι μὲν ἀλλ' ἐξ ἀνάγκης ἔνιαι· ἐνίας γὰρ οὐ σφόδρα γνωρίμους οὔσας δι' ἑτέρων ἀποδείξαντες οὕτω χρώμεθα. εἰ δὲ δεῖ τὰς προτάσεις εἰδέναι μᾶλλον τοῦ συμπεράσματος, δυοῖν θάτερον ἀναγκαῖον, ἢ καὶ ταύτας εἰδέναι δι' ἀποδείξεως ἢ βέλτιον διακεῖσθαι περὶ αὐτὰς τῆς ἀποδείξεως· οὕτω γὰρ ἔχομεν περὶ τὰ ἀξιώματα. οὐ μόνον δὲ τῆς ἐπιφορᾶς πιστότερα εἶναι δεῖ τὰ λαμβανόμενα, ἀλλὰ καὶ τῶν αὐτοῖς ἐναντίων· εἰ γὰρ μηδὲν μᾶλλον τούτοις ἢ ἐκείνοις πιστεύοι, οὐ τῷ

---

3 τί θέσις ἀποδεικτική V 4 αἰτήματα V 7 φαμὲν τοίνυν ὅτι om A 8 εἰκότως] οὖν A 11 ἂν ὑπάρχῃ] ἐνυπάρχει A διὰ om V 14 τὸ π.] καὶ π. A 16 φιλοίημεν V 17 φιλοῦμεν V 18 μὲν] μὲν οὖν V

συμπεράσματι μᾶλλον πιστεύσει τοῦ ἐναντίου, ὥστε ἡγοῖτ' ἂν αὐτὸ δυνατὸν εἶναι καὶ ἄλλως ἔχειν καὶ οὐκ ἂν ἀμετάπτωτος εἴη τοῦ συναχθέντος ἡ ἐπιστήμη.

3 Τῷ δὲ παρ' ἡμῖν καλῶς λεγομένῳ οὐ καλῶς τινὲς χρώμενοι ἀναιρεῖν ἐπιχειροῦσιν ἀπόδειξιν· ἡμεῖς μὲν γὰρ οἰόμεθα δεῖν εἴπερ ἐστὶν ἀπόδειξις, τὰς προτάσεις ἐπιστητὰς εἶναι μᾶλλον τοῦ συμπεράσματος, οἱ δὲ τοῦτο μὲν συγχωροῦσιν οὐδὲν δὲ ἐπιστητὸν εἶναι τιθέμενοι ὃ μὴ δι' ἀποδείξεως γίνεται, οὐκ ἐπιστήσεσθαι ἡμᾶς μᾶλλόν φασι τὰς προτάσεις, εἰ μὴ καὶ αὐτὰς δι' ἀποδείξεως πιστωσόμεθα, ὥστ' εἰ μὲν ἀεὶ τὴν λαμβανομένην πρότασιν εἰς δεῖξίν τινος πάλιν αὐτὴν δι' ἑτέρας ἀποδείκνυμεν, εἰς ἄπειρον ποιησόμεθα τὴν ἀναγωγήν, ἀδύνατον δὲ τὰ ἄπειρα διελθεῖν. εἰ δὲ στησόμεθά που καὶ ἀπαντήσομεν, ἄγνωστα εἶναι συμβήσεται, εἴπερ οὐκ ἔστιν αὐτὰ γνῶναι δι' ἀποδείξεως, ἀγνώστων δὲ οὐσῶν τῶν ἀρχῶν πῶς ἂν γένοιτο ἐξ αὐτῶν τι γνωστόν; ὧν γὰρ οὐκ ἔστι τὰ πρῶτα εἰδέναι καὶ τὰς ἀρχάς, οὐκ ἔστιν οὐδὲ τὰ ἐκ τούτων ἐπίστασθαι, εἰ μὴ τάχα ἐξ ὑποθέσεως, εἰ ἐκεῖνά ἐστι. τοῦτο μὲν οὖν ὀρθῶς λέγουσιν· ἀμήχανον γὰρ τὰ ὕστερα γινώσκειν μὴ τὰ πρότερα ἐπισταμένους, ἀλλ' οὐκ ὀρθῶς τίθενται τὸ ἐπίστασθαι τοῦτο εἶναι μόνον τὸ δι' ἀποδείξεώς τι γινώσκειν· ἔστι γὰρ ἐπίστασθαι πολλὰ καὶ ἀναπόδεικτα ἔχοντας. ὅμοιά τε ἁμαρτάνουσι τοῖς πάντα ἀναπόδεικτα λέγουσιν οἱ πάντα ἀποδεικτὰ εἶναι τιθέμενοι, ἀλλ' ὥσπερ ἐστὶν ἐναργὲς τὸ πολλὰ τῆς δι' ἑτέρων πίστεως προσδεῖσθαι,

---

4 ἡμῖν] immo ἡμῶν   8 οὐ συγχωροῦσιν A   13 ἀποδεικνύοιμεν V   14 ἀγωγὴν V   21 οὖν om V   22 πρότερα] πρῶτα V   23 τὸ] πρὸς τὸ V

οὕτως οὐδὲν ἧττον ἐναργὲς τὸ πολλὰ εἶναι γνώριμα δι' ἑαυτῶν, ἀλλὰ καὶ μᾶλλον ἐπιστητὰ τῶν δι' ἄλλων γινωσκομένων, αἵ τε ἀρχαὶ τῆς ἀποδείξεως οὐκ ἂν εἶεν δήπουθεν ἀποδείξεις ἀλλὰ προτάσεις αὐτόθεν ἐναργεῖς τε καὶ ἄμεσοι, ὧν δὴ ἄρχει πάλιν ὁ νοῦς ᾧ τοὺς ὅρους θηρεύομεν, ἐξ ὧν σύγκειται τὰ ἀξιώματα. ταῦτα γὰρ ἄμεινον λέγειν ἢ συγχωρεῖν μὲν αὐτοῖς ἐπιστητὰ εἶναι τὰ δι' ἀποδείξεως γινωσκόμενα, φεύγοντας δὲ τὴν εἰς ἄπειρον ἀναγωγὴν τὴν κύκλῳ δεῖξιν παράγειν. τοῦτο δ' ἐστὶ κακῷ τὸ κακὸν ἰᾶσθαι, καὶ σώζειν ἐπιχειροῦντας ἀπόδειξιν μηδὲν ἧττον ἀναιρεῖν αὐτὴν τῶν τοῦτο προτιθεμένων. εἰ γὰρ ἐκ προτέρων δεῖ καὶ γνωριμωτέρων τὴν ἀπόδειξιν εἶναι, ἀδύνατον δὲ ταὐτὰ τῶν αὐτῶν ἅμα τε εἶναι πρότερα καὶ ὕστερα, ἀδύνατον διὰ τῆς κύκλῳ δείξεώς τι γινώσκειν, εἴπερ ἡ κύκλῳ δεῖξίς ἐστιν, ὅταν οἷς χρησόμεθα πρὸς τὴν ἄλλων δεῖξιν, ταῦτα πάλιν διὰ τῶν δειχθέντων ἀποδεικνύωμεν. ἴσως μὲν οὖν καὶ πρότερα καὶ ὕστερα τὰ αὐτὰ τῶν αὐτῶν δυνατὸν λέγειν, ἀλλ' οὐχ ἅμα, ἀλλ' αὖ καθ' ἕτερον καὶ ἕτερον τρόπον, οἷον τὰ μὲν πρὸς ἡμᾶς, τὰ δὲ πρὸς τὴν φύσιν, ἀλλ' ἥγε ἀπόδειξις ἀεὶ τὸν ἕτερον τρόπον τῶν προτέρων παραλαμβάνει· εἰ δ' ἐκ τῶν πρὸς ἡμᾶς προτέρων, λέγοιτ' ἂν ἴσως ἀπόδειξις ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἡμᾶς. οὐ μόνον δὲ τοῦτο ἔχει τὸ ἄτοπον ἡ κύκλῳ δεῖξις, ἀλλὰ καὶ εἰς γελοῖόν τι περιίσταται· συμβαίνει γὰρ λέγειν αὐτούς, ὅτι τὸ ᾱ ἐστίν, εἰ τὸ ᾱ ἐστίν. εἰ γὰρ διὰ μὲν τοῦ ᾱ τὸ β̄ δεικνύουσιν, διὰ δὲ τοῦ β̄ τὸ γ̄, διὰ δὲ τοῦ γ̄ αὖθις

5 δὴ ἄρχει] τε ἀρχὴ V 7 ἀμείνω V 10 προσάγειν A
20 ἀλλ' αὖ] ἀλλὰ A 26 τὸ om V

τὸ α, δῆλον ὡς δεικνύουσι τὸ ᾱ διὰ τοῦ ᾱ· ἐξ οὗ γὰρ ἄρχονται, εἰς ἐκεῖνο καὶ τελευτῶσιν· οὕτω δὲ ἅπαντα δεῖξαι ῥᾴδιον. πολλαὶ δὲ καὶ ἄλλαι μοχθηρίαι παρέπονται, ἃς ἐδείξαμεν ἐν τοῖς περὶ συλλογισμοῦ, καὶ fol. 3. πάλιν λέγειν οὐκ ἀναγκαῖον. ταῦτα μὲν οὖν ἐπὶ πλέον. τῶν ἱκανῶν ἐμηκύναμεν ἔξωθεν ὄντα τῶν περὶ ἀποδείξεως λόγων. ἐπανίωμεν δὲ ὅθεν ἐξέβημεν.

4 Ἐλέγομεν τοίνυν ὅτι καὶ ἀληθεῖς εἶναι δεῖ τὰς ἐπιστημονικὰς προτάσεις, καὶ οὐχ ἁπλῶς ἀληθεῖς, ἀλλ' ἀδύνατον ἑτέρως ἔχειν, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ δεῖν αὐτὰς ἀναγκαίας εἶναι. καὶ τοῦτο μὲν ὀρθῶς ἐλέγομεν· ἐπειδὴ γὰρ καὶ τὸ δεικνύμενον ἀναγκαῖον· (τοιοῦτον γὰρ ἐν ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις τὸ ἀδύνατον ἄλλως ἔχειν, καὶ ὅτι τοιοῦτόν ἐστιν, οὐκ ἄλλοθεν αὐτὸ γινώσκομεν ἢ τῷ τὴν ἀπόδειξιν ἔχειν καὶ τὸν ἐπιστημονικὸν συλλογισμόν,) ἀνάγκη καὶ τὰς προτάσεις ἀναγκαίας εἶναι, δι' ὧν τοῦτο συμπεραινόμεθα, ὥστ' ἐφεξῆς ἂν εἴη λαβεῖν τὰ προβλήματα, ὁποῖά ἐστι τὰ ἐν ταῖς ἀποδείξεσι καὶ τίνα τρόπον τῶν πρὸς αὐτὰ προτάσεων εὐπορήσομεν. ἀρχὴ δὲ ὁ περὶ τῶν προτάσεων λόγος· ἐκ τούτων γὰρ ὁ συλλογισμός. ἐπειδὴ τοίνυν ἅπασα πρότασις ἐξ ὑποκειμένου καὶ κατηγορουμένου τινός, γνωστέον ὅτι τὸ κατηγορούμενον ἐν ταῖς ἀποδεικτικαῖς προτάσεσιν οὐχ ἁπλῶς δεῖ τοῦ ὑποκειμένου κατηγορεῖσθαι, ἀλλὰ καθ' αὐτό. τί τοίνυν ἐστὶ τὸ καθ' αὐτό, λέγομεν ἤδη πρότερον εἰπόντες, τί τὸ

7 δὲ] τοίνυν V 10 ἀδυνάτως V 11 μὲν] δὲ A 12 γὰρ om V 14 ἐπιστήμαις om V 16 τοὺς ἐπιστημονικοὺς συλλογισμοὺς V 17 ὧν] ἃς V 24 τὸ] τὸν libri 27 λέγομεν] fort. λέγωμεν

κατὰ παντός, ἐπειδὴ τοῦτο ἀδύνατον σαφὲς ἄνευ ἐκείνου γενέσθαι.

Κατὰ παντὸς μὲν οὖν τοῦτο λέγω ὃ ἂν ᾖ μὴ ἐπί τινος μὲν τινὸς δὲ μή, μηδὲ ποτὲ μὲν ποτὲ δὲ μή. οὗτος δὲ ἕτερος τρόπος τοῦ κατὰ παντός ἐστιν, ἢ ὃν ἐν τοῖς περὶ συλλογισμοῦ παραδεδώκαμεν· ἐκεῖ γὰρ ἦν κατὰ παντός, εἰ καὶ πρός τινα χρόνον ἅπασιν ὑπῆρχεν, ἐνταῦθα δὲ καὶ τοῦτο φυλακτέον, οἷον κατὰ παντὸς ἀνθρώπου τὸ ζῶον· καθ' οὗ γὰρ ὁ ἄνθρωπος ἀληθής, καὶ τὸ ζῶον, καὶ εἰ νῦν θάτερον ἀληθές, καὶ θάτερον. δῆλον δὲ ὅτι τοιοῦτόν ἐστι τὸ κατὰ παντός· καὶ γὰρ οἱ τὰς ἐνστάσεις πρὸς αὐτὸ φέροντες οἴονται τὸ κατὰ παντὸς ἀναιρεῖν, εἰ μόνον εἴη τινὶ μὴ ὑπάρχον ἢ εἰ ποτὲ εἴη μὴ ὑπάρχον. τὸ μὲν οὖν κατὰ παντὸς τοιοῦτόν ἐστι.

Καθ' αὑτὸ δὲ λέγεται κατηγορεῖσθαι, ὅσα κατὰ παντὸς κατηγορούμενα ἐν τῷ τί ἐστι τοῦ ὑποκειμένου κατηγορεῖται, οἷον ἀνθρώπου τὸ ζῶον καὶ πλατάνου τὸ φυτὸν καὶ τριγώνου γραμμή· τρίγωνον γὰρ τὸ ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον· οὐ πᾶν γὰρ τὸ κατὰ παντὸς καὶ καθ' αὑτό· κατὰ παντὸς μὲν γὰρ κύκνου τὸ λευκὸν ἀεί τε ὑπάρχον καὶ παντὶ κύκνῳ, ἀλλ' οὐκ ἐν τῷ τί ἐστι κατηγορεῖται. εἷς μὲν δὴ τοῦ καθ' αὑτὸ κατηγορουμένου τρόπος οὗτός ἐστιν, ὃς καὶ μάλιστα ἐν ταῖς ἀποδείξεσι παραλαμβάνεται.

Ἕτερος δέ, ὅσων δὴ συμβεβηκότων τισὶ τὸν λόγον ἀποδιδόντες τὰ ὑποκείμενα αὐτοῖς συνεφελκόμεθα ἐν τῷ λόγῳ, ταῦτα καθ' αὑτὰ ὑπάρχειν τούτοις λέγεται τοῖς ὑποκειμένοις, ἃ παραλαμβάνομεν ἐν τῷ

---

6 συλλογισμοῦ] I, 1 p. 24, b. 29. 14 ὑπάρχον] ὑπάρχειν V, post hoc defecit pagina in V

λόγῳ τῷ τί ἐστιν αὐτῶν δηλοῦντι, οἷον σιμότης καθ' αὑτὸ ὑπάρχει ῥινί· ὁριζόμενοι γὰρ τὴν σιμότητα ῥινὸς κοιλότητα λέγομεν, καὶ τὸ εὐθὺ γραμμῇ. τί γάρ ἐστιν εὐθύ; τὸ κατὰ γραμμὴν ἐξ ἴσου κείμενον τοῖς ἐφ' ἑαυτοῖς σημείοις. καὶ τὸ περιττὸν ἀριθμῷ· τί γάρ ἐστι περιττόν; ἀριθμὸς εἰς ἄνισα διαιρούμενος. οὕτως ὑπάρχουσι καὶ αἱ ἀρεταὶ τῇ ψυχῇ· ἑκάστην γὰρ αὐτῶν ὁριζόμενος συμπαραλήψῃ μέρη τινὰ τῆς ψυχῆς ἢ δυνάμεις.

Τρίτος δὲ τῶν καθ' αὑτὰ ὑπαρχόντων τρόπος ὁ τῶν συμβεβηκότων ἐστίν, ὅταν μὴ ἄλλοις πρώτοις ὑπάρχῃ, οἷον τῇ ἐπιφανείᾳ τὸ κεχρῶσθαι. τὰ μὲν οὖν κατηγορούμενα κατὰ τοὺς τρεῖς μόνους τούτους τρόπους καθ' αὑτὸ ὑπάρχειν φαμέν. λέγεται δὲ καὶ τέταρτός τις ἄλλος τρόπος τοῦ καθ' αὑτὸ οὐκέτι τῷ ἑτέρου κατηγορεῖσθαι ἀλλ' ἁπλῶς, ὅτι μὴ δι' ἄλλο ἐστί, μηδὲ ἐν ἄλλῳ· τοιαῦτα γὰρ τὰ ἄτομα τῆς οὐσίας. ὅδε οὖν οὕτως ὁ Καλλίας καθ' αὑτὸ λέγεται καὶ αἴτιά τινα καθ' αὑτά, ὅσα μὴ κατὰ συμβεβηκὸς τινῶν μηδὲ κατὰ σύμπτωμα αἴτια, οἷον εἰ βαδίζοντος ἤστραψεν· οὐ γὰρ διότι βαδίζει, ἤστραψεν, ἀλλὰ συνέβη, καὶ εἰ τὰς ἀμπέλους ὀρύττων τις θησαυρὸν εὗρεν· οὐ γὰρ διὰ τὸ χρυσίον ὤρυττεν, ἀλλὰ συνέβη. εἰ δὲ σφάττοντος ἀπέθανεν, οὐκέτι τοῦτο λέγομεν ὅτι συνέβη· καθ' αὑτὸ γὰρ αἴτιον τοῦ θανάτου. ταῦτα οὖν τοῦ πλήρους ἕνεκα παρεμβέβληται τὰ σημαινόμενα τοῦ καθ' αὑτό. οἱ δὲ πρότεροι δύο τρόποι δῆλον ὡς ἐκ τῶν ἐξ ἀνάγκης ὑπαρχόντων εἰσίν· οὐ γὰρ ἐνδέχεται μὴ ὑπάρχειν ἢ τὰ ἐν τῷ ὁρισμῷ κατὰ

10 αὐτὸ A 14 malim αὐτὰ 21 διότι βαδίζει] scrib. διὰ τὸ βαδίζειν ex Arist. 24 σφάττοντος] malim σφαττόμενος, in Arist. libris τι σφαττόμενον

πάντων τῶν ὑποκειμένων ἐν τῷ τί ἐστι λεγόμενα, ἢ πάλιν ἂν ἐν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος λαμβάνηται τὸ ὑποκείμενον. ὅτι μὲν οὖν τὰ ἐν τῷ ὁρισμῷ ἐξ ἀνάγκης συνυπάρχει, φανερὸν καὶ ἄνευ λόγου· ὅτι δὲ καὶ τῶν συμβεβηκότων ὅσα οὐ δυνατὸν ὁρίσασθαι χωρὶς τῆς τοῦ ὑποκειμένου οὐσίας, καὶ ταῦτα ἀναγκαῖα, δῆλον ἂν γένοιτο περὶ τούτων διαπορήσασι πρότερον. ἕκαστον τοίνυν τῶν τοιούτων οὐ πέφυκεν ἅπαντι προσεῖναι τῷ δεκτικῷ· οὐ γὰρ ἁπάσῃ ῥινὶ σιμότης, οὔτε τὸ ἄρτιον τῷ ἀριθμῷ, ὥστε καὶ εἴποι τις ἂν μὴ ἐξ ἀνάγκης ὑπάρχειν τῇ ῥινὶ τὸ σιμὸν ἢ τὸ ἄρτιον τῷ ἀριθμῷ. καὶ ἔστιν ἀληθὲς τὸ λεγόμενον, εἰ χωρὶς ἕκαστόν τις τὸ τοιοῦτον λαμβάνει, εἰ μέντοι γε ἐννοήσειεν, ὅτι καὶ ἀντικείμενα ἑκάστῳ τῶν τοιούτων ἐστὶν ἀρτίῳ μὲν τὸ περιττόν, σιμότητι δὲ ἡ γρυπότης, ἄλλο δὲ ἄλλῳ, γνώσεται ὅτι πάντως ἐξ ἀνάγκης τὸ ἕτερον τούτων τοῦ ὑποκειμένου κατηγορεῖται· πᾶς γὰρ ἀριθμὸς ἢ ἄρτιος ἢ περιττός, καὶ πᾶσα γραμμὴ ἢ καμπύλη ἐστὶν ἢ εὐθεῖα· ἡ γὰρ ἀπόφασις ἐπὶ τῶν τοιούτων θατέρου θάτερον τίθησιν, ὅταν λέγηται κατὰ τοῦ ὑποκειμένου γένους τοῦ δεκτικοῦ· ἀριθμὸς γὰρ ὁ μὴ περιττὸς εὐθὺς ἄρτιος, καὶ ῥὶς ἡ μήτε ὀρθὴ μήτε γρυπὴ σιμὴ πάντως ἐστίν· ἐπ’
fol. 3b. ἐνίων γὰρ ἐν πλείοσιν ἡ ἀντίθεσις ἐφ’ ὅσων ὑπερβολὴ καὶ ἡ ἔλλειψις θεωρεῖται, ἐπεὶ καὶ μεσότης ἐν τοῖς τοιούτοις, ὥστ’ εἴπερ ἐπὶ παντὸς ἢ κατάφασις ἢ ἀπόφασις, ἡ δὲ ἀπόφασις ἐπὶ τῶν τοιούτων συμβεβηκότων τίθησι κατὰ τῶν δεκτικῶν, δῆλον ὡς θάτερον ἐξ ἀνάγκης ὑπάρχει παντὶ τῷ λαμβανομένῳ τῆς ὑποκειμένης αὐτῷ φύσεως. τὸ μὲν οὖν κατὰ παντὸς καὶ καθ’ αὐτὸ διωρίσθω τοῦτον τὸν τρόπον.

---

30 τὸ μὲν οὖν] hic incipit V

*Καθόλου δὲ λέγω ὃ ἂν κατὰ παντὸς ὑπάρχῃ καὶ καθ' αὑτὸ καὶ ᾗ αὐτό. οὔτ' οὖν εἴ τι καθ' αὑτό, εὐθὺς καὶ καθόλου· ὁ γὰρ τρίτος τρόπος τῶν καθ' αὑτὸ καὶ οἱ μετὰ τοῦτον ἑξῆς οὐ καθόλου, οὔτ' εἰ ἔχουσι τὸ κατὰ παντός, εὐθὺς καὶ καθόλου· τὸ γὰρ λευκὸν κατὰ κύκνου παντὸς καὶ τὸ μέλαν κατὰ κόρακος, οὐ μὴν καθόλου, διότι οὐ καθ' αὑτό. δεῖ τοίνυν ἄμφω συνδραμεῖν ἐπὶ τῶν καθόλου τὸ καθ' αὑτό τε καὶ ᾗ αὐτό, ταῦτα δὲ ὡς τὰ αὐτὰ λέγομεν νῦν· ἐφ' οἷς γὰρ θάτερον, καὶ θάτερον ἐφαρμόττει, οἷον τῇ γραμμῇ ὑπάρχει καθ' αὑτὸ τὸ μῆκος· ἐν γὰρ τῷ τί ἐστι κατηγορεῖται, καὶ οὐ μόνον γε καθ' αὑτό, ἀλλὰ καὶ ᾗ αὐτό· καὶ τὸ εὐθὺ πάλιν ὑπάρχει τῇ γραμμῇ καθ' αὑτὸ καὶ ᾗ αὐτό· οὐ γάρ ἐστιν ὁρίσασθαι τὸ εὐθὺ δίχα τῆς γραμμῆς. ἆρ' οὖν ἅπαντα καθόλου κατηγορεῖται, ὅσα ἐν τῷ ὁρισμῷ τινὸς παραλαμβάνεται; ταῦτα δ' ἐστὶ τὰ γένη καὶ αἱ διαφοραί· ὑπάρχει γὰρ αὐτοῖς καὶ τὸ κατὰ παντὸς εἶναι καὶ τὸ καθ' αὑτό. ἢ δεῖ καὶ τρίτης προσθήκης εἰς τὸ ἀκριβῶς ὁρίσασθαι τὸ καθόλου; δεῖ γὰρ τὸ καθόλου πρὸς τῷ παντὶ ὑπάρχειν καὶ καθ' αὑτὸ ὑπάρχειν, ἔτι καὶ πρώτῳ ἐκείνῳ ὑπάρχειν καὶ οὐδενὶ ἄλλῳ προτέρῳ, οἷον τὸ δύο ὀρθὰς ἔχειν τῷ τριγώνῳ· παντί τε γὰρ ὑπάρχει καὶ καθ' αὑτό· ἐκ γὰρ τῆς οὐσίας καὶ πρώτῳ γε τῷ τριγώνῳ· οὐδενὶ γὰρ ἄλλῳ πρὸ τοῦ τριγώνου· οὔτ' οὖν σχήματι καθόλου τὸ δύο ὀρθὰς ἔχειν ὑπάρχει· οὐ γὰρ ἅπαντι καὶ τῷ τυχόντι· οὐ γὰρ τῷ τετραγώνῳ καὶ τῷ πολυγώνῳ, οὔτε μὴν αὖθις τῷ σκαληνῷ· παντὶ μὲν γὰρ τούτῳ καὶ τῷ τυχόντι, οὐ*

---

1 *ὑπάρχοι* libri. 3 *τρίτος*] *δεύτερος* V 4 *οὔτ'*] *οὐ γὰρ* V 6 *τοῦ κόρακος* A 10 *οἷς*] *οὗ* V *ἐφαρμόσει* V 14 *ἀφορίσασθαι* V 25 *πρὸ*] *περὶ* A 29 *γὰρ* om A

πρώτῳ δέ· τῷ τριγώνῳ γὰρ πρὸ αὐτοῦ. ᾧ τοίνυν τῷ τυχόντι καὶ πρώτῳ δείκνυται ὑπάρχον, τούτῳ καθόλου ὑπάρχει, καὶ ἡ ἀπόδειξις τῶν οὕτω καθόλου ἐστὶν ἡ κυρίως γε ἀπόδειξις, καίτοι καὶ τῶν ὑπὸ τὸ καθόλου· ὁ γὰρ τὸ τρίγωνον ἀποδείξας δύο ὀρθὰς ἔχον ἔδειξεν, ὅτι καὶ τὸ σκαληνόν, ἀλλ' ὅμως ὁ γεωμέτρης οὐχ ᾗ σκαληνὸν ἔχει τὴν ἀπόδειξιν ἀλλ' ᾗ τρίγωνον. μὴ θορυβείτω δ' ἡμᾶς τὸ παράδειγμα, ὅτι δεῖ πάντως τὸ καθόλου ἐξισάζειν καὶ ἀντιστρέφειν πρὸς τὸ ὑποκείμενον, ἀλλ' ἰστέον, ὅτι καὶ τὰ γένη ταῖς προσεχέσι διαφοραῖς ὑπάρχει καθόλου, καίτοι ἐπὶ πλέον ὄντα, καὶ αἱ διαφοραὶ τοῖς εἴδεσιν, ἐπεὶ εἰ μὴ τοῦτό τις συγχωροίη, μόνον ἂν εἴη τῶν ὁρισμῶν ἡ ἀπόδειξις.

5

Δεῖ δὲ μὴ λανθάνειν ὅτι πολλάκις ἀπατώμεθα περὶ τοῦ καθόλου· καὶ γὰρ ἀποδεικνύντες αὐτὸ οὐ δοκοῦμεν ἀποδεικνύναι, καὶ μὴ δεικνύντες ἀποδεικνύναι νομίζομεν· τρεῖς δ' αἰτίαι τῆς ἀπάτης εἰσίν. μία μὲν ὅταν τι τῶν καθ' ἕκαστον ᾖ καὶ ἄτομον, ἐφ' οὗ ποιούμεθα τὰς ἀποδείξεις, οἷον ἥλιος σελήνη κόσμος. ἐπεὶ γὰρ οὐδέν ἐστιν ἀνωτέρω τῶν τοιούτων οὐδὲ κοινόν, ἀλλ' ἐφ' ἑκάστου τὸ ἄτομον· εἷς γὰρ

4 γε om A 6 ἔχειν A 8 θορυβείτω] θαμβείτω A 9 ἐξισάζειν τὸ καθόλου A 13 συγχωρήσοι V 14 ἡ om V —vid. Philop. fol. 17 (205 Br.) εἰ δὲ τοῦτο, συμβήσεται μηδὲν εἶναι ἀποδεικτικὸν ὃ μὴ ἀντιστρέφει πρὸς τὸ κατηγορούμενον. καὶ ἵνα συντόμως εἴπω, μόνους εἶναι τοὺς ὁρισμοὺς καὶ τὰ ἴδια ἀποδεικτικοὺς διὰ τὸ ἀντιστρέφειν πρὸς τὰ ὁριστά. τὸ μέντοι ὅτι ὁ ἄνθρωπος ζῶόν ἐστι, μὴ εἶναι ἀποδεικτόν, διότι μὴ πρώτως τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον ὑπάρχει. καὶ φησὶ πρὸς τοῦτο ὁ Θεμίστιος ὅτι καὶ τὰ γένη καὶ αἱ διαφοραὶ τῶν ἀποδεικτικῶν, εἰ καὶ μὴ ἐξισάζουσι πρὸς τὰ ὑποκείμενα, ἀλλ' οὖν ἐπειδὴ καθ' αὑτό τε καὶ παντὶ τῷ ὑποκειμένῳ ὑπάρχουσι. 17 fort. ἀποδεικνύντες 22 ἑκάστῳ V

ἥλιος καὶ μία σελήνη καὶ μία γῆ καὶ εἷς οὐρανός, ὅταν τι τούτοις ὑπάρχον ἀποδεικνύωμεν ἢ τῇ γῇ τὸ ἐν μέσῳ κεῖσθαι, ἢ τῷ οὐρανῷ τὸ κύκλῳ φέρεσθαι, οὐκ οἰόμεθα καθόλου ὑπάρχον ἀποδεικνύναι, καίτοι μὴ καθ' ὃ τόδ' ἑκάτερον αὐτῶν καὶ ἄτομον ποιούμενοι τὴν ἀπόδειξιν· οὐ γὰρ καθ' ὃ ἥλιος εἷς, ἐκλείποντα αὐτὸν ἀποδεικνύομεν ὑποτρεχούσης τῆς σελήνης, ἀλλὰ τοιαῦταί εἰσιν αἱ γινόμεναι ἀποδείξεις, ὡς εἰ καὶ πλείους ἦσαν, ὁμοίως ἁρμόσειν. ὥσπερ τοίνυν, εἰ τὸ σκαληνὸν μόνον τρίγωνον ἦν, ἐδείκνυμεν δὲ αὐτῷ τὸ δύο ὀρθὰς ἴσας ἔχειν ὑπάρχον μηδὲν τῷ σκαληνὸν εἶναι προσχρώμενοι ἀλλὰ τῷ τρίγωνον μόνον, οὐ τῷ σκαληνῷ τοῦτο ὑπάρχον ἐδείκνυμεν ἀλλὰ τῷ τριγώνῳ, καίτοι μόνον τρίγωνον ὑπόκειται εἶναι τὸ σκαληνόν, οὕτως ἐπειδὴ καὶ τὸν ἥλιον μείζονα εἶναι τῆς γῆς ἀποδείκνυμεν, οὐ καθ' ὃ εἷς μόνος ἐστίν, ἀλλὰ καθ' ὃ ἥλιος, δῆλον ὡς οὐ τοῦδέ ἐστιν ἡ ἀπόδειξις τοῦ ἡλίου, ἀλλὰ παντὸς ἁπλῶς τοῦ τοιοῦδε, ὥστε καὶ ὅταν γένηται ἐπὶ τῶν καθ' ἕκαστα ὄντων ἡ ἀπόδειξις, οὐ τὸ καθ' ἕκαστον οἰητέον ἀποδείκνυσθαι ἀλλὰ τὸ καθόλου.

Δευτέρα δὲ τῆς ἀπάτης αἰτία, ὅταν ᾖ μὲν πλείονα καὶ διαφέροντα εἴδη τὰ τῆς αὐτῆς ἀποδείξεως κοινωνοῦντα, μὴ ᾖ δὲ ἐκεῖνο καθ' ὃ κοινωνοῦσιν, ὠνομασμένον· διαφέρουσι μὲν γὰρ ἀλλήλων κατ' εἶδος ἀριθμός τε καὶ μέγεθος καὶ χρόνος, ἀλλ' ἐάν τε ἀριθμοὶ τέσσαρες ἀνάλογον ὦσι, καὶ ἐναλλάξ εἰσιν ἀνάλογον, ἐάν τε μεγέθη τέσσαρα, ἐάν τε χρόνοι τέσσαρες· γίνεται δὲ

2 ἀποδείκνυμεν A 10 ἦν] ὂν V 12 τῷ τρίγωνον] τῷ τριγώνῳ A τὸ τρίγωνον V 14 ἐδείκνυμεν] deest ἄν 15 εἶναι τὸ] τὸ om V 16 εἶναι om A; fort. καὶ τὸ τὸν 18 ἡ om A 26 τε ante καὶ om A

ἐφ' ἑκάστων χωρὶς ἡ ἀπόδειξις· οὐ γάρ ἐστιν ὄνομα κοινόν, οὔτε φύσις τις ἀνωτέρα ἀριθμοῦ καὶ μεγέθους καὶ χρόνου, ἐφ' ἧς δύναται τοῦτο καθόλου ὑπάρχον ἀποδειχθῆναι. καθόλου μὲν γὰρ ἀληθὲς τὸ ἐάν τινα ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται, οὐκ ἔχοντες δὲ ὑποθεῖναι τῷ τινὰ ὄνομα κοινὸν ὡρισμένον, τεμαχίζουσι τὴν ἀπόδειξιν, καὶ οἴονται καθόλου δεικνύναι ἐφ' ἑκάστου τῶν εἰρημένων, οὐ δεικνύντες οὕτως· οὐδὲ γὰρ ᾗ ἀριθμὸς οὔτε μέγεθος οὔτε χρόνος ἀποχρῶνται εἰς τὴν ἀπόδειξιν. οὕτω δὲ καὶ εἴ τις χωρὶς μὲν τὸ σκαληνὸν δύο ὀρθὰς ἔχον δεικνύει, χωρὶς δὲ τὸ ἰσοσκελές, καὶ χωρὶς τὸ ἰσόπλευρον· ἀλλ' ἐπὶ τούτων μὲν τὸ κοινὸν ὁρᾶται, ἐπ' ἐνίων δὲ ἐλλείπει.

Τρίτη δὲ τῆς ἀπάτης αἰτία τὸ δείξαντας, ὅτι παντὶ ὑπάρχει, οἴεσθαι ἀποδεδεῖχθαι, ὅτι καὶ καθόλου, οἷον εἴ τις δείξειε γεωμέτρης, ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τῶν ἐφεξῆς γωνιῶν ἑκατέραν ὀρθὴν ποιῇ, αἵ εὐθεῖαι οὐ συμπεσοῦνται· πάσαις μὲν γὰρ τοῦτο ὑπάρχει ταῖς ποιούσαις τὰς
fol. 4. τοιαύτας γωνίας, ἀλλ' οὐ διὰ τοῦτο πρῶτον παράλληλοι· καὶ γὰρ εἰ μὴ ἑκατέραν ὀρθήν, τὰς δύο δὲ ἅμα δυσὶν ὀρθαῖς ἴσας ποιοῖεν, οὐδὲν ἧττον παράλληλοι δείκνυνται. πρώτου τοίνυν ἡ ἀπόδειξις καὶ καθόλου τοῦ μὴ συμπίπτειν τὰς δύο ὀρθαῖς ἴσας, τοῦ δὲ ὧν ἑκατέρα ὀρθή, κατὰ παντὸς μὲν οὐ μὴν καθόλου. πῶς οὖν γνωσόμεθα, εἴτε τὸ κατὰ παντὸς ἀποδείξομεν εἴτε τὸ καθόλου; δῆλον τοίνυν ὡς εἰ ταὐτόν ἐστι τριγώνῳ τε εἶναι καὶ σκαληνῷ, καθάπερ λωπίῳ καὶ φάρει, ὁ δείξας ὅτι τῷ σκαληνῷ τὸ δύο

---

4 τὸ om A   5 ἀνάλογα ἔσται V   10 τὴν om A   11 ἔχειν A
21 τοιαύτας τὰς V   25 τοῦ] καὶ τοῦ V

ὀρθὰς ἔχειν ὑπάρχει, οὗτος ἐπίσταται τὸ καθόλου· εἰ γὰρ καὶ ᾗ τρίγωνον δύο ὀρθὰς ἔχει, ἀλλὰ ταὐτὸν ὑπόκειται τριγώνῳ τε εἶναι καὶ σκαληνῷ. εἰ δὲ μὴ ταὐτὸν ἀλλ' ἕτερον, ὑπάρχει δὲ ᾗ τρίγωνον, οὐχ ᾗ σκαληνόν, ὁ δὲ ᾗ σκαληνὸν οἰόμενος εἶναι τὴν ἀπόδειξιν, οὐκ οἶδεν ὅτι καθόλου. ἀλλ' αὐτό γε τοῦτο αὖθις πῶς ἄν τις ἐξεύροι εἴτε ᾗ σκαληνὸν εἴτε ᾗ τρίγωνον ἔχει τὰς δύο ὀρθάς; τοῦτο γὰρ ἡμῖν πρὸς τὴν διάκρισιν ὧν προεθέμεθα, ὑπολείπεται. οὗ τοίνυν ἀναιρεθέντος πρώτου τῶν προσόντων τῷ πράγματι εὐθὺς καὶ τὸ κατηγορούμενον συναναιρεῖται, διὰ τοῦτο καὶ ὑπάρχειν αὐτῷ ῥητέον, οἷον τῷ τριγώνῳ τῳδὶ πρόσεστι μὲν καὶ τὸ χαλκοῦν εἶναι, πρόσεστι δὲ καὶ τὸ σκαληνόν, πρόσεστι δὲ καὶ τὸ τρίγωνον, πρόσεστι δὲ καὶ τὸ σχῆμα, πρόσεστι δὲ καὶ τὸ πέρατα ἔχειν. ζητοῦμεν τοίνυν, καθ' ὅτι τῶν προειρημένων τὸ δύο ὀρθὰς ἔχειν αὐτοῦ κατηγορεῖται. ἄφελε τοίνυν τὸ χαλκοῦν εἶναι. ἆρ' οὖν συναφήρηκας τὰς δύο ὀρθάς; οὐδαμῶς. ἄφελε καὶ τὸ σκαληνόν, ἀλλ' ἔτι ἔχει τὰς αὐτὰς γωνίας. ἄφελε καὶ τὸ τρίγωνον. ἐνταῦθα δή σοι πρῶτον τὸ κατηγορούμενον συναπόλλυται· οὐ γὰρ ἔτι ἕξει τὰς δύο ὀρθάς. ἀλλ' ἐρεῖ τις, ὅτι κἂν τὸ σχῆμα ἀφέλῃς, κἂν τὴν ἐπιφάνειαν κἂν τὰ πέρατα, καὶ τὰς δύο ὀρθὰς συναφαιρήσῃ. ἀλλ' οὐχ ᾗ ταῦτα ἀναιρεῖται, ἀλλ' ᾗ τούτοις τὸ τρίγωνον συναναιρεῖται, ἐπεί γε εἰ ἦν ἄνευ σχήματος ἢ περάτων τρίγωνον εἶναι, καὶ μένουσιν αἱ δύο ὀρθαί, κἂν ἐκεῖνα ἀφαιρεθῇ. ἀλλὰ τοῦτο μὲν οὐχ οἷόν τε. σὺ δὲ ἐπισκόπει ὅτι καὶ μενόντων ἐκείνων, λέγω δὲ τοῦ σχήματος

---

2 ἔχει δύο ὀρθὰς V  5 οἰόμενος] οἰείτω V, fort. οἴεται  11 ἀναιρεῖται V  16 Nonne ζητῶμεν?  23 ἀνέλῃς A  24 συναφαιρεῖς V  26 ἐπεί γε εἰ ην] ἐπεὶ δ' ὡς V  29 δὲ] δή V

*καὶ τῶν περάτων, ἀναιρεθέντος δὲ τοῦ τριγώνου συνανῄρηνται καὶ αἱ δύο ὀρθαί. διὰ τοῦτο ἄρα ὑπάρχουσι καὶ τούτῳ πρώτῳ καθόλου· τῶν γὰρ λοιπῶν τὰ μὲν οὐκ ἀναιρεῖ τὰς δύο ὀρθὰς ἀναιρούμενα, ὡς τὸ χαλκοῦν καὶ τὸ σκαληνόν, τὰ δὲ οὐ φυλάσσει φυλασσόμενα, ὡς τὰ σχήματα καὶ τὰ πέρατα· δύναται γὰρ σχῆμα μὲν εἶναι μὴ δύο δὲ ἔχειν ὀρθάς, οἷον τετράγωνον ἢ πολύγωνον, μόνῳ δὲ τούτῳ καὶ σωζομένῳ συσσώζεται καὶ φθειρομένῳ συναφανίζεται. καλῶς οὖν εἴρηται, οὗ πρώτου ἀφαιρεθέντος τὸ κατηγορούμενον συναναιρεῖται· συναναιρεῖται μὲν γὰρ καὶ τῷ σχήματι καὶ τοῖς πέρασιν, ἀλλ' οὐ πρώτοις.*

6 *Τούτων τοίνυν ἡμῖν διωρισμένων δῆλον, ὡς ἐκ τῶν καθόλου καὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἐστὶν ἡ ἀπόδειξις. εἰ γάρ ἐστιν ἡ ἀποδεικτικὴ ἐπιστήμη ἐξ ἀναγκαίων ἀρχῶν καὶ ἀδυνάτων ἄλλως ἔχειν, μόνα δὲ ἀναγκαῖα ὧν κατηγορεῖται τὰ καθ' αὑτὰ ὑπάρχοντα καὶ καθόλου τοῖς πράγμασι, φανερὸν ὅτι ἐκ τοιούτων τινῶν ἡ ἀπόδειξις. τούτῳ τῷ λόγῳ τινὲς παραβάλλουσιν, εἰ τὰ σώματα τῶν ζώων ἐκ ξηρῶν καὶ ὑγρῶν, σῖτος δὲ καὶ οἶνος ξηρὸν καὶ ὑγρόν, ἐκ σίτου καὶ οἴνου τῶν ζώων ἐστὶ τὰ σώματα. ἀλλ' ὦ βέλτιστε οὐκ ἀπέδειξας, ὅτι μόνα ταῦτα ξηρὰ καὶ ὑγρά, Ἀριστοτέλης δὲ πρῶτον ἀπέδειξεν, ὅτι μόνα τὰ οὕτως ὑπάρχοντα ἀναγκαῖα, καίτοι καὶ ἄλλα πολλὰ τῶν συμβεβηκότων ἀναγκαίως ὑπάρχειν τοῖς ὑποκειμένοις ἂν εἴποις, οἷον τὸ λευκὸν τῇ χιόνι, ἀλλ' ὅτι γε φύσιν ἔχει*

---

8 *πολυγώνιον* A *τούτῳ σωζομένῳ* A 9 *σώζεται* V 10 *οὗ*] *ὅτι οὗ* V 18 *ἀναγκαίως* V 19 *ὅτι ἐκ*] *οὖν ὅτι ἐκ* V. *ὅτι ἐκ τῶν* A

τισὶν ἑτέροις μὴ ἀναγκαίως ὑπάρχειν, οὐχ οὕτως ἐστὶν ἀναγκαῖον ὡς τὰ καθ' αὑτὰ καὶ τὰ καθόλου κατηγορούμενα. ἐξ ἀληθῶν μὲν γάρ ἐστι καὶ μὴ ἀποδεικνύντα συλλογίσασθαι, οἷον Καλλίας βαδίζει, πᾶς ὁ βαδίζων κινεῖται διὰ ποδῶν, ἀποδεῖξαι δ' οὐκ ἔστιν, εἰ μὴ δι' ἀναγκαίων ἀρχῶν. σημεῖον δ' ὅτι ἡ ἀπόδειξις ἐξ ἀναγκαίων· καὶ γὰρ τὰς ἐνστάσεις οὕτω φέρομεν πρὸς τοὺς οἰομένους ἀποδεικνύναι, ὅτι οὐκ ἐξ ἀνάγκης. δῆλον δὲ καὶ ἐκ τούτων, ὅτι γελοῖοι παντελῶς οἱ τῷ ἐνδόξῳ κρίνοντες τὴν πρότασιν τὴν ἀποδεικτικήν, καθάπερ ᾤετο Πρωταγόρας ἀποδεικτικὰς εἶναι προτάσεις καὶ ταύτας τὸν ἐπιστάμενον ἐπιστήμην ἔχειν, τὸν δὲ ἔχοντα ἐπιστήμην εἰδέναι, τί ἐστιν ἐπιστήμη. εἰ γὰρ καὶ τὸ ἀληθὲς οὐκ αὔταρκες πρὸς ἀπόδειξιν, ἀλλὰ δεῖ καὶ τὸ οἰκεῖον προσεῖναι καὶ τὰ ἄλλα ἃ διωρίσαμεν, σχολῇ γε τὸ πιθανὸν ἀποχρήσει.

Ὅτι δὲ ἐξ ἀναγκαίων δεῖ τὴν ἀπόδειξιν εἶναι, φανερὸν καὶ ἐκ τούτων· οὐ γὰρ εἴσεται διὰ τί τὸ συμπέρασμα ἀναγκαῖον, ὁ μὴ τὰς προτάσεις ἀναγκαίας γινώσκων· ἀλλ' ὅτι μὲν ἀναγκαῖον, ἴσως ἂν γινώσκοι, διὰ τί δ' ἀναγκαῖον, οὐκ εἴσεται· ὑπάρχει γὰρ ἐξ ἀνάγκης τὸ ζῷον τῷ ἀνθρώπῳ, ἀλλ' εἰ διότι περιπατεῖ, διὰ τοῦτό τις οἴοιτο ὑπάρχειν τὸ ζῷον, οἶδε μὲν τὸ ἐξ ἀνάγκης ὑπάρχον, διὰ τί δ' ἐξ ἀνάγκης ὑπάρχει, παντελῶς ἀγνοεῖ. ἔτι φθαρῆναι τὸν τοιοῦτον μέσον ἐνδέχεται, σῴζεσθαι δὲ τὸ τοιοῦτον συμπέρασμα. ὁ δὴ διὰ τοῦ τοιούτου μέσου γινώσκων τὸ συμπέρασμα, ἡνίκα ἂν φθαρῇ τοιοῦτος, ἀπολώλεκε

---

22 ὑπάρχειν V 25 διὰ τί] διότι A 27 τοιοῦτον om A
28 τοῦ τοιούτου] τούτου τοῦ A 29 τοιοῦτον ὂν A

*τὸ διὰ τί. καίτοι θαυμαστὸν αὐτόν τε σῶζόμενον καὶ τοῦ πράγματος σωζομένου καὶ τὸν λόγον ἔχοντα τὸν αὐτὸν μὴ ἐπίστασθαι.*

*Ὅτι μὲν οὖν τὸ συμπέρασμα ἀναγκαῖον εἶναι δεῖ τὸ ἐν ταῖς ἀποδείξεσιν, ἅπαντες ὁμολογοῦσιν, ἐγχωρεῖν δὲ αὐτό φασι καὶ ἐκ μέσου δείκνυσθαι μὴ ἀναγκαίου· ἔστι γὰρ τὸ ἀναγκαῖον καὶ μὴ ἐξ ἀναγκαίων συλλογίσασθαι, ὥσπερ καὶ μὴ ἐξ ἀληθῶν ἀληθές· ἐκ μὲν γὰρ τῶν ἀναγκαίων πάντως ἀναγκαῖον, οὐ πάντως δὲ τὸ ἀναγκαῖον ἐξ ἀναγκαίων· οὐ γὰρ ὥσπερ τὸ ἐνδεχόμενον ἐξ ἐνδεχομένων προτάσεων,*
fol. 4b. *οὕτω καὶ τὸ ἀΐδιον ἐξ ἀϊδίων. εἴρηται δὲ καὶ ὑπὲρ τούτου ἐν τοῖς περὶ συλλογισμοῦ διὰ πλειόνων. ἀλλ' οἱ ταῦτα λέγοντες ἀγνοοῦσιν ὅτι οὐχ ἁπλῶς εἶναι δεῖ τὸ συμπέρασμα ἀναγκαῖον, ἀλλὰ καὶ διὰ τὴν ἀπόδειξιν, τὸ δὲ διὰ τὴν ἀπόδειξιν οὐδὲν ἄλλο ἢ διὰ τὸν μέσον ἐστίν, οὗ μὴ ὑπάρχοντος ἐξ ἀνάγκης, οὐκ εἴσεται ἀποδεικτικῶς, οὔτ' ἂν τὸ ὅτι δεικνύῃ τις, οὔτ' ἂν τὸ διότι. ἀλλ' εἰ μὲν οἴοιτο ἀναγκαῖον αὐτὸν μὴ ὄντα, οἰήσεται καὶ ἐπίστασθαι μὴ ἐπιστάμενος· εἰ δὲ γινώσκοι τὴν φύσιν αὐτοῦ, γινώσκοι ἂν ὅτι μηδὲ ἐπίσταται. τίς δὲ ἡ διαφορὰ τοῦ ὅτι καὶ διότι κάλλιον μὲν ἐφεξῆς μαθησόμεθα, ἀποχρήσει δὲ νῦν ἐκθέσθαι παράδειγμα. ὅταν μὲν οὖν δεικνύωμεν, ὅτι τὸ κυκλοφορικὸν πέμπτον σῶμά ἐστι, τὸ ὅτι δεικνύομεν· ὅταν δὲ δεικνύωμεν, ὅτι δι' ἀντίφραξιν τῆς γῆς ἡ τῆς σελήνης γίνεται ἔκλειψις, τὸ διότι· εἰ δή τις ἄμφω ταῦτα διὰ μέσων οὐκ ἀναγκαίων δεικνύει,*

---

2 *ἔχοντος* V 4 *δεῖ τὸ*] *τὸ* om A 5 *ἐγχωρεῖ* V 7 *μὴ ἐξ*] *εἰ μὴ ἐξ* V. *ἐκ μὴ* A 12 *ὑπὲρ τούτου*] *τοῦτο* V 20 *οἰήσηται* libri *καὶ* om V 26 *τῆς γῆς*] *γῆς* A 27 *ἡ*] *ἢ* V *δή*] *δέ* A

οὐκ ἀποδεικτικῶς ταῦτα γνώσεται. εἰκότως οὖν τῶν συμβεβηκότων μὴ καθ' αὑτά, ὃν τρόπον διώρισται τὰ καθ' αὑτά, οὐκ ἔστιν ἀποδεικτικὴ ἐπιστήμη· οὐ γάρ ἐστιν ἐξ ἀνάγκης δεῖξαι τὸ συμπέρασμα· τὸ συμβεβηκὸς γὰρ ἐνδέχεται καὶ μὴ ὑπάρχειν· περὶ τοῦ τοιούτου γὰρ λέγω συμβεβηκότος.

Διὰ τί οὖν ἐρωτῶμεν ὅλως προτάσεις τοιαύτας, εἰ μηδὲν συνάγουσιν ἀναγκαῖον; ἢ κἂν μὴ γίγνηται κατὰ φύσιν αὐτοῦ τὸ συμπέρασμα ἀναγκαῖον ἐπὶ ταῖς ἀπὸ τοῦ συμβεβηκότος προτάσεσιν, ἀλλ' ἕπεται ἐξ ἀνάγκης τῷ τὰς προτάσεις ἐκείνας θεμένῳ; ἀλλ' ἴσως τὸ μὲν ἐρωτᾶν οὐδ' ἀποδεικτικὸν ὅλως ἐστίν· οὐ γὰρ ἐκ τοῦ δοθῆναι τὴν πρότασιν ἢ μὴ δοθῆναι τὸν ἐπιστημονικὸν ἠρτῆσθαι προσήκει συλλογισμόν, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων. μᾶλλον δὲ ἐπισκεπτέον ὅσα καθ' αὑτὰ ὑπάρχει περὶ ἕκαστον γένος ὑπὲρ ὧν ποιούμεθα τὰς ἀποδείξεις· ἐκ γὰρ τῶν τοιούτων καὶ περὶ τῶν τοιούτων εἰσὶν οἱ κατ' ἐπιστήμην συλλογισμοί, τὰ δ' ἄλλως συμβεβηκότα οὐκ ἀναγκαῖα, οὐ μόνον δὲ τὰ ἐνδεχόμενα καὶ μὴ ὑπάρχειν, ἀλλὰ καὶ ὅσα ἀεὶ συνυπάρχει μὴ καθ' αὑτὰ δέ, ἐπεὶ καὶ οἱ διὰ σημείων συλλογισμοὶ λαμβάνουσι μὲν τοὺς μέσους ἀεὶ τῷ πράγματι συνυπάρχοντας· ἀεὶ γὰρ τὸ γάλα ἔχειν ὑπάρχει τῷ τετοκέναι, καὶ ὁ καπνὸς τῷ πυρί, ἀλλ' ὅμως οὐδὲ τούτους κυρίως ἀποδεικτικοὺς εἴποιμεν ἄν, ὅτι δι' ὑστέρων τὸ πρότερον συλλογίζονται. ὅτι μὲν οὖν καὶ ἀναγκαίας εἶναι δεῖ τὰς προτάσεις, εἴρηται καὶ πλείω τῶν ἱκανῶν· ὅτι δὲ καὶ οἰκείας, δῆλον ἐκ τούτων.

---

5 τοῦ om V. conf. var. lect. Arist. p. 75, 21. 8 γίγνηται] ἡγήσηται A 11 τὰς om V 12 οὐδ'] οὐδὲν V 16 σκεπτέον A 17 γὰρ τῶν] τῶν om A 20 ἀναγκαῖον V

7 *Εἰ γὰρ δεῖ καὶ τὸ μέσον τῷ τρίτῳ καὶ τὸ πρῶτον τῷ μέσῳ καθ' αὑτὸ ὑπάρχειν, δῆλον ὡς οὐκ ἔστιν ἐξ ἄλλου γένους εἰς ἄλλο γένος μεταβῆναι τὰς ἀποδείξεις οὐδ' ἐφαρμόσαι τὰς γεωμετρικὰς ταῖς ἀριθμητικαῖς· τὰ γὰρ καθ' αὑτὰ ὑπάρχοντα ἐκ τῆς αὐτῆς φύσεως καὶ τοῦ αὐτοῦ γένους, εἴπερ ἐκ τῆς οὐσίας ἑκάστου· ἄνωθεν γὰρ μικρὸν ἀναλαβοῦσι ῥητέον. ἐπειδὴ τρία ἐστὶ τὰ ἐν ταῖς ἀποδείξεσιν, ἓν μὲν ὃ δείκνυται ὑπάρχειν ἢ μὴ ὑπάρχειν, τοῦτο δ' ἐστὶ τὸ κατηγορούμενον ἐν τῷ συμπεράσματι, ἓν δὲ τὰ ἀξιώματα ἐξ ὧν δείκνυται, αὗται δ' εἰσὶν αἱ προτάσεις ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων, τρίτον δὲ τὸ γένος τὸ ὑποκείμενον καὶ ἡ φύσις ἧς τὰ πάθη καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα δεικνύουσιν αἱ ἀποδείξεις, οἷον ἀριθμὸς ἢ μέγεθος· ἐπισκέψασθαι δὲ δεῖ, πότε καὶ πῶς ἂν ἐνδέχοιτο μεταβαίνειν τὰς ἀποδείξεις. δῆλον τοίνυν ὅτι ὅσων μὲν τὰ γένη ἐστὶ παντελῶς κεχωρισμένα, ὥσπερ ἀριθμητικῆς καὶ γεωμετρίας, οὐκ ἔστι τὴν ἀριθμητικὴν ἀπόδειξιν ἐφαρμόσαι ἐπὶ τὰ τοῖς μεγέθεσι συμβεβηκότα, τὸ δὲ ἐφαρμόσαι λέγω χρήσασθαι τοῖς ἀποδεδειγμένοις τὰ κατ' ἄλλην ἐπιστήμην ἀποδεικνύμενα· ἐφ' ὧν δ' ἐστὶ κοινωνία τοῖς γένεσι καὶ οὐ παντελῶς αἱ φύσεις ἀλλήλων εἰσὶ κεχωρισμέναι αἱ ταῖς ἐπιστήμαις ὑποκείμεναι, ἔνεστι συγχρήσασθαι ἐπὶ τῶν τοιούτων τοῖς τῆς ἑτέρας ἀξιώμασι τὴν ἑτέραν· οὕτω γὰρ ἔχει πρὸς γεωμετρίαν μὲν ὀπτική· συγγενῆ γὰρ τὰ ὑποκείμενα ἀμφοτέραις, μᾶλλον δ' ἐστὶ θάτερον ὑπὸ θάτερον, εἴγε εὐθεῖαι καὶ αἱ γωνίαι καὶ τὸ παράλληλα εἶναι καὶ τὸ συμ-*

---

2 *δῆλον*] post hoc vocabulum defecit pagina in V 9 Fort. *ὑπάρχον ἢ μὴ ὑπάρχον* 15 *δὲ* fort. del.

πίπτειν καὶ πάντα οἷς χρῆται ὁ ὀπτικός, ἐκ γεωμετρίας ἐστί, καὶ τὰς ἀρχὰς αὐτῆς παρ' ἐκείνης λαμβάνει. ὁμοίως καὶ πρὸς τὴν ἀριθμητικὴν ἡ ἁρμονικὴ φαίνεται ἔχουσα· τὸ γὰρ διπλάσιον καὶ ἐπίτριτον καὶ ἡμιόλιον ἐκεῖθεν ἥκει τοῖς διαστήμασιν, ἀλλὰ καὶ ἡ ἰατρικὴ πολλαχοῦ σύγχρηται φυσικαῖς ἀποδείξεσι· τὸ γὰρ ἀνθρώπειον σῶμα περὶ ὃ πραγματεύεται ὑπὸ τὸ φυσικὸν σῶμά ἐστιν. ὅτι δὲ ταῦτα ἀληθῆ λέγομεν, δῆλον γένοιτ' ἂν ἐντεῦθεν· ὁ γὰρ γεωμέτρης οὐχ ὅπως, εἴ τι παντελῶς εἴη κεχωρισμένον τῶν γραμμῶν καὶ τῶν ἐπιπέδων, δύναιτ' ἂν ὑπὲρ αὐτοῦ γεωμετρικῶς ἀποδεῖξαι, οἷον ὅτι τῶν ἐναντίων μία ἐπιστήμη, ἀλλ' οὐδὲ ὅσα ταῖς γραμμαῖς ὑπάρχει καὶ τοῖς ἐπιπέδοις, μὴ καθ' αὐτὰ δὲ μηδὲ ᾗ γραμμαὶ καὶ ἐπίπεδα, ἀλλ' ἔξωθεν τῆς οὐσίας, οὐδ' ὑπὲρ τούτων ἔχει λόγον δοῦναι, οἷον εἰ καλλίστη τῶν γραμμῶν ἡ εὐθεῖα, ἢ εἰ μᾶλλον ἀντίκειται τῇ περιφερεῖ τῆς κεκλασμένης· οὔτε γὰρ περὶ καλοῦ τι, οὔτε περὶ ἐναντίου προσήκει λέγειν τῷ γεωμέτρῃ καθὸ γεωμέτρης· κοινὰ γὰρ ταῦτα καὶ πλείοσιν ὑπάρχοντα γένεσιν, ὥστε παρατηρητέον εἰς τὰς ἀποδείξεις καὶ τοὺς τόπους ἐκείνους τοὺς πολυχρήστους, οὓς ἐν τοῖς διαλεκτικοῖς παρειλήφαμεν, λέγω δὲ τούς τε ἀπὸ τῶν ἀντικειμένων καὶ τῶν ὁμοίων καὶ τῶν συστοίχων· πολύκοινοι γὰρ καὶ οὐδὲν ἔχοντες οἰκεῖον οὐδὲ προσεχὲς ἑνὶ γένει. πῶς οὖν λέγομεν εἶναι κοινά τινα ἀξιώματα, οἷον ἀπὸ ἴσων ἴσα, καὶ ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν; ἢ οὐδὲ τούτοις ὡς κοινοῖς χρῶνται, ἀλλ' ἑκάστη προσοικειοῦται αὐτὰ τῇ τῆς fol. 5. ὕλης οἰκείᾳ προσθήκῃ, γεωμετρία μὲν ἂν ἀπὸ ἴσων

14 γραμμὴ A 30 τρία μὲν ἂν] hic incipit denuo V

μεγεθῶν, ἀριθμητικὴ δὲ ἂν ἀπὸ ἀριθμῶν, καὶ τὸ τῆς ἀντιφάσεως ὁμοίως; λέγει γὰρ ἑκάστη συμπλέκουσα τὸ γένος περὶ ὃ πραγματεύεται, οἷον ἀριθμὸς περιττός ἐστιν ἢ οὐκ ἔστιν· οὐκ ἄρα αὔταρκες πρὸς ἀπόδειξιν τὸ τὰς προτάσεις ἀληθεῖς εἶναι, οὐδὲ μὴν τὸ ἀναποδείκτους τε καὶ ἀμέσους, ἀλλὰ δεῖ καὶ οἰκείας εἶναι καὶ μὴ πλείοσι γένεσιν ἐφαρμόζειν. διὰ τοῦτο τὸν Βρύσωνος τετραγωνισμὸν οὐκ ἄν τις εἴποι γεωμετρικὴν ἀπόδειξιν· χρῆται γὰρ ἀξιώματι ἀληθεῖ μὲν κοινῷ δέ· τοιοῦτον γὰρ τὸ ὧν τὰ αὐτὰ μείζω τε καὶ ἐλάττω, ἐκεῖνα εἶναι ἴσα ἀλλήλοις· οὐ γὰρ ἐπὶ μεγέθους μόνον ἀλλὰ καὶ ἐπὶ ἀριθμοῦ καὶ χρόνου καὶ ἐπ' ἄλλων πολλῶν ἀληθὲς τὸ ἀξίωμα.

Τί οὖν ἐστιν ὃ προσλαμβάνων ὁ Βρύσων ᾤετο τετραγωνίζειν τὸν κύκλον, οὐδὲν μὲν πρὸς τὸν παρόντα λόγον ἐστί, τῶν φιλομαθῶν δ' ἕνεκα εἰρήσθω. ὁ κύκλος φησὶ τῶν ἐγγραφομένων πολυγώνων ἁπάντων μείζων ἐστί, τῶν περιγραφομένων δ' ἐλάττων, ὁμοίως δὲ καὶ τὸ πολύγωνον τὸ μεταξὺ γραφόμενον τῶν τε ἐγγραφομένων καὶ τῶν περιγραφομένων τῷ κύκλῳ, τῶν αὐτῶν ἄρα μείζων τε καὶ ἐλάττων ἐστὶν ὅ τε κύκλος καὶ τουτὶ τὸ πολύγωνον, ὥστε καὶ ἀλλήλοις ἴσα διὰ τὸ ἀξίωμα τὸ εἰρημένον. ἀλλὰ τὸ ἀξίωμα τοῦτο ἀληθὲς μέν ἐστιν, εἰ δὲ βούλει, καὶ ἄμεσον καὶ ἀναπόδεικτον, ἀλλ' οὐκ ἔχει σοι τὴν ἀρχὴν ὁ συλλογισμὸς οἰκείαν τῷ δεικνυμένῳ· οὐδὲ γὰρ λαμβάνεις ᾗ κύκλος ἐστίν, οὐδὲ ᾗ μέγεθος. ὁμοίως οὖν ἐπὶ τοῖς ἀπὸ τῶν συμβεβηκότων συλλογιζομένοις· καὶ γὰρ ἐκεῖνοι τὰ λήμματα τῆς φύσεως τῆς ὑποκειμένης ἀπηρτημένα λαμβάνουσιν, ὁ δὲ ἀληθῶς τε καὶ

6 τε om A 14 τί] immo ὅ τι 19 δὲ om A 30 ἀπηρτισμένα A ἀληθινῶς A

μὴ κατὰ συμβεβηκὸς ἐπιστάμενος ἐκ τῶν ἀρχῶν τῶν ἐκείνου καὶ ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἐπίσταται, ἐφ' ὧν ἀνάγκη τὸν μέσον ὅρον καὶ τὴν πρότασιν τὴν συνέχουσαν τὸν συλλογισμὸν ἤτοι γε ἐκ ταὐτοῦ καὶ ἑνὸς εἶναι γένους παντάπασιν, ἢ συγγενοῦς τε καὶ μὴ πόρρω διεστηκότος, ὥσπερ ἔφαμεν ἔχειν τὰ σύμφωνα διαστήματα πρὸς τοὺς ἀριθμούς. διὰ τοῦτο γὰρ οἷά τε χρῆσθαι ἁρμονικὴ προτάσεσιν ἀριθμητικαῖς· ἅπασαι γὰρ αἱ τοιαῦται τὸ μὲν ὅτι φέρουσι παρ' ἑαυτῶν, οἷον ὅτι σύμφωνον τὸ διὰ τεσσάρων διάστημα, καὶ ὅτι συμπίπτειν φαίνονται πόρρωθεν αἱ παράλληλοι, τὸ δὲ διότι παρὰ τῶν ἀνωτέρω λαμβάνουσι· διὰ γὰρ τὸν ἐπίτριτον λόγον σύμφωνον τὸ διὰ τεσσάρων, καὶ διὰ τὰς ἐλάττους γωνίας συμπίπτουσιν αἱ παράλληλοι, διαφέρουσι δὲ αἱ τοιαῦται ἀποδείξεις τῶν ἓν τὸ γένος ἐχουσῶν ἀκριβῶς, ὅτι ἐπ' ἐκείνων μὲν οἱ τρεῖς ὅροι συμφυεῖς, ἐπὶ τούτων δὲ τὸ μὲν συμπέρασμα τῆς ὑποβεβηκυίας ἐστὶν ἐπιστήμης, τὸ δὲ μέσον τῆς ἀνωτέρας· τὸ γὰρ ἡμιόλιον ἀριθμοῖς ὑπάρχει καθ' αὑτό, διόπερ σύμφωνον τὸ διὰ πέντε διάστημα.

Φανερὸν δὲ καὶ ἂν ὦσιν αἱ προτάσεις καθόλου 8
ἐξ ὧν ὁ συλλογισμός, ὅτι ἀνάγκη καὶ τὸ συμπέρασμα ἀΐδιον εἶναι τῆς τοιαύτης ἀποδείξεως· αἱ γὰρ προτάσεις ἀΐδιοι καὶ ἀναγκαῖαι, ἐξ ἀναγκαίων δὲ ἀναγκαῖον καὶ ἐξ ἀϊδίων ἀΐδιον.

Ἐνταῦθα τοίνυν ἐπισκεπτέον τὸ συμπέρασμα, πῶς πρῶτον καθόλου, ἐφ' ὧν αἱ προτάσεις πρότεραι

---

2 καὶ ἐκ] ἐκ om A  8 χρῆται A  19 scrib. ἀνωτέρω  23 καὶ ὅτι ἂν V  24 τοιαύτης] αὐτῆς A  28 πρῶτον] ἔσται V

καθόλου· οὐ γὰρ ἂν τὸ πρῶτον ὑπάρχοι ἐν τῷ συμπεράσματι, εἰ προτέροις ὑπάρξει τοῖς λήμμασιν, ἢ πρῶτον μὲν οὐκ ἀεὶ τὰς προτάσεις ἀναγκαῖόν ἐστιν εἶναι καθόλου; καὶ γὰρ εἴρηται ἐὰν ὦσιν, οὐχ ὅτι δεῖ πάντως εἶναι τοιαύτας, ἔπειτα ἐπὶ τῶν τοιούτων οὐδὲν κωλύει μὴ τὸ φύσει καὶ καθόλου πρῶτον ὑπάρχειν ἐν τῷ συμπεράσματι, ἀλλὰ τὸ πρῶτον τῶν δυναμένων ἀποδειχθῆναι, καὶ ἴσως ἀντιλέγων τοῦτο λέγει ὁ Ἀλέξανδρος, ἄμεινον δὲ μὴ σφόδρα ἀκριβολογεῖσθαι μηδὲ διαιρεῖσθαι νομίζειν Ἀριστοτέλην οὕτω τὸ καθόλου μὲν ἐν τῷ συμπεράσματι δεῖν ὑπάρχειν, τὸ καθ' αὑτὸ δὲ ἐν ταῖς προτάσεσιν· οὔτε γὰρ διαρρήδην που καὶ φανερῶς τοῦτο εἴρηται, οὔτε δυνατὸν σώζεσθαι τὸ καθόλου πρῶτον ἐν τῷ συμπεράσματι, εἴγε ἐκ τῶν καθόλου δεικνύοιτο. δῆλον γὰρ ὡς ἀνάγκη τὸ κατηγορούμενον τῷ μέσῳ πρῶτον ὑπάρχειν, τὸ δὲ ὡς ἀποδεικτὸν πρῶτον οὕτως εἶναι τὸ συμπέρασμα καθόλου. περὶ μὲν οὖν τοῦ πρώτου συμπεράσματος ὃ συνάγεται ἐκ τῶν ἀμέσων προτάσεων ἴσως ἂν λέγοιτο πιθανῶς, περὶ δὲ τῶν ἐφεξῆς καὶ ἐκ προδεδειγμένων συναγομένων πῶς ἂν ἔτι χώραν ἔχοι, λοιπόν· οὐδὲ γὰρ ὡς ἀποδεικτὰ πρῶτα ἐκεῖνα, ὥστε ἢ πάσας τὰς τοιαύτας ἀποδείξεις παραγραπτέον τοὺς τὸ καθόλου νομίζοντας ἐξ ἀνάγκης ὑπάρχειν τῷ συμπεράσματι, ἢ συγχωρητέον καὶ τὸ καθόλου περὶ τῶν προτάσεων λέγεσθαι, καθάπερ τὸ καθ' αὑτό, καὶ περὶ προτάσεων δὲ τῶν πρώτων καὶ ἀναποδείκτων, εἰς ἃς ἀνάγεται ἡ ἀπόδειξις· ἡ γὰρ ἀκρίβεια τῆς ἀποδείξεως ἐν τοῖς λήμμασι, τῷ δὲ συμπεράσματι ἀποχρήσει τὸ ἐκ τοιούτων συνάγεσθαι

8 ἀντιλέγοι τοῦτο λέγων V 10 διαιρεῖσθαι] διορίζεσθαι V 17 ἀποδεικτικὸν V 23 περιγραπτέον V 30 ἀνάγεσθαι V

πρὸς τὸ γίνεσθαι ἀναγκαῖον τὸν συλλογισμόν. τοῦτο καὶ αὐτὸς Ἀριστοτέλης δῆλον ποιεῖ· εἰπὼν γὰρ ὅτι ἐὰν ὦσιν αἱ προτάσεις καθόλου, οὐχ ὅτι ἐστὶ καθόλου καὶ τὸ συμπέρασμα, ἐπενήνοχεν, ἀλλ' ὅτι ἀΐδιον. ἢ τοίνυν ταῦτα ῥητέον, ἢ ὅτι δυνατὸν ἄμφω καθόλου ὑπάρχειν καὶ τὸ ἐν τῷ συμπεράσματι δεικνύμενον καὶ τὸ δι' οὗ δείκνυται, οἷον τῷ τριγώνῳ καὶ τὸ δύο ἔχειν ὀρθὰς ὅπερ ἐστὶ τὸ δεικνύμενον, καὶ τὸ τὴν ἐκτὸς ἴσην εἶναι δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον, ὅπερ ἐστὶ δι' οὗ δείκνυται. ταῦτα μὲν οὖν ἀναγκαῖον ἦν διὰ τὸ χρήσιμον ἐξεργάσασθαι.

Οὔ φησι δὲ ἀκολουθεῖν Ἀριστοτέλης τῷ τὴν ἀπόδειξιν εἶναι τῶν καθόλου καὶ ἀϊδίων συγχωρεῖν εἶναι τὰς ἰδέας· οὐδὲ γὰρ καθόλου ποιοῦσι τὰς ἰδέας οἱ τιθέντες, οὔτε ἐν τοῖς καθ' ἕκαστον ὑφεστώσας, ὥσπερ τὸ καθόλου, ἀλλ' ἓν ἑκάστην παρὰ τὰ πολλὰ κεχωρισμένην οὖσαν καθ' ἑαυτήν, δι' ἣν καὶ fol. 5b. τὰ πολλὰ εἶναι νομίζουσιν, ἐπεὶ τὸ μὲν καθόλου συνωνύμως κατηγορεῖται τῶν καθ' ἕκαστον, τῶν δὲ ἰδεῶν ὁμωνύμως τὰ καθ' ἕκαστον μεταλαμβάνει. τὰς μὲν οὖν ἰδέας διὰ ταῦτα οὐκ ἀνάγκη εἶναι, εἴπερ ἀπόδειξις ἔσται· τὸ καθόλου δὲ ἀναγκαῖον· ἄλλως γὰρ οὐχ οἷόν τε τὸ μέσον θηρεύειν.

Ἐκεῖνο δὲ φανερόν, ὡς εἴπερ ἀΐδιον εἶναι δεῖ τὸ συμπέρασμα ἐν ταῖς ἀποδείξεσιν, οὐδενὸς ἀπόδειξις ἔσται τῶν φθαρτῶν οὐδ' ἐπιστήμη ἁπλῶς, ἀλλ' οὕτως ὅτι οὐ καθόλου αὐτοῦ ἐστι. πῶς γὰρ ἂν γένοιτο ἀΐδιον ἔτι τὸ συναγόμενον, ἐν ᾧ τὸ φθαρτὸν ὑποκείμενον περιέχεται, ᾧ μήτε ἀεὶ τὸ κατηγορού-

2 γὰρ ὅτι] dele ὅτι 10 οὖν om V 12 ἀνακολουθεῖν A 14 οὐδὲ] fort. οὔτε vid. Arist. cap. 11. 22 τὸ καθόλου] fort. ἔσται τῶν καθόλου, τὸ καθόλου

μενον ὑπάρχει μήτε ἁπλῶς, ἀλλὰ ποτὲ καὶ πώς; οἷον τῷ Σωκράτει τὸ ζῷον εἶναι· νῦν γὰρ καὶ οὐχ ὅτι Σωκράτης, ἀλλ' ὅτι ἄνθρωπος. ἔπειτα δὲ οὐδὲ αἱ προτάσεις ἕξουσι τὸ καθόλου. λοιπὸν ἔτι καὶ τὸ καθ' αὑτό, εἴπερ τὸ συμπέρασμα φθαρτὸν τὸ πρῶτον, ἀλλ' ἀνάγκη τὴν ἑτέραν αὐτῶν εἶναι φθαρτὴν καὶ μὴ καθόλου. ὥσπερ δὲ ἀπόδειξις οὐκ ἔστιν οὐδενὸς τῶν φθαρτῶν, οὕτως οὐδὲ ὁρισμός ἐστι τῶν φθαρτῶν· ὁ γὰρ ὁρισμὸς ἢ ἀρχὴ ἀποδείξεως ἢ ἀπόδειξις θέσει διαφέρουσα ἢ συμπέρασμα ἀποδείξεως· ἀρχὴ μὲν ἀποδείξεως, ὅταν ἢ ὡς πρότασις ἄμεσος ἢ ὡς ὅρος ἐν προτάσει λαμβάνηται· θέσει δὲ διαφέρουσιν ἀποδείξεως οἱ τὴν αἰτίαν ἔχοντες ὁρισμοί, οἷον τί ἐστιν ἔκλειψις ἡλίου; ἐπισκότησις φωτὸς δι' ὑποδρομὴν σελήνης· τοῦτον γὰρ ἔνεστι μεταθέντας τὸν ὁρισμὸν ἀπόδειξιν ποιῆσαι, οἷον ἡ σελήνη τὸν ἥλιον ὑποτρέχει, τὸ ὑποτρέχον ἐπισκοτεῖ· συμπεράσματα δὲ ἀποδείξεων εἰσὶν οἱ τὴν ὑλικὴν αἰτίαν παραλαμβάνοντες ὁρισμοί. ἀλλὰ περὶ μὲν τῶν ὁρισμῶν ἀκριβέστερον ἐν τοῖς ἐφεξῆς μαθησόμεθα.

Αἱ δὲ τῶν πολλάκις γινομένων ἀποδείξεις καὶ ἐπιστῆμαι, οἷον σελήνης ἐκλείψεως, πῶς ἂν εἶεν ἀποδείξεις; ἡ γὰρ ἔκλειψις οὐκ ἀΐδιον· ἢ καὶ ἐπὶ τούτων εἶδός τι κοινὸν φαίνεται τῶν κατὰ τὴν ὁμοίαν περίοδον γινομένων; οὐ γὰρ ἐπὶ μιᾶς καὶ τῆσδε τῆς ἐκλείψεως τῆς κατὰ τήνδε τὴν ὥραν συμβάσης γίνεται ἡ ἀπόδειξις, ἀλλ' ἐπὶ τῆς τοιαύτης ἁπάσης, ἣν διὰ τὰς τοιαύτας αἰτίας ἀεὶ γίνεσθαι ἀναγκαῖον. οὕτως οὖν καὶ ἐπὶ τούτου τὸ καθόλου

---

3 δὲ om V  5 τὸ πρῶτον] ἔσται V  12 διαφέροντες A 18 ὑλικὴν om V  21 πολλάκις] πολλῶν V  23 ἀπόδειξις V 72 τοιαύτης] τοιᾶσδε V  28 τὰς τοιαύτας] τῆς τοιαύτης V

δείκνυται οὐ τὸ καθ' ἕκαστον, εἰ μὴ ἄρα οὕτω τὸ καθέκαστον, ὅτι ὑπὸ τὸ καθόλου, καθάπερ καὶ ἐπὶ τῶν φθαρτῶν ἀποδείκνυμεν. πῶς μὲν οὖν τὸ καθ' αὑτὸ καὶ τὸ καθόλου δεῖ προσεῖναι ταῖς ἀποδείξεσιν, εἰρήσθω τοσαῦτα· πάλιν δὲ ἄλλην ἀρχὴν ποιησαμένοις ῥητέον.

Εἰ γὰρ ἐκ προτέρων πᾶσα ἀπόδειξις, δῆλον ὡς 9 οὐκ ἔστιν οὐδεμιᾶς ἐπιστήμης τὰς ἑαυτῆς ἀρχὰς ἀποδεῖξαι· οὐ γὰρ ἔτι ἔσονται ἐκεῖναι ἀρχαί, εἰ δι' ἑτέρων προτέρων ἀποδείκνυνται, ἃς εἰ μὲν καὶ αὐτὰς πάλιν ἀποδεικνύειν ἀνάγκη, ἐπ' ἄπειρον οὕτω προήξομεν· εἰ δὲ τίθεσθαι ὡς ἐναργεῖς, ἐκεῖναι δήπουθεν ἂν εἶεν ἀρχαὶ καὶ ὁ ταύτας εἰδὼς τὰς ἀρχὰς καὶ ἐκ τούτων ἀποδεικνὺς μᾶλλον οἶδε τοῦ τὰς ὑστέρας γινώσκοντος κἀκείναις χρωμένου. ἆρ' οὖν οὐκ ἔστιν οὐδαμῶς ἀποδεῖξαι τὰς γεωμετρικὰς ἀρχὰς οὐδὲ τὰς ἀριθμητικὰς οὐδὲ τὰς μουσικὰς οὐδὲ τὰς τῶν ἄλλων ἐπιστημῶν; ἢ ἔστι μέν, οὐκ ἐκείνης δὲ τῆς ἐπιστήμης τῆς ὡς ἀρχαῖς αὐταῖς κεχρημένης· οὐδὲ γὰρ ἂν δύναιτο ἐκείνη τῶν ἀρχῶν ἀρχὰς ἑτέρας ποιεῖσθαι, ἀλλά τινος ἑτέρας πασῶν ἀνωτέρας, ὑφ' ἣν εἰσιν αἱ πᾶσαι ἐπιστῆμαι· οὕτω γὰρ ἔσται δυνατὸν αὐταῖς κεχρῆσθαι ταῖς ἐφεξῆς, εἰ ἔσονται ἅπασαι ὑπ' ἐκείνην, ὥσπερ καὶ ὑπὸ τὴν γεωμετρίαν ἡ ὀπτική· ἄλλως γὰρ ἀμήχανον, εἴπερ ἐξ οἰκείων καὶ συγγενῶν ἡ ἀπόδειξις. αὕτη δ' ἐστὶν ἡ πολυΰμνητος σοφία, καὶ ταύτην ἁπλῶς ἐπιστήμην κλητέον καὶ μάλιστα ἐπιστήμην, ἣ τὰ πρῶτα ἁπάν-

3 ἀπεδείκνυμεν V  9 οὐ γὰρ] οὐδὲ A  10 ἀποδεικνύοιντο V  13 ἂν om V  16 οὐδαμῶς om V  17 μουσικὰς] μονάδας V  22 ἔσται] ἔστι V  26 καὶ ταύτην] ἣν καὶ αὐτὴν A

των αἴτια θεωρεῖ καὶ τὰ μάλιστα αἴτια· μάλιστα γὰρ αἴτια ὧν οὐδὲν αἴτιον.

Διὰ ταῦτα δὴ πάντως εἰκότως χαλεπόν ἐστι τὸ γνῶναι, εἰ κατ' ἐπιστήμην ἴσμεν ἢ μή· χαλεπὸν γὰρ τὸ γνῶναι εἰ ἐκ τῶν οἰκείων ἑκάστου ἀρχῶν ἴσμεν ἢ οὔ, ὅπερ ἐστὶ τὸ εἰδέναι καὶ τὸ κατ' ἐπιστήμην. ἀλλ' ἐὰν εὕρωμεν ἀληθῆ μόνον τὰ λήμματα, εὐθὺς ἀποδεικτὸν ἡγούμεθα τὸν συλλογισμόν, τὸ δ' οὐκ ἔστιν, ἀλλὰ δεῖ συγγενεῖς εἶναι τὰς ἀρχὰς τοῖς δεικνυμένοις καὶ ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων.

10 Λέγω δὲ ἑκάστου γένους ἀρχὰς ἃς ὅτι εἰσὶ τίθεσθαι ἀναγκαῖον, ἀποδεῖξαι δὲ οὐκ ἐνδέχεται· δυοῖν γὰρ ὄντοιν ἃ προγινώσκειν ἀναγκαῖον ἐφ' ἁπάσης μαθήσεως λογικῆς, ὅτι τέ ἐστι καὶ τί σημαίνει, τί μὲν οὖν σημαίνει προεγνωκέναι οὐκ ἐπὶ τῶν ἀρχῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐξ αὐτῶν δεικνυμένων ἐστὶν ἀναγκαῖον, εἴπερ ἀναγκαῖον συνιέναι τῆς ἀποδείξεως· τὸ δ' ὅτι ἔστιν ἐπὶ μὲν τῶν ἀρχῶν προειδέναι, ἐπὶ δὲ τῶν ἑξῆς ἀποδεικνύναι· μᾶλλον δὲ οὕτω διαιρετέον.

Ἐπειδὴ τρία ἐστίν, ὑπὲρ ὧν ἑκάστη πραγματεύεται ἐπιστήμη, τό τε ὑποκείμενον γένος οἷον ἀριθμὸς ἢ μέγεθος, καὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα τούτῳ, οἷον τὸ ἄρτιον καὶ τὸ περιττόν, ἢ τὸ δύο ὀρθὰς ἔχειν, ἢ τὸ συμπίπτειν, καὶ πρὸς τούτοις τὰ ἀξιώματα, οἷον ἐὰν ἴσα ἀπὸ ἴσων· ὅτι μὲν ἔστι τὸ γένος ὑποτίθεσθαι δεῖ, τί δὲ σημαίνει τὰ ὑπάρχοντα καθ' αὑτά, ἄμφω δὲ καὶ ὅτι ἔστι καὶ τί σημαίνει, τὰ ἀξιώματα.

---

4 εἰ] εἴτε V  8 ἀποδεικτὸν Brandis, ἀποδεικτικὸν libri 11 εἰσὶ] ἔστι Aristot. libri?  13 ὄντων A  23 ἢ om A  24 καὶ] ἢ V

διὰ τί οὖν ἐπ' ἐκείνων μὲν ἑκάστου θάτερον, ἀμφότερα δ' ἐπὶ τούτων; ὅτι διὰ τῶν ἀξιωμάτων ἐκεῖνα συνάπτομεν πρὸς ἄλληλα καὶ συνάγομεν, ἔνια μέντοι περιττὸν ὑποτίθεσθαι, ὅταν ᾖ φανερὰ καὶ λίαν ἐναργῆ, οἷον τὴν ὑποκειμένην φύσιν ὅτι ἔστιν, ὅταν ᾖ σφόδρα γνώριμος καὶ παιδὶ φασίν· οὐ γὰρ ὑποτίθεται ὁ φυσικὸς εἶναί τι θερμὸν ἢ ψυχρόν, οὐδὲ ὁ ἰατρὸς εἶναί τι ἀνθρώπειον σῶμα, ἀλλ' ὅ γε ἀριθμητικὸς ἀριθμὸν ὑποτίθεται καὶ μονάδα· οὐ γὰρ ὁμοίως fol. 6 ἐκφανὴς ἡ τούτων οὐσία. πάλιν δ' ἕτεροι τὸ τί σημαίνει παρίασιν, ὅταν ἔκδηλον ᾖ· γελοῖον γὰρ τὰ φανερὰ ἐξηγεῖσθαι. οὐκ αἰτούμεθα δὲ εἶναί τινα ἀξιώματα δι' αὑτῶν πιστὰ καὶ ἐναργῆ καὶ δοκοῦντα εἶναι τοιαῦτα· δοκοῦντα δὲ ὅταν λέγω, οὐ πάντως λέγω συγχωρούμενα καὶ διδόμενα· πάνυ γὰρ ἂν εἴη ὀλίγα τὰ ἀξιώματα, εἰ ταύτῃ κρίνοιτο. παντὶ γὰρ ἔστιν ἐνστῆναι κατὰ τὸν ἔξωθεν λόγον, ἀλλὰ κατὰ τὸν ἔνδον γε οὐ παντί· καὶ γὰρ τὸ καταλείπεσθαι ἴσα ἴσων ἀφαιρεθέντων ἐρίζων ἄν τις ἐνσταίη, ἀλλ' ἡ γλῶττα τούτου φιλονεικεῖ κατ' Εὐριπίδην, ἡ φρὴν δὲ οὐδαμῶς οὐδ' ἡ ψυχή. ἡ δὲ ἀπόδειξις οὐ πρὸς τὸν ἔξω λόγον ἀλλὰ πρὸς τὸν ἐν τῇ διανοίᾳ. οὐ τοίνυν ἐξ ὧν φθέγγονται, κριτέον τὰ ἀξιώματα ἀλλ' ἐξ ὧν ὑπολαμβάνουσι· πολλάκις γὰρ ἄλλα μὲν φθεγγόμεθα, ἄλλα δὲ νοοῦμεν, ὥσπερ οὐδ' οἱ γεωμέτραι κέχρηνται ταῖς γραμμαῖς, ὑπὲρ ὧν διαλέγονται καὶ δεικνύουσιν, ἀλλ' ἃς ἔχουσιν ἐν τῇ ψυχῇ, ὧν εἰσὶ σύμβολα αἱ γραφόμεναι. κἂν τοίνυν λέγωσι ποδιαίαν τὴν οὐ ποδιαίαν

---

2 ὅτι] ὅτι δὲ καὶ V 4 καὶ λίαν] λίαν καὶ A 10 δ' om V 12 τινα] τινα τὰ V 13 καὶ ἐναργῆ om V 16 παντὶ] πάντῃ? et paulo post, ἀεὶ dicit Arist. p. 76 b. 26 20 Εὐριπίδην] Hippolyt. v. 612.

ἢ ἰσόπλευρον τὸ οὐκ ἰσόπλευρον, οὐχ οἷς γράφουσι προσεκτέον, ἀλλ' οἷς νοοῦσι· τούτοις γὰρ χρῶνται πρὸς τὴν ἀπόδειξιν· πρὸς μὲν γὰρ τὸ συμπέρασμα τὴν καθόλου γραμμὴν ἔχουσιν, ἐπιδεικνύουσι δὲ τὴν ἐξεσμένην· οὐ γὰρ ἂν ἄλλως σοι τὴν ἀληθινὴν ἐνσημαίνοιντο.

11 Ὅτι δέ ἐστι τὰ ἀξιώματα λίαν ἐναργῆ, φανερόν. τί γὰρ ἐναργέστερον τοῦ μηδὲν ἐνδέχεσθαι τὸ αὐτὸ ἅμα καταφάναι καὶ ἀποφάναι; οὕτω γὰρ αὐτῷ πεπιστεύκαμεν ἀδιδάκτως, ὥστε καὶ χρῆσθαι ὀκνοῦμεν εἰς τὰς ἀποδείξεις ἐν τάξει λήμματος, ὥστε διὰ τὸ πάνυ γνώριμον παρέλκειν δοκεῖ· πλὴν ἔστι γε ἐφ' ὧν ἀναγκαῖον. πότε οὖν καὶ πῶς; ὅταν δὴ προκείμενον ᾖ περί τινος συμπεράνασθαι, ὅτι τόδε μὲν ἔστι, τὸ δὲ ἀντικείμενον οὐκ ἔστιν, οἷον ὅτι ὁ κόσμος πεπερασμένος μέν ἐστιν, οὐ πεπερασμένος δ' οὐκ ἔστι, τουτέστιν ἄπειρος οὐκ ἔστι· τότε γὰρ ληπτέον, ὅτι κατ' οὐδενὸς σώματος ἐνδέχεται τὸ πεπερασμένον ἅμα φάναι καὶ ἀποφάναι, σῶμα δὲ ὁ κόσμος. καὶ ποιητέον ἀεὶ τὴν μείζονα πρότασιν τοιαύτην· οὕτω γὰρ καὶ τὸ συμπέρασμα ὅμοιον ἔσται. οὐ μόνον δὲ τοῦτο ἐναργές, ὅτι οὐκ ἐνδέχεται τὸ αὐτὸ ἅμα καταφάναι καὶ ἀποφάναι, ἀλλ' ὅτι καὶ θάτερον κατὰ παντὸς ἐξ ἀνάγκης· τοιαύτη γὰρ ἡ τῆς ἀντιφάσεως φύσις, καὶ οὐχ ὥσπερ τὰ ἐναντία οὐ δυνατὸν μὲν συνυπάρχειν, οὐ μὴν θάτερον ἐξ ἀνάγκης ἐπὶ παντός. τούτῳ μέντοι γε ἤδη τινὲς ἀποδείξεις φανερώτερον χρῶνται τῷ ἀξιώματι, καὶ μάλιστα ὁ δι' ἀδυνάτου τρόπος·

---

4 ἐξυσμένην A 5 σοι om A 7 ἐνδέχεται A 9 καὶ χρῆσθαι] κεχρῆσθαι libri 10 vid. Philopon. p. 215 Brand. 21 καταφάναι] καὶ φᾶναι V 22 κατὰ] περὶ V 24 οὐ δυνατὸν] ἀδύνατον V 26 τινὲς] τινὲς εἰς A

τῷ γὰρ ἀδύνατον ἀποδεῖξαι τὸ ἀντικείμενον οὐ βούλεται συμπεράνασθαι, τίθησι τὸ λοιπόν, ἐξ οὐδενὸς ἑτέρου τὴν ἀνάγκην προσάγων τῷ λόγῳ ἢ τοῦ δεῖν ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν εἶναι. ἐπεὶ γὰρ ἢ σύμμετρός φησιν ἢ οὐ σύμμετρος, εἰ μὴ σύμμετρος, οὐ σύμμετρος ἐξ ἀνάγκης· τὸ γὰρ σύμμετρον ἢ οὐ σύμμετρον οὐδὲν ἄλλο ἐστίν, ἢ ὅτι θάτερον ἐξ ἀνάγκης τῆς ἀντιφάσεως, ὅπερ εἰ καὶ μὴ λέγουσι διαρρήδην, ἀλλὰ χρῶνταί γε αὐτοῦ τῇ δυνάμει, ποιοῦσι δὲ ἰδιαίτερον τὸ ἀξίωμα ἀπὸ τοῦ καθόλου μετάγοντες εἰς τὸ προκείμενον γένος. εἴρηται γὰρ ὅτι τοῖς κοινοῖς ἀξιώμασιν οὐχ ὡς κοινοῖς χρηστέον εἰς τὰς ἀποδείξεις, ἀλλὰ προσαρμοστέον ταῖς ὑποκειμέναις φύσεσι καὶ οἰκειότερα ποιητέον συστελλόμενα εἰς τὸ γένος, ὑπὲρ οὗ τι βουλόμεθα ἀποδεῖξαι. ἔστι γάρ τινα κοινὰ ἀξιώματα, καθ' ἃ πᾶσαι κοινωνοῦσιν ἀλλήλαις αἱ ἐπιστῆμαι ἄλλαι καὶ ἄλλαι, καὶ δύο δυνάμεις ὧν ἡ μὲν φαυλοτέρα ἐπιστήμης, ἡ δὲ ἀμείνων, λέγω δὲ τὴν διαλεκτικήν τε καὶ τὴν σοφίαν. ἐπικοινωνοῦσι δὲ οὐχ ὅτι χρῶνται καὶ αὗται τοῖς ἀξιώμασι, καθάπερ αἱ ἐπιστῆμαι, ἀλλ' ὅτι πειρῶνται ταῦτα συνιστᾶν· ἀλλ' ἡ μὲν ἐκ τῶν ἐνδόξων, ἡ δὲ καθ' ἕτερον τρόπον. οὐ λέγομεν δὲ ἐπιστήμην εἶναι τὴν διαλεκτικήν, διότι οὐδὲν ὡρισμένον ἔχει γένος, οἷον γραμμὰς ἢ ἀριθμούς, καὶ οὐκ ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων ἀλλὰ ἐκ τῶν δοκούντων περὶ ἑκάστου πρόεισι. διὰ

1 βούλονται V 4 εἶναι om V 5 οὐ σύμμετρος] ἀσύμμετρος V μὴ σύμμετρος] σύμμετρος ἢ V 8 ἀντιφάσεως] φάνσεως V, num. ἀποφάνσεως? 10 τοῦ] τοῦ τὸ V 14 οἰκειότερον V συστέλλοντας V 15 ὑπὲρ] περὶ V 17 ἄλλαι καὶ ἄλλαι καὶ] ἀλλὰ καὶ ἄλλαι A 21 ταῦτα] αὐτὰ V 24 διότι] ὅτιπερ V

*τοῦτο καὶ θαρσεῖ ἐρωτᾶν καὶ δόντος τε καὶ μὴ δόντος οἴεται δείξειν ὃ βούλεται· οὐ γὰρ ἂν ἐχρῆτο παντὶ τῷ δοθέντι· ἀδύνατον γὰρ διὰ τῶν ἀντικειμένων δείκνυσθαι τὸ αὐτό, οἷον καὶ τὸ θνητὴν συλλογίσασθαι τὴν ψυχὴν καὶ τὸ ἀθάνατον· τῷ δὲ ἀποδεικνύντι θάτερον πρόκειται μόνον· ζητεῖ γὰρ τἀληθὲς μόνον, οὐκ ἐρωτᾷ· εἰ γὰρ μὴ δῴη τις, ὅτι ἀεικίνητος, ἀλλὰ θάτερον, στήσεται.*

12 *Ἆρ᾽ οὖν οὐδέποτε ὁ ἀποδεικνὺς ἐρωτήσει οὐδ᾽ ἔστιν ἐπιστημονικὸν ἐρώτημα, ὥσπερ διαλεκτικόν τε καὶ σοφιστικόν; ἢ ἔστι μὲν ἐρώτημα ἀποδεικτικόν, εἴπερ καὶ πρότασις ἀποδεικτική, οὐ πᾶν δὲ ἀποδεικτικόν; οὐδὲ γὰρ πρότασις πᾶσα ἀποδεικτική, ἀλλ᾽ ἐξ ἧς ὁ καθ᾽ ἑκάστην οἰκεῖος γίνεται συλλογισμός, ταύτην ἔνεστι μεταλαμβάνοντας εἰ ἐρώτησιν οἰκεῖον ποιεῖν τῆς ἐπιστήμης τὸ ἐρώτημα. ἐρωτήσει γὰρ ὁ γεωμέτρης οὐχ ἵνα ἐκ τῆς ἀποκρίσεως λάβῃ τὴν πρότασιν τὴν πρὸς τὸν οἰκεῖον συλλογισμόν· φέρει γὰρ αὐτὴν οἴκοθεν, κἂν μὴ παρ᾽ ἄλλου λαμβάνῃ, ἀλλ᾽ εἴ ποτε ἄλλου πειρᾶσθαι βούλοιτο τοῦ τὴν αὐτὴν ἐπιστήμην ἐπαγγελλομένου. οὐκοῦν οὐδὲ ἀποκρινεῖται ἅπας πρὸς ἅπαν ἐρώτημα, ἀλλὰ πρὸς μὲν τὸ γεωμετρικὸν ὁ γεωμέτρης οὐχ ὁ μουσικός, πρὸς δὲ τὸ μουσικὸν οὐχ ὁ γεωμέτρης ἀλλ᾽ ὁ μουσικός. ἆρ᾽ οὖν οὐδὲ ἁρμονικῷ προσήκειν ἂν εἴποις ἀριθμητικὸν ἐρώτημα, οὐδὲ ἰατρικῷ φυσικόν, οὐδὲ*

---

3 *ἀντικειμένων*] *δοθέντων* V  4 *οἷον*] *ἀλλὰ* A  6 *ζητεῖ γὰρ*] *ζητῶν τε* A  7 *γὰρ μὴ*] *μὴ γὰρ* A  *ἀεικίνητος*] *μὴ ἀεικίνητον* V  10 *ἐρώτημα ἐπιστημονικὸν* V  13 *γὰρ* om A  14 *ἑξῆς* A  17 *γὰρ* om V  22 *ἀποκρίνεται* V  26 *ἰατρῷ* V

ὀπτικὸν γεωμέτρῃ, καίτοι δείκνυταί γε ἐξ ἀριθμητικῶν πολλὰ ἁρμονικὰ καὶ ἐκ τῶν γεωμετρικῶν πολλὰ ὀπτικά. ἀποκριτέον οὖν καὶ περὶ τούτων καθ' ὃ κοινωνοῦσιν ἀλλήλαις τισὶν ἐπιστήμαις γενικωτέραις, ὑπὲρ τῶν ἀρχῶν δὲ οὐκ ἀποκριτέον οὐδ' ἐφ' ἑκάστου λόγου καθάπερ εἴρηται. δῆλον τοίνυν ὅτι κἂν ἐλέγχηται γεωμέτρης ὑπὲρ τοῦ μὴ διαιρεῖσθαι τὸν τόνον δίχα, οὐχ ᾗ γεωμέτρης ἐλέγχεται, ἀλλ' ᾗ συμβέβηκε [fol. 6b.] τῷ τὰ μουσικὰ ἀγνοοῦντι γεωμέτρῃ εἶναι, ὥστε ἐν ἀγεωμετρήτοις περὶ γεωμετρικῶν οὐ διαλεκτέον· λήσει γὰρ ὁ φαύλως διαλεγόμενος· οὐ γὰρ ὥσπερ τῶν ἐνδόξων οἱ πολλοὶ κριταί, οὕτω καὶ τῶν κατ' ἐπιστήμην οἱ ἀνεπιστήμονες. ὁ δὲ ἀνεπιστήμων λέγεται διχῶς, ἢ τῷ παντελῶς ἔννοιαν μὴ ἔχειν τοῦ πράγματος, ἢ τῷ φαύλως ἔχειν· ἀγεωμέτρητος γὰρ καὶ ὁ μηδὲν περὶ τῶν παραλλήλων εἰδὼς καὶ ὁ συμπίπτειν αὐτὰς οἰόμενος. ἀλλὰ τοῦτό γε, εἰ καὶ γεωμετρικόν πώς ἐστι ἀγνόημα, διότι περί τινός ἐστι τῶν κατ' ἐπιστήμην, ἀλλὰ χαλεπώτερόν τε ἐκείνου καὶ ποικιλώτερον· πῶς δὲ χαλεπώτερον καὶ ποσαχῶς συμβαίνει καὶ πῶς πρὸς αὐτὸ ἐνστατέον, παραδώσομεν προϊόντες.

Ἐν δὲ τοῖς μαθήμασιν ὁμοίως οὐκ ἔστιν ὁ παραλογισμός· διττὸν γὰρ λαμβάνει τὸ μέσον εἴτε ὁμώνυμον εἴτε μή· ὥρισται γὰρ ἕκαστον καὶ τὸ ὄνομα ἑκάστου σχεδὸν δεῖξίς ἐστι· τὸν γὰρ κύκλον ἀκούσας εὐθὺς ὁρᾷ γεγραμμένον ἐν αὐτῷ καὶ οὐ φέρεται ἐπ' ἄλλο τι σημαινόμενον, ἀλλ' ἐπ' ἐκεῖνο οὗ τὸν ὁρισμὸν ἐποιήσατο· εἰ δὲ λέγεται καὶ ἔπη τινὰ κύκλος,

5 ἐφ'] libri ὑφ' 7 τὸν τόνον δίχα] δίχα τοῦτον V 9 γεωμέτρῃ] ὡς γεωμέτρῃ V 23 μαθηματικοῖς V 24 διττὸν] ἧττον V 28 ἐπ' om V

*ἀλλ' οὐκ ἐᾷ ταῦτα κύκλον ὑπολαβεῖν τὸν γεωμέτρην ὁ τοῦ κύκλου λόγος ὁ ὢν ἐν τῇ ψυχῇ, οἱ λόγοι δὲ οὐκ ἔχουσιν ὡρισμένα τὰ μέσα οὐδ' ἐφ' ὡρισμένων πραγμάτων, οἷον οἱ σοφοὶ μανθάνουσιν, οἱ μανθάνοντες οὐκ ἴσασιν· οἱ σοφοὶ ἄρα οὐκ ἴσασι· τὸ γὰρ μανθάνειν καὶ ἐπὶ τοῦ συνιέντος, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ διδασκομένου, ἡ ἀπάτη δὲ παρὰ τὸν μέσον ἐν τοῖς καθ' ὁμωνυμίαν παραλογισμοῖς· ὁ γὰρ δὶς παραλαμβανόμενος οὗτος, ὥστε ἔνεστιν αὐτὸν εἰς ἄλλο καὶ ἄλλο σημαινόμενον μεταλαμβάνειν. ἐνίοτε δ' οὐ παρὰ τὸν μέσον, παρὰ τὸ σχῆμα δὲ ἡ ἁμαρτία, ὥσπερ εἴ τις ἐν δευτέρῳ σχήματι δύο καταφατικαῖς χρῷτο καὶ τῷ τοῖς ἄκροις ἀμφοτέροις τὸ μέσον ἕπεσθαι. εἰ δ' οὐκ ἦν δυνατὸν ἐκ ψεύδους ἀληθὲς δεῖξαι, ῥᾴδιον ἦν τὸ ἀναλύειν· ἀναλύειν δὲ λέγω νῦν τὸ τεθέντος τινὸς ἀληθοῦς συμπεράσματος τὰς προτάσεις ἐξευρίσκειν δι' ὧν συνήχθη· τοῦτο γὰρ ἂν εὐκολώτερον ἐποιοῦμεν ἐν ὡρισμένοις ἔχοντες μᾶλλον τὴν ζήτησιν. ἐπειδὴ δὲ εἰ μὲν ἀληθεῖς αἱ προτάσεις, ἀληθὲς καὶ τὸ συμπέρασμα, οὐκ ἀντιστρέφει δὲ ἀλλ' ἐνδέχεταί τι συμπέρασμα ἀληθὲς καὶ δι' ἐνδόξων συναχθῆναι, διὰ τοῦτο χαλεπὸν τὸ ἀναλύειν· ἐν ἀπείροις γὰρ ἡ ζήτησις τῶν προτάσεων. ἀλλὰ καὶ ταύτῃ διαφέρει τὰ μαθήματα τῶν διαλόγων, ὅτι ῥᾴων ἐν ἐκείνοις ἡ ἀνάλυσις, αἴτιον δέ· οὐδὲν γὰρ ψεῦδος λαμβάνουσιν εἰς τὴν ἀπόδειξιν τοῦ συμπεράσματος. ἀλλ' οὐδὲ ἀληθὲς ἅπαν ἁπλῶς· οὔτε γὰρ κοινόν τι οὔτε συμβεβηκός, ἀλλὰ διὰ τῶν ὁρισμῶν καὶ τῶν καθ' αὑτὰ*

2 ὁ ὢν ἐν] ἐνὼν V  6 δὲ om V  7 τὸν] τὸ libri  8 λαμβανόμενος A  9 οὗτος] fort. οὕτως  14 ψευδοῦς V  15 ἦν] scrib. ἂν ἦν  25 οὐδὲν] ὅτι οὐδὲν V  28 ἀλλὰ] ἀλλ' ἢ V αὑτὰ] αὐτὸ V

ὑπαρχόντων προΐασι, ταῦτα δὲ εὐαρίθμητα καὶ ὡρισμένα. ἁπλουστέρα δὲ ἐν τοῖς μαθήμασιν ἡ ἀνάλυσις, ὅτι καὶ ἡ σύνθεσις ἁπλουστέρα καὶ ἡ αὔξησις ἡ τῶν λόγων· οὐ γὰρ ὥσπερ ἐν τοῖς διαλόγοις διχῶς ἡ αὔξησις καὶ τῷ προσλαμβάνειν ἔξωθεν τῷ συμπεράσματι καὶ τῷ μέσον ἐπεμβάλλειν τοῖς λήμμασιν, ἀλλ' ἕτερος τρόπος ἐν τοῖς μαθήμασι μόνοις· ἀεὶ γὰρ τῷ δειχθέντι προσλαμβάνοντες οὕτω προΐασιν, οἷον τῷ πρώτῳ θεωρήματι τὸ δεύτερον, καὶ τῷ δευτέρῳ τὸ τρίτον καὶ οὕτως ἐφεξῆς, μέσου δὲ ἔνθεσις παρ' αὐτοῖς οὐκ ἔστι, διότι οὐδ' ἔμμεσόν τινα παραλαμβάνουσι πρότασιν. ὥσπερ δὲ καθ' ἓν ἡ σύνθεσις, οὕτω καθ' ἓν καὶ ἡ ἀνάλυσις.

Τὸ δ' ἐπίστασθαι δι' αἰτίου λέγεται διχῶς, ἓν 13
μὲν ὅτι διὰ μέσου τινός· πᾶν γὰρ μέσον αἴτιον τῆς συναγωγῆς τοῦ συμπεράσματος, ἓν δὲ διὰ τῆς τοῦ πράγματος αἰτίας τοῦ δεικνυμένου. κατὰ μὲν οὖν τὸ πρῶτον σημαινόμενον ἅπας συλλογισμὸς δι' αἰτίου· καὶ γὰρ ἅπας διὰ μέσου τινός, κατὰ δὲ τὸ δεύτερον οὐχ ἅπας, ἀλλ' ὁ διὰ τῆς αἰτίας τοῦ πράγματος, τοιοῦτος δὲ μόνος ὃν κυρίως ἀποδεικτικὸν ἐλέγομεν, ἐπεὶ λέγεται καὶ ὁ ἕτερος ἀποδεικτικός, ὅταν ἔχῃ τἆλλα γοῦν ὅσα διωρίσαμεν. λεγέσθω τοίνυν τοῦ μὲν διότι συλλογισμὸς ὁ διὰ τῆς αἰτίας τοῦ πράγματος, τοῦ δ' ὅτι πᾶς ὁ δι' ἐμμέσων καὶ δι' ἀληθῶν ἀληθής. ἔστι μὲν οὖν καὶ κατὰ τὴν αὐτὴν ἐπιστήμην ποτὲ μὲν τὸ διότι ἐπίστασθαι, ποτὲ δὲ τὸ ὅτι, ἔστι

---

3 ἡ τῶν] fort. ἢ ἡ τῶν 6 μέσους V 7 μόνος A 13 καὶ om A 19 τὸ δεύτερον δὲ V 22 ὁ om V 23 ὅσα] ἃ V 25 δι' ἐμμέσων] διὰ μέσου V

δὲ καὶ καθ' ἑτέραν μὲν τὸ ὅτι, καθ' ἑτέραν δὲ τὸ διότι.

Πρῶτον μὲν οὖν εἴπωμεν, πῶς κατὰ τὴν αὐτὴν ἐπιστήμην. εἷς μὲν οὖν τρόπος οὗτός ἐστιν· ἐπειδὴ γὰρ τὸ τοῦ πράγματος αἴτιον καθ' αὑτὸ δεῖ ὑπάρχειν καὶ προσεχῶς οὗ ἐστιν αἴτιον, ὁ μὲν δι' ἐμμέσων συλλογιζόμενος τὸ ὅτι συλλογίζεται, ὁ δὲ δι' ἀμέσων ὡς ἐπὶ τὸ πολὺ τὸ διότι, οἷον ἐπὶ ἀστρολογίας ὁ μὲν ἀποδείξας τάχιον δύνειν τὰ μεσημβρινὰ τῶν βορείων τῷ κινεῖσθαι ἐπ' ἐλάττονος περιφορείας ἀπέδειξε τὸ διότι· διὰ γὰρ ἀμέσων καὶ διὰ προσεχοῦς αἰτίας τῷ πράγματι, ὁ δὲ ταὐτὸ τοῦτο συναγαγὼν τῷ πορρώτερον εἶναι τοῦ πόλου, ἔδειξε μὲν καὶ αὐτὸς δι' ἀληθῶν ἀληθές, οὐ μὴν διὰ τῆς προσεχοῦς αἰτίας τοῦ πράγματος, οὐδὲ δι' ἀμέσων. πάλιν ἐπὶ τῆς φυσικῆς ἐπιστήμης ὁ μὲν διότι αὐτοκίνητος, ἀθάνατον τὴν ψυχὴν ἀποδείξας, οὐ δι' ἀμέσων, ὁ δὲ διότι ἀρχὴ ζωῆς, διὰ τοῦτο ἀγένητος, δι' ἀμέσων· καὶ ὁ μὲν τὰ φυτὰ μὴ ἀναπνεῖν ὅτι μὴ ζῷα, δι' ἐμμέσων, ὁ δὲ διότι μὴ πνεύμονα ἔχει, δι' ἀμέσων· οὐ γὰρ τὸ μὴ εἶναι ζῷον προσεχὲς αἴτιον τοῦ μὴ ἀναπνεῖν· ἦν γὰρ ἂν καὶ τὸ εἶναι ζῷον τοῦ ἀναπνεῖν αἴτιον προσεχές, πολλὰ δὲ ζῷα μέν, οὐκ ἀναπνεῖ δὲ ὡς τὰ ἔντομα, ἀλλὰ πρῶτον αἴτιον τοῦ μὴ ἀναπνεῖν τὸ μὴ πνεύμονα ἔχειν. τὸ ζῷον οὖν πόρρωθεν εἴληπται αἴτιον, ἔξω πάλιν καὶ οὐκ ἀμέσως κατηγορούμενον τοῦ ἀναπνεῖν, ἀλλὰ διὰ μέσου τοῦ πνεύμονα ἔχειν, τὸ δὲ μὴ εἶναι ζῷον ὑπερβολή. τοιαύτην αἰτίαν καὶ Ἀνάχαρσις

4 οὗτος om V 6 προσεχῶς] μὴ προσεχῶς V 11 ἀμέσων καὶ διὰ] ἀμέσου καὶ V 12 πορρώτερον] πόρρωθεν A 13 ἐπέδειξε A 15 φυσικῆς] ψυχικῆς? 16 αὐτοκίνητον A 18 ἀγέννητος V 21 προσεχῶς V 28 ὑπερβολὴ] vid. Philopon. p. 220 Brand.

ἀπέδωκε τοῦ μὴ εἶναι παρὰ Σκύθαις αὐλητρίδας τῷ μὴ εἶναι ἀμπέλους· πόρρω γὰρ καὶ οὕτως· προσεχὲς μὲν γὰρ τὸ μὴ μεθύσκεσθαι αἴτιον, τούτου δὲ τὸ μὴ fol. 7 εἶναι οἶνον, τούτου δὲ τὸ μὴ εἶναι ἀμπέλους. γίνονται δὲ καὶ ἐν τῷ δευτέρῳ σχήματι οἱ τῆς τοιαύτης αἰτίας συλλογισμοί, λέγω δὲ οἱ τῆς πόρρωθεν, ὥσπερ οἱ νῦν εἰρημένοι· ἐπεὶ γὰρ τὸ ζῷον κατὰ μὲν τοῦ ἀναπνεῖν παντός, κατὰ φυτοῦ δὲ οὐδενός, τὰ φυτὰ οὐκ ἀναπνεῖ· καὶ ἐπειδὴ ἄμπελοι παρὰ μὲν τοῖς ἔχουσιν αὐλητρίδας εἰσί, παρὰ Σκύθαις δὲ οὔ, παρὰ Σκύθαις αὐλητρίδες οὐκ εἰσίν. ἕτερος δὲ τρόπος, ὅταν δι' ἀμέσων μὲν ἄμφω, ἀλλ' ὁ μὲν διὰ τῆς αἰτίας, ὁ δὲ διὰ τοῦ σημείου· ὁ μὲν γὰρ διὰ τοῦ τετοκέναι τὸ γάλα ἔχειν ἀποδείκνυσι τὸ διότι, ὁ δὲ διὰ τοῦ γάλα ἔχειν τετοκέναι τὸ ὅτι· καὶ ὁ μὲν τὰς αὐξήσεις τῆς σελήνης διὰ τοῦ σφαιροειδοῦς τὸ διότι, ὁ δὲ τὸ σφαιροειδὲς διὰ τῶν αὐξήσεων τὸ ὅτι· πολλάκις μὲν οὖν συμβαίνει καὶ ἀντιστρέφειν ἀλλήλοις τὸ αἴτιον καὶ τὸ σημεῖον καὶ ἄμφω δείκνυσθαι δι' ἀλλήλων, διὰ τοῦ σημείου μὲν ὡς τὸ ὅτι, διὰ θατέρου δὲ ὡς τὸ διότι, δι' οὗ μὲν [ὡς σημείου] ὡς γνωριμωτέρου τούτου τοῦ συμπεράσματος, δι' οὗ δὲ ὡς αἰτίου τοῦ πράγματος. πολλάκις δὲ οὐκ ἀντιστρέφει τὰ σημεῖα τοῖς αἰτίοις αὐτῶν· εἰ μὲν γὰρ καπνός, πάντως καὶ πῦρ· εἰ δὲ πῦρ, οὐ πάντως καπνός· καὶ εἰ μὲν τέτοκεν, ἀνδρὶ πεπλησίακεν· εἰ δὲ πεπλησίακεν, οὐ πάντως τέτοκεν.

---

1 ἀποδέδωκε V  αὐλητρίδας] ἀνθρώπους αὐλητὰς V atque hoc Aristot. p. 78, 31.  5 τῷ om A  6 οἱ τῆς] οἱ om V 10 παρὰ Σ. αὐλ. οὐκ εἰσίν om V  14 ἀποδείκνυσι] fort. ἀποδεικνύων ἀποδείκνυσι  τοῦ] τοῦτο A  15 τετοκέναι] fort. τὸ τετοκέναι  19 δείκνυσθαι] δείκνυσι V  21 ὡς σημείου om V  22 τούτου om A  δι' οὗ δὲ] διὰ θατέρου δὲ A 25 ἀνδρὶ ἐπλησίασεν A

ἐπὶ δὴ τῶν τοιούτων ἡ μὲν τοῦ ὅτι δεῖξίς ἐστιν, ἡ δὲ τοῦ διότι ἐκλείπει· διὰ μὲν γὰρ τοῦ σημείου τὸ αἴτιόν ἐστιν ἀποδεῖξαι, διὰ δὲ τοῦ αἰτίου τὸ σημεῖον οὐκέτι. ὥσπερ οὖν οὐδὲ πάντα τὰ αἴτιά τε καὶ αἰτιατὰ ἀντιστρέφει, οὕτως οὐδὲ πάντα τὰ ἀντιστρέφοντα αἴτιά τέ ἐστι καὶ αἰτιατά· δυνατὸν γὰρ τοῦ αὐτοῦ αἰτίου πλείω σημεῖα πρὸς ἄλληλα ἀντιστρέφειν, οἷον τοῦ πυρέττειν σημεῖον ἥ τε ταραχὴ τῆς ἀρτηρίας καὶ ἡ τοιάδε θερμότης. δείκνυται μὲν οὖν δι' ἀλλήλων καὶ τὰ τοιαῦτα, κατ' οὐδέτερον δὲ ὁ τοῦ διότι συλλογισμός, ἀλλὰ κατ' ἀμφότερα ὁ τοῦ ὅτι.

Κατὰ μὲν οὖν τὴν αὐτὴν ἐπιστήμην οὕτω ποτὲ μὲν τοῦ ὅτι, ποτὲ δὲ τοῦ διότι γίνονται οἱ συλλογισμοί, πῶς δὲ κατ' ἄλλην καὶ ἄλλην, λέγωμεν ἤδη. ὅταν δή τινες ἐπιστῆμαι οὕτως ἔχωσι πρὸς ἀλλήλας, ὥστε εἶναι τὴν ἑτέραν ὑπὸ τὴν ἑτέραν, οἷον ὀπτικὴν πρὸς γεωμετρίαν, μηχανικὴν πρὸς στερεομετρίαν, καὶ ἁρμονικὴν πρὸς ἀριθμητικήν, καὶ τὴν ναυτικὴν ἀστρολογίαν πρὸς τὴν μαθηματικὴν ἀστρολογίαν· συνώνυμοι γὰρ σχεδὸν ἔνιαι τῶν τοιούτων ἐπιστημῶν· τὸ γὰρ ὄνομα τὸ αὐτὸ καὶ ὁ λόγος δὲ οὐ πάντη ἕτερος· λέγεται γὰρ μουσικὸς ὅ τε ταῖς ἀκοαῖς γεγυμνασμένος καὶ ὁ τὸ μάθημα εἰδώς. ὅπερ οὖν ἐλέγομεν, ὅτι ἐάν τινες ἐπιστῆμαι οὕτως ἔχωσι πρὸς ἀλλήλας, τὸ μὲν ὅτι τῶν αἰσθητικῶν εἰδέναι, τὸ δὲ διότι τῶν μαθηματικῶν· οὗτοι γὰρ ἔχουσι τῶν αἰτιῶν τὰς ἀποδείξεις καὶ πολλάκις οὐκ ἴσασι τὸ ὅτι, καθάπερ οἱ τὸ καθόλου θεωροῦντες πολλάκις οὐκ

---

4 οὖν] δὲ V  5 ἀντιστρέφοντα] αἴτια τὰ ἀντιστρέφοντα V  6 δυνατὸν] δύναται V  8 σημεῖα A  13 γίνονται] μόνον A  17 στερεωμετρίαν libri  20 σχεδὸν om V  21 δὲ om V

ἴσασι τὸ καθ' ἕκαστον δι' ἀνεπισκεψίαν· ἐγὼ γοῦν διὰ τί μὲν σύμφωνος ἡ ὑπάτη πρὸς τὴν μέσην ἐστίν, ἐκ τῶν μαθημάτων ἐπίσταμαι, αἴσθεσθαι δὲ τῆς συμφωνίας οὐχ οἷός τέ εἰμι διὰ τὴν περὶ τοῦτο ἀγυμνασίαν. ἀεὶ μέντοι γε ἀποδιδύασι τὸ αἴτιον αἱ μαθηματικώτεραι καὶ λογικώτεραι καὶ μᾶλλον κεχρημέναι τοῖς εἴδεσιν ἄνευ τῶν ὑποκειμένων, οἷον γεωμετρία πρὸς ὀπτικὴν ποιεῖ· ἡ μὲν γὰρ τῷ εἴδει μόνον τῆς εὐθείας χρῆται ὅπερ οὐκ ἔστι μὲν καθ' αὐτό, ἀλλὰ πάντως ἐν οὐσίᾳ τινί· τὸ γὰρ εὐθὺ ἢ ἐν ἀέρι ἢ ἐν λίθῳ ἢ ἐν ξύλῳ ἢ ἐν ἄλλῳ τινί· ἐξετάζει γὰρ αὐτὸ ὁ γεωμέτρης οὐχ ᾗ ἔν τινι τούτων ἐστίν, ἀλλὰ καθ' αὐτό, ὁ δὲ ὀπτικὸς τὴν ἐν τῷ κανόνι εὐθεῖαν καὶ τὴν ἐν τῷ ἀέρι παραλαμβάνει, καὶ οὗτος μέντοι γε πρὸς τὸν φυσικὸν ἐπὶ πολλῶν οὕτως ἔχει, ὡς ὁ γεωμέτρης πρὸς τοῦτον, οἷον ἐπὶ τῆς ἴριδος· ὅτι μὲν γὰρ ἀνάκλασις τῆς ὄψεως ἡ ἴρις ἀπὸ τοιοῦδε νέφους ἐπὶ τὸν ἥλιον ὁ φυσικὸς λέγει, διότι δὲ τοιαύτη τὸ σχῆμα καὶ τὸ χρῶμα, ὁ ὀπτικός. πολλαὶ δὲ καὶ τῶν μὴ ὑπ' ἀλλήλας ἐπιστημῶν ἔχουσιν οὕτως, οἷον ἰατρικὴ πρὸς γεωμετρίαν· ὅτι μὲν γὰρ τὰ ἕλκη τὰ περιφερῆ βραδύτερον ὑγιάζεται, τοῦ ἰατροῦ εἰδέναι· διότι δέ, τοῦ γεωμέτρου.

Τῶν δὲ σχημάτων ἐπιστημονικώτατον μάλιστα 14 τὸ πρῶτον· αἵτε γὰρ μαθηματικαὶ τῶν ἐπιστημῶν διὰ τούτου φέρουσι τὰς ἀποδείξεις, οἷον ἀριθμητικὴ καὶ γεωμετρία καὶ ὀπτικὴ καὶ σχεδὸν ὅσας εἰρήκαμεν τοῦ διότι ποιεῖσθαι τὴν σκέψιν. σπανίως γὰρ ἐν τῷ

3 αἰσθάνεσθαι A 4 τούτου A 8 εἴδει μόνον] ἰδίῳ μόνον A 21 τὰ ἕλκη] τὰ om A 22 βραδύτερα V 24 μάλιστα om V; malim ἐπιστημονικὸν

*μέσῳ σχήματι καὶ ἐπ' ὀλίγων ἡ τοῦ διότι ἀπόδειξις· καὶ γὰρ ὅλως τὸ αἴτιον βούλεται μᾶλλον καταφατικὸν εἶναι καὶ καθ' αὑτό τι ὑπάρχειν, ὥστε κυριωτάτη γνῶσις ἡ τοῦ διότι θεωρία, καὶ διὰ τοῦτο ἐπιστημονικὸν μάλιστα τὸ πρῶτον σχῆμα. ἔπειθ' ὅτι τὴν τῶν ὁρισμῶν ἐπιστήμην διὰ τούτου μόνου θηρεῦσαι δυνατόν· οἱ μὲν γὰρ ὁρισμοὶ ἐν τῷ καθόλου ὑπάρχειν, οὔτε δὲ ἐν τῷ μέσῳ σχήματι τοῦ ὑπάρχειν γίνεται συλλογισμός, οὔτε ἐν τῷ ἐσχάτῳ καθόλου. ἔτι πρὸς τούτοις τῶν ἐμμέσων προτάσεων εἰς τὰς ἀμέσους διὰ τούτου τοῦ σχήματος ἡ ἀναγωγή· ἐν γὰρ τῷ αὐτῷ σχήματι εἰς τὰς ἀμέσους ἀνάγεται ἑκάστη τῶν ἐμμέσων προτάσεων, ἐν ᾧ καὶ συνάγεται, οὔτε δὲ τὴν καταφατικὴν συνάγειν δυνατὸν διὰ τοῦ δευτέρου, οὔτε τὴν καθόλου διὰ τοῦ τρίτου. δῆλον οὖν ὡς οὐδὲ ἀνάγειν αὐτὰς διὰ τούτων εἰς τὰς ἀμέσους ἐνδέχεται.*

15 *Ἄμεσοι δὲ προτάσεις οὐ καταφάσεις μόνον εἰσίν, ἀλλὰ καὶ ἀποφάσεις ὁμοίως αἳ μὴ δύνανται διὰ συλλογισμοῦ δειχθῆναι, αὗται δ' εἰσὶν ἐφ' ὧν οὐδετέρου τῶν ὅρων ἄλλος τις ὅλου κατηγορεῖται· ἐπὶ γὰρ τῶν τοιούτων ἀνάγκη ἀμέσως μὴ ὑπάρχειν θατέρῳ θάτερον· εἰ γὰρ ἄλλο τι ἔσται μέσον, ἀνάγκη πάντως αὐτὸ θατέρου κατηγορεῖσθαι καὶ γίνεσθαι διὰ τούτου τὸν συλλογισμὸν τῆς ἀποφάσεως.*

16 *Ὃ δὲ καὶ πρότερον μὲν εἰρήκαμεν, οὐκ ἀκριβῶς*

---

3 *καθ' αὑτό τι ὑπάρχειν*] *ὅτι ὑπάρχει* A 6 *ἐπιστήμην* om V, sed idem *δυνατὸν γνῶσιν·* 11 *τῷ αὐτῷ*] *ταὐτῷ* V 18 *δὲ*] *γὰρ* V 19 *αἳ*] *καὶ ὅσαι* A 20 *ἐφ'* om A 21 *ὅλου*] *ἄλλου* V 23 *ἄλλο* om V 24 *τούτου*] *τοῦτο* A 26 *εἰρήκαμεν*] cap. 12.

δὲ εἰρήκαμεν, νῦν ἀποδώσομεν, ὅτι διττὸν εἶδος fol. 7b. ἀγνοίας ἐστίν, ἓν μὲν ὅταν παντελῶς μηδὲ ἔννοιάν τινα περὶ τοῦ πράγματος ἔχωμεν, ὡς λέγοιντ' ἂν ἀγνοεῖν οἱ παῖδες ὅτι δύο ὀρθαῖς ἴσας ἔχει τὸ τρίγωνον· αὕτη μὲν οὖν ἀφείσθω· καὶ γὰρ οὐδὲν ἔχει τεχνικῆς θεωρίας δεόμενον· ἕτερον δὲ εἶδος ἀγνοίας ἐστὶν ὃ κατὰ διάθεσιν λέγεται, ὅταν τις ἔννοιαν μὲν ἔχῃ περὶ τοῦ πράγματος, φαύλην δὲ καὶ διημαρτημένην, οἷον εἴ τις ὑπολαμβάνοι τὸ τρίγωνον τρεῖς γωνίας ὀρθὰς ἔχειν ἢ μείζους ταῖν δυοῖν ἢ ἐλάσσους. λέγεται δὲ κατὰ διάθεσιν ἄγνοια, ὅτι διάκειταί πως ἤδη κατ' αὐτήν· οἴεται γὰρ εἰδέναι τι ὃ οὐκ ἐπίσταται. ταύτην τοίνυν συμβαίνει τὴν ἄγνοιαν γίνεσθαι μὲν καὶ περὶ τὰ ἀμέσως ὑπάρχοντα ἢ μὴ ὑπάρχοντα, γίνεσθαι δὲ καὶ περὶ τὰ διά τινος μέσου, διχῶς δὲ περὶ ἀμφότερα· ἢ γὰρ ἄνευ συλλογισμοῦ καθ' ἁπλῆν ἔννοιαν ἢ διὰ συλλογισμοῦ, ὅτι τὸ τρίγωνον οὐκ ἔχει δύο ὀρθὰς γωνίας, ἢ ὅτι σύμμετρος ἡ διάμετρος· ταῦτα γὰρ ἔνεστι καὶ χωρὶς συλλογισμοῦ τινὸς ὑπολαμβάνοντας ἀπατᾶσθαι· ὅμοια γάρ ἐστι τοῖς κατὰ τὰς αἰσθήσεις παροράμασιν ἢ παρακούσμασιν. ἔνεστι δὲ καὶ διὰ συλλογισμοῦ καὶ συναγωγῆς ἡμαρτημένης, ὅπερ δὴ ποικιλώτερον· καὶ γὰρ οἱ συλλογισμοὶ ποικίλοι, μᾶλλον δὲ οἱ παραλογισμοὶ δι' ὧν ἄν τις ἀπατηθείη. τὸ μὲν οὖν ἀμέσως μὴ ὑπάρχον ἢ ἐμμέσως ὑπάρχειν ὑπολαβεῖν διὰ συλλογισμοῦ ἐν τῷ πρώτῳ μόνῳ γίνεται σχήματι· ἐπεὶ γὰρ τὸ ἀληθὲς ἦν ἀποφατικὸν καθόλου, τὸ ψεῦδος ἔσται καταφατικὸν καθόλου, τοῦτο δὲ ἐν ἄλλῳ σχήματι συνάγειν οὐκ ἐν-

---

2 ὅταν] ὅτι ὅταν A 12 τι] τις A 23 δὴ] ἤδη V
26 ὑπάρχειν] μὴ ὑπάρχον V 28 τὸ δὲ ψεῦδος V

δέχεται· ἀνάγκη γὰρ καὶ τὸ ψεῦδος εἶναι καθόλου, εἴπερ δι᾽ ἀποδείξεως φαινομένης καὶ συλλογισμοῦ συναχθήσεται, καὶ διὰ τοῦτο χαλεπωτάτην λέγω ταύτην τὴν ἄγνοιαν, ὅτι οἴησίς ἐστιν ἐπιστήμης καὶ βούλεται τὰς ἐκείνης ἔχειν ἰδιότητας διὰ τῶν καθόλου προϊοῦσα καὶ τοῖς ἐκείνης κανόσι χρωμένη. τὸ δὲ ἀμέσως καὶ ἐμμέσως παντὶ ὑπάρχον μηδενὶ ὑπάρχειν καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ σχήματι συνάγοιτ᾽ ἄν, ποτὲ μὲν ἀμφοῖν τοῖν δυοῖν προτάσεων ψευδῶν λαμβανομένων, ποτὲ δὲ τῆς ἑτέρας· πῶς δὲ καὶ πότε οἷόν τε, δι᾽ αὐτῶν γυμνάσασθαι δεῖ τῶν Ἀριστοτέλους λέξεων· ἡμῖν γὰρ ἂν τοῦτο πολυγραφίαν παράσχοι. ἀλλ᾽ ἐκεῖνο μᾶλλον ῥητέον, ὅτι πρὸς τὰς ψευδεῖς προτάσεις, δι᾽ ὧν προΐασιν οἱ τῆς ἀπάτης συλλογισμοί, τὰς ἐνστάσεις ποιητέον οὐκ ἐπὶ μέρους οὐδ᾽ ἀντιφατικῶς ἀντικειμένας, ἀλλ᾽ ἐναντίας καὶ καθόλου· δεῖ γὰρ αὐταῖς συγχρήσασθαι πρὸς τὴν ἀπόδειξιν τοῦ ἀληθοῦς καὶ ἐναντίου πρὸς τὴν ἀπάτην· οὕτω γὰρ αὐτὴν καὶ κομίζομεν ὡς δι᾽ αὐτῆς τοὐναντίον ἀποδείξοντες. ὁ μὲν οὖν διαλεκτικὸς ἐνστήσεται καὶ διὰ τῆς ἐπὶ μέρους· καὶ γὰρ οὐ πάντως καθολικὸν αὐτῷ πρόκειται τὸ συμπέρασμα, ὁ δ᾽ ἀποδεικτικὸς ἐξ ἀνάγκης διὰ τῆς καθόλου ποιήσει.

18 Φανερὸν δὲ ὅτι καὶ εἴ τις αἴσθησις ἐκλέλοιπεν, ἀνάγκη καὶ ἐπιστήμην ἐκλελοιπέναι, ἣν ἀδύνατον λαβεῖν, εἴπερ μανθάνομεν ἢ ἐπαγωγῇ ἢ ἀποδείξει, ἔστι δ᾽ ἡ μὲν ἀπόδειξις ἐκ τῶν καθόλου, ἡ δὲ ἐπαγωγὴ ἐκ τῶν κατὰ μέρος. ἀδύνατον οὖν ἐπὶ τῶν αἰσθητῶν

1 γὰρ] δὲ V 10 πότε] πότε οὐδὲν ἧττον A 11 δεῖ om A Ἀριστοτέλους] cap. 16—17 17 αὐτὰς συγχωρήσασθαι A 20 ἀποδείξοντος V 24 καὶ ὅτι Arist.

τὰ καθόλου θεωρῆσαι, εἰ μὴ δι' ἐπαγωγῆς, ἐπαχθῆναι δὲ ἐν τοῖς αἰσθητοῖς ἀδύνατον μὴ ἔχοντας αἴσθησιν τὴν ἐκείνων γνωστικήν. οὐκ ἄρα ἐνδέχεται λαβεῖν αὐτῶν ἐπιστήμην· οὔτε γὰρ ἐκ τῶν καθόλου ἄνευ ἐπαγωγῆς, οὔτε ἐξ ἐπαγωγῆς ἄνευ τῆς αἰσθήσεως, ἐπεὶ καὶ τὰ ἐξ ἀφαιρέσεως λεγόμενα δοκεῖ μὲν ἐξωτέρω κεῖσθαι τῆς αἰσθήσεως καὶ τῇ διανοίᾳ γνωρίζεσθαι, ὅμως δὲ καὶ ταῦτα δι' ἐπαγωγῆς καὶ δι' αἰσθήσεως γίγνεται γνωριμώτερα. τῇ γὰρ ἐπιφανείᾳ ὅτι μῆκος καὶ πλάτος μόνον ὑπάρχει, μᾶλλον πιστεύομεν ἐπαχθέντες, καὶ τῷ τριγώνῳ ὅτι πλευραὶ τρεῖς· καὶ γὰρ εἰ μὴ ἔστι χωριστὰ μηδὲ ὑφέστηκεν αὐτὰ καθ' αὑτά, ἀλλ' οὖν ἔστι δι' ἐπαγωγῆς αὐτῶν δεικνύναι ἔνια, ὅτι τοιόνδε ἕκαστον.

19

Ἐπεὶ δὲ πολλάκις εἰρήκαμεν, ὅτι τῷ μὲν ἀποδεικτικῷ τὰ καθ' αὑτὰ κατηγορούμενα παραληπτέον, τῷ διαλεκτικῷ δὲ οὐ πάντως, ἀλλ' ἐνίοτε καὶ κατὰ συμβεβηκὸς ὅταν ἔνδοξα ᾖ καὶ γνωριμώτερα τῶν καθ' αὑτὰ ὑπαρχόντων, τοῦτ' αὐτὸ διορίσωμεν, ποσαχῶς λέγεται κατὰ συμβεβηκὸς ἕτερον ἑτέρου κατηγορεῖσθαι. λέγεται τοίνυν πλεοναχῶς· κατ' ἄλλο γὰρ σῶμα λευκόν· κατὰ γὰρ τὴν ἐπιφάνειαν καὶ ἄμπελος λευκή· κατ' ἄλλο, διότι τοὺς βότρυας φέρει λευκούς. ἀλλὰ καὶ συμβεβηκὸς συμβεβηκότος κατηγορεῖται ὡς τὸ μουσικὸν τοῦ λευκοῦ. ἀλλὰ καὶ συμβεβηκὸς οὐσίας τῶν μὴ καθ' αὑτὰ ὑπαρχόντων, ὡς τὸ λευκὸν τοῦ ἀνθρώπου. μάλιστα δὲ λέγεται κατὰ συμβεβηκὸς

---

1 τὸ καθόλου ἐρωτῆσαι V  εἰ μὴ] εἰ om. apud Bekk. p. 81, 2, ut ibidem v. 3 post γνώριμα operarum errore verba κἂν τις βούληται γνώριμα excidisse videntur  2 ἐν om V  3 γνωριστικὴν V  8 alterum δι' om V  12 ἔστι χωριστὰ μηδὲ] ὡς χωριστὰ V  25 λευκοῦ ἀλλὰ] ἀλλὰ om A

κατηγορεῖσθαι, ὅταν παρὰ φύσιν κατηγορῆται τοῦ συμβεβηκότος τὸ ὑποκείμενον, οἷον τὸ λευκὸν ἐκεῖνό ποτέ φαμεν εἶναι ἄνθρωπον, οὐχ ὁμοίως λέγοντες καὶ τὸν ἄνθρωπον εἶναι λευκόν· ὁ μὲν γὰρ τὸν ἄνθρωπον λευκὸν εἰπὼν οὐ τῷ ἑτέρῳ ὑπάρχον ὑπέθηκεν, οὐδὲ τὸ δι' ἕτερον ὑφεστός· οὐσία γὰρ καθ' αὑτὴν ὁ ἄνθρωπος· ὁ δὲ τὸ λευκὸν ἄνθρωπον εἰπὼν ὑποκείμενον ἔλαβε τὸ λευκόν, ὃ τὸ εἶναι παρὰ τοῦ ᾧ συμβέβηκεν, ἔχει. τοῖς μὲν οὖν διαλεκτικῶς ἐπιχειροῦσι ληπτέον καὶ τὰς τοιαύτας κατηγορίας, ὅταν ὦσιν ἔνδοξοι καὶ γνώριμοι, τῷ δὲ ἀποδεικτικῷ μᾶλλον παντὸς φυλακτέον τὰς παρὰ φύσιν κατηγορίας, καὶ ὅλως τὰς κατὰ συμβεβηκὸς πλὴν τῶν καθ' αὑτὰ ὑπαρχόντων, ὡς διωρίσαμεν. τοῦτο μὲν οὖν ἴσως καὶ διὰ τῶν προτέρων ὡμολόγηται.

Ἐκδέχεται δὲ ἡμᾶς σκέψις οὐκ ἀγενὴς περὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων, πότερον ἵστανται αἱ τοιαῦται κατηγορίαι, ἢ ἐπ' ἄπειρον προΐασιν. ἔστι δὲ ὃ λέγω, τοιοῦτο. εἰ γὰρ ὑποθοίμεθα ἔσχατον ὑποκείμενον εἶναι τὸ γ̄, ὅπερ αὐτὸ μὲν κατ' οὐδενὸς ἄλλου κατηγορεῖται, fol. 8. κατὰ δὲ τούτου τὸ β̄ ἀμέσως καὶ πρώτως, καὶ πάλιν τοῦ β̄ τὸ ε̄, καὶ τοῦ ε̄ τὸ ζ̄ ὡσαύτως, ἆρ' οὖν τοῦτο ἀνάγκη στῆναι ἢ ἐνδέχεται ἐπ' ἄπειρον προϊέναι, τοῦ μὲν ζ̄ πάλιν τὸ η̄ κατηγορούμενον λαμβάνοντας, τοῦ δὲ η̄ τὸ θ̄, καὶ ἀεὶ ἐφεξῆς καὶ μηδέποτε ἀποροῦντας; μία μὲν οὖν αὕτη ἡ ζήτησις, ἑτέρα δὲ αὖθις τοιαύτη· εἰ γὰρ πάλιν ὑποθοίμεθα τὸ ᾱ τοιοῦτον, ὥστε αὐτοῦ μὲν μηδὲν ἕτερον κατηγορεῖσθαι, ἀλλ' εἶναι πρῶτον καὶ ἀνωτάτω, αὐτὸ μέντοι τῷ θ̄ ὑπάρχειν ἀμέσως, καὶ

---

1 κατηγορεῖται libri 3 ποτέ om A 5 τῷ ἑτέρῳ] scrib. τὸ ἑτέρῳ ὑπερέθηκεν V 15 ὁμολογεῖται V 16 ἀγεννὴς V 18 ὃ λέγω τοιοῦτο] ὁ λόγος τοιοῦτος A 28 ἕτερον om A

τὸ θ πάλιν τῷ η καὶ τοῦτο τῷ ι, ἆρ᾽ οὖν καὶ τοῦτο ἵστασθαι ἀνάγκη, ἢ καὶ τοῦτο εἰς ἄπειρον ἐνδέχεται προϊέναι, μηδὲν εὑρίσκοντας ἕτερον ὑποκείμενον ὃ μὴ κατ᾽ ἄλλου κατηγορεῖται; διαφέρει δὲ τὸ σκέμμα τουτὶ τοῦ προτέρου κατὰ τοσοῦτον, καθ᾽ ὅσον ἐκεῖ μὲν εἰ ἐπ᾽ ἄπειρον ἄνεισι τὰ κατηγορούμενα, σκοποῦμεν, ἐνταῦθα δὲ εἰ ἐπ᾽ ἄπειρον κάτεισι τὰ ὑποκείμενα. τρίτον δ᾽ ἐπὶ τούτοις πρόβλημα, εἰ τῶν ἄκρων ὡρισμένων καὶ ὄντος πρώτου κατηγορουμένου καὶ ἐσχάτου ὑποκειμένου, τὰ μεταξὺ ἄπειρα ἔσται, ὡς ἀεὶ τῆς ληφθείσης προτάσεως εἶναί τινα μέσον ὅρον καὶ μηδὲν ἄλλον ἄλλου ἀμέσως κατηγορεῖσθαι. τὸ δὲ ταῦτα ζητεῖν ἐστίν, εἰ ἐπ᾽ ἄπειρον αἱ ἀποδείξεις προΐασι, καὶ ἀεὶ τὸ λαμβανόμενον εἰς ἄλλου δεῖξιν ἀποδεικτόν ἐστι καὶ αὐτό, ἢ ἵστανται αἱ ἀποδείξεις εἰς τὰς ἀμέσους προτάσεις καὶ τοὺς ἐσχάτους ὅρους. ἡ αὐτὴ δὲ καὶ ἐπὶ τῶν ἀποφάσεων ζήτησις εἰ ἄμεσοί τινές εἰσιν ἢ μή. τίνες δὲ αἱ ἄμεσοι ἀποφάσεις, προεδείξαμεν. ἐπὶ δὲ τῶν ἀντιστρεφουσῶν προτάσεων οὐχ ὁμοίως τοῦτο τὸ πρόβλημα διαιρετέον· οὔτε γὰρ τὸ ἔσχατον ὑποκείμενον ὑποθεμένους ζητεῖν δυνατόν, εἰ ἔστι τι πρῶτον κατηγορούμενον, οὔτε τὸ πρῶτον κατηγορούμενον λαμβάνουσιν ἐπιβλέπειν οἷόν τε εἰ ἐστὶν ἔσχατον ὑποκείμενον· τὸ γὰρ ἀντιστρέφειν πάντα ἀλλήλοις κἂν ἐπὶ θατέρου ζητῇς, ζητήσεις καὶ περὶ ἀμφοτέρων. ὁμοίως καὶ εἴπερ οἷόν τε εὑρεῖν ἐπὶ τούτων τὸ ἔσχατον ὑποκείμενον, εὐθὺς δυνατὸν εὑρεῖν καὶ τὸ πρῶτον κατηγορούμενον· ἀντιστραφὲν γὰρ τὸ ἔσχατον ὑποκείμενον πρῶτον κατηγορούμενον γίνεται.

---

3 ἕτερον om A 6 ἐσκοποῦμεν V 13 αἱ om V
14 ἀποδεικτικόν? 15 αἱ om V 18 ἀποφάσεις om V

20
—
21 Ἀρκτέον τοίνυν ἀπὸ τοῦ τρίτου προβλήματος καὶ δεικτέον, ὅτι τὰ μεταξὺ οὐκ ἐνδέχεται ἄπειρα εἶναι, εἰ ἐπὶ τὰ ἄνω καὶ τὰ κάτω ἵστανται αἱ κατηγορίαι. λέγω δὲ ἄνω μὲν τὴν ἐπὶ τὸ καθόλου μᾶλλον, κάτω δὲ τὴν ἐπὶ τὸ κατὰ μέρος· εἰ γὰρ τοῦ α ὄντος τοῦ πρώτου κατηγορουμένου, καὶ τοῦ ζ τοῦ ἐσχάτου ὑποκειμένου, λέγοι τις τὰ μεταξὺ ἄπειρα εἶναι, συμβήσεται τῷ ἀπὸ τοῦ α ἀρχομένῳ μηδέποτε καθήξειν ἐπὶ τὸ ζ, καὶ ἀπὸ τοῦ ζ πάλιν ἀρχομένῳ μηδέποτε ἀνήξειν ἐπὶ τὸ α, ὥστε οὐκ ἔσται πεπερασμένα τὰ ἄκρα ἅπερ ὑπόκεινται, καὶ ὅμοιον τὸ συμβαῖνον, ὥσπερ εἴ τις ἀπὸ τῆς μονάδος ἄχρι τῆς δεκάδος πεπεράσθαι λέγων τὸν ἀριθμὸν τὸν μεταξὺ τούτων ἄπειρον ποιεῖ. ἀλλ' ὥσπερ τοῦτο οὐκ ἐνδέχεται· ἔσονται γὰρ οὕτως ἄπειροι οἱ ἀριθμοὶ ἐνεργείᾳ οἱ μεταξὺ τῶν ὡρισμένων ἀριθμῶν· οὐκ ἔστι γὰρ ἐν τῷ λαμβάνεσθαι ἡ γένεσις τῶν ἀπείρων, ἀλλ' ἐν τῷ εἶναι καὶ προϋπάρχειν· οὕτω καὶ ἐπὶ τῶν ὅρων ὧν εἰσὶν οἱ ἄκροι ὡρισμένοι, ἀδύνατον τοὺς μεταξὺ ἀπείρους εἶναι. οὐ γὰρ ὅμοιον τὸ ἐπὶ τῆς τῶν συνεχῶν διαιρέσεως, ἐφ' ὧν τῶν ἄκρων ὡρισμένων τῶν μεταξὺ μεγεθῶν ἐπ' ἄπειρον ἡ διαίρεσις· ἐκεῖ μὲν γὰρ οὐ προϋπάρχει ἐνεργείᾳ τὰ λαμβανόμενα, ἐνταῦθα δὲ ἀνάγκη τοὺς ὅρους τοὺς λαμβανομένους προϋπάρχειν ἐνεργείᾳ· εἰσὶ γὰρ κἂν μὴ λαμβάνωνται· ἐπὶ δὲ τῶν διαιρουμένων οὐδέν ἐστι τῶν ἀφαιρουμένων πρὸ τῆς ἀφαιρέσεως ἐνεργείᾳ, ὥστε ἀνάγκη τῶν ἄκρων ὡρισμένων τὰ μέσα ἵστασθαι, καὶ τοῦτο οὐκ ἐπὶ τῆς

---

6 τοῦ ante πρώτου et ἐσχάτου om A 12 scrib. πεπεράνθαι et hic et alibi, item πεπέρανται, non πεπέρασται 13 ποιεῖ] immo ποιοῖ 14 ἐνδέχονται A 25 γὰρ] δὲ V

*καταφατικῆς ἀποδείξεως μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς ἀποφατικῆς παραπλησίως· καὶ γὰρ ἡ ἀπόφασις ἀεὶ προσλήψει καταφάσεως δείκνυται, ὥστε εἴπερ ἵστανται αἱ καταφάσεις, ἵστανται καὶ αἱ προσλήψεις τῶν ἀποφάσεων. ὅτι μὲν οὖν τῶν ἄκρων ὡρισμένων οὐκ ἐνδέχεται ἄπειρα εἶναι τὰ μέσα, δέδεικται ἱκανῶς· ὅτι δὲ καὶ τὰ ἄκρα ἀνάγκη ὡρίσθαι, καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω, δεικτέον ἐφεξῆς, καὶ πρῶτόν γε διὰ τῶν κοινοτέρων ἐπιχειρήσεων, δι' ὧν οὐ τὰ καθ' αὑτὰ μόνα, ἀλλὰ καὶ τὰ ὁπωσοῦν κατηγορούμενα ἀποδείξομεν εἰς ἄπειρον μὴ προϊόντα.*

*Ἐπεὶ τοίνυν ἁπάντων τῶν κατηγορουμένων τὰ* 22
*μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται, τὰ δὲ καθ' ἕτερον τρόπον, ταῦτα δὲ τὰ μὲν κατὰ φύσιν τὰ δὲ παρὰ φύσιν, κατὰ φύσιν μὲν ὅταν οὐσίας τι συμβεβηκός, παρὰ φύσιν δὲ ὅταν οὐσίαν συμβεβηκότος, τὰς μὲν παρὰ φύσιν κατηγορίας ὡς μηδὲ κατηγορίας παρῶμεν, τὰς δὲ ἄλλας ἐπισκεψώμεθα, εἴτε ἵστανται εἴτε μή. ὅτι μὲν οὖν τὰ ἐν τῷ τί ἐστιν ἀνάγκη πεπεράσθαι, δῆλον εὐθέως· οὐ γὰρ ἂν ἦν ἵστασθαι τοὺς ὁρισμοὺς ἀεὶ παντὸς γένους γένος ἔχοντος καὶ ὁρισμὸν δεχομένου, μᾶλλον δὲ οὐδ' ἂν εἴη τις ὅλως γνώριμος ὁρισμὸς ἑκάστου τῶν γενῶν ἀεὶ προϋπάρχοντος γένους, ὃ γνῶναι μὲν οὐχ οἷόν τε ἄνευ ὁρισμοῦ, διότι μηδὲ πρῶτόν ἐστι, μηδὲ ἀνωτάτω, ὁρίσασθαι δὲ οὐκ ἐνδέχεται ἅπαντα· οὐδὲ γὰρ ἐνδέχεται τὰ ἄπειρα διεξελθεῖν. τὰ μὲν οὖν ἐν τῷ τί*

---

11 *μὴ* om V 14 *ταῦτα δὲ* om A 16 *συμβεβηκότων* A; fort. *οὐσία συμβεβηκότος* 21 *γένος*] *ὑπερκείμενον* V (voluit *῾ποκείμενον*) 22 *τις* om V 24 *γένους* om V 27 *διελθεῖν* A

*ἔστι κατηγορούμενα διὰ ταῦτα ἀναγκαῖον ἵστασθαι· ὅτι δὲ καὶ τὰ συμβεβηκότα, δεικτέον. δῆλον τοίνυν ὅτι ταῦτα οὐσίας ὑποκειμένης κατηγορεῖται ἢ ὅτι ποιὰ ἢ ὅτι ποσὴ ἢ ὅτι πρός τι ἢ ποιοῦσα ἢ πάσχουσα ἢ ποῦ ἢ ποτέ, ὅταν γε ἓν καθ' ἑνὸς κατηγορῆται. καίτοι φαίης ἄν, ὅτι καὶ τὸ λευκὸν δίπηχυ λέγομεν καὶ τὸν βαδίζοντα διαλέγεσθαι καὶ τὸ ἄρτιον διπλάσιον εἶναι· ἀλλὰ πᾶσαι αὗται κατὰ συμβεβηκὸς αἱ κατηγορίαι, καθάπερ ὀλίγῳ πρόσθεν ὑπεμνήσαμεν. τὸ γὰρ λευκὸν αὐτὸ δίπηχυ λέγομεν, οὐχ ὅτι αὐτὸ*
fol. 8b. *καθ' αὑτὸ ὑφεστὸς τοσοῦτόν ἐστιν, ἀλλ' ὅτι καὶ τὸ ξύλον ἐν ᾧ τὸ λευκόν· τερετίσματι γὰρ ἔοικε τὸ εἶναι λευκότητά τινα καθ' αὑτὴν ἢ βάδισιν ἢ ἀριθμὸν ἢ ἐπιστήμην. δῆλον οὖν ὅπερ ἐλέγομεν, ὅτι τὰ συμβεβηκότα πάντα τῆς οὐσίας κατηγορεῖται, τὰ δὲ τῆς οὐσίας κατηγορούμενα πάντως πεπέρασται· τὰ γὰρ γένη τῶν κατηγοριῶν πάντα πεπέρασται ἐπ' ἄμφω τὰ ἄκρα.*

*Ἀναλυτικῶς δ' ἄν τις διὰ τούτων ἐπιχειρήσειε συντομώτερον, ὅτι οὔτε τοὺς κατηγορουμένους ὅρους οὔτε τοὺς ὑποκειμένους ἐπ' ἄπειρον ἐνδέχεται προϊέναι κατὰ τὰς ἀποδεικτικὰς ἐπιστήμας, περὶ ὧν ἡ σκέψις ἐστίν· αἱ μὲν γὰρ ἀποδείξεις διὰ τῶν καθ' αὑτὰ ὑπαρχόντων, ταῦτα δὲ διττῶς· ὅσα τε γὰρ ἐν τῷ τί ἐστι καὶ ἐν τοῖς ὁρισμοῖς, ὡς τὸ πλῆθος τῷ ἀριθμῷ καὶ τὸ ποσόν, καθ' αὑτὰ ὑπάρχειν λέγεται, καὶ ὧν αὐτὰ ἐν τοῖς ὁρισμοῖς ὑπάρχει συμβεβηκότων*

---

1 *ἵστασθαι*] *ὡριεῖσθαι* V 11 *καὶ* om A 23 *μὲν* om V 24 *ταῦτα*] *καθ' αὑτὰ* Aristot. *γὰρ* om A — *ὅσα τε γὰρ ἐν ἐκείνοις ἐνυπάρχει ἐν τῷ τί ἐστι* Aristot. 26 *αὐτὰ*] *αὑτὸ* libri 27 *αὐτὰ*] *τὰ* V *συμβεβηκότα* V

αὐτοῖς, ὡς τῷ ἀριθμῷ τὸ περιττόν. τούτων δὲ οὐδέτερα ἐνδέχεται ἄπειρα εἶναι· οὔτε γὰρ εἰ τὸ περιττὸν τοῦ ἀριθμοῦ κατηγορεῖται, ἄλλο τι δύναται τοῦ περιττοῦ κατηγορεῖσθαι, οὔτε τὸ περιττὸν ἐνυπάρχει τῷ λόγῳ τοῦ ἀριθμοῦ, καθάπερ ὁ ἀριθμὸς ἐνυπῆρχε τῷ λόγῳ τοῦ περιττοῦ· ἀεὶ γὰρ ἐλάττονες οἱ ὅροι τῶν ὑποκειμένων λαμβάνονται οἱ τοῦτον τὸν τρόπον κατηγορούμενοι, καὶ τελευτῶντες εἰς τὰ ἄτομα ἀπολεπτύνονται· ὥσπερ γὰρ ἔλαττον τὸ περιττὸν τοῦ ἀριθμοῦ, οὕτω πάλιν ἔλαττον τοῦ περιττοῦ τὸ κατηγορούμενον ἔσται. ἢ τοίνυν διὰ τοῦτο ἀνάγκη ἵστασθαι τὰς τοιαύτας κατηγορίας, ἢ ὅτι τὸ τῷ περιττῷ ὑπάρχον καθ' αὑτὸ καὶ τῷ ἀριθμῷ ὑπάρξει, καὶ ὅσα ἐφεξῆς πάντα τῷ ὅρῳ τῷ ὑποκειμένῳ, ὥστε καὶ ἐν τῷ ὁρισμῷ τῶν πάντων ὁ ἀριθμὸς ἐνυπάρξει· ἄπειρά τε ἄρα ὑπάρξει τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ ἀριθμῷ, καὶ ἐν ἀπείροις ὁρισμοῖς ὁ ἀριθμὸς ἐνυπάρξει. ἀλλὰ ἀδύνατον τὰ καθ' αὑτὰ ὑπάρχοντα ἄπειρα εἶναι· ἐνεργείᾳ τε γὰρ ὑπάρξει τὰ τοιαῦτα καὶ ἅμα. ἔτι δὲ ἀμήχανον τῷ καθ' αὑτὸ ὑπάρχοντι καὶ ὄντι συμβεβηκότι ἄλλο τι καθ' αὑτὸ ὑπάρχειν συμβεβηκός· ἔσται γὰρ τὸ συμβεβηκὸς ὑποκειμένη τις φύσις καὶ οὐσία λοιπόν. οὐδὲ μὴν ὅσα ἐν τῷ τί ἐστιν ὑπάρχει, οὐδὲ ταῦτα ἄπειρα· οὐδὲ γὰρ ἂν εἴη ὁρίσασθαι. δῆλον ἄρα, ὅτι ἀνάγκη μήτε ἐπ' ἄπειρον προϊέναι τὰς ἀποδείξεις μήτε πάντα εἶναι ἀποδεικτὰ ὅπερ ἔφαμέν τινας λέγειν κατ' ἀρχάς· πάντα μὲν γὰρ οὐκ ἔστιν ἀποδεικτά, εἴπερ μὴ πάσης προτάσεως μέσον

1 τῷ ἀριθμῷ τὸ περιττὸν] ὁ ἀριθμὸς τῷ περιττῷ V 3 ἄλλο τι] ἀλλ' ὅτι A 4 ἐνυπάρξει A 5 τοῦ ἀριθμοῦ om V 12 ὅτι om A 15 τῶν] τῷ A 16 αὑτὸ libri 20 ἔτι] ὅτι V 24 οὐδὲ γὰρ] οὔτε γὰρ V, οὐ γὰρ A; furt. ἂν ἦν

τινὰ ὅρον ἔσται λαβεῖν, ἀλλ' ἵστανταί ποτε εἰς τὰς ἀμέσους προτάσεις. ἀπεδείξαμεν γὰρ ὅτι τῶν ἄκρων ὡρισμένων ἀμήχανον τὰ μεταξὺ ἄπειρα εἶναι, ἐπ' ἄπειρον δὲ οὐ προήξουσιν αἱ ἀποδείξεις μὴ δυναμένου τινὸς ἀεὶ προσλαμβάνεσθαι ὅρου τῷ συμπεράσματι.

24 Πότερον δὲ ἡ καθόλου δεῖξις τῆς ἐπὶ μέρους βελτίων, ἐπισκεψώμεθα· πρότερον δὲ εἴπωμεν, πῶς ἂν δόξειεν ἡ ἐπὶ μέρους. ὅτι τε γὰρ καθ' αὑτὸ μᾶλλον· ὁ γὰρ εἰδὼς ὅτι Καλλίας λογικός, μᾶλλον οἶδε Καλλίαν λογικὸν τοῦ πάντα ἄνθρωπον λογικὸν ἐπισταμένου καὶ διὰ τοῦτο Καλλίαν. ἐκ δὲ τῆς ἐπὶ μέρους αὐτὸ ἐξ αὑτοῦ γινώσκομεν, ἐκ δὲ τῆς καθόλου τὸ καθόλου. ἔτι τὸ μὲν καθόλου οὐδέν ἐστι, τὸ δ' ἐπὶ μέρους μᾶλλόν ἐστι· βελτίων οὖν ἡ τῶν ὄντων ἀπόδειξις ἢ τῶν μὴ ὄντων. ἔτι δὲ ἡ μὲν ἀπάτη περὶ τὸ καθόλου· ὡς γὰρ ὑπάρχοντος χωρὶς τῶν κατὰ μέρος τὴν δεῖξιν ποιεῖται, ἡ δὲ οὐδὲν ὃ μή ἐστιν, ἐπαγγέλλεται. ταῦτα δὲ πιθανὰ μὲν ψευδῆ δὲ ἅπαντα. καὶ γὰρ τὸ καθ' αὑτὸ μᾶλλον ἐν τῷ καθόλου ἢ ἐν τῷ κατὰ μέρος· τὸ γὰρ δύο ὀρθὰς ἔχειν ἐκ τοῦ τρίγωνον εἶναι καθ' αὑτὸ μᾶλλον ἢ ἐκ τοῦ σκαληνοῦ ἀποδείκνυται, καὶ ὄντος τοῦ καθόλου γίνεται ἡ ἀπόδειξις· οὐ γὰρ ὁμώνυμον τὸ καθόλου ἐστὶν οὐδὲ φωνὴ μόνον, ἀλλ' ὑπόστασις, οὐ χωριστὴ μὲν ὥσπερ οὐδὲ τὰ συμβεβηκότα, ἐναργῶς δ' οὖν ἐμφαινομένη τοῖς πράγμασι. καὶ πολλὰ τοῖς καθέκαστα ὑπάρχει διὰ τὸ κοινὸν μᾶλλον ἢ τὸ καθέκαστον, ὡς τὸ λογι-

---

7 Caput 23 omisit Themistius  ἡ] εἰ ἡ A  12 δὲ] μὲν V, immo γάρ  13 τὸ καθόλου] ἄλλο παρὰ τὸ καθόλου?  16 ἢ om A  22 σκαληνὸν A  26 οὖν om A

κὸν τῷ Σωκράτει, οὐχ ὅτι Σωκράτης ἀλλ' ὅτι ἄνθρωπος. ἔτι βελτίων ἀπόδειξις ἡ διὰ τοῦ μᾶλλον αἰτίου, μᾶλλον δ' αἴτιον τὸ καθόλου τοῦ κατὰ μέρος· εἰς ἐκεῖνο γὰρ ἵσταται ἡ ζήτησις τοῦ διὰ τί, οἷον διὰ τί τὸ τρίγωνον τέσσαρσιν ὀρθαῖς ἴσας ἔχει τὰς ἐκτὸς γωνίας; ἆρ' ὅτι ξύλινον; ἀλλ' οὐκ αὔταρκες. ἀλλ' ὅτι σκαληνόν; ἀλλ' οὐδὲ τοῦτο. ἀλλ' ὅτι τρίγωνον ἁπλῶς; οὐδὲ τοῦθ' ἱκανόν. ἐὰν δὲ εἴπω, ὅτι σχῆμα εὐθύγραμμον, ἵσταται ἡ ζήτησις τοῦ διὰ τί. πρὸς τούτοις ἡ μὲν κατὰ μέρος τῶν ἀπείρων ἐγγύς· τὰ γὰρ καθέκαστα ἄπειρα, ἡ δὲ [τῶν] καθόλου τῶν πεπερασμένων μᾶλλόν ἐστιν. ἔτι ἄμεινον τὸ πλέον γινώσκειν τοῦ ἔλαττον. ἔτι μᾶλλον ἐξ ἀμέσων οἶδεν ὁ διὰ τῶν καθόλου μᾶλλον εἰδώς. ἔτι δυνάμει γινώσκει τὸ κατὰ μέρος ὁ τὸ καθόλου γινώσκων, ὁ δὲ τὸ κατὰ μέρος εἰδὼς οὐδαμῶς τὰ καθόλου. ἔτι τὸ μὲν νοητὸν μᾶλλον, τὸ δ' εἰς αἴσθησιν τελευτᾷ. ὅτι μὲν οὖν ἡ καθόλου βελτίων τῆς κατὰ μέρος, τοσαῦτα ἡμῖν εἰρήσθω.

25

Ὅτι δὲ ἡ καταφατικὴ τῆς ἀποφατικῆς βελτίων, ἐντεῦθεν δῆλον· ἡ μὲν γὰρ οὐ δεῖται ἀποφάσεως, ἡ δὲ διὰ μόνης ἀποφάσεως οὖσα οὐ συμπεραίνεται, καὶ προτέρα κατάφασις τῆς ἀποφάσεως καὶ ἁπλουστέρα.

26

Ἀμείνων δ' ἡ ἀπόδειξις ἡ δεικτικὴ τῆς εἰς τὸ ἀδύνατον ἀπαγούσης· ἡ μὲν γὰρ ὃ προτίθεται ἐξ ἀρχῆς, τοῦτο καὶ συλλογίζεται, ἡ δὲ τοὐναντίον οὗ

---

2 βέλτιον V 11 τῶν om V 16 τὰ καθόλου] immo τὸ καθόλου 22 οὖσα om V

*βούλεται, ἀνελοῦσα δὲ ὃ συνεπέρανεν, ἐπάνεισιν ἐπὶ τὸ προκείμενον ἐξ ἀρχῆς· καὶ ἡ μὲν ἁπλῆ· κατηγορικὴ γὰρ μόνον, ἡ δὲ μικτή· καὶ γὰρ ὑποθέσει προσχρῆται.*

27 *Ἀκριβεστέρα δὲ ἐπιστήμη ἐπιστήμης καὶ προτέρα κατὰ πλείους τρόπους. καθ' ἕνα μέν, ἐὰν ἐκ τοῦ διότι τὸ ὅτι δεικνύῃ, ἡ δὲ μόνον τὸ ὅτι χωρὶς τοῦ διότι· ἡ γὰρ τοιαύτη δῆλον ὅτι οὐ διὰ τῶν πρώτων* fol. 9. *αἰτίων, ἀλλὰ διὰ τῶν ὑστέρων καὶ τῶν σημείων ἀποδείκνυσι, κατ' ἄλλον δέ, ἐὰν ἡ μὲν περὶ ὑποκείμενά τινα καὶ αἰσθητὰ πραγματεύηται, ἡ δὲ περὶ νοητὰ καὶ καθόλου, ὡς ἀριθμητικὴ πρὸς ἁρμονικὴν ἔχει καὶ γεωμετρία πρὸς ὀπτικήν, καὶ αἱ ἐπάνω δὲ πρὸς τὰς ὑφ' αὐτάς. κατὰ τρίτον δὲ τρόπον, ἐὰν ἡ μὲν ἁπλουστέραις χρῆται ταῖς ἀρχαῖς, ἡ δὲ προσθήκην τινὰ ἐχούσαις καὶ οἷον σύνθεσιν ἐπιδέχηται κατὰ τοῦτο, ὡς ἀριθμητικὴ γεωμετρίας ἀκριβεστέρα· ἡ μὲν γὰρ ἀρχῇ κέχρηται θέσιν οὐκ ἐχούσῃ· τοιαύτη γὰρ ἡ μονάς, ἡ δὲ προσειληφυῖα καὶ θέσιν, τοιοῦτον δὲ ἡ στιγμή· καὶ στερεομετρία δὲ ἀκριβεστέρα ἀστρολογίας· ἡ μὲν γὰρ ἁπλῶς σῶμα λαμβάνει, ἡ δὲ καὶ κινούμενον σῶμα.*

28 *Μία δ' ἐπιστήμη ἐστὶν ἡ περὶ ἓν γένος τὰ καθ' αὑτὰ ὑπάρχοντα θεωροῦσα· ἓν δὲ γένος, οὗ αἱ πρῶται ἀρχαὶ αἱ αὐταί. μία οὖν ἐπιστήμη γεωμετρία καὶ στερεομετρία διὰ τοῦτό εἰσιν, ἕτεραι δέ εἰσιν ἐπιστῆμαι, ὅσων ἕτεραι αἱ ἀρχαὶ καὶ μὴ ἐκ τῶν ἑτέρων*

3 *μόνον*] *μᾶλλον* V  6 fort. *ἐὰν ἡ μὲν*  14 *ὑπ' αὐτάς?*
16 *ἐπιδέχεται* V, om A  20 *στερεωμετρία* A  26 *στερεωμετρία* A

ἕτεραι, ὥσπερ ἐπὶ γεωμετρίας εἶχε καὶ ὀπτικῆς. δῆλον δὲ τοῦτο γίνεται προϊοῦσιν ἐπὶ τὰς ἀναποδείκτους ἀρχάς· αὗται γὰρ εἰ μηδεμίαν ἔχοιεν συγγένειαν, ἕτεραι αἱ ἐπιστῆμαι· ἐπειδὴ γὰρ αἱ ἀρχαὶ [αἱ αὐταὶ] ἐν τῷ αὐτῷ γένει τοῖς δεικνυμένοις, εἰ μηδὲν ἔχοιεν αὗται κοινὸν πρὸς ἀλλήλας, οὐδὲ τὰ δεικνύμενα ἕξει.

Πλείους δὲ ἀποδείξεις εἶναι τοῦ αὐτοῦ ἐγχωρεῖ 29
καὶ διὰ πλειόνων μέσων, οὐ μόνον ὑπαλλήλων, ἀλλὰ πολλάκις καὶ ἐξ ἑτέρου γένους ἀλλήλοις. ἐξ ὑπαλλήλων μὲν οὖν, ἐὰν πλάτανον οὐσίαν δεικνύωμεν ποτὲ μὲν διὰ τοῦ δένδρου μέσου, ποτὲ δὲ διὰ τοῦ φυτοῦ ἐκ τῆς αὐτῆς συστοιχίας· ἐξ ἑτερογενῶν δὲ μέσων, ἐὰν τὸν ἄνθρωπον οὐσίαν δεικνύωμεν ποτὲ μὲν διὰ τοῦ λογικοῦ, ποτὲ δὲ διὰ τοῦ δίποδος. συμβαίνει δὲ τὰ τοιαῦτα μέσα ἀλλήλοις ἐπὶ μέρους ὑπάρχειν, ἐπειδὴ κατὰ παντὸς ἄμφω θατέρου τῶν ἄκρων ὑπάρχει.

Τοῦ δὲ ἀπὸ τύχης οὐκ ἔστιν ἐπιστήμη δι' ἀπο- 30
δείξεως· οὐ γὰρ ἀναγκαῖον τὸ ἀπὸ τύχης, οὐδὲ μὴν ἁπλῶς συλλογισμός· οὔτε γὰρ ἀναγκαῖον οὔτε ὡς ἐπὶ τὸ πολὺ τὸ ἀπὸ τύχης, πᾶς δὲ συλλογισμὸς ἢ διὰ τῶν ἀναγκαίων μέσων ἢ διὰ τῶν ὡς ἐπὶ τὸ πολὺ πρόεισιν.

Οὐκ ἔστι δὲ ἀπόδειξις δι' αἰσθήσεως· ἡ μὲν γὰρ 31
ἀπόδειξις τῶν καθόλου, ἡ δὲ αἴσθησις τῶν καθ' ἕκαστα· καὶ γὰρ εἰ τὸ τρίγωνον ᾐσθανόμεθα ὅτι δύο

---

1 εἶχε] immo ἔχει  4 αἱ αὐταὶ] αἱ V, delendum puto
6 κοινὸν] κοινὸν πρᾶγμα V  7 ἕξει] om V  11 οὖν om V
23 πρόεισιν] προὔτασιν libri

ὀρθαῖς ἴσας ἔχει, οὐκ εἴχομεν ἂν ἀπόδειξιν, ὅτι πᾶν τρίγωνον, ἀλλ' ὅτι τοῦτο τὸ τρίγωνον μόνον οὖ ᾐσθανόμεθα, [ὅτι δύο ὀρθαῖς ἴσας ἔχει,] καὶ εἴγε τὴν ἔκλειψιν ἑωρῶμεν ἐπὶ τῆς σελήνης ὄντες ὅτι γίνεται τῆς γῆς ἀντιφραττούσης, οὐχ ὅτι πᾶσα ἔκλειψις οὕτως, ἠπιστάμεθα ἄν, ἀλλ' ὅτι ἥδε μόνη ἣν βλέπομεν. ἀρχὴ μὲν γὰρ ἀποδείξεως αἴσθησις, καὶ τὸ καθόλου ἐννοοῦμεν διὰ τὸ πολλάκις αἰσθέσθαι· ἐκ γὰρ τῶν καθ' ἕκαστα πλειόνων τὸ καθόλου θηρεύεται καὶ γίνεται δῆλον· οὐ μὴν διὰ τοῦτο ἀπόδειξίς ἐστιν ἡ αἴσθησις· οὐδέποτε γὰρ τὸ διότι δείκνυσιν, ἀλλ' ἀεὶ μόνον τὸ ὅτι· καθόλου γάρ ἐστι τὸ διότι καὶ τὸ αἴτιον, οὐ τοῦδε μόνου τοῦ παρόντος καὶ ὁρωμένου, ἀλλὰ παντὸς τοῦ τοιοῦδε· τὸ γὰρ ἀντιφράττειν οὐ μόνον ταύτης αἴτιον τῆς ἐκλείψεως ἀλλ' ἁπάσης ἁπλῶς. ὅσων τοίνυν αἴτιον ἕτερον, περὶ τούτων ἡ τοῦ καθόλου γνῶσις τιμιωτέρα τῆς αἰσθήσεως, καὶ οὐ μόνον δὲ τῆς αἰσθήσεως ἐπὶ τούτων, ἀλλὰ καὶ τῆς νοήσεως τῆς ἁπλῆς καὶ ἄνευ αἰτίας, οἷον εἴ τις ἁπλῶς ἐννοοίη τὸ τρίγωνον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, δίχα τοῦ γινώσκειν τὴν ἐκτὸς οὖσαν ἴσην ταῖς δύο ταῖς ἀπεναντίον τε καὶ ἐντὸς οὔσαις. ἡ δὲ νόησις ἡ μετὰ τοῦ διότι τῆς ἄνευ τοῦ διότι τιμιωτέρα· ἀλλ' ὅσων εἴπομεν ἕτερον τὸ αἴτιον, ἐπεὶ ἥ γε τῶν πρώτων αἰτίων νόησις καὶ ἄνευ αἰτίας καὶ πασῶν τιμιωτάτη. ἀλλ' εἴπερ οὐκ ἔστιν ἡ αἴσθησις ἐπιστήμη, πῶς εἴ τις αἴσθησις ἐκλιμπάνει, καὶ ἐπιστήμην ἔφαμεν ἐκλιμπάνειν; ἢ τοῦτο εἰρήκαμεν,

---

3 ὅτι — ἔχει om V 4 τὴν om A 8 νοοῦμεν V fort. αἴσθεσθαι vid. Arist. II, 2 p. 90, 28 9 τὸ — 10 δῆλον] τὰ — δῆλα A 13 τοῦδε] τούτου δὲ A 17 τοῦ] τῶν V 18 δὲ] γε V 19 εἰ γάρ τις V 23 ἡ δὲ νόησις ἡ] ἡ πᾶσα δὲ νόησις V 24 ἕτερον] ἐφ' ὅσων ἕτερον V 27 ἡ ἐπιστήμη A

οὐχ ὅτι ἡ αἴσθησις ἐπιστήμη, ἀλλ' ὅτι ἐκ τῆς αἰσθήσεως τὸ καθόλου θηρεύεται, ἐκλειπούσης δὲ τῆς ἀρχῆς καὶ τὰ μετὰ τὴν ἀρχὴν ἐκλείπειν ἀναγκαῖον; νῦν μὲν γὰρ ἀποροῦμεν, πῶς διὰ τῆς ὑέλου καίει ὁ ἥλιος, εἰ δὲ τὰς ἀκτῖνας ἑωρῶμεν διαβαινούσας, ἠπιστάμεθα ἂν οὐκ αὐτῷ τῷ ὁρᾶν καὶ αἰσθάνεσθαι τὸ καθόλου καὶ τὸ αἴτιον.

32 Τὰς δὲ αὐτὰς ἀρχὰς πασῶν εἶναι τῶν ἐπιστημῶν ἀδύνατον, οὔτε τὰς προσεχεῖς οὔτε τὰς κοινὰς καὶ πρώτας. ὅτι μὲν οὖν τὰς προσεχεῖς οὐχ οἷόν τε, δῆλον· εἰ γὰρ συγγενεῖς μὲν αἱ ἀρχαὶ τοῖς δεικνυμένοις, τὰ δεικνύμενα δὲ οὐ τὰ αὐτά, ἃ καὶ πολλάκις τῷ γένει διέστηκεν, ἀνάγκη καὶ τὰς προτάσεις τῶν τοιούτων ἑτέρας εἶναι τῷ γένει· διὰ γὰρ τῶν καθ' αὐτὰ ὑπαρχόντων. ἄλλαι γοῦν ἀρχαὶ γεωμετρίας καὶ ἄλλαι ἀριθμητικῆς, καὶ οὕτως ἄλλαι, ὡς μηδὲ ἐφαρμόζειν ἀλλήλαις, ὥστε ἢ τὰς ἑτέρας κατὰ τῶν ἑτέρων κατηγορεῖσθαι ἢ ἐμβάλλεσθαι μέσας ἢ ὑποκεῖσθαι· ἀλλ' οὐδὲ τὰς κοινὰς καὶ πρώτας, οἷον τὸ ἅπαν φάναι ἢ ἀποφάναι· οὔτε γὰρ ἀποδείκνυταί τι ἐκ τούτων μόνων, ἀλλὰ πρόκειται πάντως ἑκάστη τῆς λαμβανούσης αὐτὴν ἐπιστήμης οἰκεία πρότασις καὶ προσεχής, οὔτε ὅλως κοινὰς αὐτὰς φυλάττουσιν εἰς τὰς ἀποδείξεις παραλαμβάνοντες, ἀλλὰ προσοικειοῦν πειρῶνται τῷ οἰκείῳ γένει· κοινὴ μὲν γὰρ ἀρχή, ἐὰν τέσσαρα ἀνάλογον, καὶ ἐναλλὰξ ἀνάλογον· λαμβάνει δὲ ὁ γεωμέτρης, ἐὰν τέσσαρα μεγέθη, ὁ δὲ ἀριθμητικὸς

1 ἐπιστήμη] ἐκλιμπάνει ἐπιστήμη V    5 ἑωρῶμεν] ἐθεωροῦμεν V    6 οὐκ] fort. delendum, sed V sic habet οὐ καθ' αὐτὸ τὸ ὁρᾶν καὶ αἰσθάνεσθαι, ἀλλὰ τὸ    12 καὶ om A    21 πρόσκεινται — 22 οἰκεῖαι προτάσεις καὶ προσεχεῖς A

*ἐὰν τέσσαρες ἀριθμοί, καὶ ὁ φυσικὸς ἐὰν τέσσαρες κινήσεις ἢ χρόνοι. ἔτι εἰ ἦσαν ἁπασῶν τῶν ἐπιστημῶν αἱ αὐταὶ ἀρχαί, ἦσαν ἂν κατ' ἀριθμὸν ὡρισμέναι, ὥσπερ καὶ τὰ γράμματα· νῦν δὲ αὔξονται ἐπὶ πολὺ καθ' ἑκάστην ἐπιστήμην· ἐπὶ πολὺ γὰρ ἡ πρόοδος τῶν συμπερασμάτων. ἔτι εἰ ἦσαν αἱ αὐταὶ* [fol. 9b.] *ἁπάντων ἀρχαί, ἐξ ἁπασῶν ἂν ἦν δείκνυσθαι ὁτιοῦν, ἀλλ' οὐ δείκνυται τὰ γεωμετρικὰ ἐκ τῶν μουσικῶν, ὥστε οὔτε πάντων αἱ αὐταί, οὔτε πάντων ἕτεραι, οὔτε πάντων συγγενεῖς.*

33 *Τὸ δὲ ἐπιστητὸν καὶ ἡ ἐπιστήμη διαφέρει τοῦ δοξαστοῦ καὶ τῆς δόξης· λέγω δὲ τῆς ἀληθοῦς δόξης· ἡ γὰρ ψευδὴς δόξα πρόδηλον, ὡς οὐδὲν ἔοικεν ἐπιστήμη. ἡ τοίνυν ἀληθὴς δόξα τῆς ἐπιστήμης διαφέρει δυσί, τῷ τε ὑποκειμένῳ καὶ τῷ τρόπῳ τῆς ὑπολήψεως. τῇ μὲν γὰρ ὑπόκειται τὸ ἀναγκαῖον καὶ ἀδύνατον ἄλλως ἔχειν, τῇ δὲ καὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν, καὶ ἡ μὲν δι' ἀναγκαίων, ἡ δὲ δι' ἐνδεχομένων προτάσεων· οὗτος γὰρ ἑκάτερος τρόπος τῆς ὑπολήψεως. ὅτι μὲν οὖν περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν ἡ δόξα, δῆλον ἐκεῖθεν· οὔτε γὰρ ἐπιστήμη τούτων ἐστίν· ἦν γὰρ ἂν ἀδύνατα ἄλλως ἔχειν, οὔτε νοῦς· λέγω γὰρ νοῦν ἐν τῷ παρόντι τὴν ἀρχὴν τῆς ἐπιστήμης ᾗ τοὺς ὅρους γνωρίζομεν· οὔτε μὴν ἣν ἄν τις ἀναπόδεικτον ἐπιστήμην καλέσειε, λέγω δὲ τὴν λῆψιν τῶν ἀμέσων προτάσεων. εἰ δὲ οἷς ἀληθεύομεν, ταῦτά ἐστι νοῦς καὶ ἐπιστήμη καὶ δόξα, λείπεται*

2 ἔτι] εἴ τι A ἁπασῶν] ἀπὸ πασῶν V 4 γράμματα] πράγματα V 6 πρόσοδος V ἔτι] εἴ τι A 7 ἁπάντων] πασῶν V, idque fort. in seqq. ter reponendum 11 ἡ om V; fort. et τῆς delendum 15 τε] γε τε V 21 ἐκεῖθεν om V 24 ᾗ] ᾧ A 27 λείπῃ A

*δόξαν εἶναι περὶ τὸ ἀληθὲς μὲν ἐνδεχόμενον δὲ καὶ ἄλλως ἔχειν· διὰ τοῦτο γὰρ καὶ ἀβέβαιον ἡ δόξα, ὅτι καὶ ὑπόκειται φύσις αὐτῇ τοιαύτη. πρὸς δὲ τούτοις οὐδεὶς οἴεται δοξάζειν, ὅταν οἴηται ἀδύνατον εἶναι ἄλλως ἔχειν περὶ τοῦ πράγματος, ἀλλὰ τότε ἐπίστασθαι ὑπολαμβάνει· ὅταν δὲ εἶναι οὕτως, οὐ μὴν ἀλλὰ καὶ ἄλλως ἐνδέχεσθαι, τότε δοξάζει. ὅτι δὲ καὶ τῷ τρόπῳ τῆς ὑπολήψεως διαφέρουσι ῥητέον· ἔστι γὰρ τὸ αὐτὸ καὶ διὰ τῶν αὐτῶν προτάσεων ὅτε μὲν ἐπίστασθαι, ὅτε δὲ δοξάζειν, ἄν τε τοῦ ὅτι γίνηται μόνον συλλογισμός, ἄν τε καὶ τοῦ διότι, ὅθεν καὶ δοξάζοι ἂν ὁ τὸ αὐτὸ διὰ τῶν αὐτῶν εἰδὼς ὁμοίως εἰδέναι, ὥστε εἰ κατ' ἐπιστήμην ἅτερος, καὶ ἅτερος παραπλησίως. ἀλλ' οὐκ ἀληθές· ἂν μὲν γὰρ ὑπολαμβάνῃ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν τὰς προτάσεις, ἀλλ' ἐκ τῶν καθ' αὑτὰ καὶ τῆς οὐσίας τοῦ πράγματος, οὐ δοξάσει ἀλλ' ἐπιστήσεται· ἂν δὲ ἀληθεῖς μὲν ὑπολαμβάνῃ, μὴ οὕτως δὲ ἔχειν ὡς ἔχουσι, τουτέστι μὴ ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων, εἰδέναι δοξάσει τότε καὶ οὐκ ἐπιστήσεται. οὕτω μὲν οὖν τοῦ αὐτοῦ δόξαν εἶναι καὶ ἐπιστήμην ἐνδέχεται, ὅτι περὶ τὸ αὐτὸ ὑποκείμενον ἡ μὲν ἄλλως, ἡ δὲ ἄλλως, καὶ ὅτι διὰ τῶν αὐτῶν προτάσεων ἡ μὲν ὡς ἐνδεχομένων, ἡ δὲ ὡς ἀναγκαίων. ὡς μέντοι γε τὰς αὐτὰς ἀλλήλαις εἶναι τὴν δόξαν τε καὶ τὴν ἐπιστήμην ἀδύνατον· ἄλλο γὰρ τὸ τί ἦν εἶναι ἑκάστῃ καὶ πολὺ διαφέρων ὁ τρόπος τῆς ὑπολήψεως, ὥσπερ καὶ δόξαν ἀληθῆ μὲν καὶ ψευδῆ περὶ τοῦ αὐτοῦ εἶναι ἐνδέχεται, οὐ τὰς αὐτὰς δέ·*

---

3 *αὐτῆς* V 4 *ὅταν*] *ὅτι* A *οἴεται* libri 5 *ἄλλως*] *μὴ οὕτως* V 6 *εἶναι*] *δέον εἶναι* V, fort. *εἶναι μὲν* 9 *τοτὲ* — 10 *τοτὲ* A 17 *δὲ*] *μέντοι* V 18 *λαμβάνῃ* V 26 *διαφέρειν* V 27 *ὥσπερ καὶ*] *καὶ* om V 28 *αὐτοῦ*] *αὐτοῦ μὲν* V

οὐ γὰρ ταὐτὸν τὸ ἀβέβαιον τῷ βεβαίῳ καὶ τῷ μεταπεσεῖν δυναμένῳ τὸ ἀμετάπτωτον· διόπερ οὐδ' οἷόν τε τὸν αὐτὸν περὶ τοῦ αὐτοῦ καὶ δόξαν ἔχειν ἅμα καὶ ἐπιστήμην· ἅμα γὰρ ἂν ὑπολαμβάνοι καὶ ἐνδέχεσθαι καὶ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν τὸ αὐτό, ἀλλ' ἐν ἄλλῳ μὲν εἶναι περὶ τούτου δόξαν, ἐν ἄλλῳ δ' ἐπιστήμην συμβαίνει· ἐν Ἐπικούρῳ μὲν γὰρ δόξα ἦν, ὅτι τῆς σελήνης ὑποτρεχούσης ὁ ἥλιος ἐκλιμπάνει· ᾤετο γὰρ αὐτὸ ἐνδέχεσθαι καὶ ἄλλως ἔχειν· ἐν Ἱππάρχῳ δὲ ἐπιστήμη· τὴν δὲ αὐτὴν ψυχὴν περὶ τοῦ αὐτοῦ καὶ ἐν τῷ αὐτῷ χρόνῳ ἀμήχανον δοξάζειν τε καὶ ἐπίστασθαι. δόξα μὲν οὖν τοῦτό ἐστιν.

34 Ἀγχίνοια δὲ εὐστοχία τις ἐν ἀσκέπτῳ χρόνῳ καὶ λῆψις τοῦ μέσου, οἷον εἴ τις ἰδὼν ὅτι ἡ σελήνη ἀεὶ τὸ λαμπρὸν πρὸς τὸν ἥλιον ἔχει, ταχέως ἐνενόησε τὴν αἰτίαν, ὅτι διὰ τὸ φωτίζεσθαι ἐκ τοῦ ἡλίου, ἢ διαλεγόμενον θεασάμενος τῷ τραπεζίτῃ ἔγνω, ὅτι δανείζεται· ὅταν γάρ τις ἰδὼν ἢ ἀκούσας τὸ τὰ ἄκρα ἀλλήλοις ἐνυπάρχειν, εὐθὺς τὸν μέσον νοήσῃ, οὗτος λέγεται ἀγχίνους εἶναι, καὶ ἡ τοιαύτη δύναμίς ἐστιν. ἡ ἀγχίνοια οἷον ἀνάλυσίς τις οὖσα τοῦ συμπεράσματος εἰς τὰς προτάσεις, καὶ εὕρεσις ταχεῖα τοῦ μέσου.

---

2 ἀμετάστατον A    18 τὸ om A    20 ἡ om A

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΤΩΝ ΥΣΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

*Ἕπεται δὲ εὐθὺς ἐπισκέψασθαι τὰς τῶν ζητουμένων διαφοράς· αἱ δ' αὐταί εἰσι καὶ τῶν εὑρισκομένων ἐκ ζητήσεως, ἐπειδὴ πᾶσα ζήτησις εὑρέσεως χάριν. ζητοῦμεν τοίνυν ἢ περὶ ἁπλοῦ τινὸς καὶ ἀσυνθέτου, ἢ περὶ συνθέτου καὶ ἐν προτάσει. καλῶ δὲ ἁπλοῦν μὲν ὃ σημαίνεται ὑπὸ μιᾶς κατηγορίας, οἷον ἱπποκένταυρον ἢ θεόν, συνθετὸν δὲ ἆρα ἡ σελήνη ἐκλείπει καὶ τὸ δίκαιον φύσει ἐστίν; εἰ μὲν οὖν περὶ ἁπλοῦ τινὸς ζητοίημεν, πρῶτον μὲν εἰ ἔστι, ζητοῦμεν, ἔπειτα τί ἐστι· πρῶτον μὲν γὰρ ζητοῦμεν εἰ ἔστι θεός, ἔπειτα τί ἐστι θεός· εἰ δὲ περὶ συνθέτου καὶ ἐν προτάσει, πρῶτον μὲν εἰ ὑπάρχει τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον ἐν τῇ προτάσει, ἔπειτα ὅταν τοῦτο μάθωμεν, διὰ τί οὖν ὑπάρχει καὶ πῶς ὑπάρχει· μαθόντες γὰρ ὅτι ἡ σελήνη ἐκλείπει, ἐφεξῆς διὰ τίνα αἰτίαν ἐκλείπει, ζητοῦμεν. τέσσαρα οὖν ἐστὶν εἰ ἔστι, τί ἐστιν,*

9 τινὸς om V ζητοί μεν A, fort. ζητοῦμεν 10 γὰρ ζητοῦμεν om V 11 περὶ] ὑπὲρ V 13 τῇ om A

εἰ ὑπάρχει τῷδε τόδε καὶ διὰ τί ὑπάρχει, δύο μὲν περὶ τῶν ἁπλῶν, δύο δὲ περὶ τῶν συγκειμένων.

2 Μὴ θορυβείτω δὲ ἡμᾶς, εἰ ἑτέραν ἐν τοῖς Τοπικοῖς τῶν προβλημάτων τὴν διαίρεσιν πεποιήμεθα· μόνον γὰρ ἐκεῖ τῶν διαλεκτικῶν ζητημάτων ἐρρήθησαν αἱ διαφοραί, ἅπαντα δὲ ἐκεῖνά ἐστιν ἐν συνθέσει καὶ μόνῳ τῷ τρόπῳ τῆς προτάσεως διαφέρει· ἢ γὰρ ὡς γένος τόδε τῷδε ὑπάρχει, ἢ ᾗπερ ἴδιον τόδε τοῦδε, ἢ εἰ συμβέβηκε τόδε τῷδε, ἢ εἴπερ ὁρισμὸς τόδε τοῦδε. καὶ γὰρ ἂν ὑπὲρ ὁρισμοῦ ζητῶμεν διαλεκτικῶς, πρότασιν αὐτὸν ποιήσαντες οὕτω ζητοῦμεν, οἷον ἆρ' ἐστὶν ἡ ψυχὴ ἀριθμὸς ἑαυτὸν κινῶν, ὡς ἐνόμιζε Ξενοκράτης; ὅταν δὲ ἐπιστημονικῶς μετίωμεν τὸ τί ἐστιν, οὐδέπω πρότασις ἡμῖν τὸ ζήτημα. ἀλλ' οὐδὲ τὸ διὰ τί ἐστι πρόβλημα διαλεκτικόν· οὐ γὰρ δίδωσιν ὁ πυνθανόμενος ἑλέσθαι τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως· οὐδὲ γὰρ ἐλέγχου χάριν πυνθάνεται ἀλλ' ἐπιστήμης ἕνεκεν μέτεισι τὴν αἰτίαν τὴν ζητουμένην. ὁ μὲν οὖν ζητῶν, ἆρα ἔστι κενόν, ἢ ἆρα ἡ σελήνη ἐκλείπει; ζητοῦντι ἔοικεν, ἆρ' ἔστι λαβεῖν τι αἴτιον τοῦ κενὸν εἶναι καὶ τοῦ τὴν σελήνην ἐκλείπειν. ὁ δὲ εἰδὼς μὲν ὅτι ἔστι κενὸν καὶ ὅτι σελήνη ἐκλείπει, ζητῶν δὲ τί ἐστι τὸ κενὸν καὶ διὰ τί ἡ σελήνη ἐκλείπει, τίθεσθαι μὲν φαίνεται ὅτι ἔστι τις αἰτία καὶ τῷ κενῷ τοῦ εἶναι καὶ τῇ σελήνῃ τοῦ ἐκλιμπάνειν, ζητεῖ δὲ τίς ἐστιν ἡ αἰτία. δῆλον δέ· ὅταν γὰρ ἐξεύρῃ τί ἐστι τὸ κενόν, ἐξεῦρε τί ἐστι τὸ αἴτιον τοῦ κενὸν εἶναι· ὁ γὰρ ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι αἴτιος ἑκά-

3 Τοπικοῖς] I, 4   5 ζητημάτων] προβλημάτων A   9 εἰ συμβέβηκε] συμβεβηκὸς A   12 οἷον om V   17 οὐδὲ] οὐ A   19 ἡ σελήνη om A

στῳ τοῦ εἶναι, καὶ πάλιν ὅταν ἐξεύρῃ διὰ τί ἡ σελήνη ἐκλείπει, ἐξεῦρε τίς ἐστιν ἡ αἰτία τοῦ τὴν σελήνην ἐπισκοτεῖσθαι· εἰ γὰρ ἐκλείπει διὰ τὸ ἀντιφράττεσθαι τὸ φῶς ὑπὸ τῆς γῆς, ἡ ἀντίφραξις τοῦ φωτός ἐστιν αἰτία τοῦ ἐκλιμπάνειν. αἰτίας οὖν ζήτησις πανταχοῦ ἢ τοῦ εἶναι ἁπλῶς· ἢ τοῦ τόδε τῷδε ὑπάρχειν. ὅτι δὲ ἀληθὲς τοῦτο, φανερὸν ἐντεῦθεν· ἐφ' ὧν γὰρ αἰσθητὸν τὸ αἴτιον ἢ τοῦ εἶναι ἢ τοῦ τοιόνδε εἶναι, ἐπὶ τούτων οὐδὲν ἐπιζητεῖται οὔτε εἰ ἔστιν, οὔτε τί ἐστιν, οὔτε εἰ τοιόνδε, οὔτε εἰ διά τι τοιόνδε. εἰ γὰρ ἦμεν ἐπὶ τῆς σελήνης καὶ τῆς ἀντιφράξεως ᾐσθανόμεθα, οὔτε εἰ ἔστιν ἔκλειψις ἐζητήσαμεν, οὔτε τί ἐστιν ἔκλειψις, οὔτε εἰ τῇ σελήνῃ συμβαίνει, οὔτε διὰ τί συμβαίνει. καὶ οὐ λέγω ὅτι τὸ αἰσθάνεσθαι τῆς αἰτίας ταὐτὸν ἂν ἦν τῷ ἐπίστασθαι, ἀλλ' ὅτι ἐκ τοῦ αἰσθάνεσθαι τὸ καθόλου ἂν ἐγένετο καὶ τὸ ἐπίστασθαι. ζητοῦντες μὲν οὖν τὸ διότι τὸ ὅτι γνώριμον ἔχομεν, ἀποδεικνύντες δὲ τὸ ὅτι τὸ διότι πάντως συνεξευρίσκομεν· ἐπὶ γὰρ τῆς κυρίως ἀποδείξεως τοῦ ὅτι καὶ τὸ διότι συναναφαίνεται, εἴπερ ὀρθῶς ἐλέγετο ἐπὶ τῆς ἀποδείξεως τὸ μέσον αἴτιον εἶναι μὴ τοῦ συμπεράσματος μόνον, ἀλλὰ καὶ τοῦ πράγματος· οὐ μὴν ἐπί γε τοῦ τί ἐστι καὶ εἰ ἔστιν ὁμοίως ἔχει, ἀλλὰ πρὸ μὲν τοῦ τί ἐστι τὸ εἶναι τὸ πρᾶγμα ὑποκεῖσθαι χρεών, αὐτὸ δὲ τὸ εἶναι ὅταν ζητῆται, πολλάκις μὲν ὁ ὁρισμὸς συνεμφαίνεται, πολλάκις δὲ οὔ. ἀλλὰ καὶ τὸ σημεῖον ἔσθ' ὅτε ἀπόχρη καὶ τῶν ἑπομένων τι λαβοῦσι τὴν οὐσίαν ἐνδείξασθαι τοῦ ζητουμένου. τὰ δὲ τοιαῦτα τῆς μὲν εὑρέσεως εἶεν ἂν ὡς

10 τι post διὰ om A 12 ἐζητήσαμεν] adde ἂν 17 οὖν om V 21 ἐλέγετο] vid. I, 2. 23 γε om A 26 συνεκφαίνεται V 27 τὸ om V

ἀρχαί, οὐκ ἔστι δὲ καὶ τοῦ πράγματος αἴτια. πῶς μὲν οὖν τὰ σύνθετα τῶν ζητουμένων ἀποδείκνυται, εἴρηται πρότερον· περὶ δὲ τοῦ τί ἐστιν εἴπωμεν νῦν, εἰ ἄρα οἷόν τε καὶ τοῦτο ἀποδεικνύναι. ἀρχὴ δὲ ἥδε τῆς σκέψεως.

fol. 10b.

3 Ἆρ' ἔστι τὸ αὐτὸ κατὰ τὸ αὐτὸ δι' ὁρισμοῦ εἰδέναι καὶ ἀποδείξεως; κατὰ τὸ αὐτὸ δὲ εἶπον, ὅτι γινώσκοιμεν ἂν τὸ τρίγωνον καὶ δι' ὁρισμοῦ τί ἐστιν, ὅτι σχῆμα ἐπίπεδον ὑπὸ τριῶν γραμμῶν περιεχόμενον· γινώσκοιμεν δ' ἂν καὶ δι' ἀποδείξεως, ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει. ἀλλ' οὐ κατὰ ταὐτόν, ἀλλὰ τὸ μὲν ᾗ τί ἐστι, τὸ δὲ ᾗ συμβέβηκεν αὐτῷ ἕτερον. πρῶτον μὲν οὖν λεκτέον, εἰ παντὸς οὗ ἐστὶν ἀπόδειξις, τούτου καὶ ὁρισμός, ἢ ἀδύνατον. ἀπόδειξις μὲν γὰρ καὶ ἀποφατικοῦ καθόλου, ὁρισμὸς δὲ οὐκ ἔστι δι' ἀποφάσεως. ἆρ' οὖν παντὸς οὗ ὁρισμός, τούτου καὶ ἀπόδειξις; ἢ καὶ τοῦτο ὁμοίως ἀμήχανον; αἱ γὰρ ἀρχαὶ τῶν ἀποδείξεων καὶ οἱ πρῶτοι ὅροι ὁρισμῷ μὲν γνώριμοι γίνονται, ἀποδείξει δ' οὔ, ἢ [καὶ] εἰς ἄπειρον βαδιεῖται.

Ἀλλ' ἆρα τινὸς τοῦ αὐτοῦ ὁρισμός τε καὶ ἀπόδειξις; τοῦτο γὰρ λείπεται. ἐπεὶ τοίνυν κεῖται ἡμῖν ἐν τοῖς ἔμπροσθεν, ὅτι τὸ ἀποδεικτὸν ἐπιστάμεθα μόνως, ὅταν ἔχωμεν αὐτοῦ τὴν ἀπόδειξιν, εἰ δι' ὁρισμοῦ τὸ ἀποδεικτὸν ἐπίστασθαι οἷόν τε εἴη, ἐπίσταιτο ἄν τις τὸ ἀποδεικτὸν μὴ ἔχων αὐτοῦ τὴν ἀπό-

---

6 κατὰ] plurimi libri Arist. καὶ κατὰ  11 ὀρθαῖς om A  13 ἐστὶν om A  19 καὶ om V  22 λείπεται] λοιπὸν V  23 ἀποδεικτικὸν ἐπίστασθαί ἐστι μόνως V. conf. Arist. p. 90. b, 10. ubi optimus A ἀποδεικτικὸν et v. 21 ubi idem D  25 ἀποδεικτικὸν V  ἐπίσταιτο] ἠπίστατο A  26 ἀποδεικτικὸν V

δειξιν· οὐδὲν γὰρ κωλύει μὴ ἅμα ἔχειν· ἀλλ' ἄτοπον. οὐδὲν ἄρα δι' ἀποδείξεως ἅμα ἐπιστητὸν καὶ δι' ὁρισμοῦ· καὶ γὰρ ἐκ τῆς ἐπαγωγῆς ἱκανῶς ἂν τοῦτο πεισθείημεν· οὐδεὶς γὰρ ὁρισμὸς ἢ τῶν καθ' αὑτὰ ὑπαρχόντων τι ἀποδείκνυσιν ἢ τῶν ὑπαρχόντων γε ἁπλῶς· καὶ γὰρ εἰ λαμβάνει τι τῶν καθ' αὑτά, ἀλλ' οὐ δι' ἀποδείξεως λαμβάνει· οὐ γὰρ ἀποδείκνυσιν ὅτι ζῶον, ἀλλὰ λαμβάνει, οὐδ' ὅτι λογικόν, ἀλλὰ τίθησιν. ἔτι ὁ μὲν ὁρισμὸς τὴν ὅλην οὐσίαν γνώριμον ποιεῖ, ἡ δ' ἀπόδειξις τὰ καθ' αὑτὰ ὑπάρχοντα, ταῦτα δὲ φανερῶς οὐκ οὐσία. ἔτι ὁ μὲν ὁρισμὸς δείκνυσι τὸ τί ἦν εἶναι τοῦ πράγματος ὑπὲρ οὗ λέγει, οὐδεμία δὲ ἀπόδειξις τὴν οὐσίαν δείκνυσι καὶ συμπεραίνεται, ἀλλὰ τίθησι καὶ λαμβάνει, οἷον ὡς αἱ μαθηματικαὶ τί μονάς, τί περιττόν, καὶ αἱ ἄλλαι ὁμοίως. ἔτι πᾶσα ἀπόδειξις τὶ κατά τινος δείκνυσιν, ἐν δὲ τῷ ὁρισμῷ οὐδὲν οὐδενὸς κατηγορεῖται, οὔτε τὸ ζῶον κατὰ τοῦ πεζοῦ, οὔτε τὸ πεζὸν κατὰ τοῦ ζώου, οὔτε κατὰ τοῦ ἐπιπέδου τὸ σχῆμα, οὔτε κατὰ τοῦ σχήματος τὸ ἐπίπεδον· οὔτε γὰρ χρῆται τῷ καθόλου προσδιορισμῷ, οὔτε ἀληθεύσει, εἰ χρήσεται. ἀλλ' οὐδὲ κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται ὁ ὁρισμός· οὐδὲ γὰρ μέρος ὁ ἄνθρωπος τοῦ ὁρισμοῦ, ὥσπερ μέρος τοῦ συμπεράσματος ὁ ὑποκείμενος· ὁ δὲ εἰπὼν ἄνθρωπός ἐστι ζῶον πεζὸν δίπουν, οὐχ ὁρισμὸν εἴρηκεν, ἀλλὰ πρότασιν τὸν ὁρισμὸν κατηγορούμενον ἔχουσαν. ἔτι ἕτερον ζήτημα παντελῶς τὸ τί ἐστι, καὶ ὅτι αὐτῷ τόδε ὑπάρχει, καὶ ἕτερα παντελῶς, οὐχ ὡς τὸ μὲν καθόλου εἶναι, τὸ δὲ ὑπ' αὐτό, ὡς τὸ

4 αὑτὰ] αὐτὸ libri, idem v. 6   5 τι om V   8 τὸ λογικὸν V   9 ἔτι] ὅτι V   14 ὡς αἱ μαθηματικαὶ] ἀριθμητικὴ A. conf. Arist. p. 90. b, 32.   21 ἀληθεύει A

ἰσοσκελὲς καὶ τὸ τρίγωνον· τῶν δ' οὕτως ἑτέρων ἕτεραι καὶ αἱ ἐπιστῆμαι. φανερὸν ἄρα καὶ ὅτι τοῦ αὐτοῦ οὐδενὸς ἐνδέχεται ὁρισμόν τε εἶναι καὶ ἀπόδειξιν.

4 Ἀλλ' ἆρα αὐτὸν τὸν ὁρισμὸν ἀποδεῖξαι ἐνδέχεται, ὅτι τοῦδε ἐστίν; οἷον ὅτι τὸ ζῶον πεζὸν δίπουν ὁρισμός ἐστιν ἀνθρώπου. τοῦτο δὲ σχεδὸν μὲν ἤδη προὔπτόν ἐστι καὶ διὰ τῶν ἔμπροσθεν εἰρημένων, ἄξιον δὲ καὶ χωρίσαντας ἐπισκέψασθαι. εἰ γὰρ πᾶς συλλογισμὸς τὶ κατά τινος ἀποδείκνυσι διά τινος μέσου, δεῖ δήπουθεν καὶ τὸν ὁρισμόν, ὅταν ἀποδεικνύηται ὅτι ἀνθρώπου ἐστί, διά τινος ἀποδείκνυσθαι μέσου, τὸν δὲ δὴ μέσον τοῦτον ἀνάγκη καὶ αὐτὸν ὁρισμὸν εἶναι ἀνθρώπου· οὕτω γὰρ ἔσται ἀπόδειξις, ἐπειδὴ γὰρ ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητόν, ζῶόν ἐστι πεζὸν δίπουν, ἑτέρως δ' οὐκ ἔσται συλλογισμὸς τοῦ τί ἦν εἶναι· εἴτε γὰρ ἐπὶ πλέον ὁ μέσος ληφθείη τοῦ ἀνθρώπου, εἴτε ἐπ' ἔλαττον, εἴτε ἀντιστρέφοι μέν, μὴ ἐν τῷ τί ἐστι δὲ κατηγοροῖτο, οὐδέποτε ὁ μείζων ἄκρος ἐν τῷ τί ἐστι κατηγορηθήσεται. εἰ δὲ ταῦτ' ἔστιν ἀληθῆ, τὸν ἀποδεικνύντα τὸ τί ἦν εἶναι τοῦ ἀνθρώπου ἄλλο τι δεῖ προλαβεῖν τοῦ αὐτοῦ τὸ τί ἦν εἶναι. πόθεν δὲ ὅτι τὸ ζῶον πεζὸν δίπουν τοῦ ζώου λογικοῦ θνητοῦ ἐν τῷ τί ἐστι κατηγορεῖται, ἢ τὸ ζῶον λογικὸν θνητὸν τοῦ ἀνθρώπου; οὐ γὰρ εἰ ἀκολουθεῖ τὸ $\overline{α}$ τῷ $\overline{β}$ καὶ τοῦτο τῷ $\overline{γ}$, ἔσται τὸ $\overline{α}$ τοῦ $\overline{γ}$ τὸ τί ἦν εἶναι· οὐ γὰρ πάντα τὰ ἀκολου-

2 καὶ post ἄρα om A 9 γὰρ] δὴ V 15 ἐστι post ἄνθρωπος om V 16 ἔσται] ἐστι V 18 ληφθείη ὁ μέσος V 19 οὐδέποτε] οὐδ' ἄρα V 21 ταῦτ' ἔστιν] ταῦτα μὲν V 26 οὐ] οὐδὲ A 27 τοῦ γ] scrib. τῷ γ conf. Arist. p. 91. b, 2.

θοῦντα ὡς ὁρισμοὶ ἀκολουθοῦσιν· ἀκολουθεῖ γὰρ καὶ τὰ γένη καὶ τὰ ἴδια καὶ τὰ ἀχωρίστως συμβεβηκότα. εἰ μὲν τοίνυν ἁπλῶς λήψεται τὸ $\bar{α}$ τῷ $\bar{β}$ ἀκολουθεῖν καὶ τὸ $\bar{β}$ τῷ $\bar{γ}$, οὐκ ἀποδείξει ἄλλο τι ὑπάρχειν αὐτῷ· εἰ δὲ προσδιορ ιεῖται ἐν ταῖς προτάσεσιν, ὅτι τὸ $\bar{β}$ τοῦ $\bar{γ}$ ἐν τῷ τί ἐστι κατηγορεῖται, τὸ ἐν ἀρχῇ λήψεται καὶ αἰτήσει· οὗ γὰρ βούλεται τὸν ὁρισμὸν ἀποδεῖξαι, τούτου προλαμβάνει τινὰ ὁρισμὸν εἶναι χωρὶς ἀποδείξεως. ἔτι οὐδὲν ἧττον καὶ ὁ ἕτερος ὁρισμὸς διὰ τοῦ ἑτέρου ἂν δεικνύοιτο, ὅπερ ἀλλοτριώτατον ἀποδείξεως.

5 Ἀλλὰ μὴν οὐδὲ ἡ διὰ τῶν διαιρέσεων ὁδὸς συλλογίζεται, καθάπερ ἐν τῇ ἀναλύσει τῇ περὶ τὰ σχήματα εἴρηται· οὐδαμοῦ γὰρ ἐξ ἀνάγκης τοῖς τεθεῖσιν ἕπεται τὸ δεικνύμενον, ὥσπερ οὐδ' ἐν ταῖς ἐπαγωγαῖς· ἀλλὰ σχεδὸν ἅπας ὁ λόγος ἐρωτᾶται μέχρι τοῦ συμπεράσματος καὶ τῷ συγχωρεῖσθαι λαμβάνεται οὕτως ἕπεσθαι τοῖς κειμένοις. ἆρ' ὁ ἄνθρωπος ζῷον ἢ ἄψυχον; εἶτ' ἔλαβε ζῷον. οὐ συλλελόγισται. πάλιν ζῷον ἅπαν ἢ πεζὸν ἢ ἔνυδρον; εἶτ' ἔθηκε πεζόν. οὐ συνήγαγεν. εἶτα δίπουν ἢ ἄπουν; καὶ δόντος δίπουν τὸ ὅλον φήσεις εἶναι ζῷον πεζὸν δίπουν. ὁρᾷς οὖν ὡς ἅπας ὁ λόγος δι' ἐρωτήσεως καὶ συγχωρήσεως πρόεισιν οὐ τῷ ἔχειν τι ἀναγκαῖον. ἀλλ' οὐδ' εἰ τὸ καθ' ἕκαστον ἀληθές, ἤδη καὶ ἅπαντα ἅμα· οὐ γὰρ εἰ σκυτεὺς καὶ ἀγαθός, ἤδη καὶ σκυτεὺς ἀγαθός. ἀλλ' οὐδ' εἰ πάντα ἀληθῆ, ἤδη καὶ ἐν τῷ τὶ ἦν εἶναι. τοσοῦτον δ' ἡ διαίρεσις προὔργου ποιεῖ,

2 ἀχώριστα V 10 ἂν om V 12 διὰ om V 25 τὸ om V 28 τοιοῦτον V

ὅτι καὶ ὅσα συλλογισμῷ δεῖξαι ἐνδέχεται, καὶ ταῦτα προχείρως λαμβάνει· ἔνεστι γὰρ συλλογίσασθαι, ὅτι ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ζῶον, μέσον λαβόντας καὶ fol. 11. τὸ αἰσθητικόν, καὶ ἔτι τὸ πεζὸν μέσον ὅρον ἄλλο τι ποιησαμένους. συλλογισμὸν μὲν τοίνυν ἡ διαίρεσις οὐ ποιεῖ, διδάσκει δὲ ὅμως γε κατ' ἄλλον τρόπον· οὐδὲ γὰρ ἡ ἐπαγωγὴ συλλογίζεται, ἀλλ' ὅμως διδάσκει γέ τι καὶ δείκνυσι. μάλιστα δὲ ἡ διαίρεσις χρήσιμος ἂν γένοιτο κατὰ τόνδε τὸν τρόπον· πρῶτον μὲν λαμβάνουσα τὰ ἐν τῷ τί ἐστιν ἅπαντα, εἶτα μηδέν τι παραλείπουσα μήθ' ὑπερβαίνουσα μέχρι τῶν ἀτόμων εἰδῶν. ὑπερβαίνει μὲν οὖν ὁ τὸ ζῶον εὐθὺς εἰς δίπουν καὶ πολύπουν διαιρῶν· πρώτη γὰρ ἦν ἡ διαίρεσις εἰς τὸ πεζὸν καὶ πτηνόν, παραλιμπάνει δὲ ὁ τὸ πεζὸν εἰς τὸ δίπουν καὶ τετράπουν διαιρῶν· παρίησι γὰρ τὸ πολύπουν καὶ ἄπουν. ἀλλ' ὅμως κἂν ἅπαντα ταῦτα φυλάττηται, διαιρήσει μὲν κατ' ἐπιστήμην, οὐδὲν δὲ συλλογιεῖται. ὥσπερ γὰρ ἐπὶ τῶν συμπερασμάτων τῶν ἄνευ τοῦ μέσου λεγομένων τὸ διὰ τί φανερὸν οὐκ ἔστιν, οὕτως οὐδ' ἐπὶ τοῦ λόγου ὃν συντίθησιν ἡ διαίρεσις· ἀλλ' ἑκάστου μὲν ἴσως τῶν ἐν τῷ λόγῳ τὴν αἰτίαν ἀποδώσει χρώμενος τῇ διαιρέσει, οἷον ὅτι ἔμψυχον διότι οὐκ ἄψυχον, καὶ ὅτι λογικὸν διότι οὐκ ἄλογον, τὸν δ' ἅπαντα λόγον ὁρισμὸν εἶναι οὐκ ἀποδείξει.

6 Ἀλλ' ἆρα τοῦτον ἔστι τὸν τρόπον ἀποδεῖξαι τὸ τί ἦν εἶναι, οἷον εἴ τις ὑποθέμενος καὶ λαβὼν ὅτι πᾶς λόγος ὁ συγκείμενος ἐκ τῶν ἐν τῷ τί ἐστι καὶ

---

9 γίγνηται V  τόνδε τὸν] τὸν δέοντα V  14 παραλιμπάνει] παραλαμβάνει V  15 τὸ post εἰς om V

ἰδίων ὁρισμός ἐστι, καὶ τὸ τί ἦν εἶναι προσλάβοι· οὗτος ὁ λόγος, φέρε, τὸ ζῷον πεζὸν δίπουν, τοῦτον σύγκειται τὸν τρόπον, οὗτος ἄρα ὁρισμός ἐστιν ἀνθρώπου; ἢ καὶ οὗτος πολλῷ γελοιότερος ὁ τρόπος; φανερώτερον γὰρ τίθησιν, ὅπερ βούλεται δεῖξαι· τὸ γὰρ φάναι ὅτι τὸ ζῷον τὸ πεζὸν δίπουν ἐκ τῶν ἐν τῷ τί ἐστιν καὶ ἰδίων κατηγορεῖται, οὐδὲν ἄλλο φάναι ἐστίν, ἢ ὅτι ταῦτα ὁρισμός ἐστιν ἀνθρώπου. ἐν ταῖς προτάσεσιν οὖν τέθεικε τὸ συμπέρασμα οὐ δυνάμει· τοῦτο μὲν γὰρ οὐδὲν ἄτοπον, ἀλλ' ἐνεργείᾳ. ἔτι σχεδὸν οὐδὲν διαφέρει συλλογιζομένους τε καὶ ἀντὶ λήμματος ποιεῖσθαι τὸν λόγον τοῦ συλλογισμοῦ καὶ ὁρισμὸν ἀποδεικνύντας ἀντὶ προτάσεως τιθέναι τὸν λόγον τοῦ τί ἦν εἶναι, ἀλλ' ὥσπερ ἐν τῷ συλλογίζεσθαι οὐ λέγομεν τί ἐστι συλλογισμός, οὕτως οὐδὲ ἐν τῷ τὸν ὁρισμὸν ἀποδεικνύναι λέγειν χρὴ τί ἐστιν ὁρισμός. δεῖ μὲν γὰρ ἀκριβῶς ἐγνωκέναι καὶ τί ἐστι συλλογισμὸς καὶ τί ἐστιν ὁρισμός, ὥστε αὐτοὺς γινώσκειν, ὁπόταν ταῦτα ποιῶμεν, καὶ τοὺς ἀμφισβητοῦντας δύνασθαι πείθειν, μέρος δὲ τῶν ἀποδείξεων μὴ οἴεσθαι τοὺς λόγους τούτους.

Ἀλλ' εἰ μηδὲ τοῦτον τὸν τρόπον, ἀλλ' ἐξ ὑποθέσεώς γε ἴσως ἐνδέχεται; ἐξ ὑποθέσεως δὲ λέγω νῦν ἐξ ὑποθετικοῦ συλλογισμοῦ. εἴη δ' ἂν οὗτος ὁ τρόπος, εἰ τοῦ κακοῦ λόγος ἐστὶ τὸ διαιρετόν (ἔστω γὰρ τὸ διαιρετὸν ὁρισμὸς τοῦ κακοῦ), ἔσται ὁ ἐναντίος τοῦ ἐναντίου· τοῦ ἀγαθοῦ ἄρα λόγος τὸ ἀδιαίρετον. ἀλλ' ὁρᾷς ὅτι κἀνταῦθα τὸ τί ἦν εἶναι δεῖξαι βουλόμενος ἕτερον τί ἦν εἶναι λαμβάνει, καὶ ταῦτα

---

2 οὗτος] δὲ τὸ οὗτος δὲ V  8 ἐν om A  22 alterum ἀλλ' om A  29 fort. τοῦτ'

*οὐδὲν ἧττον ἀφανὲς ἢ τὸ δεικνύμενον· ἄμφω γὰρ ὁμοίως ἢ δῆλα ἢ ἄδηλα τὰ ἐναντία. φανερὸν δὲ ὅτι καὶ τὸν τοῦ κακοῦ λόγου δεῖξαι βουλόμενος λήψεται τὸν τοῦ ἀγαθοῦ, τοῦτο δὲ τί ἐστιν ἢ τὸ δι' ἀλλήλων δεικνύναι; ἐφ' ὧν δὲ μηδέν ἐστιν ἐναντίον, πῶς ἐξαρκέσει ἡ μέθοδος ἡ τοιαύτη;*

7 *Τάχα οὖν εἴποι τις ἄν, ὅτι δι' ἐπαγωγῆς δυνατόν, καὶ πῶς; ἐπαγωγὴ μὲν γὰρ ἐκ τῶν καθ' ἕκαστον, ὁρισμὸς δὲ οὐδεὶς τῶν καθ' ἕκαστον, καὶ ἐπαγωγὴ μὲν ἄλλο κατ' ἄλλου, ὁρισμὸς δὲ τῶν ἄνευ συμπλοκῆς λεγομένων. τίς οὖν ἂν λείποι τρόπος, καθ' ὃν δείξομεν τὸ τί ἦν εἶναι· οὐ γὰρ δὴ τῷ δακτύλῳ γε καὶ τοῖς ὄμμασιν ἢ ἄλλῃ τινὶ τῶν αἰσθήσεων, ἐπεὶ καὶ τοῦτ' ἄν τις ἀπορήσειεν, εἰ ὅλως ἔστι δεῖξις τοῦ τί ἦν εἶναι· ἀνάγκη γὰρ τὸν εἰδότα τί ἐστιν ἄνθρωπος ἢ ὁτιοῦν ἄλλο, ἅμα εἰδέναι καὶ ὅτι ἐστί· τὸ γὰρ μὴ ὂν πῶς ἄν τις εἰδείη τί ἐστιν. ἀλλὰ τί μὲν σημαίνει τοὔνομα, δυνατὸν γινώσκειν, ὅταν εἴπω τραγέλαφος· τί δέ ἐστι τραγέλαφος, γινώσκειν οὐκ ἔνι τὸν εἴπερ ἐστὶν ἀγνοοῦντα, ὥστε ὁ δεικνύων τὸ τί ἦν εἶναι ἅμα ἂν δεικνύοι καὶ ὅτι ἐστίν. ἀλλὰ ἀδύνατον· ἑνὸς γὰρ ἡ μία δεῖξις, τὸ δὲ τί ἐστιν ἄνθρωπος καὶ τὸ εἶναι ἄνθρωπον, ἄλλο, καὶ τοῦ μὲν ὁρισμός, τοῦ δὲ ἀπόδειξις. ὅτι μὲν γὰρ ἔστι πρόνοια καὶ ὅτι θεός, ἀποδείκνυμεν. πῶς οὖν ὁ ὁριζόμενος ἅμα ἂν καὶ συλλογίζοιτο; καίτοι τοῦτο φυλάττονται αἱ ἐπιστῆμαι, καὶ χωρὶς μὲν τὸ τί ἐστι, χωρὶς δὲ τὸ ὅτι ἐστίν, ἀποδεικνύουσιν· ὅταν δὲ ἀποδεικνύωσι τὸ*

---

5 *πῶς*] *πῶς οὐκ* A  7 *τάχα*] *τὶ* V  11 *οὖν* om V  *λείποι*] *εἴη* A  12 *δείξαιμεν* A

ὅτι ἐστί, τὸ τί σημαίνει πρῶτον λαμβάνουσι. λαμβάνοντες γὰρ τί σημαίνει τὸ τρίγωνον, ὅτι τὸ περιέχεσθαι ὑπὸ τριῶν εὐθειῶν, οὕτω δεικνύουσιν ὅτι ἐστί, συνιστάντες αὐτὸ ἐκ τριῶν εὐθειῶν. ἀρχὴ γὰρ πάσης ζητήσεως τὸ τί σημαίνει, ὥστε ἡ μία πλείους δείξεις ἐστίν· ὁ γὰρ δεικνὺς τὸ τί ἦν εἶναι, οὐκ εἴσεται ὅτι ἐστί. φανερὸν δὲ καὶ ἐκ τῶν ἀποδιδομένων ὅρων, ὡς οὐ δεικνύουσιν ἅμα τῷ εἶναι τὸ πρᾶγμα· ὁ γὰρ λέγων, κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, οὐ δείκνυσιν ὅτι ἐστίν· οὐδεμία γὰρ τοῦ εἶναι τὸν κύκλον αἰτία ἐνσημαίνεται τῷ λόγῳ, ἀλλ' οὐδ' ὅτι κύκλου λόγος ἐστίν, ἐμφαίνεταί τις ἀνάγκη· δύναιτο γὰρ ἄν τις καὶ ὀριχάλκου φάναι αὐτὸν εἶναι· οὐδὲν γὰρ ἔχει προσδηλούμενον ὁ τοῦ κύκλου λόγος, ὅτι κύκλου ἐστίν. ἀλλὰ τοῦτο μὲν ἔξωθεν. εἰ δὲ μὴ δείκνυσιν ὁ τὸ τί ἦν εἶναι ἀποδεικνύς, οὐκέτ' ἂν ὁ ὁρισμὸς ἀποδοίη τὸ πρᾶγμα τί ἐστιν, ἀλλὰ τοὔνομα τί σημαίνει, οὕτω δὲ καὶ μὴ ὄντων ἔσονται ὁρισμοί· καὶ γὰρ ἱπποκένταυρος σημαίνει καὶ οἱ τὰς ἐτυμολογίας ἀποδιδόντες τῶν ὀνομάτων, οἷον ἀνθρώπου τὸ διαρθροῦν τὴν ὄπα, καὶ ἵππου τὸ ἵεσθαι τοῖς ποσί, μᾶλλον δὲ ἅπαντες λόγοι ὁρισμοί, καὶ διαλεγοίμεθα ἂν ἅπαντες ὁρισμούς, καὶ ἡ Ἰλιὰς ὁρισμὸς ἂν εἴη, λέγω δὲ οὐ τοὔνομα, ἀλλὰ fol. 11b. τὴν ὑποκειμένην ποίησιν τῷ ὀνόματι, καὶ τὸ *τίς, πόθεν εἰς ἀνδρῶν* καὶ τὸ *ἤομεν ὡς ἐκέλευες* καὶ τὸ *ἄνδρα μοι ἔννεπε μοῦσα* καὶ τὸ Ἰλιό-

---

2 τὸ post ὅτι om A 5 τὸ τί] ὅτι A πλείους] πλειόνων V (an idem δεῖξις?) 10 δεικνύει V 13 ὀριχάλκῳ φάσκειν V 15 ὁ om V 17 ἀποδοίη] ἀποδείξοι V 20 ἐτυμότητας A 22 λόγοι om V 25 τίς πόθεν] Od. I, 170 26 ἤομεν] ἴωμεν libri ἐκέλευσε V — Od. X, 251 27 ἄνδρα] Od. I, 1 Ἰλιόθεν] Od. IX, 39

*θεν με φέρων· ἕκαστος γὰρ τούτων ἰσοδυναμεῖ καὶ ταὐτὸν σημαίνει ὁ μὲν ἐρωτήσει, ὁ δὲ ἀποκρίσει, ὁ δὲ προοιμίῳ, ὁ δὲ διηγήσει. ἀλλὰ γελοῖον· χωρὶς γὰρ τοῦ μηδὲ ὁρισμὸν εἶναι τὸν ἐξηγούμενον λόγον, τί σημαίνει τὸ λεγόμενον ὄνομα, οὐδὲ αὐτὸ τοῦτο προσδηλοῦται ἐν αὐτῷ, ὅτι ἐξ ἀνάγκης ἰσοδυναμεῖ τῷ ὀνόματι· οὐ γὰρ ἂν θέσει ἦν τὰ ὀνόματα, οὐδ' ἂν ἦσαν ὁμωνυμίαι. ἐκ μὲν τοίνυν τούτων οὔτε ὁρισμὸς καὶ συλλογισμὸς φαίνεται ταὐτὸν ὄν, οὔτε τοῦ αὐτοῦ συλλογισμός τε καὶ ὁρισμός, οὔτ' εἶναι τὸ πρᾶγμα ἀποδείκνυσιν, οὔθ' ὅτι ἐκείνου ἐστὶν οὗ ἀποδέδοται, δείκνυσι.*

8 *Πάλιν δὲ σκεπτέον, τί τούτων λέγεται καλῶς ἢ μὴ καλῶς, καὶ πῶς οἷόν τε ἀπόδειξιν ὁρισμοῦ γενέσθαι. λέγωμεν οὖν ἄνωθεν ἀναλαβόντες. ὥσπερ γὰρ τὸ διότι ζητοῦμεν ἔχοντες τὸ ὅτι ἐστίν, ἐνίοτε δὲ καὶ ἅμα δῆλα γίνεται, οὐ μὴν πρότερόν γε δυνατὸν γνωρίσαι τὸ διότι ἐστὶ τοῦ ὅτι ἐστίν, οὕτως ἀεὶ ζητοῦμεν τὸ τί ἦν εἶναι ἔχοντες τὸ εἶναι τὸ πρᾶγμα. μάταιον γάρ, ὡς πολλάκις εἴρηται, ἀγνοουμένου τοῦ εἶναι τὸ τί ἦν εἶναι περιεργάζεσθαι, ὥστε τούτου κειμένου οὐκ ἀνάγκη προαποδεικνύναι τὸν ὁρισμόν· ἔχοντες γὰρ αὐτὸ ὑποκείμενον οὕτω προΐασι. καθάπερ δὲ ἀποδεικνύντες τὸ ὅτι καὶ διότι συνεξευρίσκομεν· δι' αἰτίας γὰρ ἡ ἀπόδειξις, οὕτω πολλάκις ἐπιδεικνύντων τὸ εἶναι καὶ τὸ τί ἦν εἶναι συναναφαίνεται. πότε οὖν τοῦτο καὶ πῶς, ἀναλαβοῦσι ῥητέον.*

---

1 *φέρεν* A 6 *ἀποδηλοῦται* A 22 *κειμένου*] *μόνου* A *προεπιδεικνύναι* A. num *κειμένου ἀνάγκη προσαποδεικνύναι*? τοὺς ὁρισμοὺς V 24 *δὲ*] *γὰρ* A *συνευρίσκομεν* A 25 scrib. *ἀποδεικνύντων*

τὸ εἶναι πολλαχῶς ἐν ταῖς ἀποδείξεσι μέτιμεν· ἐνίοτε μὲν γὰρ ἀπὸ συμβεβηκότος καὶ πόρρω τῆς οὐσίας τοῦ πράγματος, ἐνίοτε δὲ ἀπὸ τοῦ πράγματος καὶ τοῦ ἐκείνου τι ἔχειν, οἷον ὅτι εἰσὶ θεοί, ἀπὸ συμβεβηκότος μέν, ὅτι εἰσὶ βωμοὶ ὡς Χρύσιππός φησιν, ἀπὸ δὲ τοῦ πράγματος, ὅτι θεραπεύουσιν, ὅτι προλέγουσιν, ὅτι κινοῦνται τὸν ἄπειρον χρόνον ποικίλας κινήσεις. ἔστι δὲ καὶ τῶν ἀπ' αὐτοῦ τοῦ πράγματος τὰ μὲν ἐγγυτέρω, τὰ δὲ πορρωτέρω, καθάπερ δὴ καὶ ἐπὶ τῶν εἰρημένων παραδειγμάτων. ὅσα μὲν οὖν ἀπὸ συμβεβηκότων γινώσκομεν ὅτι ἔστιν, ἀπὸ τούτων οὐδεμίαν ἔχομεν ἀφορμὴν πρὸς τὸ εἰδέναι καὶ τί ἐστι· σχεδὸν γὰρ οὐδ' ὅτι ἔστι, τηνικαῦτα γινώσκομεν· οὐδὲν γὰρ ἡ κατὰ συμβεβηκὸς γνῶσις ἀναγκαῖον ἔχει. ὅσα δὲ ἀπὸ τῶν οἰκείων τε καὶ ἐξ αὐτοῦ τοῦ πράγματος, ἀπὸ τούτων ἤδη ῥᾷον εἰς τὸ τί ἐστι μεταβαίνομεν, ὥστε ὅπως ἂν ἔχωμεν παρασκευῆς πρὸς τὸ γινώσκειν τὸ εἶναι, οὕτως ἔχομεν παρασκευῆς πρὸς τὸ γινώσκειν τὸ τί ἦν εἶναι. γυμναστέον δὲ ἐπὶ παραδείγματος. προκείσθω ζητεῖν, εἰ σελήνης ἔκλειψίς ἐστιν. ὁ μὲν οὖν δεικνὺς ὅτι ἔστιν, ἐκ τοῦ πανσέληνον οὖσαν μὴ ποιεῖν σκιάν, ἀπὸ συμβεβηκότος μεθοδεύει τὸ πρόβλημα καὶ οὐδὲν ὁ τοιοῦτος προὔργου ποιεῖ πρὸς τὸ εἰδέναι, τί ἐστιν ἔκλειψις· ὁ δὲ λέγων ἀντιφράττεσθαι τὸ φῶς ὑπὸ γῆς μεταξὺ πιπτούσης ἐν τῇ πανσελήνῳ αὐτῆς τε καὶ τοῦ ἡλίου, καὶ διὰ τοῦτο ἐκλείπειν, ἅμα τε ἀκριβῶς καὶ οἰκείως διδάσκει σελήνης ἔκλειψιν εἶναι καὶ

---

3 ἀπὸ τοῦ πράγματος καὶ τοῦ] καὶ τῷ V 7 κινεῖται V 9 δὴ] δὲ V 14 οὐδὲ A 16 ἀπὸ] ἐπὶ V 17 ἔχοιμεν A 20 δὲ] γὰρ A 21 οὖν om V 25 ἀντιφράττεσθαι] ὅτι ἀντιφράττεται V

προσεπιδιδάσκει τί ἐστιν σελήνης ἔκλειψις· λέγει γὰρ αἰτίαν τὴν ἀκριβῆ τῆς ἐκλείψεως, αὕτη δέ ἐστιν ὁ λόγος καὶ τὸ τί ἦν εἶναι· συντρέχει γὰρ ἐπὶ τούτων ὁ τοῦ πράγματος ὁρισμὸς τῇ αἰτίᾳ δι' ἣν ἐστι. τί ἐστιν ἔκλειψις; ἀντίφραξις ὑπὸ γῆς τοῦ φωτός. αἰτία οὖν ἐστὶν ἡ ἀντίφραξις. τί ἐστι βροντή; πυρὸς ἀπόσβεσις ἐν νέφει. δῆλον δέ· εἰ γὰρ μεταβαλεῖς εἰς τὸ διὰ τί τὰ προβλήματα, αὐτὰ ἀποδοθήσεταί σοι τὰ αἴτια. διὰ τί ἐστιν ἔκλειψις; διὰ τὴν ὑπὸ γῆς ἐπισκότησιν. διὰ τί ἐστι βροντή; διὰ τὴν ἀπόσβεσιν τοῦ πυρός. δῆλον τοίνυν ἐξ ἁπάντων τῶν εἰρημένων, ὅτι τοῦ ὁρισμοῦ καὶ τοῦ τί ἦν εἶναι ἀπόδειξις μὲν οὐκ ἔστι, δῆλος μέντοι γίνεται δι' ἀποδείξεως, ἐφ' ὅσων τὸ εἶναι δι' αἰτίας ἀποδείκνυται.

9

Ἐκεῖνο μέντοι γε ἀναγκαῖον διορίσασθαι, ὡς οὐκ ἐφ' ἁπάντων τοῦτο συμβαίνει, ὧν ζητοῦμεν τοὺς ὁρισμούς, ἀλλὰ τῶν ἄλλοις ὑπαρχόντων, οἷον ἐκλείψεως, βροντῆς· ταῦτα γὰρ τὰ ἀποδεικτὰ καὶ ἄλλο ἐπὶ τούτων τὸ μέσον τε καὶ τὸ αἴτιον τοῦ συμπεράσματος καὶ τοῦ πράγματος· ἐπὶ δὲ τῶν καθ' αὑτὰ ὄντων καὶ μὴ ἐν ἄλλῳ, οὐκέτι οἷόν τε ἐφ' ἁπάντων τῇ αὐτῇ χρήσασθαι μεθόδῳ· οὐ γὰρ τὸ τοῦ εἶναι αἴτιον ἄλλο ἐστὶν ἐφ' ἁπάντων, οἷον τῶν πρώτων καθ' ἑκάστην ἐπιστήμην, ἃ καὶ εἶναι καὶ τί ἐστιν ὑποθέσθαι δεῖ, ἢ ἄλλον τρόπον φανερὰ ποιῆσαι ἐξ ἐπαγωγῆς ἢ πίστεως ἢ ἐμπειρίας, καὶ οὐ δι' ἀποδείξεως τὰ τοιαῦτα. ἀρχαὶ γάρ εἰσιν ἀποδείξεως, ὅπερ ἤδη ποιοῦσιν αἱ ἐπιστῆμαι· καὶ γὰρ τὸ εἶναι

---

3 τούτων] τούτοις A  4 ἐστι. τί] ἐστιν ὅτι V  7 μεταβάλλῃς V  9 ἀπὸ V  13 fort. δῆλον  16 ἅπαντα V

μονάδα καὶ τί ἐστι μονάς, ὁ ἀριθμητικὸς ὑποτίθεται. οὐκοῦν οὐδὲ τί ἔστι θεός, δι' ἀποδείξεως γίνεται γνώριμον· οὐ γὰρ ἀποδεικτὸν τὸ θεοὺς εἶναι· οὐ γάρ ἐστι λαβεῖν αἴτιον ἕτερον· τὸ γὰρ ὠφελεῖν καὶ τὸ κινεῖσθαι τὸν ἅπαντα χρόνον δεικτικὰ μὲν τῆς οὐσίας καὶ ἐξ αὐτοῦ τοῦ πράγματος, οὐ μὴν αἴτια τοῦ εἶναι, ἢ τάχα ἔστι καὶ ἐκ τῶν τοιούτων ὁρισμόν τινα ἀποδοῦναι, οἷον θεός ἐστι ζῶον ἀΐδιον εὖ ποιητικὸν ἀνθρώπων, ἢ εἴπερ ἐστὶ καὶ ὁρισμὸς ταῦτα, εὐθὺς καὶ αἴτιον τοῦ εἶναι· τὸ γὰρ τί ἦν εἶναι αἴτιον καὶ ἀρχή.

10 Ὁρισμὸς δὲ πολλαχῶς λέγεται. εἷς μὲν ὁ τί σημαίνει τοὔνομα ἐξηγούμενος, ὃς οὐδ' ὁρισμὸς ἂν καλοῖτο δικαίως, ἀλλὰ λόγος ὀνοματώδης· πολλάκις γὰρ ἔχοντες τὸν τοιοῦτον λόγον οὔτε εἰ ἔστι τὸ πρᾶγμα, οὔτε τίς αἰτία τοῦ εἶναι αὐτὸ γινώσκομεν. τί μὲν γὰρ σημαίνει τὸ κενόν, ξυνίεμεν, οὔτε δὲ εἰ ἔστι κενόν, οὔτε τίς αἰτία τοῦ εἶναι κενόν, ἔχοιμεν ἂν λέγειν. ἐνίοτε δὲ τὸ μὲν ὅτι ἔστι μανθάνομεν ὑπὸ τοῦ τοιούτου λόγου, διὰ τί δέ ἐστιν, οὐκέτι, οἷον ἔκλειψίς ἐστιν, ὅταν πανσέληνος οὖσα μὴ φαίνηται. fol. 12. οὗτος μὲν οὖν ὁ τρόπος σημαίνει μέν τι, δείκνυσι δὲ οὐδέν. ἄλλος δέ ἐστιν ὅρος ὁ μετὰ τοῦ τί ἐστι καὶ τὴν αἰτίαν ἐκδιδάσκων, δι' ἥν ἐστι, καὶ μόνος ὁ τοιοῦτός ἐστιν ὅρος οἷον ἀπόδειξις τοῦ τί ἐστι θέσει μόνῃ διαφέρων τῆς ἀποδείξεως· τὸν γὰρ αὐτὸν λόγον ἄλλως μὲν ἀποδεικνύντες λέγομεν, ἄλλως δ' ὁριζόμενοι· ἀποδεικνύντες μὲν γὰρ λέγομεν, ἐν τῷ νέ-

2 οὐδὲ τί] οὐδὲ εἰ V 5 ἅπαντα] ἄπειρον V 12 λέγεται om V ὁ τί] ὅτι libri 22 μέν τι] μὲν τί ἐστι A 25 τοῦ τί] τοῦ ἐστὶ τὸ τί V

*φει ἐστὶ πυρὸς ἀπόσβεσις· ἡ τοῦ πυρὸς ἀπόσβεσις βροντή ἐστιν· ἐν τῷ νέφει ἄρα βροντή ἐστιν. ἐν γὰρ πρώτῳ σχήματι συνεχῶς πρόεισιν ὁ λόγος. ὁριζόμενοι δὲ λέγομεν, βροντή ἐστι πυρὸς ἀπόσβεσις ἐν τῷ νέφει. τρίτος δέ ἐστιν ὅρος, ὅταν τοῦ τὴν αἰτίαν ἔχοντος ὁρισμοῦ αὐτὸ καθ' αὑτὸ λέγωμεν τὸ συμπέρασμα, οἷον βροντή ἐστι ψόφος ἐν νέφει. τέταρτός ἐστιν ὁρισμὸς ὁ τῶν ἀμέσων καὶ πρώτων, ὃς οὔτε θέσει διαφέρει τῆς ἀποδείξεως· οὐδὲ γὰρ ἔχει τὴν αἰτίαν προδηλουμένην· οὐδὲ γὰρ αἴτιόν τι τῶν πρώτων καὶ ἀμέσων ἐστίν, οὔτε συμπέρασμα ἀποδείξεως, ἀλλὰ μᾶλλον ἀρχὴ τῆς ἀποδείξεως καὶ θέσις τοῦ τί ἐστιν ἀναπόδεικτος. ἀφαιρουμένου δὲ τοῦ πρώτου τρεῖς ἂν εἶεν οἱ σύμπαντες ὁρισμοί. εἷς μὲν οὖν ὁρισμὸς λόγος τοῦ τί ἐστιν ἀναπόδεικτος· εἷς δὲ λόγος θέσει διαφέρων τῆς ἀποδείξεως· εἷς δὲ λόγος συμπέρασμα ἀποδείξεως. ὁ δὲ τὴν αἰτίαν ἔχων λόγος τίνι τούτων ὑπάγοιτο ἄν; οἷον ὀργή ἐστιν ὄρεξις ἀντὶ λυπήσεως· βροντή ἐστι πυρὸς ἀπόσβεσις ἐν νέφει. τάχα οὖν καὶ αὐτοὶ ἄμεσοί τε καὶ ἀναπόδεικτοι. φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι ἀπόδειξις μὲν οὐδενός ἐστιν ὁρισμοῦ, μόνοι δ' ἐκεῖνοι τῶν ὁρισμῶν θέσει τῆς ἀποδείξεως διαφέρουσιν, οἱ τὴν ἀπόδειξιν τοῦ πράγματος προσεκδιδάσκοντες, οἳ καὶ μάλιστα ἐπιστημονικώτατοι τῶν λόγων.*

11 *Αἰτίαι δὲ τέσσαρες· μία μὲν τὸ τί ἦν εἶναι, μία δὲ ἔκ τινων ὑποκειμένων ἣν λέγομεν ὕλην, ἑτέρα δὲ*

5 *ἐστιν* om A  8 scrib. *οὐδέ*  10 *οὐδὲ*] scrib. *οὔτε*  15 *ὁρισμὸς λόγος τοῦ*] *ὡρισμένος λόγος τὸ* A  17 aut *ἔχων* excidit post *συμπέρασμα*, aut *λόγος* delendum  24 *ἐκδιδάσκοντες* A, malim *οἳ* — *προεκδιδάσκουσιν*  26 *αἰτίαι δὲ*] *δὲ αἰτίαι* A  *τὸ*] *ἡ* libri  27 *ἐκ τίνων* Aristot. libri

ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἑτέρα δὲ οὗ ἕνεκα. πᾶσαι δὲ αὗται φαίνονται ἐν ταῖς τοῦ διὰ τί ἀποδείξεσι καὶ γίνονται μέσοι ὅροι τῶν τοιούτων ἀποδείξεων. καὶ πῶς μὲν τὸ τί ἦν εἶναι, φθάσαντες εἴπομεν, ἀποδίδοται δὲ καὶ ἡ ὕλη καὶ λαμβάνει τοῦ μέσου τὴν χώραν· μάλιστα μὲν γὰρ ἐπὶ πάσης ἀποδείξεως ὁ μέσος ἐστὶν οἷον ἡ ὕλη τῷ συλλογισμῷ· οὗτος γὰρ ὁ ποιῶν τὰς δύο προτάσεις, ἐφ' αἷς τὸ συμπέρασμα. οὐ μὴν ἀλλὰ καὶ τὴν ἰδίως λεγομένην ὕλην πολλάκις ἀποδιδόντες πεπαύμεθα τοῦ ζητεῖν τὸ διὰ τί. διὰ τί γὰρ τὰ ἡμέτερα φθαρτὰ σώματα; ὅτι σύγκειται ἐξ ἐναντίων. τὸ δὴ συγκεῖσθαι ἐξ ἐναντίων ὕλη τε καὶ μέσος ὅρος τοῦ τὰ σώματα εἶναι φθαρτά. διὰ τί κάλλιστον ὁ κόσμος; ὅτι ὁ θεὸς αὐτὸν ἐδημιούργησεν; ἐνταῦθα τὸ πρῶτον κινῆσαν αἴτιόν τε καὶ μέσον ἐστί. διὰ τί καθήκει Σωκράτει γαμεῖν; ὅτι παίδων ἐφίεσθαι αὐτὸν καθήκει· ἢ διὰ τί πεποίηκε τὸν κόσμον ὁ θεός; ὅτι ἀγαθὸς ἦν. τοῦτο δέ ἐστι τὸ οὗ ἕνεκα. ἡ γένεσις οὖν τοῦ μέσου καὶ αἰτίου τὴν αὐτὴν οὐκ ἔχει τάξιν ἐφ' ἁπάντων, ἀλλ' οὗ μὲν πρώτην ὡς ἐπὶ τῶν κινητικῶν, οὗ δὲ τελευταίαν ὡς ἐπὶ τῶν τελῶν καὶ ὧν ἕνεκα, οὗ δ' ἅμα ὡς ἐπὶ τῶν ὁρισμῶν καὶ τοῦ τί ἦν εἶναι. οὐδὲν δὲ κωλύει τὸ αὐτὸ καὶ ἕνεκά τινος εἶναι καὶ ἐξ ἀνάγκης τὴν ὕλην αἰτίαν δεικνυμένοις, οἷον διὰ τί δίεισι διὰ τοῦ λαμπτῆρος τὸ φῶς; καὶ γὰρ ἐξ ἀνάγκης διέρχεται τὸ λεπτομερέστερον διὰ τῶν μειζόνων πόρων, καὶ ἕνεκά τινος,

---

9 πολλάκις] πολλαχῶς V 14 ὁ post ὅτι om V 16 Σωκράτη libri γαμεῖν] φαμὲν V 17 αὐτῷ V 20 πρώτων V 22 οὗ ἕνεκα? 25 δεικνύμενον A alterum διὰ om V. verba διὰ τί δίεισι apud Bekk. p. 94 b. 28 excidisse videntur 26 λεπτομερέστατον A

τοῦ μὴ προσπταίειν. τηλαυγέστερον δ' ἐπὶ τῶν θείων σωμάτων· καὶ γὰρ ἐξ ἀνάγκης κύκλῳ κινεῖται, ὅτι τὸ σῶμα αὐτοῖς οὔτε βαρὺ οὔτε κοῦφόν ἐστι, καὶ ἕνεκά τινος· ἕνεκα γὰρ τῆς πρὸς τὸ θεῖον ὁμοιώσεως. πλεῖστα δὲ ἡ φύσις καὶ ἐξ ἀνάγκης ἅμα καὶ ἕνεκά του ποιεῖ· ὀξεῖς γὰρ οἱ ἔμπροσθεν ὀδόντες καὶ διὰ τὴν ὕλην· ἐξ ὀστέου γὰρ ἀναφέρονται λεπτοτέρου, καὶ τοῦ διαιρεῖν ἕνεκα τὴν τροφήν· καὶ ἡ βροντή, διότι τε ἀποσβεννυμένου τοῦ πυρὸς ψοφεῖν ἀνάγκη καὶ ἵνα φοβῶνται οἱ ἐν τῷ Ταρτάρῳ, καθάπερ οἱ Πυθαγόρειοι λέγουσι· καὶ ὅλως διττὴ ἡ φύσις ἑκάστου, ἡ μὲν κατὰ τὸ εἶδος ὃ ταὐτὸν τῷ οὗ ἕνεκα· ὀφθαλμοῦ γὰρ εἶδος τὸ ὁρᾶν, καὶ τούτου ἕνεκα ὀφθαλμός· καὶ ὤτων τὸ ἀκούειν, καὶ τούτου ἕνεκα ὦτα· ἡ δὲ κατὰ τὴν ὕλην καὶ τὴν ἀνάγκην. διώρισται δὲ ἐν τοῖς Φυσικοῖς, πῶς λέγομεν τὴν ὕλην ἀνάγκην· εἰ γὰρ ὀφθαλμοὶ ἔσονται, ἐξ ἀνάγκης δεῖ τοιαύτης ὕλης· καὶ εἰ ὀδόντες, τοιαύτης· καὶ ἡ μὲν τοιαύτη ἀνάγκη αὐτῶν ἑκάστῳ σύμφυτος· ἡ γὰρ ὕλη σύμφυτος ἑκάστῳ, καὶ αἱ κατ' αὐτὴν ἐνέργειαι οὕτως ἀναγκαῖαι, ὅτι ἀχώριστοι τοῦ πράγματος, ὡς γῇ μὲν τὸ κατωφερὲς διότι βαρεῖα, πυρὶ δὲ τὸ ἀνωφερὲς διότι κοῦφον. διόπερ οὐδὲ παρὰ φύσιν οὐδὲ ἔξωθεν οὐδὲ βίαιος ἡ ἀνάγκη, ἀλλὰ μᾶλλον κατὰ τὴν ὁρμὴν ἑκάστου καὶ οἷον ἑκούσιος· ἐκ γὰρ τῆς οὐσίας ὁρμᾶται καὶ τῆς φυσικῆς ἑκάστου κατασκευῆς, ἡ δὲ βίαιος ἀλλαχόθεν καὶ παρὰ τὴν ὁρμὴν καὶ τὴν φύσιν. ποιεῖ μὲν οὖν καὶ ἡ φύσις ἅπαντα, ὡς ἔπος εἰπεῖν, ἕνεκά του, ποιεῖ δὲ καὶ ἡ διάνοια· τέλους γὰρ

---

6 ὀξεῖς] πλατεῖς A  16 ἐν τοῖς Φυσικοῖς] II, 8—9.
19 αὐτῶν] αὐτῆς A  22 βαρὺ V  ἀνωφερὲς] ἄνω A
24 βιαίως V

χάριν καὶ ἀγαθοῦ ἢ ὄντος ἢ φαινομένου, ἀπὸ τύχης δὲ οὐδὲν ἕνεκά του γίνεται, εἰ καὶ γίνεται ἐν τοῖς ἕνεκά του· γίνεται γὰρ τηνικαῦτα, ἡνίκα ἂν ἕτερον ἀπαντήσῃ τοῖς γινομένοις ἑτέρου χάριν· ὤρυττε γάρ τις φρέαρ ὕδατος ἕνεκα, οὐ χρυσίου, καὶ προῆλθε λουσόμενος οὐχ ἵνα λάβῃ τὸ ἀργύριον. καὶ συμβαίνει μέντοι πολλὰ καὶ τῶν ἀπὸ τέχνης γινομένων ἢ διανοίας καὶ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου· ὑγιάναι γὰρ ἄν τις ψυχροῦ πιὼν οὐχ ἕνεκα ὑγείας, ἀλλὰ δι' ἡδονήν· καὶ σωθείη ἂν τὸ σκάφος ἐξωσθὲν ὑπὸ τοῦ πνεύματος εἰς φιλάνθρωπον χωρίον. ἀλλ' οὐκ οἰκία γε ἀπὸ τύχης ἂν γένοιτο, οὐδὲ κλίνη, οὐδὲ πᾶσαι αἱ τέχναι. ὁμοίως ἐπικοινωνοῦσι τῇ τύχῃ, ἀλλ' αἱ μὲν ἧττον, αἱ δὲ μᾶλλον, μάλιστα δὲ αἱ στοχαστικαί.

fol. 12b.

Ταῦτα μὲν οὖν ἴσως πλείω τῶν ἱκανῶν ὡς πρὸς 12
τὴν παροῦσαν ὑπόθεσιν, ἀεὶ δὲ ἡ κατ' εἶδος καὶ τὸ τί ἦν εἶναι αἰτία συντρέχει κατὰ τὸν χρόνον τοῖς πρὸς αὐτῆς ἢ οὖσιν ἢ γινομένοις, ἣν ἔφαμεν ἐπὶ πολλῶν καὶ μέσον ὅρον λαμβάνεσθαι τοῦ συλλογισμοῦ, καί ἐστι τὸ τοιοῦτον αἴτιον τοῖς μὲν οὖσιν ὄν, τοῖς δὲ γινομένοις γινόμενον, τοῖς δὲ γεγενημένοις γεγενημένον, καὶ τοῖς ἐσομένοις ἐσόμενον, οἷον διὰ τί γέγονεν ἔκλειψις; διότι γέγονεν ἐν μέσῳ ἡ γῆ· καὶ γενήσεται, διότι ἐν μέσῳ γενήσεται· καὶ ἐστί, διότι ἐστί. ταύτῃ τοι καὶ ἀντιστρέφει πρὸς ἄλληλα τὸ οὕτως αἴτιον καὶ τὸ αἰτιατόν, ἐπὶ δὲ τῶν μὴ ἅμα, ἀλλὰ προλαμβανόντων κατὰ τὸν χρόνον (τοιαῦτα δὲ πολλὰ

---

5 ὕδατος om V 7 τέχνης] τύχης V 8 ὑγιάναι] ὑγιᾶναι V, ὑγιάνοι A 13 ὁμοίως] fort. ὅμως τῇ τύχῃ om V αἱ μὲν] ἡ μὲν A 15 τῶν — ὄντων ἢ γινομένων V 19 λαμβάνειν τοὺς συλλογισμοὺς A 20 οὖσιν ὂν τοῖς δὲ] exit V

τῶν ποιητικῶν, ὡς τὸ εἰς Σάρδεις ἐμβαλεῖν τοῦ πολεμῆσαι πρὸς Μήδους, καὶ τὸ προαρπάσαι Ἑλένην τοῦ Ἴλιον καταστραφῆναι,) ἐπὶ τούτων οὐ σώζεται ἡ ἀντιστροφή, οὐδὲ τὴν αὐτὴν ἀνάγκην λαμβάνει κάτωθεν καὶ ἄνωθεν ἀρχομένοις, ἀλλ' ἀρχομένων μὲν ἀπὸ τῶν αἰτίων οὐδεμίαν ἀνάγκην ἔχει τὰ συμπεράσματα, ἀρχομένων δὲ ἀπὸ τῶν αἰτιατῶν τὴν ἀνάγκην ἔχουσιν οἱ συλλογισμοί. εἰ μὲν γὰρ οἰκία, δεῖ τοίχους προϋπάρξαι· εἰ δὲ τοίχους, δεῖ θεμέλια· εἰ μέντοι θεμέλια, οὐ πάντως τοίχους. εἰ δὲ καὶ τοίχους, οὐ πάντως οἰκίαν, ὃ θαυμάσειεν ἄν τις· εἰ γὰρ μὴ πάντως αἴτιον τὸ πρότερον γινόμενον τοῦ μετ' αὐτὸ γινομένου, τί τὸ αἴτιον τοῦ συνείρειν τὴν γένεσιν, καὶ τοῦ γίνεσθαι αἴτιον ἀεὶ μετὰ τὸ πρῶτον γενόμενον, καὶ μὴ διαλείπειν; ἢ ὁ χρόνος συνεχὴς ὢν φαντασίαν ποιεῖ τοῦ συνεχῆ εἶναι τὰ γινόμενα τοῖς γεγονόσιν; ἡ γὰρ γένεσις ἐν χρόνῳ, ἐπεὶ τὸ γεγενῆσθαι πέρας ἐστὶ τῆς προλαβούσης γενέσεως καὶ οἷον σημεῖον γραμμῆς. ὥσπερ δὲ ληφθέντος σημείου διήρηται ἡ γραμμὴ καὶ οὐκέτι συνεχὴς ἡ ἐφεξῆς τῇ προτέρᾳ, οὕτω τὸ γεγενῆσθαι διαιρεῖ τὰς γενέσεις καὶ οὐκ ἔστι συνεχὴς ἡ ἐφεξῆς τῇ προτέρᾳ· ἐν γὰρ πέρατι χρόνου τὸ γεγονέναι. ἀλλ' οὔτε οἰκεῖα ταῦτα τῆς πραγματείας τῆς προκειμένης, ἀκριβέστερόν τε περὶ αὐτῶν ἐν τοῖς περὶ κινήσεως εἴρηται.

Ἐκεῖνο δ' οὖν φανερόν, ὅτι ἐν τοῖς ἐπὶ τὸ πολὺ λεγομένοις ἀπὸ τῶν αἰτιατῶν ἐπὶ τὰ αἴτια καὶ ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα ἡ ἄνοδός ἐστιν ἀναγκαία. εἰ μὲν γὰρ συνεχὴς ἡ γένεσις ἦν, πάντως ἂν

---

2 πρὸς Μήδους] immo τοὺς Μήδους vel πρὸς Ἀθηναίους Μήδους, vid. Arist. II, 11 p. 94, 37 9 τοίχους] scrib. τοῖχοι 25 εἴρηται] Phys. libr. VI.

παρέπιπτεν ἀεὶ τοῦ ὕστερόν τε καὶ αἰτιατοῦ καὶ τοῦ πρότερόν τε καὶ αἰτίου μέσον τε καὶ αἴτιον ἄλλο, ἐπειδὴ δὲ οὐ συνεχής, ἵσταται εἰς ἄμεσα ἡ λῆψις τῶν ὅρων· εἰ γὰρ οἰκία, τοῖχοι· εἰ δὲ τοῖχοι, θεμέλια· εἰ δὲ θεμέλια, λίθοι καὶ πηλός· μεταξὺ δὲ τῶν ὅρων τούτων οὐδέν.

Ἐπεὶ δὲ ὁρῶμεν ἐν τοῖς γινομένοις κύκλῳ τινὰ γένεσιν οὖσαν, ἐπὶ τῶν τοιούτων καὶ ἡ κύκλῳ δεῖξις χώραν ἔχει· πάντα γὰρ ἀλλήλοις ἀντιστρέφει καὶ γίνεται αἴτιά τε καὶ αἰτιατά, ἥ τε ἀκολούθησις παραπλήσιος κάτωθέν τε καὶ ἄνωθεν ἀρχομένοις, οἷον ἐπὶ παραδείγματος· βεβρεγμένης τῆς γῆς ἀνάγκη ἀτμίδα γενέσθαι, τούτου δὲ γενομένου νέφος, τούτου δὲ γενομένου ἀνάγκη βεβρέχθαι τὴν γῆν· τοῦτο δ' ἦν τὸ ἐξ ἀρχῆς, ὥστε κύκλῳ περιελήλυθεν· ἑνὸς γὰρ ὁτουοῦν ὄντος ἕτερόν ἐστι, κἀκείνου ἄλλο, καὶ τούτου τὸ πρῶτον. μάλιστα δ' ἐπὶ τῶν ἀϊδίων καὶ ἀναγκαίως γινομένων τὸ τοιοῦτόν ἐστιν· ἐπ' ἐκείνων γὰρ ἡ κύκλῳ δεῖξίς ἐστιν ἀναγκαία, ἐφ' ὧν καὶ ἡ κίνησις κύκλῳ τε καὶ ἀναγκαία. ἐπὶ δὲ τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων ἐπ' εὐθείας οἱ συλλογισμοὶ καὶ οὐ πανταχόθεν, ὡς εἴρηται, ἀλλὰ ἀπὸ τῶν ὑστέρων ἀρχομένοις, ἐφ' ὧν καὶ τὰ μέσα τῆς αὐτῆς φύσεως, τουτέστιν ὡς ἐπὶ τὸ πολύ τε καὶ ἐνδεχόμενα. ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν.

Ἐπεὶ γὰρ τὸν ὁρισμὸν οὐχ οἷόν τε ἀποδεικνύναι, 13
εἰ καὶ δῆλος γίνεται δι' ἀποδείξεως, ἀνάγκη μέθοδον εὑρεῖν, δι' ἧς δυνησόμεθα εὑρίσκειν τε καὶ θηρεύειν τοὺς ὁρισμούς. τῶν δὴ οὖν ἐν τῷ τί ἐστιν

1 fort. ὑστέρου — προτέρου

ὑπαρχόντων καὶ ἐπὶ πλέον τὰ μὲν οὕτως ἐπὶ πλέον ὑπάρχει, ὥστε καὶ ἐπεκτείνειν καὶ ἔξω τοῦ γένους καὶ τῆς ὑποκειμένης φύσεως, τὰ δὲ οὕτως, ὥστε ἵστασθαι μέχρι τοῦ γένους, οἷον τῇ τριάδι μὲν ὑπάρχει τὸ ὂν καὶ τὸ περιττόν, ἀλλὰ τὸ μὲν ὑπερτείνει τὸν ἀριθμὸν καὶ τὴν φύσιν, ἐξ ἧς ἡ τριάς· ὑπάρχει γὰρ καὶ ἐν ἄλλοις, ἃ μή εἰσιν ἀριθμοί, τὸ δὲ μέχρι τῆς φύσεως ἵσταται ταύτης· ὑπάρχει μὲν γὰρ καὶ τῇ πεντάδι καὶ τῇ ἑβδομάδι καὶ τοῖς ἄλλοις, ἀλλ' οὐκ ἔξεισί γε τὸν ἀριθμόν. ἐκλεκτέον δὴ τὰ τοιαῦτα τῶν ἐν τῷ τί ἐστι κατηγορουμένων μέχρι τοσούτου ποιουμένους τὴν ἔκλεξιν, ἕως ἂν τοσαῦτα λάβωμεν πρῶτον, ὧν ἕκαστον μὲν ἐπὶ πλέον ὑπάρξει, ἅπαντα δὲ μὴ ἐπὶ πλέον, οἷον τῇ τριάδι ὑπάρχει μὲν ἀριθμός, ὑπάρχει δὲ τὸ περιττόν, ὑπάρχει δὲ τὸ πρῶτον ἀμφοτέρως, καὶ ὡς μὴ μετρεῖσθαι ἀριθμῷ καὶ ὡς μὴ συγκεῖσθαι ἐξ ἀριθμῶν. τοῦτο τοίνυν ἐστὶν ἡ τριάς, ἀριθμὸς περιττὸς πρῶτος καὶ ὡδὶ πρῶτος. τούτων δὲ ἕκαστον τὸ μὲν καὶ τοῖς περιττοῖς ὑπάρχει πᾶσι, τὸ δὲ καὶ τῇ δυάδι, πάντα δὲ οὐδενὶ πλὴν τῆς τριάδος, ὥστε τοῦθ' ὁρισμὸν εἶναι τῆς τριάδος δῆλόν ἐστι· κείσθω γὰρ ἡμῖν τὸν ὁρισμὸν ἐξ ἀνάγκης τε δεῖν ὑπάρχειν καὶ μόνῳ ἐκείνῳ τῷ πράγματι, οὗ βούλεται εἶναι ὁρισμός. ὅτι μὲν οὖν ἐξ ἀνάγκης ὑπάρχει, φανερόν· πάντα γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖται, τὰ δὲ οὕτω κατηγορούμενα καθόλου καὶ ἀναγκαῖα· ὅτι δὲ καὶ μόνῳ, δεικτέον. εἰ γὰρ μὴ μόνῳ, δῆλον ὅτι ὡς γένος ἂν ὑπάρχοι καὶ ἐπὶ πλέον. τίνι οὖν ἄλλῳ ὃ μὴ τριάς ἐστι; πᾶς οὖν ὁ τοιοῦτος

---

7 ἐν ἄλλοις] ἐν delendum  10 τοῦ ἀριθμοῦ?  12 ἂν om Arist. p. 96, 32.

λόγος ὁρισμός ἐστι, καὶ τὸ τί ἦν εἶναι σημαίνει. οὕτω καὶ τὸν ἄνθρωπον ἐκλέξαντες ὁριούμεθα τὸ ζῶον καὶ τὸ λογικὸν καὶ τὸ θνητόν, ἢ τὸ ζῶον καὶ τὸ πεζὸν καὶ τὸ δίπουν. ἐπὶ μὲν οὖν τῶν ἀτόμων εἰδῶν τοῦτον τὸν τρόπον ποιητέον.

Ἐπὶ δὲ τῶν γενῶν τῶν εἰς εἴδη διαιρουμένων τοιᾷδε χρηστέον μεθόδῳ. δεῖ λαβεῖν πρῶτον μὲν ἐκείνου τοῦ γένους τὰ ἄτομα εἴδη, οἷον ἀριθμοῦ δυάδα, τριάδα· ταῦτα γὰρ ἄτομα ἂν εἴδη εἴη, ἤ τινα fol. 13 ἄλλα τοιαῦτα, καὶ γραμμῆς τὴν εὐθεῖαν καὶ περιφερῆ καὶ κεκλασμένην, καὶ γωνίας τὴν ὀξεῖαν καὶ ἀμβλεῖαν καὶ τὴν ὀρθήν. εἶτα ἐπειδὴ ἄτομα ταῦτά ἐστιν εἴδη, ληπτέον αὐτῶν τοὺς ὁρισμοὺς κατὰ τὴν ὑφηγημένην μέθοδον, καὶ ὅσα κοινὰ ἐν τοῖς αὐτῶν ὁρισμοῖς ἔνεστιν, ἐκλεκτέον, οἷον τί εὐθεῖα γραμμή; μῆκος ἀπλατὲς οὗ τὰ μέσα ἐπιπροσθεῖ τοῖς ἄκροις. τί περιφερὴς γραμμή; μῆκος ἀπλατὲς πρὸς ὅπερ ἀφ' ἑνὸς σημείου πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι ἴσαι εἰσί; τί κεκλασμένη γραμμή; μῆκος ἀπλατὲς καὶ τοιόνδε. ἐν δὴ πᾶσι τούτοις τοῖς ὁρισμοῖς τὸ μῆκος ἀπλατὲς κοινὸν ἐνυπάρχει. τοῦτο οὖν ἔχοντας ἀνατρέχειν αὖθις ἐπὶ τὴν γραμμὴν δεῖ καὶ σκοπεῖν, ἐν ποίᾳ κατηγορίᾳ ἐστί, καὶ ἐπειδὴ ἐν ποσῷ, ταῦτα συνθετέον τῷ γένει ὅσα κοινὰ εὕρομεν ἐν τοῖς τῶν ἀτόμων εἰδῶν ὁρισμοῖς, καὶ ἔσται γραμμῆς ὁρισμός, ποσὸν μῆκος ἀπλατές· ἔσται γὰρ διὰ τοῦ γένους, ὅσα κοινά ἐστιν ἐν τοῖς ὁρισμοῖς τῶν ὑπ' αὐτὸ ἀτόμων εἰδῶν. οὕτω γὰρ λαμβάνεται τὰ κοινά, ὡς μὴ ὑπερπίπτειν τὸ γένος, διότι οὐχ ὑπερβαίνει τὸ γένος, μόνῳ δὲ τῷ γένει ὑπάρχει· τὸ γὰρ γένος ἐκ τῶν εἰδῶν σύγκειται

---

1 τὸ τί ἦν εἶναι] τὸ om A    9 fort. δυάδα καὶ τριάδα

*καὶ ὥσπερ ἐστὶ τὰ γένη διὰ τὰ εἴδη, οὕτω καὶ ὅσα ὑπάρχει αὐτῷ, διὰ τὰ εἴδη ὑπάρχει. ἀρχαὶ οὖν εἰσι τῶν ὁρισμῶν οἱ τῶν ἁπλῶν εἰδῶν ὁρισμοί. ἁπλᾶ δὲ λέγω τὰ ἄτομα· τὸ γὰρ ἁπλοῦν ἀρχὴ πανταχοῦ. ἐν ὅσοις μὲν οὖν ταὐτὸν καὶ κοινὸν ὑπάρχει ἐν τοῖς τῶν ἀτόμων εἰδῶν ὁρισμοῖς, τοῦτον θηρεύεται τὸν τρόπον ὁ τοῦ γένους λόγος· ἐν ὅσοις δὲ μηδὲν κοινὸν μηδὲ ταὐτόν, οὐδ' ἂν ὑφ' ἓν γένος εἴη ταῦτα τὰ ἄτομα εἴδη, οἷον ζητῶ, τί ἐστι μεγαλοψυχία· λαμβάνω δὴ πρῶτον τὰ αἰσθητὰ ταύτης τῆς φύσεως τοὺς καθ' ἕκαστον μεγαλοψύχους τὸν Ἀλκιβιάδην, τὸν Αἴαντα, τὸν Ἀχιλλέα. τί δὴ πάντες οὗτοι κοινὸν καὶ ὅμοιον ἔσχον; τὸ μὴ ἀνέχεσθαι ὑβριζόμενοι· ὁ μὲν γὰρ ἐπολέμησεν, ὁ δὲ ἐμήνισεν, ὁ δὲ ἀπέκτεινεν ἑαυτόν. ἀλλὰ καὶ Διογένης μεγαλόψυχος καὶ Σωκράτης. ἆρ' οὖν καὶ οὗτοι διὰ τὸ μὴ ἀνέχεσθαι ὑβριζόμενοι; οὐδαμῶς, ἀλλ' ὅτι κατεφρόνουν τῶν ἐκ τῆς τύχης. ἄλλος οὖν λόγος ἐξ ἐκείνων τῶν ἀνδρῶν εὑρίσκεται μεγαλοψυχίας, καὶ ἄλλος ἐκ τούτων ἕξεισιν· ἐξ ἐκείνων μὲν τὸ χαλεπῶς ἔχειν πρὸς ἀτιμίαν, ἐκ τούτων δὲ τὸ καταφρονητικῶς ἔχειν τῆς τύχης. οὗτοι μὲν οὖν τῶν ἀτόμων εἰδῶν εἶεν ἂν ὁρισμοί, πῶς δ' ἂν ἐκ τούτων ὁ τοῦ γένους ἡμῖν θηρευθείη; ζητῶ δή, τί κοινὸν ἐν τῷ χαλεπῶς ἔχειν πρὸς ἀτιμίαν καὶ ἐν τῷ καταφρονητικῶς ἔχειν τῆς τύχης; ἔστι δὲ οὐδέν, οὐδ' ἄρα γένος ἡ μεγαλοψυχία, ἀλλ' εἴδη δύο κεχωρισμένα, ὀνόματος ἑνὸς κοινωνοῦντα μόνον, καθάπερ καὶ τὰ ἄλλα ὁμώνυμα. ἐκ δὴ τῶν εἰρημένων δῆλον, ὅτι πολλῷ ῥᾷόν ἐστι τὸ ἄτομον εἰ-*

---

14 *ἐμήνυσεν* A  15 *Διογένης*] Lysandri exemplum Aristotel. pag. 97, b. 21 exhibet.

δος ὁρίσασθαι ἢ τὸ γένος· τὰ γὰρ ὑπάρχοντα κοινὰ τοῖς καθ' ἕκαστον γνωριμώτερα ἢ τὰ τοῖς εἴδεσι· συντίθενται δὲ ἐκ μὲν τῶν καθ' ἕκαστον ὁ τοῦ εἴδους ὁρισμός, ἐκ δὲ τῶν εἰδῶν ὁ τοῦ γένους. ἧττον δ' ἂν καὶ ὁμωνυμία διαλάθοι κατὰ τὸ εἶδος ἢ τὸ γένος ἐνοῦσα, ὅτι τὸ μὲν εἶδος αἰσθητῶς λέγεται, ταῦτα δὲ λέγειν ἔστιν εἴτε ὁμώνυμα εἴτε μή, οἷον τὸν γεγραμμένον ἄνθρωπον καὶ τὸν ἔμψυχον, ἡ δὲ ἐν τοῖς γένεσιν ὁμωνυμία κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὰ εἴδη γνωρίζεται· ζῶον γὰρ ὁμωνύμως τὸ γεγραμμένον, ὅτι καὶ ἄνθρωπος ὁμωνύμως ὁ γεγραμμένος. εἰ δὴ ταῦτα ἀληθῆ λέγομεν, ῥᾷόν ἐστιν ὡς ἔοικεν, ἀπὸ τῶν εἰδῶν συντιθέντας εὑρίσκειν τοὺς ὁρισμοὺς ἢ ἀπὸ τῶν γενῶν διαιροῦντας· ἀλλ' ὅμως πρὸς τὸ λαμβάνειν τὸ καθόλου καὶ καθ' αὐτὰ κατηγορούμενα ἡ κατὰ τὰς διαφορὰς διαίρεσις τῶν γενῶν χρήσιμος, ἐπειδὴ καὶ τάξει τινὶ χρῆται πρὸς τὴν ἔκλεξιν τῶν καθ' αὐτὰ ὑπαρχόντων· ἀεὶ γὰρ συντιθεῖσα τῷ διαιρεθέντι γένει τὴν διαφορὰν τὸ ὅλον γένος ποιεῖ, καὶ πάλιν ἐκεῖνο διαιροῦσα πρόεισιν, ἕως ἂν ποιήσῃ τὸν ὁρισμὸν ἐκ δύο συμπληρούμενον, τοῦ γένους καὶ τῆς τελευταίας διαφορᾶς· γένους δὲ εἶπον, ὅτι πᾶσαι αἱ πρὸ τῆς τελευταίας διαφοραὶ μετὰ τοῦ γένους συντιθέμεναι ἓν γένος ἐποίουν τὸ ὅλον, ἑνὶ μὲν οὐ πάντως ὠνομασμένον ὀνόματι, δύναμιν δὲ ἑνὸς ἔχοντος γένους· ἐπὶ πλέον τε γὰρ καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται, ὁ δὲ τοιοῦτος τρόπος θαυμαστῶς πάνυ συμβάλλεται πρὸς τὴν τάξιν καὶ μηδὲν παραλιμπάνειν τῶν ἐν τῷ τί ἐστιν ὑπαρχόντων· ἀνάγκη γὰρ ἀεὶ τὰς μείζους διαφορὰς προτέρας τιθέναι καὶ μὴ ὑπερ-

---

15 fort. καὶ τὰ καθ' αὐτὰ 25 ἔχοντος] scrib. ἔχον

*βαίνειν, ἐπεὶ μὴ τὸν τρόπον τοῦτον ποιούμενοι τὴν διαίρεσιν διέλοιμεν ἂν πολλάκις τὸ γένος οὐκ εἰς τὰς τοῦ γένους διαφοράς, οἷον τὸ ζῷον εἰς ὁλόπτερον καὶ σχιζόπτερον· οὐ γάρ εἰσιν αὗται τοῦ ζῴου διαφοραί, ἀλλὰ τοῦ πτηνοῦ ζῴου· τοῦ δὲ ζῴου τὸ πτηνὸν τὸ πεζὸν τὸ ἔνυδρον. εἰς ταύτας τοίνυν διελόμενος πρῶτον τὸ ζῷον τὰς διαφορὰς λοιπὸν τοῦ πτηνοῦ ζῴου λάμβανε ὡς ἑνὸς γένους διαφορὰς τὸ ὁλόπτερον καὶ σχιζόπτερον. πρώτη τοίνυν τοῦ γένους διαφορὰ εἰς ἅπαν ἐμπίπτει τὸ γένος, ζῴου μὲν εἰς ἅπαν ζῷον, ὄρνιθος δὲ εἰς ἅπαντα ὄρνιν, ἰχθύος εἰς ἅπαντα ἰχθύν· οὕτω γὰρ βαδίζοντί σοι κατὰ τὴν τοιαύτην ὁδόν τε καὶ τάξιν ἔστι γινώσκειν, ὅτι μηδὲν παραλείπεις, ἄλλως δὲ ἀναγκαῖον καὶ παραλιπεῖν καὶ μὴ εἰδέναι. Σπεύσιππος δὲ οὐ καλῶς λέγει φάσκων ἀναγκαῖον εἶναι τὸν ὁριζόμενον πάντα εἰδέναι· δεῖ μὲν γάρ φησι γινώσκειν τὰς διαφορὰς αὐτοῦ πάσας, αἷς τῶν ἄλλων διενήνοχεν, ἀδύνατον δὲ εἰδέναι τὰς διαφορὰς τὰς πρὸς ἕκαστον, μὴ εἰδότας αὐτὸ ἕκαστον. πρῶτον μὲν οὖν οὐκ ἀναγκαῖον πάσας εἰδέναι τὰς διαφοράς· μυρίαι γὰρ καὶ ἀπὸ συμβεβηκότων εἰσίν, αἷς ἀλλήλων πολλὰ διαφέροντα ὅμως*
fol. 13b. *ὑπὸ ταὐτὸν εἶδός ἐστιν, ὡς Σωκράτης Πλάτωνος, καὶ Ξάνθος Καλλίου· αἱ τοιαῦται γὰρ οὐ ποιοῦσιν ἑτέραν οὐσίαν, οὐδ᾽ ὁρισμόν· ἔπειτα τὸν διελόμενον τὸ γένος εἰς τὰς προσεχεῖς καὶ ἀντικειμένας διαφοράς, οἷον τὸ ζῷον εἰς τὸ λογικὸν καὶ τὸ ἄλογον, καὶ γινώσκοντα ὅτι ὁ ἄνθρωπος ἐξ ἀνάγκης ὑπὸ θάτερον, καὶ λαβόντα τὸ λογικόν, οὐκέτι ἀναγκαῖον εἰδέναι,*

---

15 *Σπεύσιππος*] vid. Aristot. p. 97, 8. schol. p. 248 Brand.
19 *εἰδότας*] malim *εἰδότα*

καθ' ὅσων τὸ ἄλογον λέγεται, ἡ ἑτέρα διαφορά· αὔταρκες γὰρ πρὸς τὸ λογικὸν γινώσκειν, ὅτι μὴ ὑπ' ἐκεῖνο ὁ ἄνθρωπος. καὶ πάλιν ὅταν τὸ λογικὸν ζῷον διέλῃ εἰς τὸ θνητὸν καὶ ἀθάνατον, καὶ λάβῃ ὅτι θνητὸν ὁ ἄνθρωπος, οὐκ ἐξετάσει κατὰ πόσων τὸ ἀθάνατον. ὅταν δὲ οὕτω βαδίζων ἐφαρμόσῃ τὸν λόγον τῷ εἴδει καὶ μηκέτι προσδέηται διαφορᾶς, ἕξει τὸν λόγον τῆς οὐσίας· οὐδὲ γὰρ ἐκεῖνό γε ἔστιν εἰπεῖν, ὅτι τὸ πάντως ἐμπίπτειν τὸ εἶδος εἰς τὴν ἑτέραν τῶν ἀντικειμένων διαφορὰν αἴτημά ἐστι μὴ συγχωρούμενον· εἰ γὰρ αἱ προσεχεῖς τοῦ γένους ληφθεῖεν καὶ οὕτως ἀντικείμεναι, ὡς μηδεμίαν μεταξὺ εἶναι, ἀμήχανον μὴ πίπτειν ὑπὸ μίαν τούτων τὸ εἶδος.

Πρὸς δὲ τὸ συντιθέναι τοὺς ὁρισμοὺς διὰ τῶν διαιρέσεων τριῶν δεῖ στοχάζεσθαι, τούτων πρώτου μὲν τοῦ λαβεῖν τὰ κατηγορούμενα ἐν τῷ τί ἐστι, ταῦτα δέ ἐστι τὰ γένη, καὶ συντιθέναι τὰς τούτων διαφοράς· ἀφορμὰς δ' εἰλήφαμεν ἐκ τῶν Τοπικῶν, ὥσπερ ὅτι συμβέβηκε τόδε τῷδε, οὕτω καὶ ὅτι γένος τόδε τοῦδε κατασκευάζειν, καὶ ὅτι διαφορὰ οὐσιώδης. δεύτερον δὲ φροντιστέον τοῦ τάξαι τὰς διαφορὰς τὸν δέοντα τρόπον· τάξεις δὲ οὕτως, ἐὰν προτέραν τὴν μείζονα λαμβάνῃς. τὸ δὲ δὴ τρίτον μέχρι τούτου προάγειν τὴν διαίρεσιν, ὡς τελευτᾶν εἰς ἄτομον εἶδος ἢ ὅλως ἐφαρμόζειν καὶ ἐξισάζειν τῷ ὁριστῷ, κἄπειτα οὕτω θαρροῦντα κατασκευάζειν, ὅτι ὁρισμὸς ὁ τοιοῦτος λόγος, εἴπερ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ἐξισάζει.

Ἀεὶ δέ ἐστι πᾶς ὅρος καθόλου, καθάπερ δὴ καὶ πᾶσα ἐπιστήμη καὶ πᾶσα τέχνη τῶν καθόλου· τὸ γὰρ ὑγιεινὸν ὁ ἰατρὸς οὐ τοῦδε οἶδε τοῦ ὀφθαλμοῦ, ἀλλ' ἁπλῶς τοῦ εἴδους καὶ ἁπλῶς τοῦ ὀφθαλμοῦ. ὥσπερ

δὲ ἐπὶ τῶν ἀποδείξεων πρῶτον ἁπάντων ἀπαιτητέον τὸ συλλογιστικῶς προῆχθαι, οὕτως ἐπὶ τῶν ὁρισμῶν τὴν σαφήνειαν· ἀσαφείας δὲ πολλὰ μὲν καὶ ἄλλα αἴτια, μάλιστα δὲ αἱ μεταφοραί, ἃς φυλακτέον ἐν τοῖς ὁρισμοῖς διὰ τὸ ἕλκεσθαι ἐπὶ πλείω. περὶ μὲν οὖν τοῦ ὁρισμοῦ πῶς γίνεται δῆλος δι' ἀποδείξεως, καὶ πῶς δεῖ θηρεύειν αὐτόν, ἀρκείσθω τοσαῦτα.

14 Πρὸς δὲ τὴν ἀπόδοσιν τοῦ διὰ τί καὶ τὸ δύνασθαι τοῖς τοῦτο ἐπιζητοῦσι προβλήμασι ῥᾳδίως ἀπαντᾶν, καὶ ταύτας παρασκευαστέον τὰς διαιρέσεις, καὶ τὰς ἀνατομὰς ἔχειν δεῖ προχείρως, ὅσαι πεποίηνται Ἀριστοτέλει· αἱ γὰρ οἰκεῖαι καθ' ἕκαστον γένος δώσουσιν ἀφορμὰς πρὸς ἀπόδοσιν τοῦ διὰ τί· τὰ γὰρ ὑπάρχοντα κοινὰ ἑκάστῳ γένει διὰ τούτων τεθεώρηνται, οἷον τῷ ζῴῳ· τὸ μὲν-γὰρ ἔμψυχον καὶ αἰσθητικὸν ἐκ τῶν διαιρέσεων· διελόμενοι γὰρ τὴν οὐσίαν εἰς ἔμψυχον καὶ ἄψυχον τὸ ζῷον εὕρομεν ἐν τῷ ἐμψύχῳ, καὶ τὴν οὐσίαν τὴν ἔμψυχον εἰς τὴν αἰσθητικήν τε καὶ μὴ τὸ ζῷον εὕρομεν ἐν τῇ μοίρᾳ τῇ αἰσθητικῇ. τὸ δὲ ὅτι πᾶν ζῷον ἐξ ὑγροῦ τινὸς καὶ στερεοῦ, διὰ τῶν ἀνατομῶν εἴληπται. πάλιν ἐπὶ τῶν προσεχῶν εἰδῶν τοῦ ζῴου, οἷον τοῦ ὄρνιθος ἢ τοῦ ἰχθύος, ταὐτὸ ποιητέον, τὰ κοινὰ καὶ παντὶ ὑπάρχοντα ἢ ὄρνιθι ἢ ἰχθύι, τὰ μὲν ἐκ τῶν διαιρέσεων τοῦ ἀνωτέρου γένους λαμβάνοντας, τὰ δὲ ἐκ τῶν ἀνατομῶν· εἰ γὰρ ταῦτα ἔχομεν, πρόχειρα ἐπὶ πολλῶν εὑρήσομεν τὸ διὰ τί· ὅσα γὰρ παντὶ τῷ γένει ὑπάρχει, διὰ τὸ γένος ὑπάρχει τοῖς εἴδεσι. διὰ τί σχιζόπτερον ὁ ἀλεκτρυών; διότι ὄρνεον. διὰ τί

7 ἀρκείσθω] fort. ἀρκείτω 25 scrib. ἀνωτέρω

πνεύμονα οὐκ ἔχει ὁ γλάνις; διότι ἰχθύς. κἂν μὴ γένος δὲ ᾖ τὸ κοινόν, μηδ' ὠνομασμένον ἑνὶ ὀνόματι, ἀλλὰ πάθος τι κοινὸν πλείοσιν ὑπάρχον ἐκ φύσεως, οἷον τὸ κερασφόρον, σκοπεῖν καὶ τούτῳ δεῖ τὰ ἑπόμενα, οἷον τὸ ἐχῖνον ἔχειν, τὸ μὴ ἀμφώδοντα εἶναι. ταῦτα δ' ἐκ τῆς ἀνατομῆς. καὶ πάλιν τίσιν ἕπεται τὸ κερασφόρον, οἷον βουσὶν ἐλάφοις προβάτοις· ἑκάστῳ δὴ τούτων ὑπάρχει τὰ ἑπόμενα τῷ κερασφόρῳ διὰ μέσον τοῦτο αὐτό. διὰ τί βοῦς ἐχῖνον ἔχει; ὅτι κερασφόρον ἐστί. διὰ τί ἔλαφος μακρόβιον; ὅτι ἄχολον. ἀλλ' ἐνταῦθά ἐστι τὸ μέσον ὃ ἐξ ἀνατομῆς εἴληπται, οὐ τὸ ἑπόμενον τῷ μέσῳ, συμβαίνει δὲ τοῖς κατὰ πάθος κοινοῖς τὰ ἑπόμενα ἐκ τῶν ἀνατομῶν ἐξευρίσκειν καὶ ἐκ τῶν διαιρέσεων. ἔστι δέ τινα κατὰ ἀναλογίαν κοινά, οἷον σήπιον ἄκανθα καὶ ὀστοῦν, καὶ αὐτὰ δὴ ἐκλεκτέον εἰς τὴν περὶ τὰ προβλήματα εὐπορίαν.

15 Τὰ δὲ αὐτὰ προβλήματά ἐστι τῷ τὸ αὐτὸ αἴτιόν τε καὶ μέσον ἔχειν, οἷον διὰ τί ἡ λίθος ἡ μαγνῆτις ἕλκει καὶ τὸ ἤλεκτρον καὶ ἡ σικυῖα; πάντων γὰρ τὸ αὐτὸ μέσον τε καὶ αἴτιον, ἡ ἀντιπερίστασις ὡς φησὶ Πλάτων. ἔστι δὲ ταὐτὸν τὸ μέσον ἢ εἴδει ἢ γένει, εἴδει μὲν ὃ προείρηται· ἀέρος γὰρ ἀντιπερίστασις ἁπάντων αἰτία, γένει δὲ οἷον διὰ τί ἠχώ; καὶ διὰ τί ἐν τοῖς κατόπτροις ἑαυτοὺς ὁρῶμεν; καὶ διὰ τί ἶρις; πάντα μὲν γὰρ δι' ἀνάκλασιν, ἀλλ' οὗ μὲν ἀέρος, οὗ δὲ ὄψεως, οὗ δὲ φωτός, ὥστε καὶ τὰ προβλήματα ἀκολουθήσει τῷ μέσῳ, καὶ τὰ μὲν τῷ εἴδει τὰ αὐτὰ ἔσται τὰ δὲ τῷ γένει. ἔστι δὲ καὶ καθ' ἕτερον τρό-

---

20 scrib. σικύα

που τὰ αὐτὰ ἀλλήλοις προβλήματα, ὅταν θατέρου τὸ αἴτιον ἐξηρτημένον ᾖ τῆς θατέρου αἰτίας καὶ τάττηται ὑπ' ἐκείνην, οἷον διὰ τί ὁ Νεῖλος φθίνοντος τοῦ μηνὸς μᾶλλον ῥεῖ; διότι χειμεριώτερος φθίνων ὁ μήν. καὶ ἔστιν ἓν πρόβλημα τοῦτο. διὰ τί δὲ φθίνων χειμεριώτερος ὁ μήν; διότι τῇ σελήνῃ τηνικαῦτα ἀπολείπει τὸ φῶς. καὶ δύο ἤδη προβλήματα σχεδὸν ὑφ' ἓν μέσον ἐστὶ καὶ μίαν αἰτίαν τὴν σύνοδον, ἀλλὰ τοῦ μὲν προσεχῶς αἴτιον, τοῦ ἀπολείπειν τὸ φῶς· κατὰ δεύτερον δὲ λόγον τοῦ γενέσθαι
fol. 14. τὸν μῆνα χειμεριώτερον, κατὰ τρίτον δὲ τοῦ μᾶλλον ῥεῖν τηνικαῦτα τὸν ποταμόν.

16 Περὶ δὲ τοῦ αἰτίου καὶ οὗ αἴτιον καὶ τάδε ἄν τις ἀπορήσειε πρὸς τοῖς εἰρημένοις (λέγω δὲ αἴτιον μὲν τὸ μέσον, οὗ αἴτιον δὲ τὸ συμπέρασμα) εἰ, ὥσπερ τοῦδε ὄντος τοῦ μέσου τόδε ἕπεται τὸ συμπέρασμα, οὕτω καὶ τοῦδε τοῦ συμπεράσματος ὄντος τόδε ἐστὶν ἐξ ἀνάγκης τὸ αἴτιον. εἰ μὲν γὰρ οὕτως, ἀντιστρέφει τε ἀλλήλοις καὶ κύκλῳ αὐτὰ δείκνυσθαι δυνατόν, ὥσπερ ὅτι ἐκλείπει ἡ σελήνη διὰ τὸ τὴν γῆν ἐν μέσῳ εἶναι, οὕτως ὅτι ἡ γῆ ἐν μέσῳ ἐστὶ διὰ τὸ τὴν σελήνην ἐκλείπειν. ἀλλ' ἄτοπον ἐν ἀποδείξει τὸ δι' ἀλλήλων καὶ ἅμα, ἀλλ' οὐ δι' αἰτίου θάτερον οὐδὲ διὰ προτέρου τῇ ἐπινοίᾳ· οὐ γάρ ἐστιν αἴτιον τοῦ τὴν γῆν ἐν μέσῳ εἶναι τὸ τὴν σελήνην ἐκλείπειν, ἀλλὰ μέσον τοῦ συλλογισμοῦ, καὶ τοῦ συμπεράσματος ἴσως αἴτιον, τοῦ πράγματος δὲ οὐδαμῶς. δῆλον δέ· οὐ γὰρ ἐν τῷ ὁρισμῷ τῆς γῆς καὶ τοῦ μέσην εἶναι ἡ ἔκλειψις ἐμφαίνεται τῆς σελήνης, ἀλλ' ἐν τῷ ὁρισμῷ τῆς ἐκλείψεως τὸ τὴν γῆν ἐν μέσῳ εἶναι. εἰ

---

23 ἀλλ'] ἄλλα A

δὲ οὐκ ἀντιστρέφει, καὶ τὸ μὲν αἰτιατὸν συμπέρασμα, τὸ δὲ οὐκ αἰτιατὸν τὸ μέσου τε καὶ τὸ αἴτιον, πλείω μέσα ἐνδέχεται εἶναι καὶ αἴτια τοῦ αὐτοῦ συμπεράσματος. ἀλλ᾽ ἀδύνατον· καθόλου γάρ ἐστι τό τε αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄμφω ὁμοίως ὑπάρχειν ὀφείλει τῇ ὑποκειμένῃ φύσει, ἥ τίς ποτ᾽ ἂν ἦν, οἷον εἰ τοῖς δένδροις αἴτιον τοῦ φυλλορροεῖν τὸ πλατύφυλλον ἢ τὸ πήγνυσθαι τὸν ὀπόν, οἷς τε τὸ φυλλορροεῖν, τούτοις καὶ τὸ πήγνυσθαι τὸν ὀπόν, καὶ οἷς τὸ πήγνυσθαι τὸν ὀπόν, τούτοις καὶ τὸ φυλλορροεῖν. οὐδὲν δὲ ἄτοπον, εἰ τὸ τοιοῦτον αἴτιον ἓν καὶ ἀντιστρέφει πρὸς τὸ συμπέρασμα· οὐ γὰρ ὁμοίως δειχθήσεται δι᾽ ἀλλήλων, ἀλλὰ τὸ μὲν ὡς συλλογισμῷ μόνον, τὸ δὲ καὶ ὡς ἀποδείξει ἤδη.

17

Πλείω δὲ τοῦ αὐτοῦ μέσα τε καὶ αἴτια εἶναι οὐχ οἷόν τε, εἰ μὴ ἄρα διὰ συμβεβηκότος ἡ δεῖξις ἢ διὰ σημείου προΐοι, οἷον διὰ τί τὰ δένδρα φυλλορροεῖ; διότι ῥυτιδοῦται, ἢ διὰ τί λευκαίνεται ἢ τὸ πῦρ κέκαυται; διότι ἄνθρακες ὑπολείπονται, ἢ διότι τέφρα. ἀλλ᾽ εἴρηται πολλάκις, ὅτι οὐδὲ ἀπόδειξις τὸ τοιοῦτον, οὐδὲ αἴτια τοῦ πράγματος τὰ τοιαῦτα, ἀλλὰ τοῦ συμπεράσματος μόνον. ἐξοριστέον οὖν ἅπαντα μὲν τὰ τοιαῦτα, μάλιστα δὲ τὸ κατὰ συμβεβηκὸς τῶν ἀποδείξεων· οὐ γὰρ τὰ προβλήματα περὶ τῶν κατὰ συμβεβηκὸς ἐρωτᾶται· οὐδεὶς γὰρ ζητεῖ, διὰ τί ἀναδενδρὰς φυλλορροεῖ ἡ μέλαινα ἢ ἡ ἄμπελος ἢ ἡ πλάτανος ἡ ἀμφιλαφής τε καὶ ὑψηλή, ἀλλὰ διὰ τί δένδρον φυλλορροεῖ; τούτου δὲ ἓν αἴτιον πᾶσι τοῖς δένδροις καὶ μάλα εἰκότως· τὸ γὰρ αἴτιον τοῦ φυλ-

18 ἢ διὰ τί] ἢ διότι A 20 fort. οὔτε — οὔτε

λορροεῖν ὁρισμός ἐστι τοῦ φυλλορροεῖν καὶ τὸ τί ἦν εἶναι, οἷον τὸ πήγνυσθαι τὸν ὀπόν, καὶ τῆς ἐκλείψεως ἡ ἀντίφραξις, καὶ ἔστιν ἐν ταῖς ἀποδείξεσιν οὗ μὲν αἴτιον τὸ μεῖζον ἄκρον τῶν ἐν τῷ συμπεράσματι ὅρων, ᾧ δ' αἴτιον τοὔλαττον, ὃ δὲ αἴτιον τὸ μέσον. λόγος οὖν τοῦ μείζονος ἄκρου τῶν ἐν τῷ συμπεράσματι τὸ μέσον ἐστὶ καὶ πάντῃ ὅμοιον ἐκείνῳ, εἰ μὲν ὁμώνυμον, ὅμοιον ἐκείνῳ καὶ τὸ μέσον· εἰ δ' ἀναλογία, καὶ τὸ αἴτιον τὸν αὐτὸν τρόπον.

Περὶ δὲ τοῦ ἀντιστρέφειν ἀλλήλοις τό τε αἴτιον καὶ οὗ αἴτιον καὶ ᾧ αἴτιον ὧδε ἔχει. λέγω δὲ ᾧ μὲν αἴτιον τὸ ὑποκείμενον, τὸ δένδρον, μὴ τὴν συκῆν· οὗ δὲ αἴτιον τὸ φυλλορροεῖν· αἴτιον δὲ τὸ πήγνυσθαι τὸν ὀπὸν ἢ ὅ τι δήποτε. τὸ μὲν δὴ αἴτιον καὶ οὗ αἴτιον εἴρηται, ὅτι ἐξ ἀνάγκης πρὸς ἄλληλα ἀντιστρέφει, εἴπερ οὕτως ἔχει πρὸς ἄλληλα ὡς ὁριστόν τε καὶ ὁρισμός. πρὸς δὲ τὸ ὑποκείμενον πῶς; τοῦτο γὰρ διοριστέον. εἰ μὲν δή τι τῆς φύσεως τῆς ὑποκειμένης αἰσθητόν τε καὶ καθ' ἕκαστον λάβοις, οὐκ ἀντιστρέφει, οἷον ἐπὶ τοῦ φυλλορροεῖν εἰ λάβοις ἄμπελον καὶ συκῆν· ἐπὶ πλέον γὰρ ἑκάστου καὶ τὸ ἀποβάλλειν τὰ φύλλα καὶ πήγνυσθαι τὸν ὀπόν· εἰ δὲ πάντα ὅσα φυλλορροεῖ, ἀντιστρέφει τε καὶ ἐξισοῦται. δεῖ οὖν ζητεῖν ὃ κοινῇ πᾶσιν. ὑπάρχει τοῖς φυλλορροοῦσιν, ὅπως ἐκείνῳ αὐτὰ περιλαμβάνωμεν καὶ ἐπ' ἐκείνου ζητῶμεν τὸ διὰ τί· τούτῳ γὰρ πρώτῳ αἴτιον ἔσται τὸ μέσον, καὶ πρὸς τοῦτο αὐτὸ ἀντιστρέφει. εὑρίσκω δὴ τὸ πλατύφυλλον κοινῇ πᾶσι τοῖς φυλλορροοῦσιν ὑπάρχον· πρὸς τοῦτο οὖν ἀντιστρέφει καὶ τὸ αἴτιον καὶ οὗ αἴτιον. γίνονται οὖν ἐπὶ τῶν τοιούτων προβλημάτων τέσσαρες ὅροι, τὸ φυλλορροεῖν, τὸ πήγνυσθαι τὸν ὀπόν, τὸ πλατύφυλ-

λον, ἡ συκῆ· δύο μὲν ἄκροι, δύο δὲ μέσοι. ἀλλ' ὁ μὲν τῷ ὑποκειμένῳ προσεχής τε καὶ ἐπὶ πλέον, ὁ δὲ τῷ κατηγορουμένῳ προσεχής τε καὶ ἀντιστρέφων.

Τί δὴ μᾶλλον αἴτιον ἐρεῖς, ἐφ' ὧν πλείω τὰ 18
μέσα ἢ τὸ προσεχὲς ἑκάστῳ; δι' ἐκεῖνο γὰρ αὐτῷ καὶ τὸ πορρότερον ὑπάρχει, οἷον τῇ συκῇ τὸ πλατύφυλλον μᾶλλον αἴτιον τοῦ φυλλορροεῖν· διὰ τοῦτο γὰρ αὐτῇ καὶ θάτερον αἴτιον ὑπάρχει, λέγω δὴ τὸ πήγνυσθαι τὸν ὀπόν. ἀλλὰ πῶς ἐπ' ἐνίων φανερῶς τὰ αἴτια; ἐκλείψεως γὰρ καὶ τὸ τὴν γῆν ἐν μέσῳ εἶναι, καὶ τὸ τὴν σελήνην. ἢ οὐ τῆς αὐτῆς, ἀλλὰ τὸ μὲν τοῦ ἡλίου, τὸ δὲ τῆς σελήνης; ἆρ' οὖν οὐδὲ ἔσονται πλείους τοῦ αὐτοῦ ὁρισμοί; ἢ τοῦ μὲν ὀνόματος ἔσονται, οὐκέτι δὲ καὶ πράγματος τοῦ αὐτοῦ; περὶ μὲν οὖν ἀποδείξεως εἴρηται καὶ πῶς ἐστι καὶ πῶς γίνεται, εἴρηται δ' ἅμα καὶ περὶ ἀποδεικτικῆς ἐπιστήμης· ταύτης γὰρ ἔργον ἀπόδειξις.

Περὶ δὲ τῶν ἀρχῶν τῆς ἀποδείξεως πῶς τε γίνον- 19
ται γνώριμοι, καὶ τίς ἡ γνωρίζουσα ἕξις, ἐντεῦθεν ἔσται δῆλον προαπορήσασι πρῶτον. ἀνάγκη γὰρ ἤτοι γινώσκειν τὰς πρώτας ἀρχὰς ἢ μὴ γινώσκειν· εἰ δὲ γινώσκειν, ἤτοι δι' ἀποδείξεως ἢ ἄλλον τρόπον, ἤτοι δι' ἐπιστήμης ἢ δι' ἑτέρας δυνάμεως· πολλὰ γὰρ χωρὶς ἀποδείξεως ἐπιστάμεθα, καθάπερ δὴ καὶ τοὺς ὁρισμούς. ὅτι μὲν οὖν ἀναγκαῖον γινώσκειν τὰς ἀρχὰς τῷ μέλλοντι γνώσεσθαι τὰ ἐξ ἐκείνων, εἴρηται πρό- fol. 14b.
τερον, καὶ ὅτι γε μὴ δι' ἀποδείξεως οἷόν τε. λείπεται τοίνυν ἐπισκέψασθαι, πότερον ἐπιστήμη τῶν

6 πορρώτερον A 8 δὴ] fort. δὲ 20 ἔσται] ἐστί Aristotelis libri

*ἀμέσων ἀρχῶν ἐστιν ἢ ἕτερόν τι γένος δυνάμεως. ἀρχὴ δὲ ἁπλῶς τῆς θεωρίας· ἄρ᾽ ἐξ ἀρχῆς ἐνοῦσαι διαλελήθασιν ἡμᾶς ἢ ὕστερον τελειουμένοις ἐγγίνονται; τό τε γὰρ ἐνούσας διαλανθάνειν ἀδύνατον· οὐδὲ γὰρ ἀπόδειξιν ἔχοντας λανθάνειν δυνατόν, μήτοι γε δὴ γνῶσιν ἀποδείξεως ἀκριβεστέραν· τό τε λαμβάνειν μὴ ἔχοντας πρότερον οὐκ εὐδιάθετον τοῖς τιθεμένοις πᾶσαν διδασκαλίαν καὶ μάθησιν ἐκ προϋπαρχούσης γίνεσθαι γνώσεως· οὐδὲν γὰρ πρότερον τῶν ἀρχῶν. ἄλλως οὖν οὐκ ἔστι διαφυγεῖν ταύτας τὰς ἀπορίας, εἰ μή τις εὑρεθείη δύναμις τῆς ψυχῆς καθ᾽ ἣν οἷόν τε γινώσκειν μηδὲν ἕτερον πρότερον αὐτῆς γινώσκοντας· ταύτῃ γὰρ μόνῃ προσήκοι ἂν ἡ λῆψις τῶν ἀρχῶν. φαίνεται δὲ αὕτη γε πᾶσιν ὑπάρχειν τοῖς ζώοις· ἔχουσι γὰρ δύναμιν σύμφυτον κριτικὴν ἣν καλοῦμεν αἴσθησιν, ἐνούσης δ᾽ αἰσθήσεως τοῖς μὲν τῶν ζώων ἐγγίνεται μονὴ τοῦ αἰσθήματος, καὶ φυλάττουσιν ἐπὶ πολὺ τοῦτο οὗ ᾔσθοντο, τοῖς δὲ οὐκ ἐγγίνεται τοῖς μὲν ὅλως, ὥσπερ εὐλαῖς καὶ μυίαις καὶ ἐμπίσι, τοῖς δ᾽ ἀμυδρῶς καὶ ὀλίγον, οἷον ὀρνέοις τισὶ φωνῶν καὶ ὀδῶν ὑποζυγίοις. ὅσοις μὲν οὖν οὐκ ἐμμένει τὰ αἰσθήματα ἐν τῇ ψυχῇ, τούτοις οὐκ ἔστι γνῶσις ἔξω τῶν αἰσθήσεων· ὅσοις δὲ καὶ δίχα τοῦ αἰσθητοῦ δυνατὸν τὸ αἴσθημα ἔχειν ἐν τῇ ψυχῇ, οἷον καὶ ἀπελθόντος Σωκράτους τὸν τύπον καὶ τὴν μορφήν, τούτοις προσγίνεται καὶ ἑτέρα γνῶσις, ἡ μνήμη, καὶ τοῖς μὲν ἀτελεστέροις οὕτως, ὥστ᾽ ἔχειν τὸν τύπον μόνον ἐπὶ πολὺ τῆς προλαβούσης αἰσθή-*

---

2 *ἀρχὴ*] fort. *ἀρχαὶ* 20 *ὀρνέων* A 21 *οὐκ*] *μὴ* Aristot. p. 99 b. 37 23. *δίχα τοῦ αἰσθητοῦ*] legisse videtur in Arist. p. 99 b. 39 *ἔνεστι μὴ αἰσθανομένοις* quod Trendelenb. coniecit in Elem. log. p. 22.

σεως, τοῖς δὲ ὥστε καὶ τὰ ὅμοια συνάπτειν δύνασθαι καὶ ἐφαρμόζειν, καὶ ταῦτα ἤδη τέλειά τε καὶ λογικά, ἐν οἷς ἡ τοῦ ὁμοίου θεωρία τε καὶ διάκρισις. ἐκ μὲν οὖν τῆς αἰσθήσεως ἐγγίνεται μνήμη, ὥσπερ λέγομεν, ἐκ δὲ μνήμης πολλάκις τοῦ αὐτοῦ γινομένης ἐμπειρία· αἱ γὰρ πολλαὶ μνῆμαι τῷ ἀριθμῷ μία ἐμπειρία ἐστίν. ὅτι μὲν γὰρ τόδε ἐστὶν ἑλλέβορος τὸ καθῆραν, ᾔσθετο καὶ ἐμνημόνευσεν· ἀλλὰ καὶ ὅτι τόδε ἑλλέβορος τὸ πάλιν καθῆραν, ᾔσθετο καὶ ἐμνημόνευσε πάλιν, καὶ αὖθίς γε ἕτερον καὶ πάλιν ἄλλο. πολλῶν δὲ μνημῶν ἐκ πολλῶν αἰσθήσεων γινομένων ἐμπειρία ἀθροίζεται μία τοῦ καθαίρειν τὸν ἑλλέβορον, ἧς συναυξομένης τε καὶ προσλαμβανούσης αἴσθησιν ὁμοίαν καὶ μνήμην πήγνυται ἤδη τὸ καθόλου καὶ ἐμμένει ἐν τῇ ψυχῇ, ὅτι πᾶς ἑλλέβορος καθαίρει, καὶ ἔστι τὸ καθόλου τὸ ὅμοιον καὶ ταὐτὸν ἐν τοῖς καθ' ἕκαστον καὶ τὸ ἐν τοῖς πολλοῖς, καὶ τοῦτο τέχνης ἀρχὴ καὶ ἐπιστήμης, τέχνης μὲν εἰ περὶ τῶν ὑπ' αὐτῆς γινομένων, ἐπιστήμης δὲ εἰ περὶ τῶν ὑπὸ φύσεως. οὔτε οὖν ἐξ ἀρχῆς ἐνυπάρχουσιν αἱ ἀρχαί· τέλειοι γὰρ ἂν ἐγεννώμεθα, οὔτε ἀπ' ἄλλης ἕξεως ἐγγίνονται γνωστικωτέρας, ὥστ' ἐξ ἀνάγκης τι προειδέναι, ἀλλ' ἀπὸ αἰσθήσεως καὶ μνήμης διεγείρονται καὶ ἀθροίζονται. οἷον γὰρ ἐν μάχῃ τροπῆς γενομένης εἷς ἔστη, καὶ πάλιν ἕτερος ἔστη, καὶ πάλιν ἄλλος καὶ ἤδη τοσοῦτοι, ὥστε παράταξιν καὶ ἀρχὴν αὖθις μάχης γενέσθαι, οὕτω μείναντος ἐν τῇ ψυχῇ τύπου συνηρμόσθη καὶ ἄλλος, καὶ αὖθις ἄλλος καὶ τοσοῦτον ἤδη τὸ πλῆθος, ὡς ἰσχυρὸν τὸ καθόλου γενέσθαι. ἡ ψυχὴ οὖν αἰτία τοιαύτην ἔχουσα φύσιν, ὥστε τῶν

---

7 ἐλέβορος A, et sic infra

αἰσθητῶν παραρρεόντων ἐπιλαμβάνεσθαι τῶν ὁμοίων τύπων καὶ ἐναποτίθεσθαι τῇ μνήμῃ, συνάγουσαν τὸ καθόλου τὸ ἐν τοῖς καθ' ἕκαστον ὅμοιον, οὗ καὶ αὐτή πως ἡ αἴσθησις συνεφάπτεται. ὅταν γὰρ Σωκράτους αἰσθάνηται, συναντιλαμβάνεται καὶ ἀνθρώπου, καὶ ὅταν τουδὶ τοῦ λευκοῦ, συναισθάνεται καὶ λευκοῦ· οὐ γὰρ ὡς ταὐτοῦ παντελῶς συναισθάνεται Καλλίου τε καὶ ἀνθρώπου· οὐκέτι γὰρ ἂν εἶπεν ἄνθρωπον ἕτερον, εἰ μὴ Καλλίαν· ἀλλ' ὅταν ὁρᾷ Σωκράτην, τότε ὁρᾷ ἐν αὐτῷ καὶ τὸ πρὸς ἀλλήλους ὅμοιον καὶ κοινόν, ὥστε τρόπον τινὰ καὶ αἴσθησις τοῦ καθόλου, ἀλλ' οὐχ οὕτως, ὥστε αὐτὸ χωρίσαι καὶ ἀφελεῖν καὶ καθ' ἑαυτὸ γνῶναι, ἀλλὰ συγκεχυμένον τε τῷ καθ' ἕκαστον καὶ μᾶλλον εἰς ἐκεῖνο ἀποτετραμμένον· ἀλλ' ἑτέρα δύναμίς ἐστιν, ἣ τῆς αἰσθήσεως περὶ τὸ κατὰ μέρος ἐνεργούσης τὸ ἓν ἐκ πολλῶν καὶ τὸ ἀδιάφορον ἐκ διαφόρων καὶ ταὐτὸν ἐξ ἑτέρων συνάγει, οἷον τὸν ἄνθρωπον ἐκ Καλλίου καὶ Ἀρίστωνος, καὶ τὸ ζῶον ἐξ ἀνθρώπου καὶ λέοντος, καὶ τὴν οὐσίαν ἐκ φυτοῦ καὶ ζώου· ἄνεισι γὰρ μέχρις ἂν εἰς ἓν παντελῶς τὰ πολλὰ ἀναγάγῃ τε καὶ συνδήσηται, ὥστε ἐπαγωγῇ ὁ τρόπος ἔοικε τῆς συστάσεως τοῦ καθόλου καὶ τῆς γνώσεως, καθ' ὃ λέγεται ἐπαγωγὴ πᾶς ὁ ἐκ τῶν κατὰ μέρος τὸ καθόλου κεφαλαιούμενος λόγος. ἤδη δὲ τοῦ τοιούτου λόγου τὰ μὲν λήμματα θήσουσιν αἱ αἰσθήσεις· ἀρχαὶ γὰρ αὗται καὶ αἰτίαι τῶν κατὰ μέρος ὑπολήψεων, τὴν δὲ καθόλου ἐπιφορὰν ὁ νοῦς ποιήσεται· τούτου γὰρ ἔργον ἤδη τὰ πολλὰ ἑνοῦν καὶ περαίνειν τὰ ἄπειρα, ὅπερ φησὶ Πλάτων, πέρατι συνδήσασθαι· καὶ γὰρ διαιρε-

---

30 συνθήσασθαι A

τικὸς καὶ συνθετικὸς καὶ μεταβατικὸς καὶ ἄλλως πολυτρόπως εὐκινητότατος. ἔσται δὲ οὐχ ὑφ' ἕν, οὐδ' εὐθὺς οὐδὲ ἐν χρόνῳ ὀλίγῳ ἥ τε τῶν λημμάτων τῆς ἐπαγωγῆς ταύτης αἴσθησις καὶ ἡ τοῦ καθόλου ἐπιφώνησις, ἀλλὰ πολὺν χρόνον μεταξὺ παρεμπίπτειν ἀμφοτέρων ἀνάγκη, καὶ τὰ μὲν λήμματα εὐθὺς ἡ πρώτη ἀρξαμένη ἡμῖν αἴσθησις τίθησι, πόρρω δὲ ἤδη προελθούσης ὁ νοῦς ἐξ αὐτῶν τὸ καθόλου συμπεραίνεται· διότι μέντοι διὰ μακροῦ χρόνου συναγείρειν πέφυκε τὸ καθόλου, λανθάνει δὲ ὁ τρόπος ἐπαγωγή τις ὤν, καὶ παρὰ τῆς φύσεως λαμβάνειν, ἀλλ' οὐ παρ' ἑαυτοῦ δόξειεν ἂν τὰς ἐννοίας τοῖς ἀπειροτέροις. ὅτι δὲ νοῦς ἐστιν ὁ τὰς καθόλου καὶ ἀμέσους προτάσεις ἐγκατασκευαζόμενος καὶ οὐδεμία fol. 15. ἄλλη δύναμις, δῆλον κἀντεῦθεν· τῶν περὶ τὴν διάνοιαν ἕξεων ταῖς μὲν οὐκ ἀεὶ ἀληθεύομεν, ταῖς δὲ ἀεί· οὐκ ἀεὶ μὲν δόξῃ καὶ λογισμῷ, ἀμφοῖν μὲν ὄντων περὶ τὰ ἄλλοτε ἄλλως ἔχοντα, ἀλλὰ τῆς μὲν εἰς θεωρίαν πολλάκις ἀποτελευτώσης, τοῦ δὲ εἰς πρᾶξιν ἀποτεινομένου τὸ σύνολον· αἷς δὲ ἀεὶ δυνάμεσιν ἀληθεύομεν, ἐπιστήμη ἐστὶ καὶ νοῦς, καὶ οὐκ ἔστιν ἐπιστήμη τῶν ἀρχῶν· δι' ἀποδείξεως γὰρ ἥ γε ἀκριβῶς ἐπιστήμη· λείπεται δηλονότι νοῦν εἶναι τὸν γνωρίζοντα τὰς ἀρχάς· καὶ γὰρ δὴ προσήκει μὲν ἀεὶ ταῖς ἀρχαῖς τὸ ἀκριβέστερον γινώσκεσθαι τῶν μετὰ τὰς ἀρχάς, μόνος δὲ νοῦς ἀκριβέστερος ἐπιστήμης. νοῦς οὖν ὁ ληπτικὸς τῶν ἀρχῶν, νοῦς δὲ ὁ πρῶτος καὶ ὑπὸ τῆς φύσεως ἐγκατασκευαζόμενος τῷ λογικῷ ζῴῳ, δυνάμει δὲ οὗτος ὢν ἐστιν ἁπλούστατος καὶ ὥσπερ ἄλογός τις καὶ ἄκριτος τῆς ψυχῆς ὄψις, καθ'

---

10 δὲ] aut δὴ aut delendum  15 περὶ] παρὰ A

*ἣν ἐξ ἀρχῆς ἐστι φύσει λογικὸν ζῶον ὁ ἄνθρωπος. οὗτος δὲ ὁ νοῦς καὶ προϊοῦσιν ἡμῖν συναυξανόμενος ἀεὶ καὶ συνεπιδίδωσι· τὸ μὲν γὰρ πρῶτον εἰς τὰς ἁπλᾶς, ὥσπερ ὅρους ὀνομάζομεν καὶ τῶν ἀσυνθέτων καὶ ἁπλουστάτων τοῦ λόγου στοιχείων τὰς θέσεις καὶ τὰς ἁπλᾶς ἀντιλήψεις. ἄνθρωπον γὰρ ἢ λευκὸν ἄρχεται καὶ λέγειν πρῶτον τὰ παιδία καὶ νοεῖν, ἐπειδὰν ἐγκατασκευάζηται λόγος αὐτοῖς, προβαίνοντος δὲ ἤδη καὶ τοῦ συντιθέναι ταῦτα τὰ ἁπλᾶ δύναμιν προσλαμβάνει καὶ τί ἄνθρωπός ἐστιν, ἤδη διανοεῖσθαι· ἐπειδὰν δὲ πλείονα ἰσχὺν λάβωμεν, καὶ πρὸς τὴν τοῦ καθόλου σύστασιν καὶ νόησιν συνετώτεροι γινόμεθα, ἕως ἂν τὴν λογικὴν ἕξιν καθ' ἣν ἤδη λογικοὶ γεγόναμεν, συστησώμεθα πασχούσης γέ τι τῆς ψυχῆς προσόμοιον τῷ σώματι· καὶ γὰρ τοῦτο ἀρχόμενον μὲν τελειοῦσθαι πρῶτον μὲν ἰσχὺν λαμβάνει πρὸς αὐτὴν τὴν διανάστασιν καὶ τὴν δι' ἑαυτοῦ χαμόθεν ὄρθωσιν, εἶθ' ὕστερον καὶ πρόεισιν εἰς τὸ πρόσθεν ἔτι μικρόν, καὶ οὕτως ἀεὶ τελειούμενον εἰς περίπατόν τε καὶ δρόμον καὶ τὴν πρὸς ταῦτα ῥώμην προέρχεται. οὕτω δὴ καὶ ὁ νοῦς τὸ μὲν πρῶτον ὀνομάζειν δύναται μόνον καὶ τὰ ὑπὸ τὰ ὀνόματα νοεῖν πράγματα, ἑξῆς δὲ καὶ συντιθέναι καὶ διανοεῖσθαι, εἶτα τὸ τελευταῖον καθόλου τινὰ κρίματα βεβαιωσάμενος ἐν ἑαυτῷ ἀποτίθεται. νοῦς οὖν ἀρχὴ ἐπιστήμης καὶ ἡ μὲν ἀρχὴ τῶν ἀρχῶν γνῶσις, ἡ δὲ πᾶσα ἐπιστήμη τοῦ παντὸς ἐπιστητοῦ· ὡς γὰρ ἀρχὴ πρὸς τὴν ἀρχήν, οὕτως ἡ πᾶσα πρὸς πᾶσαν.*

---

19 fort. *ἐπὶ μικρὸν*

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

fol. 15b.

# ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

*Πρόκειται τῇδε τῇ συγγραφῇ ἐπιστήμην τινὰ* 1
*πορίσασθαι τῆς τε φύσεως καὶ τῶν ὑπ' αὐτῆς γιγνομένων· τὸ μὲν γὰρ ἄνευ λόγου ταῦτα γινώσκειν ῥᾴδιον καὶ πᾶσιν ἀνθρώποις· ἅπαντες γὰρ ἂν εἰπεῖν ἔχοιμεν οἵ γε τὴν αἴσθησιν ὑγιαίνοντες, ὅτι τοῦτο μέν ἐστιν γῆ, τοῦτο δὲ ὕδωρ, τοῦτο δὲ φυτόν, τοῦτο δὲ ζῷον, ἀλλὰ τοῦ μετ' ἐπιστήμης γινωσκομένου καὶ τὰς ἀρχὰς αὐτοῦ πρότερον ἀνάγκη γινώσκειν. δηλοῦσιν δὲ τοῦτο καὶ αἱ λογικώτεραι τῶν τεχνῶν· γραμματικοὺς γὰρ λέγομεν οὐ τοὺς ἐπακούοντας τῶν ὀνομάτων, ἀλλὰ τοὺς εἰπεῖν ἔχοντας ἐξ ὅσων ἕκαστον ὄνομα σύγκειται στοιχείων, μουσικούς τε αὖ οὐ τοὺς αἰσθανομένους τῶν μελῶν δι' ἀκοῆς, ἀλλὰ τοὺς διαλύειν αὐτὰ δυναμένους εἰς τόνους καὶ εἰς ἡμιτόνια. πῶς ἂν οὖν τι περὶ τῶν ἀρχῶν μετὰ ἀποδείξεως ἔχοιμεν λέγειν, εἴ γε ἡ μὲν ἀπόδειξις ἐκ προτέρων, εἰ δὲ τὰ πρότερα ἐπιζητοίημεν, ἀρχὰς τῶν ἀρχῶν εὑρεῖν*

---

5 τῆς τε] τὴν τῆς A  7 καὶ om A  ἂν om A  10 τῷ — γινωσκομένῳ V  14 ἕκαστον om A  18 ἂν] μὲν A  19 εἴ γε] ὥςγε A  20 πρότερα] πρότερον A

*βουλησόμεθα; τὸ πρότερον οὖν διχῶς καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὴν φύσιν ἐστί· πρὸς ἡμᾶς μὲν οὖν πρότερον τὸ γνωριμώτερον ἡμῖν καὶ ὃ ῥᾷον ἂν καταλάβοιμεν, οἷον τὰ ὀνόματα καὶ αἱ συλλαβαὶ τῶν γραμμάτων· πρὸς δὲ τὴν φύσιν πρότερα τὰ κατὰ τὴν οὐσίαν ἁπλούστερα, οἷον τὰ γράμματα τῶν ὀνομάτων, ἀνάπαλίν τε ἡ πορεία· ἡμεῖς μὲν γὰρ ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλούστερα πρὸς δὲ τὴν φύσιν πρότερα ἀναλύομεν, ἡ φύσις δὲ ἐκ τῶν ἁπλῶν τὰ σύνθετα μηχανᾶται. ὅταν μὲν οὖν περὶ τῶν συγκειμένων ποιώμεθα λόγον, ἐκ τῶν φύσει προτέρων αὐτὸ ἀποδείξομεν· ὅταν δὲ περὶ τῶν ἀρχῶν, ἐκ τῶν πρὸς ἡμᾶς προτέρων, καὶ ἔστιν ἐκείνη μὲν ἡ κυρίως ἀπόδειξις, αὕτη δὲ εἰ καὶ μὴ κυρίως, ἀλλ' ἡμῖν ἱκανῶς. ἐὰν οὖν ἀρχώμεθα τοῦ περὶ τῶν ἀρχῶν λόγου, ἀπὸ κοινῶν τινῶν καὶ πλείοσιν ὑπαρχόντων οὐ ταρακτέον· ἀπὸ γὰρ τούτων ἐπὶ τὰ ἴδια βαδιούμεθα. γνωριμώτερα δ' ἡμῖν τὰ κοινὰ τῶν ἰδίων ἐστίν, εἴ γε σύγκειται μᾶλλον, καὶ ὥσπερ ἐν τοῖς αἰσθητοῖς, εἰ προσίοι τι ζῷον, ὅλου τοῦ σώματος ἡ ὄψις θᾶττον ἀντιλαμβάνεται ἢ κεφαλῆς τε καὶ χειρῶν καὶ ποδῶν, οὕτω γοῦν εἴποι τάχιον ἂν ὅτι ζῷον τὸ προσίον ἢ ὅτι ἄνθρωπος, οὕτως ἐν τοῖς ὑπὸ λόγου θεωρουμένοις τὰ καθόλου τε καὶ κοινὰ σαφέστερα ἡμῖν τῶν προσεχῶν καὶ ἰδίων ἐστίν, καίτοι μᾶλλον ἐκείνων συγκεχυμένα· ἔστι γὰρ καὶ τῷ νῷ οἷον μὲν ὅλον τι τὸ καθόλου, οἷον δὲ μέρη ὅσα ἐκεῖνο περιλαμβάνει. οὕτω δὲ καὶ οἱ ῥήτορες ποιοῦσιν περὶ τῶν κοινῶν κεφαλαίων*

---

8 *πρότερον* A 11 *ὑποδείξομεν* A 16 *οὐ ταρακτέον*] scrib. *ἀρκτέον* 18 *εἴ γε*] *οἷον γὰρ* V 19 *προσίῃ* libri 22 *ὁ προσιὼν* V 23 *λόγον* A 25 *καίτοι*] *ὥς γε* A 26 *ὅλον μὲν* A

πρῶτον, εἶθ' οὕτως περὶ τῶν ἰδίων εἴδους ἑκάστου διδάσκοντες. οὕτω καὶ ἐν τοῖς ἀναλυτικοῖς ὁ περὶ τοῦ συλλογισμοῦ λόγος προτάττεται τοῦ τε ἀποδεικτικοῦ καὶ διαλεκτικοῦ καὶ σοφιστικοῦ· ἀπὸ γὰρ τῶν κοινῶν ὁρμώμενοι ῥᾷον ἑκάστου τὰ ἴδια καὶ τὰ προσεχῆ διακρίνομεν· καὶ αἱ πρῶται δὲ ἡμῖν φαντασίαι γίνονται ἀδιάρθρωτοι καὶ ἀπὸ τῶν κοινῶν· τὰ γοῦν παιδία προσαγορεύει πάντας τοὺς ἄνδρας πατέρας καὶ μητέρας γυναῖκας τὸ ἄρρεν καὶ θῆλυ καταλαμβάνοντα ὡς κοινὰ ῥᾷον, πρὶν διορίζειν τοῖν γονεοῖν τὰ ἴδια. εἴποις δ' ἂν κατά τινα τρόπον ὁμοίως ἔχειν καὶ τοὔνομα πρὸς τοὺς ὁρισμούς, λέγω δὲ ὄνομα μὲν οἷον ἀνθρώπου, ζῷον δὲ πεζὸν δίπουν τὸν ὁρισμόν· τὸ μὲν γὰρ ὁλοσχερῶς καὶ συγκεχυμένως σημαίνει καὶ οἷόν τέ ἐστι κεῖσθαι καὶ καθ' ἑτέρων πλειόνων κατὰ τοῦ γεγραμμένου καὶ πεπλασμένου, ὁ δὲ ὁρισμὸς ἔοικεν εἰς τὰ μέρη διαιροῦντι τὴν ὑποκειμένην οὐσίαν. ἀναλαβόντι οὖν ἀρκτέον ἐντεῦθεν.

Ἀνάγκη τὴν ἀρχὴν ἢ μίαν ἢ πλείους εἶναι, ἀλλ' 2
εἴτε μίαν, ἢ κινουμένην γε ἢ ἀκίνητον, ἢ πεπερασμένην ἢ ἄπειρον, εἴτε πλείους, καὶ ταύτας γε αὖ ἢ κινουμένας γε ἢ ἀκινήτους, ἢ πεπερασμένας κατ' ἀριθμὸν ἢ πάλιν ἀπείρους· εἰσὶ γάρ τινες οἱ καὶ ἀπείρους θέμενοι τὰς ἀρχὰς ὥσπερ Ἀναξαγόρας τε καὶ Δημόκριτος, ἀλλὰ Δημόκριτος μὲν μίαν οὐσίαν ταῖς ἀτόμοις ὑποτιθεὶς τοῖς σχήμασιν αὐτὰς ἐξαλλάττει μόνοις, Ἀναξαγόρας δὲ ἐν ταῖς ὁμοιομερείαις

1 περὶ om A  5 alterum τὰ om A  7 ἄνθρωπον?  10 κοινὸν A  γονοῖν A  20 εἴτε] εἰ A, malim εἰ μία — εἰ δὲ πλείους — conf. Simplic. fol. 9  23 ἀπείρους] ἄπειρα V  27 ὁμοιομερίαις libri. conf. Simplicius fol. 10

fol. 16. ἐναντιότητας, θερμότητας ψυχρότητας, λευκότητας μελανίας. διῃρέθησαν δὲ καὶ εἰς τὰς ἄλλας δόξας οἱ περὶ τῶν ὄντων πάλαι φιλοσοφήσαντες· ὄντα γὰρ ἐνόμιζον τὰς ἀρχὰς ἐκεῖνοι, καὶ ζητοῦντες ὁπόσα τὰ ὄντα, τὰς ἀρχὰς ἐζήτουν ὁπόσας θετέον ἐστίν, εἰ μὴ τάχα Παρμενίδης καὶ Μέλισσος ἓν τὸ ὂν καὶ ἀκίνητον λέγοντες οὐ μίαν τὴν ἀρχὴν ἔλεγον καὶ ἀκίνητον· ἡ γὰρ ἀρχὴ πλείω δήπουθεν ἑαυτῇ συνεισάγει, καὶ τοσαῦτά γε ὅσων ἔστιν ἀρχή· πρός τι γὰρ ἡ ἀρχὴ καὶ τινῶν. ἀλλὰ καὶ τὸ ἀκίνητον λέγειν τὸ ὂν φανεροὺς ποιεῖ μὴ λαμβάνοντας τὸ ὂν ἀντὶ τῆς ἀρχῆς· πῶς γὰρ ἂν ἕτερόν τι γένοιτο ἐξ ἀρχῆς μὴ κινουμένης; ἔστι μὲν οὖν ὁ πρὸς τούτους λόγος οὐ τῷ φυσικῷ προσήκων· τί δήποτε; ἀναιροῦσι γὰρ τὰς φυσικὰς ἀρχὰς ὥσπερ ἔφην, μᾶλλον δὲ τὴν φύσιν αὐτήν, κίνησιν μὴ τιθέμενοι. συστῆσαι δὲ τὰς οἰκείας ἀρχὰς οὐδεμιᾶς ἐστιν ἐπιστήμης, ὥσπερ οὐδὲ γεωμετρίας γραμμὰς καὶ σημεῖα, οὐδὲ ἀριθμητικῆς μονάδα, ἀλλ' ἐπὶ ταύταις ὑποκειμέναις περαίνουσι τὰ ἐφεξῆς, ἐπεὶ ὅτι γέ ἐστι φύσις πόθεν ἂν ὁ φυσικὸς ἀποδείξειε; πότερον ἔκ τινων φυσικῶν; ἀλλ' αἰτήσεται τὸ ζητούμενον. ἀλλ' ἐξ ἑτέρων; ἀλλ' οὐχ ᾗ φυσικὸς ἀποδείξει. εἰ μὲν οὖν ἔχει τινὰ προτέραν ἑαυτῆς ἐπιστήμην ἡ φυσική, παρ' ἐκείνης λήψεται τὰς ἀρχὰς ὥσπερ καὶ παρὰ ταύτης ἡ ἰατρική, καὶ παρὰ γεωμετρίας ἡ ὀπτική· εἰ δὲ μή, χρήσεται τῇ κοινῇ πασῶν τῶν τεχνῶν μεθόδῳ τῇ δι' ἐνδόξων· ἀλλ' εἴτε οὕτως εἴτ' ἐκείνως, οὐχ ᾗ φυσικὸς δώσει λόγον ἀλλ' ᾗ διαλεκτικὸς ἢ φιλόσοφος. τὸ μὲν οὖν πόσαι καὶ τίνες

---

17 οὐδεμία libri   18 ἀριθμητικὸν A   25 ἡ bis om A   29 ὁπόσαι A

αἳ τῆς φύσεώς εἰσιν ἀρχαὶ διδάσκειν ἀναγκαῖον τῷ φυσικῷ, τὸ δὲ ὡς ἔστιν ὅλως ἡ φύσις, οὐκ ἔστιν φυσικοῦ. ἀλλ' οὐδὲ φανερῶς ἀναιροῦσι τὴν φύσιν, ἀλλὰ εἰ καὶ μὴ λέγουσι φανερῶς, ἀλλ' ἐξ ὧν λέγουσι τοῦτο συμβαίνει. ὁ γὰρ κίνησιν μὴ διδοὺς οὐ δώσει δήπου καὶ τὴν ἀρχὴν τῆς κινήσεως, αὕτη δέ ἐστιν ἡ φύσις. εἰ μὲν οὖν τηροῦντες τὰς ἀρχὰς ἐν τοῖς ἑξῆς τι παρελογίζοντο, ἀκόλουθον ἦν ἐπιδεικνύναι τῷ φυσικῷ, πῇ φενακίζουσιν· εἰ δὲ δι' ὧν παρακρούονται, τὰς ἀρχὰς αὐτὰς ἀναιροῦσι, οὐκ οἰκεῖον τὸ λύειν τοὺς λόγους αὐτῶν τοῦ μετιόντος τὴν ἐπιστήμην, ἐπεὶ καὶ τὰ ψευδογραφήματα ὅσα μὲν σώζει τὰς γεωμετρικὰς ὑποθέσεις λυτέον τῷ γεωμέτρῃ, ὅσα δὲ μάχεται πρὸς ἐκείνας, παραιτητέον, οἷον δύο τινὲς κύκλον ἐπιχειρήσαντες τετραγωνίζειν Ἱπποκράτης τε ὁ Χῖος καὶ Ἀντιφῶν. τὸν μὲν οὖν Ἱπποκράτους λυτέον· τὰς γὰρ ἀρχὰς φυλάττων παραλογίζεται τῷ μόνον μὲν ἐκεῖνον τὸν μηνίσκον τετραγωνίσαι ὃς γράφεται περὶ τὴν τοῦ τετραγώνου πλευρὰν τοῦ εἰς τὸν κύκλον ἐγγραφομένου, πάντα δὲ μηνίσκον οἷόν τε τετραγωνίζειν λαβεῖν εἰς ἀπόδειξιν· πρὸς Ἀντιφῶντα δὲ οὐκέτι ἂν ἔχοι λέγειν ὁ γεωμέτρης ὃς ἐγγράφων τρίγωνον ἰσόπλευρον εἰς τὸν κύκλον καὶ ἐφ' ἑκάστῃ τῶν πλευρῶν ἕτερον ἰσοσκελὲς συνιστὰς πρὸς τῇ περιφερείᾳ τοῦ κύκλου καὶ τοῦτο ἐφεξῆς ποιῶν ᾤετό ποτε ἐφαρμόσειν τοῦ τελευταίου τριγώνου τὴν πλευρὰν εὐθεῖαν οὖσαν τῇ περιφερείᾳ. τοῦτο δ' ἦν τὴν ἐπ' ἄπειρον τομὴν ἀναιροῦντος ἣν ὑπόθεσιν ὁ γεωμέτρης λαμβάνει. πρῶτον μὲν οὖν διὰ τοῦτο

---

10 αὐτὰς ἀρχὰς A 15 ἐπεχείρησαν A 23 τρίγωνον] vid. Simplic. fol. 12 qui τετράγωνον finxit.

ἄξιον ἦν παραιτήσασθαι τὸν Παρμενίδου καὶ Μελίσσου λόγον, ἔπειτα ὅτι καὶ ἀπίθανος καὶ παράδοξος ἡ τῶν ἀνδρῶν δόξα. τί γὰρ διαφέρει τὸ λέγειν ἓν τὸ ὂν τοῦ λέγειν Δίωνα τὸ ὂν εἶναι, ἢ πρὸς ἄλλην θέσιν τινὰ διαλέγεσθαι τῶν λόγου ἕνεκα λεγομένων, οἷον ὡς Ἡράκλειτος ἔλεγε ταὐτὸν εἶναι τὰ ἐναντία. καὶ οἱ λόγοι δὲ ἀμφοτέρων οἷς κέχρηνται, ἄντικρύς εἰσιν ἐριστικοί· καὶ γὰρ τὰς προτάσεις ψευδεῖς καὶ τὸ σχῆμα φέρουσιν ἀσυλλόγιστον, φορτικώτερος δὲ ὁ Μελίσσου· ποιεῖ γὰρ οὐδ' ἡντιναοῦν ἀπορίαν. οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὐδὲν λέγουσιν, πῶς γὰρ οἵ γε ἀναιροῦντες τὴν φύσιν; φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτοῖς· τὰς γὰρ ἐκ τοῦ κενοῦ καὶ τοῦ ἀπείρου καὶ τῆς κινήσεως, ἴσως ἔχει καλῶς ἐπὶ μικρὸν διαλεχθῆναι περὶ αὐτῶν· εἰ γὰρ καὶ φυσικῷ μὴ προσήκων ὁ λόγος, ἀλλὰ φιλοσόφου γε οὐκ ἀλλότριος. ἐροῦμεν δὲ πρὸς τοὺς ἄνδρας οὐχ ἵνα κινήσαντες αὐτῶν τὴν δόξαν θώμεθα οὕτω φύσιν καὶ κίνησιν· ταῦτα γὰρ ἡμῖν διὰ τὸ ἐναργὲς ὑποκείσθω, ἄλλως δὲ ἐκ περιόντος ἃ λέγουσιν ἐξεταστέον καὶ πρῶτόν γε αὐτὴν τὴν δόξαν καθ' ἑαυτὴν χωρὶς τῶν λόγων οἷς ἐπιχειροῦσιν αὐτὴν κατασκευάζειν.

Ἀρχὴ δὲ οἰκειοτάτη πασῶν τί σημαίνει τὸ ὂν αὐτοῖς ἐρωτῆσαι, πότερον οἴονται πολλαχῶς αὐτὸ λέγεσθαι ἢ μοναχῶς; εἰ μὲν γὰρ πολλαχῶς, ὥσπερ ἡμεῖς ἐν κατηγορίαις ἐδείξαμεν, κατὰ τὸ ὄνομα ἂν λέγοιεν τὸ ὂν ἕν, πολλὰ δὲ κατὰ τὴν ὑπόστασιν καὶ τὰ πράγματα· εἰ γὰρ ἔσται καὶ οὐσία καὶ ποιὸν καὶ ποσόν, εἴτε καὶ ἀπολελυμένα ταῦτα ἀπ' ἀλλήλων εἴτε σὺν ἀλ–

---

13 γὰρ om V. conf. VIII, 5. 20 ἄλλως δὲ] fort. ἀλλ' ὡς. 25 ὡς A

λήλοις τὸ εἶναι ἔχοντα, πολλὰ τὰ ὄντα γενήσεται, κἂν μία φωνὴ πάντων κατηγορῆται. εἰ δὲ μοναχῶς, οὕτω δὲ τῷ πράγματι λέγοιεν ἂν ἓν καὶ τῷ σημαινομένῳ, ἀλλ' εἰ ἓν πρᾶγμα σημαίνει, ἢ ὡς γένος ἓν ἂν σημαίνοι ἢ ὡς εἶδος ἢ ὡς ἄτομον. ἀλλ' εἴτε ὡς γένος, πολλὰ τὰ ὄντα· εἴτε ὡς εἶδος, ὁμοίως· κατὰ γὰρ πλειόνων καὶ διαφερόντων ταῦτα κατηγορεῖται. λείπεται τοίνυν ὡς ἄτομον ἓν εἶναι τὸ ὄν, ὡς ὁ Καλλίας, ὡς ὁ Βουκέφαλος ἵππος, ὡς τοδὶ τὸ μέλαν. πότερον οὖν οὐσίαν τοῦτο ἐροῦσιν ἢ συμβεβηκός; οἴονται μὲν γὰρ συμβεβηκός, ὅταν ὁ μὲν ἄπειρον ὁ δὲ πεπερασμένον λέγῃ τὸ ὄν· τὸ γὰρ ἄπειρον καὶ πεπερασμένον ἐν γένει τῷ ποσῷ· τὸ μὲν γὰρ ποσὸν ἀδιεξίτητον, τὸ δὲ ποσὸν ὡρισμένον. εἰ μὲν οὖν ὑποκειμένου τινὸς ταῦτα κατηγοροῦσι, δύο ἂν λέγοιεν τὰ ὄντα, οὐσίαν καὶ ποσόν· εἰ δὲ κατὰ μηδενὸς φέρουσι τὸ ποσόν, τοῦτο ἤδη καὶ ἀδύνατον εἶναί τι συμβεβηκὸς ἄνευ ὑποκειμένης οὐσίας. ἔτι τὸ ἓν κατ' fol. 16b. ἀριθμὸν ὥσπερ τὸ ὄν, λέγεται καὶ αὐτὸ πολλαχῶς. λέγεται δὲ ἓν κατὰ ἀριθμὸν ἢ ὡς συνεχές, ὡς μίαν εἶναι εἴποιμι ἂν τὴν γραμμήν, ἢ ὡς τὸ ἀδιαίρετον φύσει ὡς τὸ σημεῖον καὶ ἡ στιγμή, ἢ ὡς ἕνα καὶ τὸν αὐτὸν ἔχον λόγον, ὡς ἓν λέγεται λώπιόν τε καὶ ἱμάτιον. κατὰ τίνα οὖν τῶν τριῶν τρόπων κατὰ ἀριθμὸν ἓν λέγουσιν εἶναι τὸ ὄν; οὔτε γὰρ ὡς συνεχές· διαιρετὸν γὰρ ἐκεῖνό γε εἰς πολλά, μᾶλλον δὲ εἰς ἄπειρα. εἰ γὰρ διότι ἥνωται, ἓν αὐτὸ λέγουσιν, ὅτι ἐστὶ διαιρετὸν ἐροῦσιν αὐτὸ κατὰ τοῦτο πολλὰ εἶναι. ἀλλ' ὡς ἀδιαίρετον δεῖ λαμβάνειν τὸ μέρος τοῦ ὅλου· ταύτῃ γὰρ λέγεται συνεχὲς ᾗ κατ' ἐνέρ-

---

2 οὕτω δὲ] malim οὕτω καὶ    20 δὲ] γὰρ V

*γειάν ἐστιν ἕν. ἀλλὰ πρῶτον μὲν οὐδαμῶς διαστέλλονται τὸ κατ' ἐνέργειαν τοῦ δυνάμει ἔπειτα, συγχωρείσθω γὰρ αὐτοῖς τοῦτο, ἐκεῖνό γε πάντως ὁμολογήσουσιν ὅτι συνεχῆ τε καὶ ἡνωμένα οὐχ ὁμοιομερῆ μόνον ἐστίν, πλεῖστα δὲ καὶ ἀνομοιομερῆ, τὰ σώματα λέγω τῶν ζώων καὶ τῶν φυτῶν· ἥνωται γὰρ καὶ τούτων τὰ μέρη, καὶ οὐ σύγκειται ὥσπερ σωρός. διὰ τί οὖν εἰ τῆς γραμμῆς τὸ μέρος ἕν τε καὶ ταὐτὸν τῇ γραμμῇ, ὅτι μὴ διῄρηται τῆς ὅλης, οὐκ ἔσται καὶ ἡ χεὶρ ταὐτὸν Σωκράτει, καὶ ὁ ποὺς δὲ ὁμοίως· ὁ γὰρ αὐτὸς λόγος. εἰ δ' ἄμφω τὰ αὐτὰ τῷ αὐτῷ, καὶ ἀλλήλοις δήπου τὰ αὐτά. ἔσται οὖν ταὐτὸν ποὺς χεὶρ ὀφθαλμὸς Καλλίας. τοῦτο τὸ ζήτημα κατ' ἰδίαν ἐτύγχανε λόγου παρὰ τοῖς πάλαι, πότερον ταὐτὸν τῷ ὅλῳ τὸ μέρος ἢ ἕτερον· ἀπήντα γὰρ ἄτοπον ἐξ ἑκατέρου· εἰ μὲν ταὐτόν, ὃ προείρηται· εἰ δ' ἕτερον, ὅτι καὶ τὸ ὅλον ἑαυτοῦ· οὐ γὰρ δὴ τοδὶ μὲν τὸ μέρος ἕτερον, τοδὶ δὲ οὔ, ἀλλὰ πάντα ὁμοίως ἕτερα τοῦ ὅλου, πάντα δ' ἦν τὸ ὅλον. κἂν ἐπὶ τῶν ἐκ διωρισμένων δὲ μερῶν ἐρωτήσῃς τὸν λόγον, τὰ αὐτὰ ἄπορα ἀπαντήσεται οἷον οἰκίας ἢ χοροῦ. λέγεται δὲ ἡ λύσις ἐν ἄλλοις· οὐ γὰρ ἀληθές, εἰ κατ' ἰδίαν ἕκαστον τῶν μερῶν λαμβανόμενον ἄλλο τοῦ ὅλου, διὰ τοῦτο καὶ πάντα ἅμα ληφθέντα ἕτερα γίνεσθαι τοῦ ὅλου· τὰ γὰρ πάντα ἑκάστου τῶν ἐν αὐτοῖς ἕτερα, τὰ πάντα δὲ ἦν τὸ ὅλον εἶναι. ἀλλ' ὡς μὲν συνεχὲς διὰ ταῦτα οὐκ ἐροῦσιν ἓν εἶναι τὸ ὄν, ὡς δὲ ἀδιαίρετον ἴσως. μονὰς οὖν ἢ σημεῖον ἔσται πάντα τὰ ὄντα γῆ θάλαττα οὐρανός, οὗ τί γένοιτ' ἂν ἀποπληκτότερον; πῶς δὲ ἐν σημείῳ ποιότητα ἀπολείψουσιν;*

---

13 *καλλίᾳ* V  15 *ἄτοπον*] *ἄπορον* V  20 *δὲ* delendum

οὔτε γὰρ σχῆμα οὔτε πάθος ἐν τῷ ἀμερεῖ. φροῦδον δὲ αὐτοῖς ἔσται καὶ τὸ ποσόν· οὐ γὰρ ποσὸν τὸ σημεῖον, ἀλλὰ πέρας ποσοῦ, καὶ οὔτε ἄπειρον οὔτε πεπερασμένον τὸ ὄν. ἀλλὰ ταῦτα καὶ αὐτοὶ κατηγοροῦσι τοῦ ὄντος. ἔτι τὸ πέρας ἀδιαίρετον, οὐ τὸ πεπερασμένον ἐστίν· εἰ δὲ ὡς πέρας ἀδιαίρετον τὸ ὄν, δηλονότι καὶ οὗ πέρας ἐστί, καὶ ἐκεῖνο συνεισαχθήσεται· πρός τι γὰρ τὸ πέρας καὶ ἀεὶ σὺν ἄλλῳ. ἀλλὰ μὴν εἰ ὡς μέθυ καὶ οἶνος ἓν τὰ πάντα ἐστί, τὸν Ἡρακλείτου λόγον συμβαίνει λέγειν αὐτοῖς· ταὐτὸν γὰρ ἔσται παρ' αὐτοῖς κατὰ τὸν λόγον τῆς οὐσίας φυτὸν ἄνθρωπος πτηνὸν τὸ ἀγαθὸν τὸ κακόν, ἁπλῶς δὲ τἀναντία. συναληθεύει δὲ οὕτω καὶ ἡ ἀντίφασις· εἰ γὰρ ταὐτόν ἐστι τὸ λευκὸν εἶναι καὶ μέλαν εἶναι, ταὐτὸν ἔσται λευκόν τε καὶ οὐ λευκόν· τὸ γὰρ μέλαν ἦν οὐ λευκόν. εἰ δὲ ταὐτόν ἐστιν ἡ κατάφασις καὶ ἡ ἀπόφασις, διὰ τί καὶ τὸ ὂν οὐκ ἐροῦσιν μὴ ὂν καὶ τὸ ἓν οὐχ ἕν, καὶ οὕτως ἀτοπώτερόν τι νεανιεύσονται, οὐχ ἓν εἶναι τὸ ἓν ἀλλὰ μηδὲν ὅλως τιθέμενοι; ἐὰν δὲ δὴ λέγωμεν οὕτω, Σωκράτης φιλόσοφός ἐστιν, Σωκράτης δίπηχύς ἐστιν, ἆρα ταὐτὸν ἐν ἀμφοῖν τοῖν λόγοιν σημαίνομεν; ἢ πολὺς ὁ γέλως ταὐτὸν τῷ ποσῷ τὸ ποιὸν ὑπολαμβάνειν κατὰ τὸν λόγον; εἰ οὖν τις ἔροιτο ἡμᾶς, καθ' ὑμᾶς γε δὲ πῶς ἔσται ἓν ὁ Σωκράτης, ὅταν λέγητε αὐτὸν καὶ σιμὸν καὶ δίπηχυν καὶ φιλόσοφον· οὐ γὰρ δὴ πλῆθος ἔσται ὑμῖν ὁ Σωκράτης ἁπλῶς, τὸ δὲ ἓν αὐτοῦ παντελῶς ἀφαιρήσεσθε, ἀλλ' εἰ δώσετε καὶ ἕνα τὸν Σωκράτην καὶ πολλοὺς εἶναι, πῶς οὐκ ἀντιστρέψει καὶ καθ' ὑμῶν

4 καὶ] τε V, malim ταῦτά γε 22 ὁ om A 24 ἡμᾶς] ὑμᾶς A δὲ om A 26 ἡμῖν V 27 παντελῶς ἀφαιρήσεσθε] ἀφαιρεθήσεσθε A 29 ἀντιστρέφει A

ὁ ἐκ τῆς ἀντιφάσεως ἔλεγχος; ταὐτὸν γὰρ καὶ οὕτως ἕν τε καὶ οὐχ ἓν ἅμα γενήσεται. οὗτος ὁ λόγος Λυκόφρονα μὲν καὶ τοὺς ὕστερον τῶν ἀρχαίων οὕτω διεθορύβησεν, ὥστε Λυκόφρων μὲν ὑπολαμβάνων ὧν τὸ ἔστι κατηγορεῖται, ταῦτα εἶναι μόνα, τῆς μὲν οὐσίας τὸ ἐστὶ κατηγόρει οἷον Σωκράτης ἔστι. εἰ δέ τι τῶν συμβεβηκότων κατ' αὐτοῦ λέγοιτο, ἵνα μὴ πολλὰ γίνοιτο ὁ Σωκράτης, οὐκέτι τὸ ἔστι τῶν συμβεβηκότων προσκατηγόρει· οὐ γὰρ ἔλεγε Σωκράτης λευκός ἐστιν; ἢ Σωκράτης δίπηχύς ἐστιν, ἀλλ' ἁπλῶς Σωκράτης λευκός τε καὶ δίπηχυς, κακῷ τὸ κακὸν ἰώμενος· πρότασιν γὰρ ἀνῄρει καὶ ἀποφαντικὸν λόγον. Πλάτων δὲ μετερρύθμιζε τὸν λόγον ἀντὶ τοῦ λευκός ἐστιν λέγων λελεύκωται. ἡμεῖς δέ φαμεν ταὐτὸν εἶναι δύνασθαι ἕν τε καὶ οὐχ ἕν, ἀλλ' οὐ κατὰ ταὐτὸν οὐδὲ ἅμα. τοῦτο μὲν γὰρ ἀμήχανον ὄντως, ἐκεῖνο δὲ ἀληθές τε καὶ δυνατόν, τὸν αὐτὸν τοῦτον Σωκράτην ἓν μὲν εἶναι κατὰ τὸ ὑποκείμενον, πλείω δὲ κατὰ τὸν λόγον· ἄλλος γὰρ λόγος μουσικὸν εἶναι αὐτόν, καὶ ἄλλος δίπηχυν. οὐκ ἀντιφάσεις οὖν ταῦτα, ὥστε μάτην ἐθορυβοῦντο. μάτην δὲ ἐθορυβοῦντο καὶ ἐπὶ τῆς τοῦ συνεχοῦς διαιρέσεως ταύτῃ· εἰ μὲν γὰρ δὴ ἐνεδίδοσαν καὶ ταὐτὸν ὡμολόγουν ἕν τε καὶ πολλὰ εἶναι, ἀλλ' ἓν μὲν ἔστω καὶ πολλά, οὐχ ἅμα δέ, οὐδὲ κατὰ ταὐτὸν τὰ ἀντικείμενα, ἀλλ' ἐνεργείᾳ μὲν ἓν δυνάμει δὲ πολλά, ὥσπερ εἰ λέγοιμι τὸν πυρὸν δυνάμει μὲν εἶναι στάχυν ἐνεργείᾳ δὲ μή· ταῦτα γὰρ οὐκ ἔστιν ἀντίφασις, εἰ μεμνήμεθα τῶν διωρισμένων οἷς χρώμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις.

11 τὸν A    29 διορισμῶν A

Τόν τε δὴ τρόπον τοῦτον ἐπιοῦσιν ἀδύνατον φαί- 3 νεται ἓν εἶναι τὰ ὄντα, καὶ τοὺς λόγους αὐτῶν λύειν οὐ χαλεπόν· εὐθὺς γὰρ ἀσυλλόγιστος ὁ λόγος Μελίσσου· φησὶ γὰρ εἰ γέγονε τὸ ὄν, ἀρχὴν ἔχει· οὐ γέγονε δέ, οὐκ ἄρα ἀρχὴν ἔχει. διὸ καὶ ἄπειρον καὶ ἕν. δέον γὰρ τὸ τοῦ λήγοντος ἀντικείμενον προσλαβεῖν fol. 17. καὶ ἐπαγαγεῖν τοῦ ἡγουμένου τὸ ἀντικείμενον· οὕτω γὰρ συνίσταται συλλογισμὸς κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν, ὁ δὲ τοῦτο μὲν οὐκ ἐποίησεν· συνήγαγε γὰρ ἂν ὃ μὴ προὔθετο, ὅτι τὸ ὂν οὐ γεγένηται, τὸ δὲ ἀντικείμενον τοῦ ἡγουμένου προσλαβὼν ἐπήνεγκεν τὸ τοῦ λήγοντος ἀντικείμενον. τοιούτων δὲ συλλογισμῶν πολλή τίς ἐστιν ἀφθονία· εἰ ἄνθρωπός ἐστιν, ζῶόν ἐστιν· οὐκ ἔστι δὲ ἄνθρωπος, οὐδ' ἄρα ζῶον. εἰ περιπατεῖ, κινεῖται· οὐ περιπατεῖ δέ, οὐδ' ἄρα κινεῖται. εἶτα καὶ ὁμωνυμίᾳ χρώμενος τῆς ἀρχῆς ἀπατᾶν οἴεται· ἀρχὴ γάρ τίς ἐστι κατὰ χρόνον, ὡς λέγομεν ἀρχὴν ἔχειν τῆς γενήσεως τὴν χθὲς ἡμέραν· ἡ δέ τις ἡ κατὰ τὸ πρᾶγμα αὐτὸ καὶ κατὰ τὸ μέγεθος, ὥς φαμεν ὁδοῦ καὶ διαστήματος ἀρχὴν εἶναι. καὶ τοίνυν ὅταν λέγῃ Μέλισσος ἅπαν τὸ γενόμενον ἀρχὴν ἔχειν, ποίαν ἀρχὴν ἐρησόμεθα αὐτόν; ἅπαν μὲν γὰρ ἀρχὴν ἔχει τὴν κατὰ χρόνον ὃ γίνεται κατ' οὐσίαν ἁπλῶς, ὡς ἄνθρωπος ἵππος ἐλαία πλάτανος, οὐχ ἅπαν δὲ τὴν κατὰ μέγεθος, οἷον ὃ γίνεται κατ' ἀλλοίωσιν καὶ ἀθρόαν μεταβολήν· γίνεται γὰρ καὶ κρύσταλλος καὶ τυρός, οὐ μήν ἐστιν λαβεῖν ἀρχὴν τοῦ μεγέθους ὅθεν ἤρξατο πρῶτον τῆς πήξεως. πάλιν δὲ ὅταν ἐπαγάγῃ· τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, παραπλησίως ἐξεταστέον τίνα λέγει τὴν ἀρχήν·

16 ὁμωνύμως A

τὴν μὲν γὰρ κατὰ χρόνον οὐκ ἔχει τὸ μὴ γενόμενον, τὴν κατὰ μέγεθος δὲ οὐδὲν κωλύεται ἔχειν, ὡς ἥλιος σελήνη τὰ λοιπὰ ἄστρα, ὥστε εἰ μὲν ἐν ταῖς προτάσεσιν περὶ τῆς κατὰ μέγεθος ἀρχῆς διαλέγεται, τῆς μὲν ἀκολουθίας φροντίζει τοῦ συμπεράσματος, ψευδεῖς δὲ ἄμφω λαμβάνει· εἰ δὲ τὴν κατὰ χρόνον ἀρχὴν αὐτῷ σημαίνει τὰ ἀξιώματα, ἀληθεύει μὲν ἐν οἷς τίθεται, συμπεραίνει δὲ οὐχ ὃ βούλεται· βούλεται μὲν γὰρ ἂν τὸ μέγεθος ἄπειρον δεῖξαι τοῦ ὄντος, δείκνυσι δὲ οὐ τὸ μέγεθος, ἀλλὰ τὸν χρόνον. ἔπειτα καὶ ἀκίνητόν φησι τὸ ὄν· οὐδὲ γὰρ ἔχειν ὅπου κινηθήσεται ἕν τε ὂν καὶ ἄπειρον πανταχοῦ. διὰ τί ὦ γενναῖε; ὅλον μὲν γὰρ οὐκ ἂν μεταβαίνοι, κινεῖσθαι δὲ αὐτὸ κατὰ μόρια πῶς οὐκ ἐνδέχεται; εἰ μὴ καὶ τὴν θάλατταν ἀκίνητον εἶναι φῄς, ὅτι μὴ πᾶσα μεταβαίνει τόπον ἐκ τόπου, καίτοι κινουμένην κατὰ μόρια φανερῶς. ἀλλοίωσιν δὲ ἤτοι κίνησιν οὐ νενόμικας; ἢ διὰ τί καὶ ταύτην προσαφῄρησαι τοῦ ἀπείρου· οὐ γὰρ δὴ καὶ τὸ θερμαίνεσθαι καὶ τὸ ψύχεσθαι τόπου προσδεῖται. φορτικὸς οὖν ὅπερ ἔφην ὁ λόγος, καὶ ἐφ' ἑνὶ σαλεύων ἀτόπῳ τῷ μοναχῶς λέγεσθαι τὴν ἀρχήν, ὅπερ εἰ μὴ συγχωροῖτο, εὐφώρατος ἡ κακουργία. ἀλλὰ γὰρ ἴσως κατὰ τὸν λόγον ἓν ἂν φαίη τὸ ὄν. ἀλλ' εἰ μὲν ἀντὶ τῆς ἀρχῆς τὸ ὂν ἐλάμβανε Μέλισσος μίαν τὴν ἀρχὴν λέγων κατὰ τὸν λόγον, ταὐτὸν ἂν τισι φυσικοῖς ἔλεγεν. τὰ πάντα δὲ ἓν εἶναι κατὰ τὸν λόγον ἀμήχανον, ἄνθρωπον ἵππον τὰ ἐναντία. πρὸς μὲν οὖν τοῦτον καὶ ταῦτα πλείω τῶν ἱκανῶν.

Πρὸς Παρμενίδην δὲ ἑξῆς ῥητέον. ὅσα μὲν τοί-

9 ἂν delendum

νυν εἴρηται πρὸς τὴν δόξαν, κοινὰ καὶ πρὸς τοῦτον· ἴδια δὲ ὅσα πρὸς τὸν λόγον ὃν ἐρωτᾷ ὅς ἐστι τοιόσδε κατὰ τὴν δύναμιν· τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν. ψεύδεται μὲν οὖν ὅτι μοναχῶς λαμβάνει λέγεσθαι τὸ ὂν λεγόμενον πολλαχῶς, καθ' ὅσους ἐπεδείξαμεν τρόπους· ὅμοιον γὰρ τὸ λέγειν, τὸ παρὰ τὸν καρκῖνον οὐ καρκῖνός ἐστιν, τὸ παρὰ τὸν κύνα οὐ κύων ἐστί· δύναται γὰρ καὶ τὸ παρὰ τὸν κύνα κύων εἶναι, καὶ τὸ παρὰ τὸν καρκῖνον καρκῖνος· τὸ γὰρ παρὰ τὸν θαλάττιον κύνα οὐκ ἔστι μὲν κύων θαλάττιος, οὐράνιος δὲ ἢ χερσαῖος. καὶ εἴ τι παρὰ τὸ ὄν ἐστιν, οἷον εἰ τὸ παρὰ τὴν οὐσίαν, ἐκεῖνο οὐκ οὐσία, ποιότης μέντοι γε ἢ ποσότης εἶναι δυνήσεται· καὶ εἴ τι παρὰ τὴν ποιότητα, οὐ ποιότης, οὐσία μέντοι γε ἢ ποσότης εἶναι δυνήσεται, καὶ εἴ τι παρὰ τὴν ποιότητα, οὐ ποιότης, οὐσία μέντοι γε ἢ ποσότης εἶναι δυνήσεται, καὶ οὐδὲν κωλύει πολλὰ οὕτως εἶναι τὰ ὄντα. οὕτω μὲν οὖν ψεύδεται Παρμενίδης· ὅτι δὲ μηδὲ συλλογίζεται, δῆλον ἂν γένοιτο ἐξ ὑποθέσεως, εἰ τῷ αὐτῷ σχήματι τοῦ λόγου ἕτερα λήμματα ἐναρμόσωμεν. ὑποκείσθω γὰρ ὑπὸ τοῦ ὄντος μόνον σημαίνεσθαι τὸ λευκόν, τὸ δὲ παρὰ τὸ λευκὸν μηδὲν ὄν, καὶ πλεκέσθω παραπλήσιος ὁ λόγος, εἴ τι παρὰ τὸ λευκόν ἐστιν, οὐκ ἔστιν ἐκεῖνο λευκόν, τὸ δὲ μὴ λευκὸν οὐδέν ἐστιν. τί δὴ συνάγεται; τὸ παρὰ τὸ λευκὸν μηδὲν εἶναι. εἰ γέγονας ἐν τοῖς ἀναλυτικοῖς, οἶδας ὅτι τοῦτο συνά-

2 τοιόσδε] conf. Brandis Commentat. Eleat. p. 136. 7 παρὰ] περὶ A 12 εἰ τὸ] fort. τὸ vel εἴ τι 15 ἢ ποσότης] ἢ ποσότητα libri; nisi litura locum sanare vis, scrib. infra καὶ εἴ τι παρὰ τὴν ποσότητα, οὐ ποσότης, οὐσία μέντοι γε ἢ ποιότης 16 οὐ ποιότης] οὐ ποιότητα libri 21 scrib. ἐναρμόσομεν 23 ὂν] οὖν A

γεται, ὁ δὲ ὑπάγει μόνον τὸ λευκόν ἐστιν. διὰ τί οὖν ἔφη φορτικώτερον εἶναι τὸν τοῦ Μελίσσου λόγον; ὅτι τούτῳ μὲν αἱ προτάσεις συνετέθησαν τεχνικῶς· οὐ γὰρ ἀπόφασιν τὸ οὐκ ὂν [οὐ γὰρ ἂν] ἔλαβεν ὑποκείμενον ἐν τῇ δευτέρᾳ προτάσει, ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως· Μελίσσῳ δὲ καὶ τὰ λήμματα τὴν ἀντιστροφὴν εἶχεν οὐχ ὑγιῆ. ἀλλὰ δῆτα αὐτῷ συγχωρείσθω συμπεραίνεσθαι, μόνον ἄρα ἐστὶν τὸ λευκόν. τί οὖν κωλύει πολλὰ εἶναι τὰ λευκά, κύκνον χιόνα ψιμμύθιον γάλα. καίτοι τί λέγω; ταῦτα μὲν διέστηκεν ἀπ' ἀλλήλων καὶ τὸ πλῆθος εὐφώρατον ἅπαντι, ἀλλ' ἓν μόνον ἔστω τὸ λευκὸν συνεχὲς καὶ ἡνωμένον. ἀλλ' οὐδὲ τοῦτο ἕν ἐστιν εἰ σκοποίης κατὰ τὸν λόγον, ἀλλὰ δύο τοὐλάχιστον ἐν αὐτῷ τό τε ὑποκείμενον σῶμα καὶ ἡ λευκότης, δύο δὲ οὐχ ὡς δυνάμενα χωρὶς ἀλλήλων ὑποστῆναί ποτε· τοῦτο μὲν γὰρ ἀμήχανον ὅλως λευκὸν εἶναί τι καθ' ἑαυτὸ χωρὶς ὑποκειμένου τινός. ἀλλ' ὅτι πάμπολυ διαφέρουσαν αὐτῶν ὁ λόγος εὑρίσκει τὴν φύσιν· τὸ μὲν γάρ ἐστι σῶμα λελευκωμένον, τὸ δὲ χρῶμα διακριτικὸν ὄψεως. ταῦτα δὲ οὔτε διέκρινε Παρμενίδης. ἀλλὰ νὴ Δία συκοφαντοῦμεν τὸν ἄνδρα· τὸ γὰρ ὂν ἐκεῖνος ἓν λέγων οὐ συμβεβηκὸς ἔλεγεν οὐδὲ τῶν ἐν
fol. 17b. ἄλλῳ τὸ εἶναι ἐχόντων, ἀλλὰ τὸ κυρίως ὂν καὶ μάλιστα ὂν καὶ ὡς ἂν ἡμεῖς εἴποιμεν, τὸ ὅπερ ὄν· τοῦτο γὰρ ἡμῖν σημαίνει τὸ μάλιστα ὄν, ὥσπερ Πλάτωνι τὸ αὐτοόν· οὐ γὰρ οὕτως ἀπόπληκτος ἦν Παρμενίδης ὥστε ἀγνοεῖν, ὅτι τὸ συμβεβηκὸς ὑποκειμένου τινὸς ἀεὶ δεῖται πρὸς τὴν ὑπόστασιν, ὅπερ εἰ μόνον εἴη τὸ συμβεβηκὸς ὄν, αὐτὸ δήπουθεν οὐκ ὂν

---

2 fort. ἔφην 4 οὐ γὰρ ἂν delenda sunt. 21 οὔτε] scrib. οὔπω 25 εἴπωμεν libri

ἔσται· ἕτερον γὰρ τοῦ ὄντος, μᾶλλον δὲ συμβήσεται ἅμα τε εἶναι αὐτὸ καὶ μὴ εἶναι, εἶναι μὲν ᾗ τῷ ὄντι ὑπόκειται, μὴ εἶναι δὲ ᾗ μόνον τέθειται εἶναι τὸ συμβεβηκός· ἐπεὶ καὶ τοῦτο οὐκ ἠγνόει πάντως, ὡς εἰ διὰ ταύτην τὴν ἀτοπίαν καὶ τὴν οὐσίαν εἶναι ὂν συγχωρήσειεν, ἐπειδὴ οὐχ οἷόν τε τὸ συμβεβηκὸς δίχα αὐτῆς ὑποστῆναι, ὃ μόνον εἶναι νομίζει, πολλὰ αὐτῷ πάλιν σημαίνει τὸ ὄν, πολλὰ δὲ ὡς ἕκαστον εἶναί τε καὶ ὑφεστάναι κατ' ἴδιον λόγον, εἰ καὶ μὴ χωρίζοιτο ἀπ' ἀλλήλων. ἀλλ' οὐκ ἔχει καλῶς ἀνδρὶ παλαιῷ τοσαύτην ἐναντιολογίαν προσάπτειν, ἀλλ' ἔστω, δεδόσθω τὸ ὂν αὐτὸ σημαίνειν τὸ μάλιστα ὂν καὶ τὸ ὅπερ ὂν καὶ τὴν οὐσίαν καὶ τὸ αὐτοὸν καὶ ὃ μηδαμῶς συμβέβηκεν ἄλλῳ, μᾶλλον τὸ ᾧ τὰ ἄλλα συμβέβηκεν. ἀλλὰ καὶ οὕτως αὐτὸ τὸ ὅπερ ὂν ἔσται μὴ ὄν. ἆρα γὰρ εἴποις ἂν τὸ ὅπερ ὂν τοῦτο καὶ λευκὸν καὶ μέλαν ἢ ὅ τι δήποτε; ὑπάρχειν γάρ τι τῇ οὐσίᾳ δηλονότι συγχωρήσεις, εἴπερ ὑπόκειται πᾶσιν. ἔστω δὴ τὸ ὅπερ ὂν τοῦτο καὶ λευκόν. ἀλλὰ τὸ λευκὸν οὐκ ἦν ὅπερ ὄν· ἐκεῖνο μὲν γὰρ ἐσήμαινε τὴν οὐσίαν, τοῦτο δέ ἐστι συμβεβηκός· εἰ δὲ μὴ ὅπερ ὂν τὸ λευκόν, οὐδὲ ὂν ὅλως· μόνον γὰρ ὑπόκειται εἶναι τὸ ὅπερ ὄν. οὐχ οὕτως οὖν μὴ ὂν τὸ λευκὸν ὡς πῇ μὲν εἶναι πῇ δὲ μή, ἀλλ' ὡς παντελῶς μὴ εἶναι διὰ τὴν ὑπόθεσιν· οὐδὲ γὰρ συμβεβηκέναι τῷ λευκῷ τούτῳ τὸ ὂν εἴποι τις ἄν· αὐτὸ γὰρ ὑπόκειται ἄλλῳ ὑπάρχον. τούτου δὴ οὕτως ἔχοντος καὶ τοῦ λευκοῦ παντελῶς μὴ ὄντος, εἰ λέγοιμεν ὑπάρχειν αὐτὸ τῷ ὅπερ ὄντι, τῷ μάλιστα ὄντι τὸ μάλιστα μὴ ὂν ὑπάρχειν ἐροῦμεν. ἄτοπον μὲν δή, καὶ τοῦτο προσέτι δέ, εἰ τὸ ὅπερ ὂν ἔσται

---

12 αὐτὸ] fort. αὐτῷ  26 ἄλλο libri

*λευκόν, τὸ λευκὸν δὲ οὐκ ὄν, τὸ ὅπερ ὂν ἔσται οὐκ ὄν. καὶ μηδεὶς ὑπολάβῃ παραλογίζεσθαι ἡμᾶς· οὐδὲ γὰρ ἐπειδὴ καὶ συμβεβηκός ἐστιν τὸ λευκόν, ᾧ τὸ λευκὸν ὑπάρχει, ἐκεῖνο ἔσται συμβεβηκός· οὐδὲν γὰρ ὅμοιον παραβάλλεται· ὁ μὲν γὰρ λέγων συμβεβηκὸς τὸ λευκόν, εἶναί τι καὶ αὐτὸ δίδωσι παρὰ τὴν οὐσίαν· ὂν γὰρ αὐτὸ πάντως ὑπολαμβάνων, οὕτως ἑτέρῳ συμβαίνειν λέγει. εἰ δὲ ἄλλο ὂν τὸ ὑποκείμενον ἄλλου ὄντος μετέχει τοῦ λευκοῦ, οὐκ ἔστι ταὐτὸν ὅπερ ἐκεῖνο. ἐνταῦθα δὲ ἁπλῶς μὴ ὂν καὶ πάντῃ μὴ ὄν φησιν τὸ λευκόν, οὐκοῦν οὐδ' ὡς συμβεβηκὸς αὐτὸ κατηγορήσει τοῦ ὄντος, ἐπεὶ θήσεται εἶναι πάλιν αὐτό. εἰ δὲ εἶναι, καὶ ὅπερ ὂν εἶναι, καὶ πάλιν ὡσαύτως τὸ ὅπερ ὂν πλείω σημαίνει. ἀλλ' εἰ μὴ ὡς συμβεβηκός, ἢ ὡς γένος ἢ ὡς εἶδος, ἁπλῶς οὖν οὐκ ὂν τὸ ὅπερ ὄν. εἶεν· ἀλλ' οὐδὲ σῶμα ἴσως τὸ ἄπειρον οὐδὲ μέγεθος ἔχειν ἐροῦσιν, ἵνα μήτε εἰς μόρια πολλὰ διαιρεῖν ἀναγκάζωνται μήτε συμβεβηκότα προσάπτωσι. πότερον οὖν ὁριοῦνται τὸ ὅπερ ὂν καὶ λόγον τινὰ αὐτοῦ τῆς οὐσίας ἀποδώσουσιν ἢ καὶ τοῦτο ἀφαιρήσονται; εἰ μὲν γὰρ ἀφαιρήσονται τὸν ὁρισμόν, οὐκ οἶδα τί λοιπὸν ὑπὲρ αὐτοῦ δυνήσονται λέγειν ἢ γράφειν, εἰ μήτε ὡς συμβεβηκὸς μήτε ὡς γένος μήτε ὡς εἶδος μήτε ὡς διαφορὰν μήτε ὡς ὁρισμόν, ὅλως μηδὲ ὡς ἐπιγραφὴν ἕξουσιν αὐτοῦ κατηγορίαν· εἰ δὲ ποιήσονταί τινα λόγον, τοῦτον ἀνάγκη διαιρεῖσθαι εἰς ὅπερ ὄντα οἷον· ὑποκείσθω γὰρ ὁ ἄνθρωπος εἶναι τὸ ὅπερ ὄν, φημὶ ὅτι καὶ τὸν ὁρισμὸν τοῦ ἀνθρώπου ἀνάγκη ἐξ ὅπερ ὄντων συγκεῖσθαι καὶ εἶναι ὅπερ ὄντα καὶ τὸ ζῶον καὶ τὸ πεζὸν καὶ τὸ*

2 ὑπολάβοι libri

δίπουν· εἰ γὰρ μὴ ὅπερ ὄντα, συμβεβηκότα πάλιν γενήσεται, ἀλλ' οὐκ ἐνδέχεταί τινι συμβεβηκέναι τὰ τὸν ὁρισμὸν αὐτοῦ συμπληροῦντα. ὅτι δὲ τοῦτο ἀληθές, ῥᾳδίως οἶμαι διδάξειν. τὰ συμβεβηκότα τοίνυν ἢ τὰ τοιαῦτά ἐστιν ὡς οἷά τε ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ὡς τὸ καθῆσθαι καὶ διαλέγεσθαι, ἢ τοιαῦτα ὡς ἐν τῷ λόγῳ τοῦ συμβεβηκότος τὸ ὑποκείμενον περιέχεσθαι, ὡς σιμότης ἐν ῥινὶ καὶ τὸ περιττὸν ἐν ἀριθμῷ καὶ τὸ ἄρτιον· σιμότης τε γάρ ἐστι κοιλότης ἐν ῥινί, περιττός τε ἀριθμὸς εἰς ἄνισα διαιρούμενος. κατὰ τίνα οὖν τῶν τρόπων τούτων συμβεβηκὸς ἔσται τὸ ζῶον; πότερον κατὰ τὸν πρότερον; οὐκοῦν ἔσται ποτὲ οὔτε ζῶον ἄνθρωπος οὔτε πεζὸν οὔτε δίπουν, ὥσπερ οὔτε διαλέξεταί ποτε οὔτε καθεδεῖται. ἀλλὰ κατὰ τὸν δεύτερον; ἀλλ' ἀδύνατον. οὐ γὰρ ὁ ἄνθρωπος ἐνυπάρχει τῷ λόγῳ τοῦ ζώου καὶ τῷ λόγῳ τοῦ πεζοῦ καὶ τῷ λόγῳ τοῦ δίποδος, ἀλλ' ἐκεῖνα ἐν τῷ τοῦδε ὁρισμῷ περιέχεται· καθόλου γὰρ ὅσα τινὸς ἐν τῷ ὁρισμῷ λόγῳ παραλαμβάνεται, ἐν τῷ τούτων ὁρισμῷ τὸ ὁριστὸν ὑπάρχειν ἀδύνατον· ἔσται γὰρ οὕτως τὸ ὅλον τοῦ μέρους μέρος, μέρος μὲν γὰρ ἀνθρώπου τὸ ζῶον· μετὰ γὰρ ἄλλων συντεθὲν ποιεῖ τὸν ἄνθρωπον· εἰ δὲ ὁ ἄνθρωπος ἐνυπάρχει τῷ λόγῳ τοῦ ζώου, τὸ ὅλον ἐνυπάρξει τῷ μέρει καὶ ἔστι τοῦ μέρους μέρος· οὔτε γὰρ εἴ τι σύγκειται ἐκ πλειόνων οἷον τὸ λελευκωμένον ἐκ τοῦ λευκοῦ καὶ τοῦ σώματος, τοῦτο οὐκ ἐνυπάρξει τῷ τοῦ λευκοῦ χρώματος ὁρισμῷ. ἀλλ' ἴσως οὐκ ἀνθρώπῳ τὸ ζῶον καὶ τὸ δίπουν συμβέβηκεν, ἀλλ' ἑτέρῳ τινί. ἐγὼ δὲ τοῦτο

---

14 ποτὲ οὐδὲ libri 19 ὁρισμῷ] ὁριστικῷ Aristot 20 τὸ τὸν libri



*ἐμπαραλιμπάνω, ὡς ὁ τοῦτο λέγων δύο ἤδη τὰ ὅπερ ὄντα ποιεῖ· ἀλλ' ἐκεῖνο ἀπορῶ, μᾶλλον δὲ οἶδα, ὡς εἰ ταῦτα ἔσται συμβεβηκότα, καὶ τὸ ἐκ τούτων ἔσται συμβεβηκὸς ὁ ἄνθρωπος ἢ ὅ τι δήποτέ ἐστι τὸ ὅπερ ὄν. διὸ τοῦτο μὲν καὶ λέγειν πολλῆς μανίας, εἰ δὲ μὴ συμβέβηκεν ταῦτα ὡς ἀπέδειξα, τῷ ἀνθρώπῳ, δηλονότι ὁ λόγος τοῦ ἀνθρώπου εἰς ὅπερ ὄντα διαιρεθήσεται. ὅταν δὲ εἴπω τὸν λόγον, τὴν οὐσίαν* fol. 18. *λέγω καὶ τὴν φύσιν ἥτις ἂν ᾖ τοῦ ὅπερ ὄντος. πολλὰ οὖν καὶ οὕτω τὰ ὅπερ ὄντα, εἰ καὶ ἀχώριστα καὶ ἀδιαίρετα τοῦ ὅπερ ὄντος, καὶ τὸ ὅπερ ὂν ἐξ ἀχωρίστων μὲν καὶ ἀδιαιρέτων ὑπάρξει, ἐξ ὅπερ ὄντων δέ. ὅμως τούτῳ μέντοι τῷ λόγῳ, καὶ προσέτι γε τῷ Ζήνωνος, ὃς ἐκ τοῦ συνεχές τε εἶναι καὶ ἀδιαίρετον ἓν εἶναι τὸ ὂν κατεσκεύαζε, λέγων ὡς εἰ διαιρεῖται, οὐδὲ ἔσται ἀκριβῶς ἓν διὰ τὴν ἐπ' ἄπειρον τομὴν τῶν σωμάτων [ἣν] ἐνέδοσάν τινες ἤδη καὶ ὑπεχώρησαν· λύειν γὰρ αὐτοὺς ἐπεχείρουν οὐκ αὐτοὺς ἐκείνους κινοῦντες, ἀλλὰ ἕτερα εἰσάγοντες ἀπορώτερα, Ξενοκράτης μὲν πρὸς τὴν ἐπ' ἄπειρον τομὴν τὰς ἀτόμους γραμμάς, ἵνα φεύγῃ ταὐτὸν ἕν τε καὶ πολλὰ λέγειν, ἣν ἀντίφασιν κακῶς ὑπολαμβάνων ἑτέρᾳ περιέπιπτεν ἀντιφάσει χαλεπωτέρᾳ, ταὐτὸν ἅμα ποιῶν μέγεθός τε καὶ οὐ μέγεθος. καίτοι ταὐτὸν μὲν ἕν τε καὶ πολλὰ λέγειν οὐκ ἔστιν ἀντικείμενα, εἰ διαιροῖτό τις τὸ δυνάμει καὶ ἐνεργείᾳ· ταὐτὸν δὲ ποιεῖν γραμμήν τε καὶ ἀδιαίρετον, ἄντικρυς ἐστιν ποιοῦντος τὴν γραμμὴν οὐ γραμμήν. Πλάτων δὲ τὸ παρὰ τὸ ὂν οὐκ ὂν εἶναι διδοὺς τὸ πρότερον λῆμμα τοῦ Παρμε-*

---

1 *ἐμπαραλιμπάνω*] num *μὲν παραλιμπάνω*? 17 *ἣν* delendum

νιδείου λόγου, ἀλλὰ καὶ ἓν εἶναι τὸ ὄν, συγχωρῶν ὅπερ ᾤετο ὁ λόγος συνάγειν, οὐκέτι τὰ πάντα ἓν εἶναι συνωμολόγει· εἶναι γὰρ ἔφασκέ πως καὶ τὸ μὴ ὄν· τὸ μὲν γὰρ ὄντως ὂν ἀπέφαινε τὴν ἰδέαν, τὴν δὲ ἄμορφον καὶ πρώτην ὕλην εἶναι μέν, μηδὲν δὲ τοῦ ὄντος εἶναι· συγκεῖσθαι γὰρ τὸ ὂν πάλιν ἔκ τε τοῦ ὄντος ὃ καὶ ἓν εἶναι ἐδίδου, κἀκ τοῦ μὴ ὄντος ὃ τὴν ὕλην ὑπελάμβανεν. ἐγὼ δὲ οὐκ οἶδα ὅπως καὶ οὗτος φυγὼν τὴν ἀντίφασιν παραδέχεται· εἰ γὰρ ἓν μὲν σημαίνειν τὸ ὂν συγχωρεῖ, φησὶ δὲ παρὰ τὸ ὂν τοῦτο καὶ ἕτερον εἶναι, ἅμα τε ἓν λέγει τὸ ὂν καὶ πλείω ποιεῖ τὰ ὄντα, τοῦτο δὲ τί διαφέρει τοῦ τὸ ὂν ἕν τε καὶ οὐχ ἓν λέγειν; οὐ γὰρ διότι τὸ μὲν κυρίως εἶναί φησι, τὸ δὲ οὐ κυρίως, ἀποφυγγάνει τὸ ἄτοπον, εἰ μὴ καὶ μᾶλλον ἁλίσκεται· διαφορὰν γὰρ τῶν ὄντων ποιῶν πλείω φανερῶς ἀριθμὸν αὐτοῖς ἀποδίδωσιν. ἡμεῖς δέ φαμεν εἰ καὶ ἓν σημαίνει τὸ ὄν, ὅμως ἐνδέχεσθαι καὶ τὸ μὴ ὂν εἶναι, λέγοντες μὴ τὰ ἀντικείμενα λέγειν· οὐ γὰρ τὸ ἁπλῶς μὴ ὂν καὶ ἔξω τοῦ ὄντος εἶναί φαμεν. τοῦτο γὰρ ἄντικρυς τὴν ἀντίφασιν ὑπομένειν ἐστίν, καὶ συγχωρήσαντα μίαν εἶναι φύσιν τοῦ ὄντος πάλιν ἑτέραν εἰσάγειν, ἀλλὰ τὸ τὶ μὴ ὂν τοῦτο καὶ τὶ ὂν οὐκ ὀκνοῦμεν λέγειν. τὸ γὰρ μίαν φύσιν σημαίνειν τὸ ὂν οὐ πάντως τὴν κατ' ἀριθμὸν μίαν σημαίνειν ἐστίν, ἀλλὰ καὶ τὴν κατὰ γένος καὶ τὴν κατ' εἶδος. τί οὖν κωλύει τὸ ὂν τοῦτο ὡς γένος ἓν εἶναι; ἔστω δὴ ζῷον τὸ ὄν· ὁ οὖν λέγων τὸν κύνα μὴ ὂν εἶναι, οὐκ ἔξω τοῦ ὄντος τὸ μὴ ὂν λαμβάνει, ἀλλ' ὅτι φησὶν ὁ κύων οὐκ ὂν ἵππος κύων ἐστίν.

---

2 ὁ λόγος] immo τὸν λόγον, vel ὡς ᾤετο, ὁ λόγος συνάγει
18 λέγοντας libri

οὐκ ἔστιν οὖν χρεία πρὸς αὐτὸ τὸ ὂν ἄλλης φύσεως εἰσαγομένης, ἵνα μὴ πάντα γένηται ἕν, ἀλλ' ἐκεῖνο μόνον σημαινέτω τὸ ὂν τὸ αὐτοὸν καὶ ὅπερ ὄν. ἀλλ' ὅμως οὐκ ἀποκεκλείμεθα τοῦ πολλὰ λέγειν τὰ ὄντα κατ' ἀριθμὸν ἢ κατ' εἶδος ὡς εἴρηται. πρὸς μὲν οὖν Παρμενίδην καὶ Μέλισσον ἀρκείτω τὰ εἰρημένα.

4 Οἱ δὲ τὸ ὂν ἀντὶ τῆς ἀρχῆς λαμβάνοντες οὓς καὶ φυσικοὺς ἄν τις εἰπεῖν οὐκ ὀκνήσειεν, οὕτως λέγοντες τὸ ὂν ἓν ὡς μίαν ἀρχήν, εἰς δύο διῃρέθησαν τρόπους· οἱ μὲν γὰρ ἕν τι τῶν στοιχείων τὴν ἀρχὴν ὑποτίθενται κἄπειτα ἐκ τούτου τὰ λοιπὰ δημιουργοῦσιν πυκνότητι καὶ μανότητι χρώμενοι, ὧν ἐναντία καθολικώτερον ἄν τις εἴποι τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, ὑφ' ἃ καὶ τὸ μέγα καὶ τὸ μικρὸν αἱ Πλάτωνος ἀρχαί. ἀλλὰ Πλάτωνι μὲν τὸ μέγα καὶ τὸ μικρὸν τὴν ὕλην σημαίνει, τὸ δὲ ἓν τὴν ποιητικὴν αἰτίαν, λέγω δὲ τὸ εἶδος· οἱ φυσικοὶ δὲ τὸ μὲν ἓν ποιοῦσιν ὑποκείμενον καὶ ὕλην, τὰ ἐναντία δὲ διαφοράς τε καὶ εἴδη. ἕτεροι δὲ τῶν στοιχείων μὲν οὐδέν, ἄλλο δὲ ὃ πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον, ὡς Ἀναξίμανδρος. οὗτος δὲ οὐκέτι ἀλλοιώσει χρῆται πρὸς τὴν γένεσιν τῶν ἐφεξῆς, ἀλλ' ἐκκρίνεσθαί φησιν ἐξ ἀπείρου τοῦ στοιχείου τὰς ἐναντιότητας ἐνυπαρχούσας, ὥσπερ γε καὶ οἱ πολλὰς ὑποθέμενοι τὰς ἀρχάς, ἓν δὲ αἴτιον τὸ ποιητικόν, Ἀναξαγόρας τε καὶ Ἐμπεδοκλῆς, ὁ μὲν τάς τε ὁμοιομερείας καὶ τὸν νοῦν, ὁ δὲ τὰ στοιχεῖα τὰ τέσσαρα καὶ τὸν σφαῖρον· καὶ γὰρ οὗτοι παραπλησίως Ἀναξιμάνδρῳ οὐ κέχρηνται πρὸς τὴν γένεσιν ἀλλοιώσει, ἀλλ' ἐκ τοῦ μίγματος ἐκκρίνουσιν ὡς ἐνυπάρχοντα ἤδη τὰ ἡμῖν γίνεσθαι δοκοῦντα· ἀλλ' ὁ μὲν καὶ παύει τὴν ἐκκρι-

σιν ταύτην καὶ πάλιν ἄρχεται κατὰ περιόδους, Ἀναξαγόρας δὲ ἅπαξ ἀρχὴν λαβοῦσαν οὐκέτι τελευτᾷ· καὶ τούτῳ μὲν ἄπειρα τὰ στοιχεῖα, τῷ δὲ τὰ τέτταρα. δύο δὲ Ἀναξαγόραν ἔοικεν εἰς ταύτην τὴν δόξαν ὑπάγεσθαι ὧν ἓν μέν ἐστιν τὸ ὁρᾶν ἐκ τῶν ἐναντίων γιγνόμενα τὰ ἐναντία· οὐ γὰρ ἡγούμενος δύνασθαι τὸ ἐναντίον εἰς τὸ ἐναντίον μεταβάλλειν· φθείρεσθαι γὰρ ἂν οὕτως τὰς ἀρχάς, ἐνυπάρχειν ἡγεῖται τοῖς ἐναντίοις τὰ ἐναντία· δεύτερον δὲ καὶ μάλιστα ἡ κοινὴ δόξα τῶν φυσικῶν καθ' ἣν ἅπαντες ὁμοίως οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι ὑπελάμβανον· διὰ τοῦτο γὰρ λέγουσιν ἦν ὁμοῦ πάντα καὶ τὸ γίνεσθαι συγκρίνεσθαί ἐστι καὶ τὸ φθείρεσθαι διακρίνεσθαι. καίτοι γε Ἀναξαγόρας ἀλλοιοῦσθαι τὸ γίνεσθαι λέγει, ἀλλ' ἐκ τῶν πραγμάτων δῆλός ἐστιν οὐ γινώσκων τὴν οἰκείαν φωνήν· τὴν γὰρ σύγκρισιν ἀλλοίωσιν ὀνομάζει, ἀλλὰ μήπω ταῦτα. ἀλλὰ καὶ συλλογισμῷ κέχρηται πρὸς ταύτην τὴν δόξαν, ἐπειδὴ πᾶν τὸ γινόμενον ἢ ἐξ ὄντων ἢ ἐκ μὴ ὄντων, οὐκ ἐκ μὴ ὄντων δέ, ἐξ ὄντων ἄρα· οὕτω δὲ ἀκολουθεῖν τὸ πάντα ἐνυπάρχειν ἑκάστῳ ἐξ οὗ γίνεσθαί τι φαμέν, οἷον ἐν τῳδὶ τῷ ὕδατι τρίχας ὀστᾶ νεῦρα σάρκας, ἀναίσθητα δὲ ἡμῖν εἶναι διὰ σμικρότητα. καὶ τοῦτο προσελάμβανε ἐφεξῆς πᾶν ἐν παντὶ μεμῖ- fol. 18b.
χθαι, λέγων ἐπειδὴ καὶ γίνεσθαι πᾶν ἐκ παντός, τί ποτε οὖν τὸ αἴτιον τοῦ μὴ πάντα ὅμοια φαίνεσθαι, εἴ γε πάντα ὁμοίως ἐκ πάντων; ὅτι μὴ πάντα φησὶν ἐξ ἴσης ἐν ἑκάστῳ κατὰ τὸ πλῆθος, ἀλλὰ καθ' ἕκαστον ἕν τι πάντως ὑπερέχει καὶ πλεονάζει, οἷον ἐν τῳδὶ μὲν ὑδάτια, ἐν τῳδὶ δὲ σάρκια· καὶ τοίνυν τὸ

---

2 λαβών? 23 σάρκες libri 25 γίνεσθαι] fort. γίνεται

φαινόμενον ὕδωρ ἀπὸ τοῦ πλεονάζοντος οὕτως δοκεῖν, ἐπεὶ μήτε ὕδωρ εἰλικρινῶς τι μήτε σάρκα μήτε γῆν εἶναι.

Τάχα οὖν ἀκόλουθον μετὰ τοὺς ἀναιροῦντας παντελῶς τὰς ἀρχὰς τοὺς ἀπείρους ἀρχὰς λέγοντας ἐπισκέψασθαι· εἰ γὰρ καὶ αὐτοὶ διελεγχθεῖεν, ὁμολογοῖτο ἂν ἤδη τὸ τὰς ἀρχὰς εἶναι τῶν φυσικῶν πεπερασμένας. πρῶτον μὲν οὖν ἐκεῖνο θαυμάζω, πῶς ἐπιστήμην τινὰ περὶ φύσεως παραδώσειν ἡμῖν ὑπισχνούμενοι λανθάνουσιν ἀδύνατον τὴν κατάληψιν αὐτῶν ἐπιδεικνύντες; εἰ γὰρ ἐπίστασθαι μὲν τότε ἕκαστον ὑπολαμβάνομεν, ὅταν εἰδῶμεν αὐτοῦ τὰς ἀρχὰς καὶ τὰ αἴτια, τῶν ἀπείρων δὲ ἔχειν γνῶσιν οὐκ ἐγχωρεῖ, ὁ τὰς ἀρχὰς γοῦν λέγων ἀπείρους ἀναιρεῖ τὴν ἐπιστήμην τοῦ πράγματος. καὶ εἰ μὲν τὸ πλῆθος αὐτῶν ἄπειρον λέγων Ἀναξαγόρας τὰς ποιότητας ἀριθμῷ περιώριζεν, ἐξ ὁπόσων μὲν ἕκαστον, οὐκ ἂν εἴχομεν ἀποδιδόναι, ἐξ ὁποίων δὲ εὐπορήσαμεν ἄν· νῦν δὲ οὐδὲ τοῖς εἴδεσιν οὔτε τῷ πλήθει τὰς ὁμοιομερείας ἄγων εἰς ἀριθμὸν φενακίζει διδάξειν ἐπαγγελλόμενος, ἃ πρῶτος αὐτὸς ἀγνοεῖν οὐκ ἀρνεῖται. τοῦτο μὲν οὖν ἔξω τοῦ πράγματος, ἐκεῖνο δὲ αὐτῷ πῶς οὐκ ἄτοπον ἀπαντήσεται διὰ τοῦτο πᾶν ἐν παντὶ μεμῖχθαι λέγοντι, ὅτι τῶν ὁμοιομερῶν ἕκαστον δυνατὸν ἐπ᾽ ἄπειρον καὶ αὔξειν καὶ καθαιρεῖν, καὶ οὔτε τοὐλάχιστον οὔτε τὸ μέγιστον λαβεῖν; ὅτι δὲ τοῦτο ἀδύνατον, ἐντεῦθεν φανερόν. ὁμολογεῖται μὲν γὰρ ἅπαν τὸ σύνθετον ἐκ μερῶν· ἐκ μερῶν δὲ λέ-

---

6 διελεγχθεῖεν] διελέχθειεν A. διαλεχθεῖεν V 10 ὑποσχόμενοι A 12 αὐτὰς A 18 fort. εὐπορήσαιμεν 19 οὐδὲ] scrib. οὔτε 23 διὰ τοῦτο πᾶν] τὰς V 27 ἀδύνατον, ἐντεῦθεν] ἐντεῦθεν ἀδύνατον libri 28 σύνθεμα V δὲ] δὴ V

γω τοιούτων ἃ καὶ χωρισθῆναι δύναται κατ' ἐνέργειαν ἀλλήλων τε καὶ τοῦ ὅλου, καὶ τὸ ὅλον τοῖς μέρεσιν ἀκολουθεῖν κατὰ τὸ μέγεθος, οἷον εἰ μικρὰ τὰ μέρη, μικρὸν καὶ τὸ ὅλον· εἰ μεγάλα ἐκεῖνα, μέγα καὶ τοῦτο, καὶ εἴ γε εἰς ἄπειρον ἐπ' ἐκείνων ἡ πρόοδος ἐπ' ἀμφότερα, ἐπ' ἄπειρον εἶναι καὶ τοῦ συνθέτου· εἰ γὰρ σάρκα καὶ νεῦρα καὶ ὀστᾶ ὁπηλικαοῦν γίνεσθαι δυνατόν, ἐνδέχεται δήπου καὶ ζῶον· καὶ εἰ τὰ μέρη τοῦ φυτοῦ, καὶ αὐτὸ τὸ φυτόν· καὶ τὸ ἀντιστρέφον τοίνυν ὁμοίως ἀληθές, εἰ μὴ δυνατὸν τὸ ὅλον, οὐδὲ τὰ μέρη. ὥρισται δὲ τὰ μεγέθη τῶν τε ζώων καὶ τῶν φυτῶν καὶ κατ' αὐτὸν Ἀναξαγόραν· ὥρισται ἄρα καὶ τῶν μορίων, καὶ οὐκ ἐνδέχεται ὁπηλικηνοῦν εἶναι σάρκα ἀνθρώπου, ὡς δύνασθαι καὶ τὴν ἐν κέγχρῳ μετὰ παμμυρίων ἄλλων ὑπάρχουσαν ἔτι καθαιρεῖν ἐπὶ τοὔλαττον οὖσαν ἔτι σάρκα· τοῦτο γὰρ θαυμαστόν. ἀλλ' ἴσως φαίη ἂν πρὸς τοὺς οὕτως αὐτῷ μαχομένους Ἀναξαγόρας, ὡς οὐκ ἂν ἐγὼ συγχωρήσαιμι τῇ τῶν ὁμοιομερῶν αὐξήσει τε καὶ μειώσει καὶ τὰς διαφορὰς ἀκολουθεῖν τὰς κατὰ μέγεθος τῶν τε ζώων καὶ τῶν φυτῶν· τοῦτο γὰρ ὑπῆρχεν ἄν, εἰ τὰ ζῷα καὶ τὰ φυτὰ ἐξ ἑκάστου τῶν ὁμοιομερῶν εἴδους μίαν ὁμοιομέρειαν εἶχεν, μίαν ὀστοῦ καὶ μίαν αἵματος καὶ πρὸς μίαν ἐφ' ἑκάστου τῶν ἄλλων. νῦν δὲ πλῆθος ἐφ' ἑκάστου τῶν ὁμοιομερειῶν εἴδους καθ' ἕκαστον εἶδος τῶν ζώων· οὐδὲν οὖν ἄτοπον σάρκα μὲν ἐπ' ἄπειρον καθαιρεῖν, ζῶον δὲ μηκέτι· τὴν γὰρ ἐν τῷ ζῴῳ σάρκα ἐκ πλειόνων σαρκῶν εἶναι τῶν ὡς ἀρχῶν καὶ στοιχείων. ἀλλ' εἰ καὶ τοῦτο οὕτως ἔχει, ἀλλ' ὁρίσαι

---

1 ἃ] ὧν A 5 prius ἐπ' om A 6 εἰ] καὶ V 7 ὀστοῦν V 8 εἰ om V 15 καθαίρειν V et saepe 17 μαχουμένους A 25 εἶδος] εἴδους A

γε χρὴ τῶν στοιχείων τούτων τὸ μέγεθος· ὅρους γὰρ δώσει δήπου τινὰ ἀριθμὸν ἀφ' οὗ συντεθέντα τὰ στοιχεῖα ταῦτα τὴν ἐν ζώῳ σάρκα ποιοῦσιν. ἔστω δὴ καθ' ὑπόθεσιν οὗτος ὁ ἀριθμὸς τεττάρων ἢ πέντε σαρκίων. εἰ δὴ δύναιτο τῶν σαρκῶν τούτων ἕκαστον ἐπ' ἄπειρον καθαιρεῖσθαι, ἔσται ἐκ τῶν τεττάρων τηλικαύτη σὰρξ οὕτως μικρά, ὁπηλίκην εἶναι τὴν ἐν ζώῳ σάρκα ἀμήχανον, μᾶλλον δὲ τί ποτ' ἔστι τὸ λέγειν τὴν ἀνθρώπου σάρκα ἐκ πλειόνων εἶναι σαρκίων; διὰ τί γὰρ καὶ τῶν σαρκίων τούτων ἕκαστον οὐκ ἔσται ἐκ πλειόνων σαρκίων, εἴγε ἐπ' ἄπειρον τῶν ὁμοιομερειῶν ἡ καθαίρεσις; ἀλλὰ κἀκεῖνο παγγέλοιον τὴν μὲν τοῦ ἐλέφαντος σάρκα ἐξ ἐλαττόνων εἶναι σαρκίων, τὴν δὲ τοῦ κώνωπος ἐκ πλειόνων. οὐδὲν γὰρ ἔτι διοίσει τὸ ἐκ πλειόνων λέγειν ἢ ἐλαττόνων ἀορίστου τὴν ἀρχὴν ὑπάρχοντος τοῦ μεγέθους καὶ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον. ὅλως δὲ τὸ καθαιρεῖν ἐπ' ἄπειρον σάρκα οὐδὲ σάρκα ἔτι φυλάττειν ἐστίν· ὡς μὲν γὰρ σώματος οὐκ ἀδύνατον ἐπ' ἄπειρον νοεῖσθαι τὴν τομήν, ὡς δὲ σαρκὸς ἀμήχανον παντελῶς· διαφθείρεται γὰρ οὐκ εἰς μακρὰν τὸ σαρκίον. τοῦτο δὲ οὐκ οἶδα προσομολογούμενον Ἀναξαγόρᾳ· ἄφθαρτοι γὰρ κατ' αὐτὸν αἱ ἀρχαί. εἰ δὴ ταῦτα ἀληθῆ λέγομεν, καὶ τὸ μέγεθος ὥρισται τῆς ἐλαχίστης σαρκός, ἀναγκαίως ἀδύνατον ἐν ἑκάστῳ πάντα μεμῖχθαι. τί δήποτε; ὅτι πᾶν σῶμα πεπερασμένον, εἰ καὶ σμικρότατα ἀπ' αὐτοῦ πεπερασμένα ἀφαιροῖτο, ὅμως ἐπιλείψειέ ποτε. γιγνέσθω δὲ ὁ λόγος μὴ κατὰ τὸ τῷ λόγῳ

11 ὁμοιομεριῶν A et saepius 19 σώματα A 21 μακρὰν] μικρὸν V 23 δὴ] δὲ A 24 ἀναγκαῖον V 27 immo ἐπιλείψει ποτέ 28 τῷ om V. Simplicius fol. 36 b γινέσθω δὲ ἡ ἀφαίρεσις μὴ κατὰ τῷ λόγῳ θεωρητόν.

θεωρητόν. καὶ τοίνυν ἐκ τοῦδε τοῦ ὕδατος εἰ σὰρξ ἀποκρίνοιτο συνεχῶς, ἀναλώσει δήπου πᾶσαν τὴν ἐνυπάρχουσαν· οὐ γὰρ οἷόν τε εἰς ἄπειρον προϊέναι τὴν ἔκκρισιν τῆς ἐλαχίστης σαρκὸς ὡρισμένης. δυοῖν τοίνυν ἀνάγκη θάτερον, ἢ τὴν ἔκκρισιν ἐπιλείπειν καὶ μηκέτι τὸ λοιπὸν ὕδωρ σάρκα ἔχειν ἐν τῷ συγκρίματι, ἢ ταύτης μὴ παυομένης ἐμπεριειλῆφθαι πεπερασμένῳ μεγέθει, λέγω δὲ τῷ τοῦ ὕδατος ἄπειρα σαρκία τὸν ἀριθμὸν τὰ ἤδη καὶ ἐνυπάρχοντα· τοῦτο γὰρ δὴ ὑπεραίρει πᾶσαν θαυματουργίαν. πρὸς δὲ τούτοις εἰ πᾶν μὲν σῶμα ἀφαιρεθέντος τινὸς ἔλαττον ἀνάγκη γίνεσθαι, τῆς δὲ σαρκὸς ὥρισται τὸ ποσὸν fol. 19 καὶ μεγέθει καὶ σμικρότητι, φανερὸν ὡς ἐκ τῆς ἐλαχίστης σαρκὸς οὐδὲν ἐκκριθήσεται σῶμα· ἔσται γὰρ ἔλαττόν τι τῆς ἐλαχίστης. πῶς οὖν ἅπαν ἐν ἅπαντι; ἢ σμικρολογούμεθα ταῦτα λέγοντες; εἰ γὰρ ἅπαν ἐν ἅπαντι, οὐ σὰρξ ἔσται μόνον ἐν τῇ ἐλαχίστῃ σαρκί, ἀλλὰ καὶ αἷμα καὶ ὀστοῦν καὶ ἐγκέφαλος καὶ πάλιν ἐν ἑκάστῳ τούτων οἷον ἐν τῷ αἵματι, σὰρξ ἑτέρα καὶ ὀστοῦν ἕτερον καὶ αἷμα ἄλλο, καὶ πρός γε αὖθις ἐν ἑκάστῳ τούτων ὁμοίως τὰ ἄλλα πάντα, καὶ τοῦτο ἔσται ἀπέραντον. καὶ πῶς οὐ πλατὺς ὁ λῆρος ἐν τῷ σμικροτάτῳ σαρκίῳ σάρκα ἄπειρον ὑπάρχειν καὶ ὕδωρ ἄπειρον καὶ γῆν καὶ ἀέρα; καὶ ταῦτα ὅπερ δὴ καὶ ἔμπροσθεν ἔφην, ὄντα ἤδη καὶ ὑφεστῶτα καθ' ἑαυτὰ καὶ ἀλλήλων κεχωρισμένα ὃ καὶ μάλιστα ἄτοπον· ἐν ᾧ γὰρ κεχώρισται πεπεράτωται. ὅρους γὰρ τὰ χωριζόμενα ἀπ' ἀλλήλων καὶ μεγέθει καὶ τόπῳ λαμβάνει· ἔσονται οὖν κατ' αὐτὸν αἱ ἀρχαὶ καὶ κατὰ πλῆθος ἄπειροι καὶ κατὰ μέγεθος· τοῦτο δέ ἐστιν ἀπειράκις ἀπεί-

5 ἀπολείπειν A 9 ἤδη] εἴδη V 10 δὴ om V ὑπεραίρει] περαίνει V 27 πεπέρασται A

ρους εἶναι. εἰ δέ τις βοηθῶν Ἀναξαγόρᾳ τὰς μὲν ἀρχὰς οἴοιτο ἀμίκτους εἶναι, ἐπειδὴ καὶ ἀρχάς, ἐν δὲ τοῖς αἰσθητοῖς καὶ συγκρίμασιν πάντα ἐν πᾶσι μεμῖχθαι, μετενεγκάτω τὸν λόγον ἐπὶ τῶν συγκριμάτων οἷον ὕδατος αἰσθητοῦ· τούτῳ γὰρ δήπουθεν ὁμοίως ἐνυπάρξει σάρξ τε καὶ ὀστοῦν ἄπειρα κεχωρισμένα συγκρίματα ὄντα καὶ ταῦτα ἐκ πάντων· αἰσθητὰ γὰρ καὶ ἐκκρίνεσθαι δυνάμενα, ὥστε καὶ τούτων ἑκάστῳ πάλιν ἕτερα ἐνυπάρξει. οὐ γὰρ δὴ διακριθήσεταί ποτε εἰς τὰς εἰλικρινεῖς καὶ πρώτας ἀρχάς· τοῦτο γὰρ ἡμῖν αὐτὸς ἀμήχανον εἶναι διαμαρτύρεται. πῶς οὖν τοῦτο αὐτὸ πράττειν ὁ νοῦς προθυμεῖται; πῶς δὲ οὐκ ἀνόητος τοῖς ἀδυνάτοις ἐπιχειρῶν; καίτοι τὸ μηδέποτε τὰ ὄντα διακριθήσεσθαι κατὰ τύχην ὀρθῶς φησιν Ἀναξαγόρας· ἀχώριστα γὰρ τὰ συμβεβηκότα οὐσίας ἐστίν. τί οὖν ἕξει πέρας ὁ φρονιμώτατος νοῦς ἢ ἄνυτα μοχθῶν; εἴγε μήτε κατὰ τὸ ποσὸν διακρίνοι ποτὲ τὰς ἀρχάς· εἰς ἄπειρον γὰρ αὗται διαιροῦνται, μήτε κατὰ τὸ ποιόν· ἀχώριστα γὰρ τῆς οὐσίας τὰ πάθη, οἷον χρώματα λέγω καὶ ἕξεις καὶ τὰ λοιπὰ συμβεβηκότα, ὥστε τὸ μὲν οὐδὲ ἐκεῖνος συγχωρεῖ τῷ νῷ, τὸ δὲ ἡμεῖς διὰ τἀληθὲς ἀφαιρούμεθα, ἐπεὶ καὶ τοῦτο οὐκ ὀρθῶς Ἀναξαγόρας τὸ διὰ τοῦτο οἴεσθαι τὴν σάρκα ἐκ σαρκίων συντίθεσθαι καὶ τὸν χρυσὸν ἐκ χρυσίων, ἐπειδὴ καὶ διαιρεῖσθαι πᾶν ὁμοιομερὲς εἰς ὁμοιομερῆ σμικρότερα ὑπελάμβανεν· εἰ δέ τι φθειρόμενον διαλύεται, ἐξ ἐκείνων γίνεσθαι συντιθέμενον. τοῦτο τοίνυν οὐχ ἱκανὸν πρὸς ἀπόδειξιν· ὁ γὰρ πηλὸς καὶ

---

9 πάλιν om A 10 τὸ εἰλικρινὲς A 17 ἢ ἄνυτα] malim καὶ ἄνυτα 27 σμικρότερον A

εἰς πηλοὺς διαιρεῖται καὶ εἰς ὕδωρ καὶ γῆν. πόθεν ἂν οὖν μᾶλλον εἴποις ἂν γίνεσθαι τὸν πηλόν; πότερον ἐκ πηλαρίων μικρῶν, ἢ μᾶλλον ἐκ γῆς καὶ ὕδατος; ἢ τοῦτο μέν ἐστιν ὄντως γίνεσθαι τὸν πηλόν, ἐκεῖνο δὲ μείζω γίνεσθαι; οὐ γὰρ ὡς αἱ πλίνθοι συντιθέμεναι τὸν οἶκον ποιοῦσιν, οὕτως ὅταν ἐξ ἀέρος ὕδωρ γίνηται, ὑδάτια σμικρὰ συνιόντα τὸ πᾶν ὕδωρ ἐποίει· τοῦτο γὰρ αὐτοῖς ἡ καλὴ σύγκρισις βούλεται. ἀλλ' αὐτὸν μὲν ὁρῶμεν εἰς ὕδωρ μεταβαλλόμενον τὸν ἀέρα καὶ ἀλλοιούμενον καὶ τοῦτό ἐστιν ἐξ ἀέρος ὕδωρ γενέσθαι. οὕτω δὲ καὶ Ἐμπεδοκλῆς τὴν γένεσιν κατασκευάζει· κατὰ γὰρ σύγκρισιν καὶ διάκρισιν, ἀλλ' ὅμως κουφότερα ἁμαρτάνει· πεπερασμένας γὰρ τίθεται τὰς ἀρχάς, ἀλλ' οὔπω καιρὸς περὶ τούτων.

Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τἀναντία ἅπαντες 5
ἀρχὰς ποιοῦσιν οἵ τε λέγοντες ἓν τὸ πᾶν καὶ ἀκίνητον, οἵ τε πλείω, μᾶλλον δὲ ἄπειρα· καὶ γὰρ ὁ Παρμενίδης ἐν τοῖς πρὸς δόξαν τὸ θερμὸν ποιεῖ καὶ τὸ ψυχρὸν ἀρχάς, ὧν τὸ μὲν πῦρ τὸ δὲ γῆν προσαγορεύει, καὶ Ἀναξαγόρας ἐν ταῖς ὁμοιομερείαις τὴν ἐναντίωσιν, καὶ Ἀναξίμανδρος ἐκκρίσει τὴν γένεσιν κατὰ σύγκρισιν, ὥστε καὶ διάκρισιν, καὶ Δημόκριτος πλῆρές τε καὶ κενόν, ἀλλὰ καὶ θέσει καὶ σχήματι καὶ τάξει τὰς γενέσεις ποιῶν ἐναντιώσει ποιεῖ· γένη γὰρ ἅπαντα ταῦτά ἐστιν ἐναντίων, ἡ θέσις τοῦ ἄνω κάτω, πρόσθεν ὄπισθεν, ἀριστεροῦ δεξιοῦ· τὸ σχῆμα εὐθυγράμμου περιφεροῦς ἃ κατ' ἐκεῖνόν ἐστιν ἐναν-

2 prius ἂν om A 7 γένηται A 13 διάκρισιν] διαίρεσιν A κουφότερον A

*τία· περὶ δὲ Ἐμπεδοκλέους καὶ Πλάτωνος καὶ τῶν ἄλλων φυσικῶν ὅσοι μάνωσιν καὶ πύκνωσιν ἐτίθεντο τὰ ἐναντία, καὶ πρότερόν γε προειρήκαμεν. καὶ νὴ Δία εὐλόγως ἔμοιγε δοκοῦσιν ἐπὶ τοῦτο ἅπαντες ἐληλυθέναι· δεῖ γὰρ τὰς ἀρχὰς πρῶτον μὲν ἐξ ἀλλήλων μὴ εἶναι· ἔσται γὰρ οὕτως ἑκάστη ἅμα ἀρχή τε καὶ οὐκ ἀρχή, δεύτερον δὲ μηδὲ ἐξ ἄλλων· εἰ μὴ γὰρ πρῶτα εἶεν, πῶς ἂν εἶεν ἀρχαί; καὶ τρίτον ἐκ τούτων εἶναι τὰ πάντα· τοῦτο γὰρ μάλιστα ἴδιον τῶν ἀρχῶν. ταῦτα δὲ ἅπαντα τοῖς πρώτοις ἐναντίοις ὑπάρχει. πρῶτα δὲ ἐναντία λέγω τὰ γενικώτατα· οὐκ ἐξ ἄλλων μὲν γάρ, ὅτι δὴ καὶ πρῶτα· οὐκ ἐξ ἀλλήλων δέ, ὅτι δὴ καὶ ἐναντία, καὶ μηδὲν ταραχθῇς· λέγομεν γὰρ ἐκ λευκοῦ τὸ μέλαν γίνεσθαι, οὕτως μὲν γὰρ γίγνεται ἐξ ἀλλήλων τὰ ἐναντία, ὅπερ κυριώτερον εἴποις ἂν οὐκ ἐξ ἀλλήλων, ἀλλὰ μετ᾽ ἄλληλα. ἀλλὰ πῶς εἶπον μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία; ὡς λέγομεν ἐκ χαλκοῦ γίνεσθαι τὸν ἀνδριάντα· οὐ γὰρ ὡς ὑπομένοντος θατέρου θάτερον μετὰ τοῦ φυλάττειν τὴν οἰκείαν φύσιν γεννῶντος τὸ ἐναντίον· δεῖ μὲν γὰρ αὐτὰ σώζεσθαι ὡς ἀρχάς, εἰ δὲ σωζόμενα εἰς ἄλληλα μεταβάλλοι, συνυπάρχοι ἂν τὰ ἐναντία, ὅπερ ἀμήχανον. πῶς δὲ καὶ ἐκ τούτων τὰ ἄλλα; ὅτι κατὰ μεταβολὴν ἡ γένεσις ὡς δειχθήσεται, εἰς δὲ τἀναντία πᾶσα μεταβολή. ἀλλ᾽ ἐπειδὴ μὴ σφόδρα αὐτόθεν γνώριμον τὸ λεγόμενον, ἐπισκεψώμεθα αὐτὸ μικρὸν ἄνωθεν ἀρξάμενοι. ληπτέον δὴ πρῶτον ὅτι ἁπάντων τῶν ὄντων οὐδὲν οὔτε ποιεῖν πέφυκεν οὔτε πάσχειν τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος· οὐ γὰρ* fol. 19b. *ποιεῖν πέφυκεν ἄνθρωπος ἵππον, οὔτε πάσχειν πέ-*

---

8 **πρῶται** A 12 **ἄλλου** A 15 **γὰρ** om A 29 **πάσχει** A

φυκεν ἀδάμας ὑπὸ σιδήρου· καὶ τοίνυν οὐδὲ γίγνεσθαι πέφυκεν τὸ τυχὸν ἐκ τοῦ τυχόντος· οὐ γὰρ ἂν γένοιτο λευκὸν ἐκ μουσικοῦ ἀλλὰ πάντως ἐκ μέλανος ἢ ξανθοῦ ἢ τινος ἑτέρου τῶν μέσων χρωμάτων. καίτοι φαίη τις ἂν ὅτι τοῦτο οὐκ ἀληθές· εἴποι γὰρ ἄν τις τὴν ἀηδόνα λευκὴν ἐκ μουσικῆς γεγονέναι. ἀλλ' οὐχ ἡ μουσικὴ πρότερον ἦν, ἀλλ' ἡ μέλαινα· ἐπειδὴ γὰρ συμβαίη ποτ' ἂν τῷ μέλανι καὶ μουσικῷ εἶναι, τότε οὐκ ἂν ἐκ μέλανος οἴει γίγνεσθαι τὸ λευκὸν ἀλλ' ἐκ μουσικοῦ; ἀλλὰ διαίρει τοῦ καθ' αὑτὸ τὸ κατὰ συμβεβηκός, καὶ πάντως εὑρήσεις ἐκ μέλανος ἢ ξανθοῦ ἢ φαιοῦ καθ' αὑτὸ γιγνόμενον τὸ λευκόν, οὐδὲν δὲ κωλύει τὸ μέλαν τοῦτο ἢ μουσικὸν εἶναι ἢ πολιτικὸν ἢ στρατηγικὸν ἢ χαλκευτικόν, ὥστε οὐκ ἂν φθάνοις καὶ ἐκ πολιτικοῦ τὸ μέλαν γίνεσθαι λέγων, καὶ ἐξ ἀριθμητικοῦ πάλιν καὶ ἐκ πτηνοῦ καὶ ἐκ δίποδος, ἀλλὰ πᾶσαι αὗται κατὰ συμβεβηκὸς αἱ γενέσεις, καθ' αὑτὸ δὲ γίνεται τὸ λευκὸν ἐκ μέλανος, ἢ τὸ σύνολον εἰπεῖν ἐκ μὴ λευκοῦ, καὶ ἐκ τούτου γε οὐχ ἅπαντος· καὶ γὰρ ἱπποκένταυρος οὐ λευκὸν καὶ σκύλλα οὐ λευκόν, ἀλλὰ ἐφ' οὗ τὸ φαιὸν ἢ τὸ ξανθὸν ἢ τὸ ἐρυθρὸν ἁρμόζει λέγειν. οὕτως καὶ τὸ μουσικὸν ἐκ μὴ μουσικοῦ, ἀλλ' οὐκ ἐκ τοῦ κίονος οὐδ' ἐκ τῆς νεώς, ἀλλὰ ὃ καὶ ἄμουσον ἄν τις ὀρθῶς προσαγορεύσειεν ἢ εἴ τι μεταξὺ μουσικοῦ ἐστὶ καὶ ἀμούσου. οὐδὲ δὴ φθείρεταί τι εἰς τὸ τυχόν· οὐ γὰρ φθείρεται καθ' αὑτὸ τὸ λευκὸν εἰς μουσικὸν πλὴν εἰ μὴ κατὰ συμβεβηκός, οἷον φθαρείη ποτ' ἂν λευ-

1 οὔτε V 4 ἑτέρων V 21 λευκὴ A 22 ἁρμόζειν V 23 ἐκ μὴ μουσικοῦ] in Arist. p. 188 b. 1 sine varietate Bekkerus μουσικὸν οὐκ ἐκ μουσικοῦ pro ἐξ οὐ μουσικοῦ. 24 ὃ om V

κότης ἐκκαυθέντος ἀνθρώπου, φθαρείη δ' ἂν εἰς μελανίαν. εἰ δὲ συμβαίη καὶ μουσικὸν εἶναι τὸν ἄνθρωπον τοῦτον κατὰ συμβεβηκός, καὶ εἰς μουσικὸν φθαρήσεται ἡ λευκότης· ὁμοίως καὶ τὸ μουσικὸν εἰ φθείροιτο, εἰς τὸ ἄμουσον οὐκ εἰς τὸ μέλαν φθαρήσεται. οὐ μόνον δὲ ἐφ' ὧν κατ' ἀλλοίωσιν ἡ γένεσις ὡς ἐπὶ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐφ' ὧν κατὰ σύγκρισιν καὶ διάκρισιν ὡς ἐπὶ τῶν συντιθεμένων· ὁ γὰρ αὐτὸς λόγος, λανθάνει δὲ ἐπὶ τούτων ἐνίοτε, ὅτι μὴ κεῖται ἐπὶ πολλῶν ταῖς ἀντικειμέναις διαθέσεσιν σύνηθες ὄνομα ὥσπερ καὶ τῷ λευκῷ καὶ τῷ μέλανι· ἀλλ' ἐπ' ἐνίων μὲν αἱ στερήσεις τούτων ὀνομάζονται, ἐπ' ἐνίων δὲ οὐδὲ αὗται, ἀλλὰ αἱ τῶν ἑτέρων ἀντιφάσεις μόναι. τὰ μὲν γὰρ κοινὰ ὀνόματα εἴποιμεν ἂν ἐπὶ τῶν συνθέτων ἁπάντων ἁρμονίαν τε καὶ ἀναρμοστίαν, ἐξ ὧν αἱ γενέσεις καὶ εἰς ἃ αἱ φθοραί, τὰ δὲ ἴδια καθ' ἕκαστον οὐκ ἔχομεν ἐκ τῆς συνηθείας, ἀλλ' ὅμως ἅπαν γίνεται τὸ ἡρμοσμένον ἐξ ἀναρμόστου, καὶ φθείρεται εἰς ἀνάρμοστον οὐκ εἰς τὸ τυχόν, ἀλλὰ εἰς τὸ ἀντικείμενον· οὐ γὰρ ἡ ἀνθρώπου ἁρμονία φθείρεται εἰς τὴν ἵππου ἀναρμοστίαν, οὐδὲ ἡ τοῦ κυνὸς εἰς τὴν τοῦ φυτοῦ, οὐδὲ γίνεται ἐξ ἐκείνων, ἀλλὰ φθείρεται μὲν ἄνθρωπος εἰς ἀνθρώπου ἀναρμοστίαν, φθείρεται δὲ ἵππος εἰς ἵππου, κἂν ἀντὶ τοῦ ἡρμοσμένου καὶ ἀναρμόστου τὸ τεταγμένον καὶ ἄτακτον ὀνομάζῃς, κἂν τὸ σύνθετον καὶ ἀσύνθετον, κἂν τὸ ἐσχηματισμένον καὶ ἀσχημάτιστον, ὅμως ταὐτὸν ἐν πᾶσιν εὑρήσεις. λάβε γὰρ καθ' ἕκαστον παράδειγμα· ἡ τῆς οἰκίας τάξις ἐξ ἀτα-

1 ἐπικαυθέντος A 2 συμβαίη] καὶ συμβαίνει V 3 τοῦτον om V 16 αἱ post ἃ om A 21 ἂν ἁρμονία V 25 τὸ τετ.] καὶ τετ. V

ξίας γίνεται οὐ τῆς τυχούσης, οὐδὲ οἵα ἂν γένοιτο νεώς, ἀλλ' οἵα γένοιτο ἂν οἰκίας ἀταξία ἐκ τοῦ μὴ συγκεῖσθαι τοὺς λίθους ὡς δεῖ, καὶ τὰς πλίνθους, καὶ φθείρεται τοίνυν εἰς ταύτην τὴν ἀταξίαν. πάλιν ὁ σωρὸς γίνεται τῶν πυρῶν ἐκ τοῦ μὴ συγκεῖσθαι τοὺς πυρούς, οὐκ ἐκ τοῦ μὴ συγκεῖσθαι τὰ ξύλα, καὶ φθείρεται τοίνυν οὐκ εἰς ξύλων διαίρεσιν, ἀλλ' εἰς πυρῶν. ὁ ἀνδριὰς ὁμοίως ἐκ τῆς ἀνδριάντος ἀσχημοσύνης, καὶ ἵνα μὴ καθ' ἕκαστον λέγω, δῆλόν ἐστιν ὡς ἅπαν γίνεται τὸ γιγνόμενον καὶ φθείρεται τὸ φθειρόμενον ἢ ἐξ ἐναντίων, ἢ εἰς ἐναντία καὶ τὰ τούτων μεταξὺ οἷς καὶ αὐτοῖς ἐξ ἐναντίων ἡ γένεσις ὡς ἐπὶ τῶν χρωμάτων, ὥστε καθόλου διωρίσασθαι ἀληθές, ὅτι πάντα τὰ φύσει γιγνόμενα ἢ ἐναντία ἐστὶν ἢ ἐξ ἐναντίων, ἐναντία μὲν τὰ ἄκρα, ἐξ ἐναντίων δὲ τὰ μεταξύ. χρὴ δὲ μνημονεύειν ὅταν λέγωμεν ἐξ ἐναντίων καὶ εἰς ἐναντία τὰς γενέσεις εἶναι καὶ τὰς φθοράς, ὡς οὐκ ἐξ ὑπομενόντων, οὐδὲ εἰς ὑπομένοντα λέγοιμεν· οὕτως γὰρ ἂν ἡμῖν αὐτοῖς μαχοίμεθα, ἀλλ' ὡς φαμὲν τόδε ἀπὸ τοῦδε, καὶ τόδε γίγνεσθαι μετὰ τόδε. μέχρι μὲν οὖν ἐπὶ τοσοῦτον σχεδὸν συνηκολουθήκασιν καὶ τῶν ἄλλων οἱ πλεῖστοι· πάντες γὰρ οἱ τὰ στοιχεῖα καὶ τὰς ὑπ' αὐτῶν καλουμένας ἀρχάς, καίπερ ἄνευ τοῦ πείθειν ἐκ τῆς ἐπαγωγῆς, ὅμως τὰ ἐναντία ποιοῦσιν ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκασθέντες· διαφέρουσι δὲ ἀλλήλων τῷ τοὺς μὲν πρότερα καὶ γενικώτερα, τοὺς δὲ ὕστερα καὶ ἰδικώτερα λαμβάνειν, καὶ τοὺς μὲν λόγῳ, τοὺς δὲ αἰσθήσει γνωριμώτερα· οἱ μὲν γὰρ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρόν, ὕστερα δὲ καὶ ἰδικώτερα καὶ γνω-

19 scrib. λέγομεν    29 γνωριμώτερον A

*ριμώτερα τῇ αἰσθήσει· οἱ δὲ τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ ἄρτιον καὶ τὸ περιττὸν καὶ νεῖκος καὶ φιλίαν πρότερά τε καὶ γενικώτερα καὶ γνωριμώτερα τῷ λόγῳ. πῶς μὲν ἕτερα λαμβάνουσιν· ἄλλοι γὰρ ἄλλα, πῶς δὲ ταὐτὰ μόνα· πάντα ταῦτα γὰρ ἀνάλογον ἔχει πρὸς ἄλληλα· ὡς γὰρ ἔχει τὸ νεῖκος πρὸς τὴν φιλίαν καὶ τὸ περιττὸν πρὸς τὸ ἄρτιον, οὕτως τὸ ψυχρὸν πρὸς τὸ θερμὸν καὶ τὸ ξηρὸν πρὸς τὸ ὑγρὸν ἔχει· τὰ μὲν γὰρ ἐκ τῆς συστοιχίας ἐστὶ τῆς ὑπὸ τὴν σύγκρισιν καὶ τὴν ὑπεροχήν, τὰ δὲ ἐκ τῆς ὑπὸ τὴν διάκρισιν καὶ τὴν ἔλλειψιν. ἀλλ' ὅτι μὲν ἐναντίας δεῖ τὰς ἀρχὰς εἶναι φανερὸν ἐκ τούτων.*

6 *Ἐχόμενον δὲ εἰπεῖν πόσαι τὸν ἀριθμὸν εἶεν ἄν·* fol. 20. *δέδεικται γὰρ ὡς οὔτε μίαν εἶναι δυνατὸν οὔτε ἀπείρους, μίαν μὲν ὅτι δύο τὰ ἐναντία, ἀπείρους δὲ ὅτι τὰ ἐναντία ἀμήχανον ἄπειρα εἶναι· δίχα γὰρ ἂν διαιρεθείη, καὶ προσέτι τὴν ἐπιστήμην τῶν ὄντων ἀφαιρησόμεθα· ἔτι τε περὶ μίαν φύσιν καὶ περὶ ἓν γένος μία ἐστὶν ἐναντίωσις, γένος δὲ ἓν λέγεται ἀκριβῶς οὗ τὴν διαίρεσιν εἰς εἴδη ποιούμεθα, οὐκ εἰς γένη· οὕτω περὶ χρῶμα τὸ μέλαν καὶ τὸ λευκόν, ἢ περὶ τοὺς χυμοὺς τὸ γλυκὺ καὶ τὸ πικρόν· ἐναντίωσιν γὰρ λέγω τὴν σχέσιν τῶν δυοῖν ἐναντίων, καὶ τοίνυν περὶ τὴν ἔνυλον καὶ γενητὴν οὐσίαν ἧς τὰς ἀρχὰς ἐπιζητοῦμεν, μία ἡ ἐναντίωσις, ἄλλως τε τί κωλύει λέγειν πεπερασμένας; Ἐμπεδοκλῆς γοῦν πεπερασμένας ὑποθέμενος βέλτιον ποιεῖ τὰ γιγνόμενα Ἀναξαγόρου.*

*Εἰ δὲ δὴ ταῦτα ἀληθῆ λέγομεν καὶ μία ἐστὶν*

---

5 *ταῦτα* om A 9 *συστοιχείας* A 17 *ἀφαιρεθησόμεθα* V 24 *γενετὴν* V 25 *ἄλλως τε*] *ὥστε*?

ἐναντίωσις περὶ μίαν φύσιν, ἆρα δύο μόνας τὰς ἀρχὰς ὑποθετέον τὰ δύο πρῶτα ἐναντία ἢ δεῖ συζεῦξαί τινα ὕλην αὐτοῖς καὶ ὑποκείμενον; ἐμοὶ μὲν οὖν τοῦτο καὶ ἀναγκαῖον δοκεῖ· σκέψαι δὲ καὶ σὺ κατὰ σαυτόν, εἰ δύναται πυκνότης μανότητα ποιεῖν καθ' ἑαυτήν, ἢ θερμότης ψυχρότητα, ἢ τὴν φιλίαν τὸ νεῖκος, ἢ τοὔμπαλιν ἑκάστη τὴν ἄλλην, μᾶλλον δὲ τί λέγω ποιεῖν; εἶναι καθ' ἑαυτὴν ἑκάστη καὶ ὑφεστάναι οἷον θερμότης καθ' ἑαυτὴν ἢ ψυχρότης ἢ σύγκρισις ἢ διάκρισις, ἢ μᾶλλον τρίτον τι τούτοις ἕτερον ὑποθετέον, περὶ ὃ καὶ αὐτὰ ὑποστήσεται καὶ γεννήσει τὰ ἐφεξῆς διατιθέντα πως ἀνὰ μέρος τὸ ὑποκείμενον; αὐτὰ μὲν γὰρ οὐδ' ἂν ὑπομείνειεν ἄλληλα, οὐδ' ἂν ὑποδέξαιτο σωζομένη τὴν σύγκρισιν ἡ διάκρισις, ἢ τὴν μανότητα ἡ πυκνότης, ὑποχωρεῖ δὲ ἀλλήλοις τὸ ἕτερον ὑφ' ἑτέρου τινὸς ἀεὶ τὸ εἰσιὸν δεχομένου. διὰ τοῦτο καὶ οἱ παλαιοὶ τοῖς ἐναντίοις ἢ μίαν τινὰ φύσιν ἢ πλείους ὑπετίθεσαν. πρὸς τούτοις δὲ ὅρα καὶ ἐκ τοῦ λόγου τὸ ἀναγκαῖον. τὰς ἀρχὰς οὐκ ἐν ὑποκειμένῳ θετέον· εἴη γὰρ ἂν οὕτως τῆς ἀρχῆς ἀρχή· τὸ γὰρ ὑποκείμενον πρότερον καὶ ἡ οὐσία τῶν ἐν αὐτῇ, τὰ ἐναντία δὲ ἐν ὑποκειμένῳ πάντως· οὐκ ἄρα ἀρχαὶ τὰ ἐναντία. πάλιν οὐδενὶ τῶν ὄντων ὁρῶμεν ὑποκείμενα τὰ ἐναντία, τὰς δὲ ἀρχὰς ὑποκεῖσθαι δεῖ πᾶσιν· οὐκ ἄρα ἀρχαὶ τὰ ἐναντία. πάλιν οὐκ εἶναί φαμεν οὐσίαν ἐναντίαν οὐσίᾳ, οὔκουν οὐσίαι τὰ ἐναντία, εἰ δὲ μὴ οὐσίαι, δῆλον ὡς οὐδὲ ἀρχαί· οὐ γὰρ δήπου τὰς ἀρχὰς τῶν οὐσιῶν οὐκ οὐσίας ποιήσομεν. εἰ τοίνυν ὁ μὲν πρότερος

2 πρῶτα δύο A  3 οὖν om Y  10 σύγκρισιν ἢ διάκρισιν V  12 διατιθέν A  13 scrib. οὔτ' — οὔτ'  27 οὐσία — οὐσία A

λόγος ἐναντίωσιν εἶναι δεῖν ἐν ταῖς ἀρχαῖς ἀναγκάζει, ὁ δεύτερος δὲ οὔ φησιν ἀρχὰς εἶναι τὰ ἐναντία, συντακτέον αὐτοὺς τὸ τρίτον προσθέντας, λέγω δὲ τὴν ὕλην, ὃ καὶ μᾶλλον ἀρχή· πρότερον γάρ, ἀλλ' ὅμως δεῖται κἀκείνων· καθ' αὑτὴν γὰρ οὐδενὸς αὕτη ποιητική. ἥπτοντο οὖν τῆς ἀληθείας καὶ οἱ ἀρχαῖοι· καὶ γὰρ ἐκεῖνοι μίαν τινὰ φύσιν ὑπετίθεσαν τοῖς ἐναντίοις, δι' ἣν καὶ ἓν τὸ πᾶν ἐκάλουν οἷον ὕδωρ ἢ πῦρ ἢ τὸ μεταξύ, βέλτιον δὲ οἱ τὸ μεταξύ· τὸ γὰρ πῦρ ἤδη φανερῶς συμπλέκεται τοῖς ἐναντίοις· θερμὸν γὰρ καὶ ξηρὸν κατὰ τὴν οἰκείαν φύσιν τὸ πῦρ, δεῖ δὲ μηδὲν ἔχειν τῶν ἐναντίων ἐν τῷ οἰκείῳ λόγῳ τὸ ὑποκείμενον· ἀνάγκη γὰρ ἢ μὴ δέχεσθαι θάτερον τῶν ἐναντίων ἢ φθείρεσθαι· ἄμφω δὲ τῇ περὶ τῆς ἀρχῆς ἐννοίᾳ διαμάχεται. διὸ οὐκ ἀλόγως ποιοῦσιν οἱ τὸ ὑποκείμενον ἕτερον τῶν στοιχείων τούτων ποιοῦντες. τῶν δὲ ἄλλων οἱ ἀέρα· καὶ γὰρ ὁ ἀὴρ ἥκιστα ἔχει τῶν ἄλλων αἰσθητὰς διαφοράς. τρίτοι δὲ οἱ τὸ ὕδωρ ὑποτιθέντες· θερμαίνεται γὰρ καὶ ψύχεται καὶ χεῖται καὶ πήγνυται ὑπομένον. ἀλλὰ πάντες γε τὸ ἓν τοῖς ἐναντίοις σχηματίζουσιν οἷον πυκνότητι μανότητι, καὶ τῷ μᾶλλον καὶ τῷ ἧττον, ταῦτα δέ ἐστιν ὅλως ὑπεροχὴ δηλονότι καὶ ἔλλειψις, καὶ ἔοικε παλαιά τις εἶναι καὶ αὕτη ἡ δόξα, ὅτι δεῖ τρεῖς εἶναι τὰς ἀρχὰς τὸ ἓν καὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, πλὴν τὸν μὲν ἀριθμὸν τῶν ἀρχῶν τὸν αὐτὸν ἅπαντες λέγουσιν, οὐχ ὡσαύτως δὲ ἅπαντες. οἱ μὲν γὰρ παλαιοὶ τὰ μὲν δύο ποιεῖν, τὸ δὲ ἓν πάσχειν· Πλάτων δὲ ἀνάπαλιν ὥσπερ καὶ τὸ πρότερον εἴρηται. τὸ μὲν οὖν φάναι

---

3 προστεθέντας A 5 αὐτὴ V 20 γε] τε V. om A 21 μανότητι om V 28 πάσχειν] ὑπάρχειν V

τρία τὰ στοιχεῖα [καὶ τὰς ἀρχάς]˙ περὶ γὰρ στοιχείων τῶν ἐνυπαρχόντων τοῖς γινομένοις ἡμῖν ὁ λόγος, δόξειεν ἂν καὶ σφόδρα εὔλογον εἶναι, τὸ δὲ πλείω τριῶν οὐκέτι˙ πρὸς μὲν γὰρ τὸ παθεῖν αὔταρκες τὸ ὑποκείμενον, πρὸς δὲ τὸ ποιῆσαι τὰ ἐναντία. εἰ δὲ προσθείη τις ἢ ἐναντίωσιν ἄλλην ἢ ὑποκείμενον, καθ' ἕκαστον ἀναγκασθήσεται διπλασιάζειν˙ εἴτε γὰρ ἐναντίωσιν ἄλλην, καὶ ὑποκείμενον ἕτερον˙ εἴτε ὑποκείμενον ἕτερον, ἑτέραν καὶ ἐναντίωσιν. εἰ μὲν οὖν ταὐτὰ ἐξ ἑκατέρας τριάδος γενήσεται, περιττὴ παντελῶς ἡ ἑτέρα˙ εἰ δ' ἄλλα ἐξ ἑκατέρας, πρῶτον μὲν οὐκ ἔσονται πάντων τῶν γενητῶν αἱ αὐταὶ ἀρχαί, οὐδὲ εἰς ἄλληλα μεταβάλλει τὰ στοιχεῖα γῆ πῦρ ὕδωρ ἀήρ˙ ἔπειτα τί δήποτε δύο μόνον ἔσονται τριάδες καὶ οὐχὶ πλείους, καὶ οὐχὶ ἄπειροι; οὐδένα γὰρ εὑρίσκω λόγον ὃς δύο μὲν εἶναι κατασκευάσει, πλείους δὲ μή˙ εἰ γὰρ ὅτι χρὴ διαφέρειν τὰς τῶν ζώων καὶ τὰς τῶν φυτῶν, διὰ τί δὲ καὶ τὸ καθ' ἕκαστον εἶδος τῶν ζώων καὶ καθ' ἕκαστον εἶδος τῶν φυτῶν οὐ διοίσουσιν; ἔπειτα ὁρῶμεν τρεφόμενα τὰ μὲν ζῷα ἐκ τῶν φυτῶν, τὰ φυτὰ δὲ γενόμενα ἐκ τῶν στοιχείων, ὡς εἶναι φανερὰν τὴν εἰς ἄλληλα πάντων μεταβολήν˙ εἰ δὲ δύο μὲν ποιήσαιμεν ἐναντιώσεις, ἓν δὲ τὸ ὑποκείμενον, εἰ μὲν μεταβάλλοιεν εἰς ἀλλήλας, τὰ αὐτὰ πάλιν ἄτοπα ἀκολουθήσει˙ εἰ δὲ καὶ γίγνονται ἐξ ἀλλήλων, περιττὴ πάλιν εὐθὺς ἡ ἑτέρα˙ αἱ αὐταὶ γὰρ ἀλλήλαις οὕτω γενήσονται˙ ἐπεὶ γὰρ τῶν ἐναντίων ἡ μεταβολὴ εἰς ἐναντία, ἔστω μία μὲν ἐναν-

---

1 τρία τὰς ἀρχὰς τὰ στοιχεῖα περὶ V in quibus dele τὰς ἀρχὰς  9 ἕτερον ante ἑτέραν om V  19 τῶν ζώων — εἶδος om A  24 μεταβάλλοιμεν V  25 δὲ om A  γίγνονται] γίγνοντο A, an γίγνοιντο?

*τίωσις ἡ ᾱ β̄, ἑτέρα δὲ ἡ γ̄ δ̄. εἰ δὴ τὸ ᾱ ὡς εἰς τὸ β̄, οὕτως εἰς τὸ δ̄, ταὐτὸν ἂν εἴη τὸ β̄ καὶ τὸ δ̄. καὶ εἰ τὸ β̄ ὡς εἰς τὸ ᾱ, οὕτω καὶ εἰς τὸ γ̄, ταὐτὸν ἂν εἴη τὸ ᾱ καὶ τὸ γ̄· καὶ γὰρ εἰς ἐναντίον ἡ μεταβολὴ καὶ ἓν ἑνὶ ἐναντίον. ἀλλὰ δὴ καὶ ἔφαμεν πρότερον περὶ μίαν φύσιν μίαν εἶναι καὶ ἐναντίωσιν, μία δὲ ἡ* fol. 20b. *φύσις καὶ ἡ οὐσία ἡ γενητή τε καὶ ἡ ἔνυλος· εἰ γὰρ καὶ πλείω εὑρίσκοιντο, ὑπαχθήσονται ὑπὸ τὰς πρώτας τὰς ἐν τῷ γένει καὶ προσεχεῖς τῆς οὐσίας οἷον ὡς καὶ ἐπὶ τῆς ποιότητος εὕροις ἄν· τὸ γὰρ μέλαν καὶ τὸ λευκὸν χρώματός ἐστι προσεχὴς ἐναντίωσις, οὐ ποιότητος. εἴ τις οὖν αὐτῆς τῆς ποιότητος προσεχὴς ἐναντίωσις εὑρεθείη, εἰς ἐκείνην ἀναχθήσονται καὶ αἱ ἄλλαι. ὅτι μὲν οὖν οὔτε ἓν τῶν στοιχείων, οὔτε πλείω δυοῖν ἢ τριῶν, φανερὸν ἐκ τούτων· πότερον δὲ δύο ἢ τρία, πολλὴν ἀπορίαν ἔχει.*

7 *Ὧδε οὖν ἡμεῖς λέγομεν πρῶτον περὶ πάσης καθόλου γενέσεως ἐπελθόντες, οὐ τῆς κατ᾽ οὐσίαν μόνον ἀλλὰ καὶ τῆς κατ᾽ ἀλλοίωσιν, οἷον οὐ μόνον πῶς ἄνθρωπος γίνεται καὶ φυτόν, ἀλλὰ καὶ πῶς ἄνθρωπος μουσικός, καὶ πῶς Καλλίας γραμματικός· ῥᾷον γὰρ ἐκ τῶν κοινῶν τὰ περὶ ἕκαστον ἴδια θεωρήσομεν, ὡς καὶ προὐθέμεθα ἐξ ἀρχῆς. ὅταν τοίνυν λέγωμεν ἕτερον ἐξ ἑτέρου γίνεσθαι, ἢ ἐξ ἁπλοῦ τινὸς λέγομεν ἢ ἐκ συνθέτου, ἐξ ἁπλοῦ μὲν ὅταν λέγωμεν ἐξ ἀμούσου μουσικὸν γίνεσθαι, καὶ ἐξ ἀγραμμάτου γραμματικόν, ἢ νὴ Δία γε ὅταν τὸ ἄμουσον μουσικὸν γίγνηται καὶ τὸ ἀγράμματον γραμματικόν· ταὐτὸν γὰρ σημαίνει κἂν*

---

6 *ἡ φύσις καὶ*] *φύσις* A   7 *ἡ* post *καὶ* om A   27 *ὅταν — γίγνηται*] *ὅτι — γίγνεται* A

οὕτω τὴν λέξιν μεταρρυθμίζωμεν, ἐπεὶ καὶ ὅταν λέγωμεν τὸν ἄνθρωπον γίνεσθαι μουσικόν, ἁπλοῦν καὶ τότε λαμβάνομεν οὐ μόνον τὸ μεταβάλλον οἷον τὸν ἄνθρωπον, ἀλλὰ καὶ εἰς ὃ μεταβάλλει, τὸ μουσικόν. ἐὰν μέντοι συμπλέξαντες εἴπωμεν τὸν ἄμουσον ἄνθρωπον γίνεσθαι μουσικόν, συντίθεμεν ἐν τῇ λέξει ταύτῃ τό τε μεταβάλλον, τὸν ἄνθρωπον, καὶ ἐξ οὗ μεταβάλλει, τὸ ἄμουσον. τούτων τοίνυν τῶν δυοῖν τῶν τὸ σύνθετον ἡμῖν ποιούντων, λέγω δὲ τοῦ ἀνθρώπου καὶ τοῦ ἀμούσου, διαφορά τις εὑρίσκεται καὶ κατὰ τὴν λέξιν καὶ κατὰ τὰ πράγματα, εἰ ἁπλᾶ καὶ χωρὶς λέγοιτο· κατὰ μὲν τὴν λέξιν, ὅτι τὸ μὲν διχῶς ἂν σχηματισθείη· λέγομεν γὰρ καὶ ἐξ ἀμούσου γίγνεσθαι μουσικόν, καὶ τὸ ἄμουσον γίγνεσθαι μουσικόν, θάτερον δὲ οὐκέτι παραπλησίως, ἀλλ' ἐπὶ μὲν τῶν πλείστων τὸ τόδε μόνον· φαμὲν γὰρ τὸν ἄνθρωπον γίγνεσθαι μουσικόν, οὐκ ἐξ ἀνθρώπου γίγνεσθαι μουσικόν, καὶ Καλλίαν γραμματικόν, οὐκ ἐκ Καλλίου γραμματικόν· ἐπ' ὀλίγων δὲ τὸ ἐκ τοῦδε δόξειεν ἂν εὐλογώτερον λέγεσθαι ἢ τὸ τόδε, οἷον ἐκ χαλκοῦ ἀνδριάντα γίγνεσθαί φαμεν, οὐ τὸν χαλκὸν ἀνδριάντα, καὶ ἐκ πλίνθων γίνεσθαι οἰκίαν, οὐ τὰς πλίνθους γίνεσθαι οἰκίαν. καὶ αὕτη μὲν κατὰ τὴν λέξιν ἡ διαφορά, ἐκείνη δὲ κατὰ τὴν φύσιν καὶ πολλῷ φανερωτέρα· τὸ μὲν γὰρ ἐν ταῖς μεταβολαῖς ὑπομένει, τὸ δὲ οὐχ ὑπομένει· ὁ μὲν γὰρ ἄνθρωπος μουσικὸς γενόμενος ἄνθρωπός ἐστιν καὶ ὑπομένει, τὸ δὲ ἄμουσον οὐχ ὑπομένει, οὔτ' ἂν καθ' αὑτὸ λέγῃς τὸ ἄμουσον γίνεσθαι μουσικόν, τὸ ἄμου-

---

1 ἐπεὶ] ἐπεὶ δὲ V 8 τὸν ἄμουσον A 12 λέγοιντο V 25 φανερώτερον A 29 λέγῃς] λέγομεν A

σον ὑπομένει, οὔτ᾽ ἂν τῷ ἀνθρώπῳ συμπλέκῃς τὸν ἄμουσον ἄνθρωπον γίνεσθαι μουσικόν, ὁ ἄμουσος ἄνθρωπος ὑπομένει· λέγω δὲ τὸ ὅλον τοῦτο καὶ σύνθετον ἐκ τῶν δυοῖν. οὕτω δὴ τούτων διωρισμένων τὸ μὲν ὑπομένον ὕλην καλῶ, τὸ δὲ μὴ ὑπομένον στέρησιν, τὸ ἄμουσον τὸ ἀγράμματον. ταῦτα δὲ φαντασθείημεν ἂν τὰ αὐτὰ εἶναι τῇ ὕλῃ κατ᾽ ἀριθμόν· οὐδὲ γὰρ δύναται καθ᾽ αὑτὰ ὑποστῆναί ποτε, ἀλλὰ περὶ τὸν ἄνθρωπον τὸ ἄμουσον καὶ τὸ ἀγράμματον θεωρεῖται· ὁ λόγος δέ σοι αὐτὰ διακρίνει. οὐ γὰρ ταὐτὸν ἀνθρώπῳ τε καὶ ἀμούσῳ εἶναι ἀνθρώπῳ. μεμνῆσθαι δὲ χρὴ καὶ τῶν προτέρων διαφορῶν ὅτι τὸ μὲν ὑπομένειν ἔφην, τὸ δὲ οὐχ ὑπομένειν· τὸν μὲν γὰρ ἄνθρωπον σώζεσθαι, τὸ δὲ ἄμουσον μή, καὶ τοῦτο εἰκότως· γιγνομένης γὰρ εἰς τὸ μουσικὸν τῆς μεταβολῆς ὑπεξίσταται μὲν τὸ ἐναντίον τῷ εἰσιόντι, μένει δὲ ὃ οὐκ ἀντίκειται. ἱκανὴ δὲ καὶ ἡ κατὰ τὴν λέξιν διαφορά, ἔφην δὲ ἐπὶ μὲν τῆς στερήσεως καὶ τὸ ἐκ τοῦδε λέγεσθαι καὶ τὸ τόδε· καὶ γὰρ ἐξ ἀμούσου μουσικὸν καὶ τὸ ἄμουσον γίνεσθαι μουσικόν, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ συνθέτου· ἐπὶ δὲ τῆς ὕλης οὐκέτι ὁμοίως καθ᾽ ἑαυτὴν λεγομένης, ἀλλ᾽ ἐφ᾽ ὧν μὲν θάτερον ἐφ᾽ ὧν δὲ θάτερον μᾶλλον ἁρμόζειν· τὸν μὲν ἄνθρωπον γίνεσθαι γραμματικὸν οὐκ ἐξ ἀνθρώπου γραμματικόν, ἐκ δὲ ξύλων τὴν ναῦν οὐ τὰ ξύλα γίνεσθαι ναῦν. καίτοι φαίης ἂν οἰκειότερον εἶναι τὸ μὲν ἐκ τοῦδε τῇ στερήσει, θάτερον δὲ τῷ ὑπομένοντι καὶ τῇ ὕλῃ· σημαίνει γὰρ μᾶλλον ἐκείνη μὲν ἡ πτῶσις τὸ ἐκχωροῦν, ἥδε δὲ

1 συμπλέκει A 5 ὑποκείμενον A 10 σοι αὐτὰ] τοιαῦτα A. fort. διακρινεῖ

τὸ ὑφιστάμενον· ἀλλ' ὅμως λέγεται τὸ ἐκ τοῦδε καὶ ἐπὶ τῆς ὕλης ὡς προειρήκαμεν, λέγεται δὲ ἐπ' ἐκείνων ἐφ' ὧν οὐκ ἔστιν ὠνομασμένον τὸ ἀντικείμενον, ἀλλ' ἐνυπάρχει μὲν τῇ ὕλῃ, δῆλον δὲ οὐκ ἔστιν. τότε γὰρ τὸ ἐκ τοῦδε κατὰ τῆς ὕλης κατηγοροῦμεν ὡς ἐχούσης ἐν αὐτῇ καὶ τὸ ἐναντίον τῇ μελλούσῃ μορφῇ· τὴν γὰρ ἀντικειμένην ἀμορφίαν τῷ σχήματι τοῦ ἀνδριάντος οὐκ ἔχοντες ὀνομάσαι ἐκ τοῦ χαλκοῦ λέγομεν γίνεσθαι τὸν ἀνδριάντα ὡς ἐνυπαρχούσης αὐτῷ καὶ τῆς ἀμορφίας. σχεδὸν οὖν τοῦτο λέγομεν ὡς ἐκ τοῦ ἀμορφώτου χαλκοῦ κατὰ τὴν ἀνδριάντος ἀμορφίαν γίνεται ὁ ἀνδριάς, καὶ ἐκ τῶν ἀσχηματίστων ξύλων κατὰ τοδὶ τὸ σχῆμα γίνεται ἡ ναῦς· εἰ γὰρ καὶ τῇ λέξει μὴ φανερῶς, τῇ δυνάμει γε τοῦτο σημαίνομεν· διόπερ ἐξ ἀρχῆς διαιρούμενος ἔφην τὸ ἐκ τοῦδε καὶ ἐπὶ τοῦ συνθέτου λέγεσθαι ὡς ἐκ τοῦ ἀγραμμάτου ἀνθρώπου τὸν γραμματικόν, ἀλλ' ἐπί τινων μὲν καὶ διαρρήδην ὡς ἐπὶ τούτου, ἐπ' ἐνίων δὲ τῇ δυνάμει ὡς ἐκ τοῦ χαλκοῦ τὸν ἀνδριάντα. καὶ τοίνυν ὅταν λέγωμεν ἐξ ὕδατος ἀὴρ γίνεται, καὶ τότε λέγομεν τὸ ἐκ τοῦδε ὡς ἐκ τοῦ συνθέτου· σύνθετον γάρ ἐστι τὸ ὕδωρ ἔκ τε τοῦ ὑπομένοντος καὶ τοῦ ἀντικειμένου τῷ εἴδει τῷ ἐνυπάρχοντι μέλλοντος ἀέρος γενήσεσθαι· διὰ τοῦτο γὰρ οὐδὲ ὑπομενόντων (fol. 21.) αὐτῶν ἅπερ ἦν, γίγνεται τὰ ἐξ αὐτῶν· οὐδὲ γὰρ τὰ σύνθετα ἐλέγομεν ὑπομένειν ὅλα, οἷον τὸν ἄμουσον ἄνθρωπον ὅταν γίνηται μουσικός· ἀλλ' ταῦτα μὲν ἴσως πέρα τῶν ἱκανῶν.

Δεῖται δὲ πάντως τῆς στερήσεως ἡ ὕλη πρὸς τὰς γενέσεις· μὴ γὰρ οὔσης ταύτης περὶ αὐτὴν πῶς ἂν

5 τὸ om A   10 αὐτοῦ A   21 τότε λέγομεν] τὸ λεγόμενον V   23 ἐνυπάρξαντι A   25 γίνεσθαι A

*τι γένοιτο ἐξ αὐτῆς; ἤδη γὰρ ἂν φθάνοι εἶναι ὃ γίνεται· δεῖται μέντοι ὡς συμβεβηκυίας ἄλλης φύσεως ἄλλῃ φύσει, εἰ καὶ μὴ καθ' ὑπόστασιν, κατὰ γοῦν τὸν λόγον· πάλιν γὰρ εἴπερ ἐν τῇ οἰκείᾳ οὐσίᾳ τὴν στέρησιν ἔχει συνειλημμένην, φθείροιτο ἂν ταῖς εἰς τὸ εἶδος μεταβολαῖς, εἴγε τὸ εἶναι αὐτῆς ἐν τῷ ἐστερῆσθαι. καίτοι λέγομεν τῆς ὕλης τὸ εἶναι ἐν τῷ δυνάμει, ἡ δὲ δύναμις δηλονότι μετὰ τῆς στερήσεως· οὐδὲ γὰρ ἔτι δύναμις εἴη μὴ σὺν αὐτῇ πάντως καὶ τῆς στερήσεως νοουμένης. ἵνα οὖν μὴ τοῦτο διαταράττῃ, καλῶς ἔχει μικρὸν ἄνωθεν ἀναλαβεῖν. ἑκάστῳ τοίνυν τῶν ὁπωσδήποτε ὑφεστώτων τὰ μὲν ὑπάρχει καθ' αὑτὸ κρινομένῳ, τὰ δὲ παραβαλλομένῳ πρὸς ἕτερον, οἷον τῷ ξύλῳ τὸ μὲν εἶναι διπήχει καθ' αὑτό, τὸ δὲ διπλασίῳ πρὸς ἕτερον. καὶ τοίνυν τῇ ὕλῃ τὸ μὲν εἶναί τι καὶ ὑπάρχειν ὅλως καθ' αὑτό, τὸ δὲ δυνάμει εἶναι πρὸς ἕτερον· οὐ γὰρ δὴ καὶ πρὸς τὸ ὕλῃ εἶναι τὸ δυνάμει ἔχει· εἴη γὰρ ἂν οὕτως τὸ δυνάμει τὸ ὕλῃ εἶναι, ἀλλὰ δῆλον ὡς οὖσά τι πρῶτον αὐτὴ καὶ ὑπάρχουσα ἐνεργείᾳ οὕτως ὕλη τινῶν ἐστι καὶ τὸ δυνάμει πρὸς ταῦτα ἔχει. τὸ μὲν οὖν ὄνομα τῆς ὕλης πάντως τὸ δυνάμει συνεφέλκεται, καὶ πρὸς ἃ λέγεται ὕλη, πρὸς ταῦτά ἐστι καὶ δυνάμει, οὐ μὴν τό γε εἶναι αὐτῆς τοιοῦτόν ἐστιν ὡς μόνον πρὸς ἕτερα εἶναι. ἀλλὰ χαλεπὸν μὲν ὡς ἀληθῶς καταληφθῆναι τῆς σχέσεως ταύτης ἀπογυμνουμένην, φανείη δ' ἂν προσκαρτεροῦντι. πάλιν οὖν ἀναληπτέον. δυοῖν μὲν γὰρ ὀνομάτων περὶ αὐτῆς λεγομένων ὑποκειμένου τε καὶ ὕλης τὸ μὲν ἔοικεν ἅπτεσθαι μᾶλλον αὐτῆς ἐκείνου τοῦ εἶναι ὃ κέκτηται καθ'*

---

6 αὐτῷ A  9 εἴη] deest ἂν  21 τὸ δυνάμει] ὕλῃ V

ἑαυτήν, τὸ δὲ ᾗ πρὸς ἕτερα ἔχει· ἀμφότερα μὲν γὰρ τῶν πρὸς ἄλληλα· καὶ γὰρ ἡ ὕλη τινός, καὶ τὸ ὑποκείμενον τινί, ἀλλ' ὅταν μὲν ὡς ὕλη τινὸς λαμβάνηται, τότε ἔσται μετὰ στερήσεως καὶ τοῦ δυνάμει· λέγεται γὰρ ὕλη τοῦ μήπω γεγενημένου· ὅταν δὲ ὡς ὑποκείμενον, οὐ πάντως μετὰ στερήσεως· ὑποκεῖσθαι μὲν γὰρ οὐ κωλύεται καὶ τῷ ἐνυπάρχοντι εἴδει, ὕλη δὲ πῶς ἂν εἴη τούτου λοιπὸν πρὸς ὃ μηκέτι ἔχει τὸ δυνάμει; ὥστε καὶ τὸν χαλκὸν μέχρι μὲν ἀσχημάτιστός ἐστιν, εἴποις ἂν ὕλην εἶναι τοῦ ἀνδριάντος· ὅταν δὲ διορισθῇ τῇ μορφῇ, οὐκέθ' ὕλην ἀλλ' ὑποκείμενον. σημεῖον δέ, ὅτι κατὰ τὸ ὑποκείμενον μένων ὁ χαλκὸς αὐτὸς οὑτοσὶ ἄλλοτε ἄλλως γίγνεται ὕλη· ὅπερ γάρ φησιν ὁ Βοηθὸς ἡ ὕλη ἐν τοῖς ποιοῖς οὐκέτι ὕλη διαμένει· ἄμορφος γὰρ καθ' αὑτὴν καὶ ἀνείδεος εἴγε ὕλη, ἀλλ' εἰς ὑποκείμενον ἤδη περιίσταται· μετ' εἴδους γὰρ τοῦτο καὶ πέρατος καὶ ὑποκείμενον εἴδει καὶ πέρατι. ἡ μὲν γὰρ ὕλη πρὸς τὸ ἐσόμενον ὠνομάσθαι φαίνεται, τὸ δὲ ὑποκείμενον πρὸς τὸ ἤδη ἐνόν, καὶ εἴη ἂν τὸ πρᾶγμα τοῦτο ὃ λέγομεν ὕλην, ὑποκείμενόν τι ᾧ συμβέβηκεν ἐν τῇ φύσει τὸ δεκτικὸν εἶναι τῶν ἐναντίων· ὥσπερ γὰρ τοῦ εἴδους, οὕτω καὶ τῆς στερήσεώς ἐστι δεκτική. πῶς οὖν ἄποιος [καὶ] καθ' αὑτήν; ὅτι νὴ Δία μὴ στέρησιν ἐνταῦθα ποιότητος σημαίνει τὸ ἄποιον, ἀλλ' ἀπόφασιν ὡς τὸ ἀγράμματον, ὡς τὸ ἄμουσον ἀντὶ τοῦ μὴ γραμματικοῦ καὶ μὴ μουσικοῦ. εἰ δὲ ἐσήμαινε στέρησιν, ποιότητα ἂν αὐτῇ προσετίθει τὸ ἄποιον· καὶ γὰρ ἡ στέρησις οἱονεὶ ποιότης. ἐφ' ὧν γοῦν ἀληθὴς ἡ ἀπόφασις, ἡ

10 δὲ] τὸ A 11 ὕλη V 13 ἄλλος (ω suprascr.) V. ἄλλον A 14 Βοηθὸς] vid. Simplic. fol. 46. 24 καὶ om V

στέρησις οὐ συνέπεται· οὐ γὰρ ἐφ' ὧν τὸ μὴ δίκαιον, καὶ τὸ ἄδικον, οὐδὲ ἐφ' ὧν τὸ μὴ κομῶν, καὶ τὸ φαλακρόν. οὐδαμῶς οὖν τὸ εἶναι τῆς ὕλης ἐν τῷ ἐστερῆσθαι, ἀλλ' ὥσπερ ὁ κηρὸς δυνάμενος λέων γενέσθαι· οὐδὲ γὰρ ἂν ἦν ἔτι κηρὸς ἡνίκα λέων ἐγίγνετο, οὕτω καὶ τὸ πρῶτον ὑποκείμενον δυνάμενον ἁπάσας δέχεσθαι τὰς μορφὰς ἐν στερήσει μέν ἐστιν ἁπασῶν, οὐ μὴν καθὸ ὑποκείμενόν ἐστι, κατὰ τοῦτ' ἔστιν ἐν στερήσει· οὐδὲ γὰρ ἂν ἦν ὑποκείμενον ἔτι, εἰ στερήσει τινὰ μορφὴν ἀφωρίζετο, ἀλλὰ καθὸ συμβέβηκεν αὐτῷ ὄντι τινὶ καθ' αὑτὸ καὶ πρὸς ἄλλα ἄττα εὐφυῶς ἔχειν. διὰ τοῦτο καὶ ὁρισθεῖσα ὑπό τινος εἴδους ὑποκείμενον μὲν οὐδὲν κωλύεται εἶναι, ὕλη δὲ οὐκ ἔστιν ἔτι τούτου. τοῦτο μὲν οὖν καὶ εἰς ὕστερον ἐπισκεψόμεθα, ἐπανιτέον δ' ὅθενπερ ἐξέβημεν. πολλαχῶς τοίνυν τοῦ γίγνεσθαι λεγομένου καὶ τῶν μὲν οὐ γίγνεσθαι ἁπλῶς λεγομένων ἀλλὰ τόδε τι γίγνεσθαι, ἁπλῶς δὲ γίγνεσθαι λεγομένων τῶν οὐσιῶν· τὸ μὲν γὰρ λευκὸν οὐχ ἁπλῶς γίγνεσθαι ἀλλὰ τόδε τι πάντως· σῶμα γὰρ γίνεται λευκόν, καὶ διπηχυαῖον γίγνεται οὐχ ἁπλῶς ἀλλὰ τουτὶ τὸ δένδρον· φυτὸν μέντοι γίνεται ἁπλῶς, καὶ ἄνθρωπος γίνεται ἁπλῶς· κατὰ τοσούτους οὖν τρόπους τοῦ γίνεσθαι λεγομένου ἐπὶ μὲν τῶν συμβεβηκότων φανερὸν τὸ ὑποκείμενον· ἢ γὰρ ζῶον ἢ φυτὸν ἢ σῶμα ὅλως ἐφ' οὗ τὸ ποιὸν ἢ τὸ ποσὸν ἢ τὸ πρὸς ἕτερον γίγνεται, ἐπὶ δὲ τῶν οὐσιῶν τῶν γίγνεσθαι ἁπλῶς λεγομένων οἰήσεταί τις ἴσως μηδενὸς δεῖσθαι ὑποκειμένου· μὴ γὰρ γίγνεσθαι τὴν γιγνομένην οὐσίαν, αὕτη δέ ἐστιν ἡ πρώτη καὶ αἰσθητὴ ἡ μήτε ἐν ὑπο-

---

5 ἂν om A   10 ἀφωρίζητο V   21 ἀλλὰ delendum

κειμένῳ μήτε καθ᾽ ὑποκειμένου. ὡς οὖν καὶ αὗται δέονταί τινος ὑποκειμένου πρὸς τὰς γενέσεις, εἰ καθολικώτερον περὶ πάντων τῶν γιγνομένων ἐπισκεψώμεθα, γένοιτο ἂν φανερόν· εὑρήσομεν γὰρ καὶ ἑκάστην τῶν λοιπῶν οὐσιῶν ἔκ τινος γιγνομένην ὑποκειμένου, ὥσπερ τὰ ζῶα καὶ τὰ φυτὰ ἐκ τοῦ σπέρματος. καθόλου τοίνυν ἅπαντα τὰ γινόμενα ἢ μετασχηματίσει γίνεται μόνῃ ὡς ἀνδριάς· οὐδὲν γὰρ ἕτερον ἐξαλλάττεται ἐν τῷ χαλκῷ πλὴν τοῦ σχήματος καὶ τῆς θέσεως τῶν μερῶν, ἢ προσθέσει ὡς τὰ αὐξανόμενα, ἢ ἀφαιρέσει ὡς ἐκ λίθου ὁ Ἑρμῆς, ἢ συνθέσει ὡς οἰκία, (fol. 21b.) ἢ ἀλλοιώσει τῇ τε κατά τινα ποιότητα παθητικὴν ἥ τις ἰδίως ἀλλοίωσις, καὶ τῇ κατ᾽ οὐσίαν ἥ τις κυρίως μεταβολή· αὕτη δέ ἐστιν ἡ κατὰ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι ὑπαλλαγή. ταῦτα δὲ ἅπαντα ἐφ᾽ ὑποκειμένου τινός, οὐ μόνον τὰ ἄλλα, ἀλλὰ καὶ ἐφ᾽ ὧν ἡ κυρίως μεταβολή· εἶναι γὰρ δεῖ πάντως καὶ ὑποκεῖσθαι περὶ ὃ γίνεται σωζόμενον ἡ μεταβολή, ὡς περὶ ὃ γίνεται ἡ πρόσθεσις, περὶ ὃ γίνεται ἡ ἀφαίρεσις, περὶ ὃ γίνεται ἡ σύνθεσις, ὥστε δῆλον ἐκ τῶν εἰρημένων, ὅτι τὸ γινόμενον ἅπαν ἀεὶ σύνθετόν ἐστιν ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς, ὥσπερ γε καὶ ἐξ οὗ ἐγίγνετο, καὶ τοῦτο σύνθετον ἦν ἔκ τε τοῦ ὑποκειμένου καὶ τοῦ ἀντικειμένου τῷ ἐσομένῳ· λέγω δὲ ἀντικεῖσθαι μὲν τὴν ἀμουσίαν, ὑποκεῖσθαι δὲ τὸν ἄνθρωπον, καὶ τὴν μὲν ἀσχημοσύνην καὶ τὴν ἀμορφίαν καὶ τὴν ἀταξίαν ἀντικείμενον, ὑποκείμενον δὲ τὸν χαλκὸν ἢ τὸν λίθον ἢ τὸν χρυσόν. φανερὸν δὲ ὡς εἴπερ τῶν φύσει ὄντων ταῦτά εἰσιν ἀρχαὶ καὶ

---

3 scrib. ἐπισκεψαίμεθα 10 αὐξόμενα A 19 πρόθεσις A 23 τὲ τοῦ] τε A 29 ὡς] οὖν V ταῦτα delendum

τῶν ὄντων ἐξετράπησαν τῆς ἀληθείας οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ ἀπειρίας τοῦ διαλέγεσθαι, ὥστε φασὶν οὔτε γίγνεσθαι τῶν ὄντων οὐδέν, οὔτε φθείρεσθαι διὰ τὸ ἀναγκαῖον μὲν ἀεὶ γίγνεσθαι τὸ γιγνόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος, ἀλλ᾽ οὔτε ἐξ ὄντος· εἶναι γὰρ ἤδη, οὔτε ἐκ μὴ ὄντος· ἀμήχανον γάρ· δεῖ γὰρ ὑποκεῖσθαί τι πάντως, ὅθεν ἀναιροῦντες τὴν γένεσιν ἐποίουν ἐκ προϋπαρχόντων τὰ ὄντα συγκρίσει καὶ θέσει καὶ ἐκκρίσει καὶ τοιαύταις τισὶ μηχαναῖς προσχρώμενοι, τὸ δὲ ἐφεξῆς τούτῳ συντιθέντες οὐδὲ εἶναι πολλὰ ἔφασαν, ἀλλὰ ἕν· εἰ γὰρ πολλά, διαφέροντα ἔσται, τὰ δὲ τοῦ ὄντος διαφέροντα μὴ εἶναι. ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν δόξαν διὰ τὰ εἰρημένα, ἡμεῖς δὲ λύομεν τὴν ἀπορίαν κατὰ δύο τρόπους, ὧν ὁ μὲν πρότερος οὗτος. τὸ ἐξ ὄντος ἢ μὴ ὄντος γίνεσθαι, ἢ τὸ μὴ ὂν ἢ τὸ ὂν γίνεσθαι ἢ πάσχειν τι ἢ ποιεῖν, ἵνα καθολικώτερον εἴπω, (λάμβανε δέ μοι τὸ λεγόμενον οὐκ ἐπὶ τῆς κυρίως γενέσεως μόνον, ὡς ὅταν λέγωμεν ἄνθρωπον γίγνεσθαι, ἀλλὰ καὶ ἐπὶ πάσης ἁπλῶς, ὡς καὶ ὅταν λέγωμεν λευκὸν γίγνεσθαι ἢ μουσικόν) ταῦτα δὴ πάντα λέγεται διχῶς καὶ δύο σημαίνει, καὶ ἵνα σοι γένηται σαφέστερον τοῦτο, ἐπὶ παραδείγματος αὐτὸ πρῶτον κατάμαθε· λέγομεν τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν, τοῦτο δὲ διχῶς λέγομεν, ἢ καθ᾽ αὑτό, τουτέστι καθό ἐστιν ἰατρός, ἢ κατὰ συμβεβηκός. ὅταν μὲν θεραπεύῃ, καθ᾽ αὑτὸ ποιεῖ καθὸ ἰατρός, ὅταν δὲ οἰκοδομῇ, οὐ καθὸ ἰατρός, ἀλλ᾽ ὅτι τῷ ἰατρῷ συμβέβηκεν fol. 22. οἰκοδομικῷ εἶναι· πάλιν ἂν μὲν γένηται ὑπὸ ἀμελείας

4 ἀεὶ] aut εἶναι, aut ἀεὶ εἶναι; illud Aristoteles. 12 τὰ] τῷ A 27 καὶ καθὸ A 29 fort. οἰκοδόμῳ

ἀνίατρος, πάσχειν αὐτόν φαμεν καθὸ ἰατρός, ἐὰν δὲ γίγνηται λευκός, οὐ καθὸ ἰατρός, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι ἐκ μέλανος, ὃ συμβεβήκει αὐτῷ. καὶ τοίνυν τὸ ἐκ μὴ ὄντος γίγνεσθαι ἢ τὸ μὴ ὂν γίγνεσθαι δύο σημαίνει, ἓν μὲν ὡς ἐνυπάρχοντος τοῦ μὴ ὄντος καὶ δεχομένου τὸ εἶναι, ὅπερ ἐστὶν ἀδύνατον, καὶ τοῦτό ἐστιν ὃ σημαίνει τὸ ἐκ μὴ ὄντος γίγνεσθαι ᾗ μὴ ὄν. τοῦτο δὲ ᾤοντο δηλοῦσθαι μόνον ἐκ τῆς φωνῆς ταύτης οἱ παλαιοί, καὶ διὰ τοῦτο ἀνῄρουν γένεσιν. ἕτερον δέ, ὡς ἐξισταμένου τοῦ μὴ ὄντος καὶ ἐκχωροῦντος τῷ ἐσομένῳ, ὡς ἐκ τοῦ ἀμούσου τὸ μουσικὸν καὶ τοῦτό ἐστι κατὰ συμβεβηκὸς ἐκ μὴ ὄντος· τὸ γὰρ οὕτως λεγόμενον ἔκ τινος γίγνεσθαι ὡς μὴ ὑπομένοντος, κατὰ συμβεβηκὸς ἐκ μὴ ὄντος γίγνεται. οὕτω φαμὲν ἐκ μὴ ὄντος ἡμεῖς γίγνεσθαι τὰ γιγνόμενα, ἐπειδὴ ἐκ τῆς στερήσεως ἥ ἐστι καθ' αὑτὴν μὴ ὄν, ἐκχωρούσης καὶ ἐξισταμένης γίγνεται· ἢ καὶ οὕτως κατὰ συμβεβηκὸς ἐκ μὴ ὄντος, ἐπειδὴ ἐκ τῆς ὕλης ᾗ συμβέβηκεν τὸ μὴ ὂν ἡ στέρησις. οὕτω δὲ δύναται καὶ ἐνυπάρχειν τὸ μὴ ὄν, ἀλλ' οὐ τὸ καθ' αὑτὸ μὴ ὄν, ἀλλ' ᾧ τοῦτο συμβέβηκεν, τοῦτο δ' ἐστὶν ἡ ὕλη. ὡσαύτως δὲ καὶ τὸ ἐξ ὄντος γίγνεσθαι καὶ τὸ ὂν γίγνεσθαι ἁπλῶς μὲν ἀμήχανον καὶ καθὸ ὄν· ἤδη γάρ ἐστιν, κατὰ συμβεβηκὸς δὲ ἐξ ὄντος οὐδὲν ἀδύνατον· ἵνα γὰρ μᾶλλον μάθῃς ὃ λέγω, μεταβῶμεν εἴς τι παράδειγμα· ὑποκείσθω γὰρ κύων εἰς ἵππον μεταβάλλειν ἢ ἄλλο ὁτιοῦν ζῷον εἰς ὁτιοῦν ζῷον, ὃ δὴ καὶ γίνεται ἐπ' ἐνίων. ὡς οὖν ἐπὶ τούτων ὁ λέγων ὅτι ζῷον ἐκ ζῴου γίνεται, οὐ τοῦτο λέγει, ὅτι ᾗ ζῷον· οὐ γὰρ τὸ ζῷον καθὸ ζῷον

---

6 τὸ] ὃ V 12 ἐκ] ἐκ τοῦ V — in Arist. p. 191 b. 9 recte E ἐκ μὴ ὄντος pro μὴ ἐξ ὄντος. 14 γίγνεται] γίγνεσθαι A 25 γὰρ] τοίνυν V 27 δὴ] δὲ A

μεταβάλλει εἰς ζῷον, ἂν μεταβάλλῃ εἰς ἄλλο, οὐδὲ τὸ γινόμενον ζῷον ἂν γίγνοιτο, καθὸ ζῷον ἐκ ζώου ἂν γένοιτο, ἀλλὰ τὸ λεγόμενόν ἐστιν ὅτι ἔκ τινος ᾧ συμβέβηκεν ζώῳ εἶναι, ἄλλο γίνεται ᾧ καὶ τῷ ζώῳ εἶναι ὑπάρχει· οὕτως καὶ εἰ γίνοιτο ὕδωρ ἐξ ἀέρος, τὸ ὂν ἐξ ὄντος γίγνεσθαι λέγεται, οὐχ ὅτι τὸ ὂν ἤδη γίνεται, οὐδὲ ὅτι τὸ γινόμενόν ἐστιν ἤδη, ἀλλ' ὅτι ἔκ τινος οὗ τὸ ὂν κατηγορεῖται, ἕτερον γίνεται ᾧ καὶ αὐτῷ τὸ ὂν ὑπάρχει. ὥσπερ δὲ εἰ γίγνοιτο ζῷον, καθὸ ζῷόν ἐστιν, οὐκ ἐκ ζώου ἂν γίγνοιτο, ἀλλὰ ἐκ μὴ ζώου οἷον σπέρματος, οὕτως εἰ γίγνοιτο ἁπλῶς ὄν, ἐξ οὐδενὸς ἂν τῶν ὄντων γίγνοιτο, ἀλλ' ἐκ τοῦ πάντῃ μὴ ὄντος, ὃ ἐπειδὴ παντελῶς ἀμήχανον, οὐδ' ἂν γίγνοιτο τὸ ἁπλῶς ὄν. καὶ ἐξ ὄντος οὖν καὶ μὴ ὄντος ἡ γένεσις, καὶ τοῦτο οὐκ ἔστιν ἀντίφασις· οὐ γὰρ κατὰ ταὐτό, ἀλλ' ἐξ ὄντος μέν, ἐπειδὴ ἕτερόν τί ἐστιν, ἐκ μὴ ὄντος δέ, ἐπειδὴ τοῦτο οὐκ ἔστιν ὃ γίνεται, καὶ ἁπλῶς εἰπεῖν ἐκ τὶ μὲν ὄντος ὃ οὐ γίνεται, τὶ δὲ μὴ ὄντος ὃ γίνεται, ὥστε ἡ στέρησις καὶ ἡ τοιαύτη φύσις αὐτῆς τηρεῖ τὴν γένεσιν, οὔτε τοῦ ὄντος ᾗ ὂν γινομένου, διότι συνυπάρχει τῇ ὕλῃ, οὔτε τοῦ μὴ ὄντος ᾗ μὴ ὄν, διότι οὐκ ἐνυπάρχει τῇ ὕλῃ. εἷς μὲν δὴ τρόπος οὗτος τῆς λύσεως, ἄλλος δὲ ἐκ τοῦ δυνάμει καὶ ἐνεργείᾳ. ἐκ γὰρ τῆς ὕλης γίνεται τὰ γιγνόμενα ἐκ τοῦ δυνάμει μὲν ὄντος, ἐνεργείᾳ δὲ μὴ ὄντος, καὶ ταύτης δὲ τῆς λύσεως ἡ τῆς στερήσεως φύσις αἰτία· αὕτη γάρ ἐστιν ἡ ποιοῦσα τὴν ὕλην δυνάμει μὲν εἶναι, ἐνεργείᾳ δὲ μή. οὔκουν πάντῃ ἀπόβλητος ἡ στέρησις πρὸς τὰς γενέσεις, οὐδὲ ἐν

---

1 ἄλλο] ἄλλα V 3 ἂν γένοιτο delendum 9 αὐτῷ] αὐτὸ libri 11 σπέρματα V 13 ἐπειδὴ] δὴ V 16 κατ' αὐτὸ A 22 οὐκ ἐνυπάρχει] συνυπάρχει V

ἴσῃ χώρᾳ τοῖς ἄλλοις αἰτίοις τοῖς κατὰ συμβεβηκὸς λεγομένοις, ὡς τὸ λευκὸν ἢ μέλαν, τὰ τῷ ἀνθρώπῳ συμβεβηκότα τῷ γινομένῳ μουσικῷ· τὰ μὲν γὰρ οὐδὲ ὅλως συντελεῖ τι πρὸς τὰ γινόμενα, ἡ δὲ στέρησις τὸ ὅλον τοῦτο κατὰ συμβεβηκὸς αἰτία καὶ ἀρχή· ἀδύνατον γὰρ γενέσθαι μὴ προϋπάρξαντος ἐν τῷ ὑποκειμένῳ τοῦ ἐναντίου.

Ὥστε μεμπτέον οὐκ ἀπεικότως τοὺς ταύτην παριδόντας τὴν φύσιν. ὅσοι μὲν τοίνυν ἐνεργείᾳ ποιοῦσιν εἶναι τὸ ὑποκείμενον καὶ τὴν ὕλην, εἴτε πῦρ εἴτε ἀέρα εἴτε ἄλλο τι τῶν σωμάτων, οὐχ ἥπτοντο οὗτοι τῆς στερήσεως· Πλάτων δὲ τὴν ὕλην μηδὲν τῶν ὄντων εἶναι εἰπὼν ἐπέβαλέ πως καὶ τῇ στερήσει, ἀλλ' οὐχ ἱκανῶς. συμβαίνει γὰρ αὐτῷ ποιεῖν τὰς γενέσεις ἐκ τοῦ μὴ ὄντος ἢ μὴ ὄν· καθὸ γὰρ ἐπαινεῖ Παρμενίδην ἓν εἶναι τὸ ὂν λέγοντα καὶ τὸ παρὰ τὸ ὂν οὐκ ὄν, κατὰ τοῦτο ἂν ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ποιοῖτο τὰς γενέσεις· οὐ γὰρ οἷόν τε ἑνὸς ὄντος τοῦ ὄντος, καὶ τοῦ παρὰ τοῦτο μὴ ὄντος οὐ πῇ μὴ ὄντος, οὐδὲ κατὰ συμβεβηκὸς μὴ ὄντος, ἀλλ' ἁπλῶς μὴ ὄντος, ὡς ᾤετο Παρμενίδης, σώζεσθαι τὴν τῆς ὕλης φύσιν. ἣ πῇ μέν ἐστιν πῇ δὲ οὔ, καὶ δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δὲ οὔ. εἰ δὲ ἐκ μὲν τοῦ ὄντος τοῦ ἑνὸς ὃ μόνον ἐστίν, οὐδὲν ἂν γένοιτο· ἀμετάβλητον γὰρ ἐκεῖνο, δεῖ δὲ εἴ τι γίνεται, ἐξ ἑτέρου τινὸς γίγνεσθαι, πᾶν δὲ τὸ παρ' ἐκεῖνο τὸ ὂν οὐκ ὄν, παντελῶς ὁ τὴν μὲν δόξαν ταύτην ἀποδεχόμενος, γένεσιν δὲ εἶναι διδοὺς ἐκ τοῦ μὴ ὄντος αὐτὴν παράγει,

---

2 τῶν ἀνθρώπων V 6 ὑπάρξαντος V 9 ἐπ' ἐνεργείᾳ A 18 ποιεῖται V. nonne ποιοῖ? 19 τούτου V οὐ] ὡς γρ V

κἂν διαρρήδην τοῦτο μὴ λέγῃ. ἀλλ' οὐδὲ ἐκεῖνο ὀρθῶς, ὅτι μὴ χωρίζει κατὰ τὸν λόγον τὴν ὕλην τῆς στερήσεως, ἀλλ' ἐπειδὴ τῷ ἀριθμῷ ταὐτόν εἰσιν, οἴεται ὁμοίως ἔχειν αὐτὰς καὶ τῷ λόγῳ καὶ τῇ δυνάμει τῆς φύσεως. ἡμεῖς μὲν γὰρ ὕλην καὶ στέρησιν ἕτερον εἶναί φαμεν, καὶ τούτων τὴν ὕλην κατὰ συμβεβηκὸς μὴ ὄν, ὅτι αὐτῇ συμβέβηκεν ἡ στέρησις τῇ οὔσῃ πως τὸ πάντῃ μὴ ὄν, καὶ αὐτὴν μὲν ἐγγὺς τοῦ ὄντος εἶναι· ἐγγὺς γάρ ἐστι τοῦ συνθέτου καί πως ἤδη καὶ μέρος αὐτοῦ, τὴν δὲ ἀπουσίαν ἐκείνου, καὶ οὕτως οὐκ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἡμῖν αἱ γενέσεις, ἀλλ' ἐκ τοῦ κατὰ συμβεβηκὸς μὴ ὄντος καὶ δυνάμει ὄντος· οἱ δὲ τὸ μέγα καὶ τὸ μικρὸν λέγοντες, εἴτε ἓν σημαίνουσιν τοῖς ὀνόμασιν, εἴτε δύο, τῆς ὕλης ὅμως ἀμφότερα κατηγοροῦσιν. ἐκεῖνοι μὲν οὖν οὐ πράγματα τρία λέγουσιν τὰς ἀρχὰς ἀλλ' ὀνόματα· τὸ γὰρ μέγα καὶ τὸ μικρὸν οὐ τὸ μὲν αὐτοῖς τὴν ὕλην σημαίνει, τὸ δὲ τὴν στέρησιν, ἀλλ' ἄμφω τὴν ὕλην, τὴν δὲ στέρησιν παρεώρων, καὶ οὐ χωρίζουσι τῷ λόγῳ· ἡμεῖς δὲ πάμπολυ ταῦτα διαφέρειν φαμέν· ἡ μὲν γὰρ ὕλη
fol. 22b. μένουσα συναιτία τῇ μορφῇ τῶν γινομένων ἐστὶν ὥσπερ μήτηρ, ἡ δὲ ἑτέρα μοῖρα τῆς ἐναντιώσεως, λέγω δὲ τὴν στέρησιν, πολλάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν οὐδὲ εἶναι τὸ παράπαν· φθαρτικὴ γὰρ τοῦ εἶναί ἐστι καὶ τοῦ εἴδους ὃ ἐστιν ἑκάστῳ τὸ εὖ καὶ τὸ ἀγαθόν. καίτοι θαυμαστὸν μὲν εἰ ἔστι φθείρουσα τὸ εἶναι, θαυμαστὸν δὲ εἰ μή ἐστι ποιοῦσα τὸ γίγνεσθαι· οὐ γὰρ ἂν γίγνοιτό τι μὴ καὶ φθειρομένου τινός, ἀλλ' ἦν ἅπαντα ἀΐδια.

---

8 αὐτὴν] αὐτὴ V αὕτη A  23 τῷ om A  24 ἐνατενίζοντι A  29 καὶ om A

Τὰ κακὰ οὖν ἐκ ταύτης καὶ διὰ ταύτην· ἡ γὰρ ὕλη τῷ τῆς στερήσεως εἶναι δεκτικὴ καὶ τὸ δυνάμει ἔχειν ἀσθενεστέρα ἐστὶν ἢ ὥστε κατέχειν ἀεὶ τὰς μορφὰς ὧν μεταλαμβάνει. πόθεν οὖν μεταλαμβάνει; ὅτι ὀρέγεται τοῦ θείου καὶ ἐφίεται τοῦ ἀγαθοῦ, λέγω δὲ ἀγαθόν τε καὶ θεῖον τὸ πρῶτον εἶδος, τὸ πρῶτον αἴτιον, πρὸς ὃ πάντα νένευκεν ᾧ σπεύδει πάντα ὁμοιωθῆναι καθ' ὅσον δύναται, δύναται δὲ ὡς πέφυκεν ἕκαστον, ἡ δὲ ἔφεσις αὕτη πῶς ἐν τῇ ὕλῃ; ἢ τοῦτό ἐστιν ἀληθινὴ ἡ πρόνοια ὄρεξιν ἐνυπάρχειν τοῦ καλοῦ τῷ αἰσχρῷ καὶ τῷ ἐνδεεῖ τοῦ αὐτάρκους, τούτῳ δὲ τῷ εἴδει τῷ πρώτῳ καὶ ἀΰλῳ καὶ χωριστῷ καὶ τοῖς παρὰ τούτου χορηγουμένοις τοῖς ἐνύλοις ἐναντίον μέν ἐστιν ἡ στέρησις, ἡ δὲ ὕλη νένευκεν ἐπ' αὐτὸ καὶ ὀρέγεται; εἰ δὲ ἔχοι τὴν στέρησιν ἐν τῇ φύσει, τῆς ἑαυτῆς φθορᾶς ἂν ἐφίοιτο· φθορὰ γὰρ τοῦ ἐναντίου ἡ παρουσία τοῦ ἐναντίου· εἰ γὰρ δὴ οὐκ ἄλλο τι ἡ στέρησις, ἀλλὰ ταὐτὸν ἀκριβῶς τῇ ὕλῃ, πῶς σῴζοιτο ἂν ἐν τῷ τινὸς εἴδους μεταλαμβάνειν; ὅτι φησὶ καὶ τότε ἐνυπάρχει περὶ αὐτήν· ἄλλου γὰρ ἐστέρηται πάντως ἡ ὕλη, κἂν τοῦδέ τινος μεταλαμβάνῃ, εἴπερ ἐν τῷ λόγῳ τῆς ὕλης ἡ στέρησις οὐχὶ τοῦδέ τινος ἀλλὰ πάντων ὁμοίως ἂν εἴη. φθείροιτ' ἂν οὖν κἂν τὶ μὲν ἔχῃ τῶν εἰδῶν, τὶ δὲ μή· εἰ οὖν μήτε τὸ εἶδος ἐφίεται ἑαυτοῦ· οὐδὲ γὰρ ἐπιδεὲς ἑαυτοῦ, μήτε τὸ ἐναντίον· φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία, λείπεται τὴν ὕλην εἶναι τὴν ὀρεγομένην τοῦ εἴδους, ὥσπερ ἂν εἰ θῆλυ ἄρρενος ἢ αἰσχρὸν καλοῦ· αἰσχρὸν δὲ οὐχ ὡς αἰσχρότης· οὐ γὰρ

---

10 ὄρεξις V 17 εἰ] οὐ V 25 μήτε] μὴ δὲ libri

*καθ' αὑτὴν αἰσχρόν, ἀλλὰ κατὰ συμβεβηκὸς ᾗ μετέχει τῆς στερήσεως.*

*Φθείρεται δὲ καὶ γίνεται ἡ ὕλη ἔστι μὲν ὥς, ἔστι δὲ ὡς οὔ· κατὰ συμβεβηκὸς μὲν γὰρ φθείρεται, ἐπειδὴ τὸ συμβεβηκὸς αὐτῇ φθείρεται καθ' αὑτό, τοῦτο δέ ἐστιν ἡ στέρησις· φθείρεται οὖν ἐπειδὴ τὸ ἐν αὐτῇ φθείρεται, ὡς τὸν ἀμφορέα φθείρεσθαί φαμεν, ὅταν ὁ ἐν αὐτῷ οἶνος φθαρῇ, κατὰ δὲ τὴν οἰκείαν φύσιν οὐ φθείρεται· οὐδέποτε γὰρ ἀπόλλυσι τὸ δυνάμει, ἀλλ' ἄφθαρτος καὶ ἀγέννητος. εἴτε γὰρ γίγνεται ὑποκεῖσθαί τι δεῖ πρῶτον ἐξ οὗ ἐνυπάρχοντος γίνεται, τοῦτο δέ ἐστιν αὐτή, ὥστε πρὶν γενέσθαι ἔστιν· εἴτε φθείρεται, εἰς τοῦτο ἀφίξεται ἔσχατον, ὥστε ἐφθαρμένη ἐστὶν πρὶν φθαρῆναι. καὶ περὶ μὲν ὕλης ἀρκείτω ταῦτα, ὅτι ἄφθαρτος, ὅτι ἀγέννητος, ὅτι ἕτερον τῆς στερήσεως, ὅτι πρῶτον ὑποκείμενον ἐξ οὗ πρῶτον γίνεται ἕκαστον ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός, τοῦτο δὲ ὃ προστεθείκαμεν πρὸς ἀντιδιαστολὴν τῆς στερήσεως· γίνεται γὰρ καὶ ἐκ τῆς στερήσεώς τι, ἀλλὰ κατὰ συμβεβηκός. περὶ δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς πότερον μία ἢ πολλαί, καὶ τίνες εἰσίν, οὐκέτι φυσικοῦ διορίσαι, ἀλλὰ τῆς πρώτης φιλοσοφίας, περὶ δὲ τῶν φυσικῶν καὶ φθαρτῶν εἰδῶν ἃ μὴ κυρίως ἀρχαί, ἀλλὰ τῶν ἐν γενέσει καὶ ὡς στοιχείων, ἐν τοῖς ὕστερον δεικνυμένοις ἐροῦμεν.*

---

1 scrib. *καθ' αὑτὸ*  4 *ὡς* om V  7 *ἀμφορέα*] Simplicius fol. 55 b. *οἱ δὲ ἐξηγηταὶ κατὰ συμβεβηκὸς φθείρεσθαι λέγουσι διότι τὸ ἐν αὐτῇ ὄν, ἡ στέρησις, φθείρεται, ὡς τὸν ἀμφορέα φθείρεσθαί φαμεν ὅταν ὁ ἐν αὐτῷ οἶνος φθαρῇ· καίτοι τίς ἂν εἴποι τὸν ἀμφορέα ἐφθάρθαι τοῦ οἴνου φθαρέντος;*  12 scrib. *γίνεταί τι — γενέσθαι ἔσται*  14 *ἐστὶν*] scrib. *ἔσται*  22 *καὶ τίνες*] scrib. *καὶ τίς ἢ τίνες*

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

fol. 23.

# ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

*Ἄλλην τοίνυν ἀρχὴν ποιησάμενοι τῆς παρούσης θεωρίας οἰκειοτέραν πειραθῶμεν ἀποδοῦναι, τί ποτέ ἐστιν τοῦτο ὃ καλοῦμεν φύσιν. ἔστι δὴ τῶν ὄντων τὰ μὲν διὰ φύσιν, τὰ δὲ δι' ἄλλας αἰτίας· δι' ἄλλας μὲν αἰτίας οἷον κλίνη βάθρον στρατηγία πολιτεία θησαυροῦ εὕρεσις· τούτων γὰρ τὰ μὲν διὰ τέχνην ἐστίν, τὰ δὲ διὰ τύχην, τὰ δὲ διὰ προαίρεσιν, διὰ φύσιν δέ ἐστι τά τε ζῷα καὶ τὰ τούτων μέρη· τῶν γὰρ φύσει καὶ τὰ μέρη φύσει, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν τεχνητῶν, οἰκία μὲν διὰ τέχνην, λίθοι δὲ οὐκέτι. καὶ τὰ φυτὰ διὰ φύσιν, ἔτι δὲ καὶ τὰ ἁπλᾶ τῶν σωμάτων γῆ πῦρ ὕδωρ ἀήρ. εἰ δὴ λάβοιμεν τίνι διαφέρει τὰ φύσει τῶν μὴ φύσει, τοῦτο ἂν εἴη φύσις. διαφέρει δὲ τῷ τὰ μὲν φαίνεσθαι ἐν αὑτοῖς ἀρχὴν ἔχοντα καὶ αἰτίαν κινήσεώς τε καὶ στάσεως· φανερώτατα μὲν τὰ ζῷα· καὶ γὰρ κινεῖται τόπον ἐκ τόπου καὶ αὔξεται καὶ φθίνει καὶ ἀλλοιοῦται ἐκ τῆς*

---

1 *Θεμιστίου παραφράσεως τὸ δεύτερον* V 13 *τεχνιτῶν* A 19 *φανερώτατον* A

ἐν αὑτοῖς αἰτίας· τὰ φυτὰ δὲ τὰς μὲν ἄλλας ἔχει κινήσεις, τῆς δὲ μεταβατικῆς κατὰ τόπον ἀφῄρηται, ὥσπερ γε καὶ τὰ ἁπλᾶ τῶν σωμάτων μόνην ἐξ αὑτῶν ἔχει τὴν κατὰ τόπον. οὐ μόνον δὲ κινεῖται ἀλλὰ καὶ ἵσταται διὰ τῆς ἐν αὑτοῖς αἰτίας τὰ φυσικὰ σύμπαντα σώματα ἐκτὸς τοῦ θείου· τοῦτο γὰρ κινήσεως ἀρχὴν ἔχει μόνον ἐν ἑαυτῷ, κλίνη δὲ καὶ ἱμάτιον καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν, καθ' ὅσον μὲν κλίνη λέγεται καὶ ἱμάτιον, οὐδεμίαν ἀρχὴν ἔχει μεταβολῆς ἔμφυτον· ἠρεμεῖ γὰρ ἀεὶ τὸ εἶδος τὸ ἐκ τῆς τέχνης ἐπιτεθέν, καθ' ὅσον δὲ συμβέβηκεν αὐτοῖς λιθίνοις ἢ γηΐνοις εἶναι ἢ μικτοῖς ἐκ πλειόνων στοιχείων, κατὰ τοῦτο ἂν καὶ κάτω φέροιτο ἀφεθέντα καὶ εἰς σηπεδόνα ἂν μεταβάλλοι, ὥστε εἴη ἂν ἡ φύσις ἀρχὴ καὶ αἰτία τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν οἷς ἐστίν. ἆρα οὖν φυσικὸν σῶμα ὁ ἀνδριὰς φέροιτο ἂν κάτω καὶ ἔχοι τὴν αἰτίαν ἐν ἑαυτῷ τῆς κινήσεως; ἢ οὐκ ἐν ἑαυτῷ πρώτῳ καὶ ᾗ λέγεται ἀνδριάς, ἀλλ' ἐν τῷ χαλκῷ; ἀλλ' ἡ ναῦς ἣν ὁ κυβερνήτης κινεῖ, πῶς οὐ φύσει ταύτην ἕξει τὴν κίνησιν, ὅσον γε ἐπὶ τῷ λόγῳ; ἐν αὐτῇ γάρ ἐστιν ὁ κυβερνήτης καὶ ἐν αὐτῇ πρώτῃ· οὐ γὰρ ἐν ἄλλῳ τινὶ καὶ πρὸ τῆς νεώς· οὐ γὰρ τὴν κυβερνητικὴν λέγω· αὕτη μὲν γὰρ ἐν πρώτῃ ἂν εἴη τῇ ψυχῇ, ἀλλὰ τὸν κυβερνήτην τὸν κατέχοντα τὸ πηδάλιον. ἀλλὰ ῥητέον ὡς οὐ καθ' ἑαυτὴν ἡ ναῦς ὑπὸ τοῦ κυβερνήτου κινεῖται· οὔτε γὰρ ἐν τῷ λόγῳ τῆς νεὼς ὁ κυβερνήτης, οὔτε ἡ ναῦς ἐν τῷ λόγῳ τοῦ κυβερνήτου οἵπερ ἦσαν δύο τρόποι τοῦ καθ' αὑτό. διὰ τοῦτο καὶ χωρίζεται κυβερνήτης νεώς, ἐπεὶ μὴ καθ' αὑτὸ ὑπάρχει τῇ νηΐ, ἐπεὶ καὶ ὁ νοσῶν ἰατρὸς

17 κάτω] γὰρ κάτω A  22 πρὸ τῆς] πρώτης A

καὶ ἑαυτὸν ὑγιάζων ἐν ἑαυτῷ μὲν ἔχει πρώτῳ τὴν κινοῦσαν ἀρχήν, τουτέστι τὴν τέχνην, ὑγιάζεται δὲ καὶ κινεῖται οὕτως οὐ καθ' αὑτό· οὐ γὰρ ᾗ νοσεῖ· πᾶς γὰρ ὁ νοσῶν ὑγιάζετο ἂν ὑφ' ἑαυτοῦ, ἀλλ' ᾗ συμβέβηκεν τῷ νοσοῦντι καὶ ἰατρῷ εἶναι. διὸ καὶ χωρίζεται ταῦτα ἀπ' ἀλλήλων, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων· ποιούμενα γὰρ ὀνομάζω τὰ τεχνικά· οὐδὲν γὰρ αὐτῶν ἔχει ἐν ἑαυτῷ τὰς ἀρχὰς τῆς ποιήσεως, ἀλλὰ τὰ μὲν ἐν ἄλλοις καὶ ἔξωθεν ἔχει, οἷον οἰκία καὶ τῶν ἄλλων τῶν χειροκμήτων ἕκαστον, τὰ δὲ ἐν αὑτοῖς μέν, ἀλλ' οὐκ ἐν πρώτοις οὐδὲ καθ' αὑτά, ὥσπερ εἰρήκαμεν. διὰ δὲ ταῦτα γνωριμώτερον ποιητέον τὸν ὁρισμόν, ὅτι φύσις ἐστὶν ἀρχὴ καὶ αἰτία τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ πρώτως ὑπάρχει καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. φύσις μὲν οὖν τοῦτό ἐστιν, φύσιν δὲ ἔχει ὅσα τὴν τοιαύτην ἔχει ἀρχήν, καί εἰσι πάντα ταῦτα οὐσία· σύνθετα γὰρ ἤδη ἐξ ὕλης καὶ εἴδους ἐστίν· ἡ γὰρ φύσις ἀεί τι ὑποκείμενον ἔχει καὶ ἐν ὑποκειμένῳ ἐστίν, ἐν ὑποκειμένῳ δὲ οὐχ ὡς τὰ συμβεβηκότα, ἀλλ' ὅτι ἀρχὴ ἔνυλος καὶ οὐ τῶν καθ' αὑτὰ ἀσωμάτων. κατὰ φύσιν δὲ λέγεται τά τε φύσιν ἔχοντα καὶ πρὸς τούτοις αἱ τῶν φύσιν ἐχόντων κατὰ τὴν φύσιν ἐνέργειαι, οἷον τοῦ πυρὸς ἡ ἄνω φορά· οὔτε γὰρ φύσις τοῦτο· ἡ γὰρ τῆς φορᾶς ἀρχὴ φύσις, οὐκ αὐτὴ ἡ φορά, οὔτε ἔχει φύσιν· οὐ γὰρ ὑποκείμενόν τί ἐστιν ἡ ἐνέργεια, κατὰ φύσιν δέ ἐστιν, ὥστε ἐπὶ πλεῖον τὸ κατὰ φύσιν λέγεται τοῦ φύσιν ἔχειν. λέγε- fol. 23b. ται δὲ τὸ κατὰ φύσιν καὶ φύσει, ἀλλὰ τούτου γε

1 πρώτην V 8 αὐτῶν om A 9 ποιήσεως] κινήσεως V idque sententia in Aristotele flagitat p. 192 b. 29. 10 ἔχει om A 15 πρώτῳ? 29 τοῦτο A

*ἐπ' ἔλαττον· φύσει γάρ ἐστίν τινα οὐκ ὄντα κατὰ φύσιν, ὡς τὰ ἐκ γενετῆς πηρώματα. ἔστι μὲν γὰρ καὶ ταῦτα ἔργα τῆς φύσεως, σφαλλομένης δὲ καὶ οὐχ ᾗ πέφυκεν προϊούσης. ταῦτα μὲν διωρίσθω, ὡς δ' ἔστιν ἡ φύσις, πειρᾶσθαι δεικνύναι γελοῖον· φανερὸν γὰρ ὅτι πολλὰ τοιαῦτα τῶν ὄντων ἐστίν, ἃ διὰ φύσιν ἐστὶν καὶ φύσει, καὶ ἅμα οὐδὲν ἐναργέστερόν ἐστι τούτου, διὰ δὲ ἀφανεστέρων τὸ φανερὸν ἐπιδεικνύναι οὐκ εἰδότων ἐστὶν χρείαν ἀποδείξεως, οὔτε κρίνειν τὸ δι' αὑτὸ καὶ μὴ δι' αὑτὸ γνώριμον. τοῦτο δὲ ἄν τις καὶ περὶ χρωμάτων ἀξιώσειε πηρὸς ὢν ἐκ γενετῆς, ὥστε συλλογισμῷ μαθεῖν ὅτι τὰ χρώματα ὄντα ἐστίν· ἀλλ' εἰ καὶ ἑώρα, περιττὸς ἂν ἦν ὁ συλλογισμός· νῦν δὲ ὀνομάτων ἀκούσεται μόνων, χρώματα δὲ αὐτὸν ὁ συλλογισμὸς οὐ διδάξει· οὐ γὰρ συλλογισμῷ χρώματα, ἀλλ' ὄψει κρίνεται. εἰ δή τις καὶ τὸν νοῦν πηρὸς ὢν τὰ ἐναργῆ μὴ καθορῴη, τούτῳ κἂν συλλογισμοὺς παρεχώμεθα, λόγους μὲν ἐροῦμεν, πράγματα δὲ αὐτὸν οὐ διδάξομεν. τοῦτο μὲν δὴ ἄνευ λόγου θετέον.*

*Ζητητέον δὲ ἐκεῖνο μᾶλλον, πότερον ἕν τι σημαίνει πρᾶγμα ἡ φύσις ἢ τῶν πολλαχῶς λεγομένων ἐστίν. ἔοικε δὲ ὁμωνυμία τις ἐμφαίνεσθαι τῷ ὀνόματι· λέγεται γὰρ ἕνα μὲν τρόπον ἡ ὕλη φύσις, διττὴ δὲ αὕτη, ἡ μὲν τῶν ἐπὶ μέρους καὶ τινὸς ὕλη τις ἀμόρφωτος μὲν πρὸς ἕτερον, οὐ μὴν ἁπλῶς, ὡς οἰκίας πλίνθοι, πλίνθων δὲ γῆ καὶ ὕδωρ, φυτοῦ δὲ τὰ στοιχεῖα· ἡ δὲ ἀνωτάτω καὶ ἁπλῶς ἀνείδεος οὖσα. ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος καὶ ἡ κατὰ τὸν λόγον οὐσία. τρίτη δὲ ἡ κατὰ τὴν γένεσιν λεγο-*

---

8 *ἀφανεστέρου* V 17 *καθορῴη*] *καθορῶν* libri

μένη καλεῖται φύσις, αὕτη δέ ἐστιν ἡ ἐπὶ τὸ εἶδος καὶ τὴν μορφὴν κίνησις καὶ ὁδός. ἄλλη δὲ ἡ ταύτης αἰτία τῆς κινήσεως ἐνυπάρχουσα ἑκάστῳ τῶν φύσει ὄντων, ἥτις δὴ καὶ μάλιστα φύσις λέγεται. λέγεται δὲ καὶ πᾶσα οὐσία φύσις ὅπως δήποτε συνεστῶσα, εἴτε ἁπλῆ εἴτε σύνθετος. περὶ μὲν οὖν τῶν ἄλλων ἔνθα ἂν παρῇ λέξομεν, νῦν δὲ περὶ τῆς ὕλης τε καὶ τοῦ εἴδους ἐπισκεπτέον, τί μᾶλλον ἂν νοοῖτο φύσις· ἐνίοις μὲν γὰρ ἡ ὕλη φύσις μᾶλλον δοκεῖ, οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δὲ ὁ χαλκός. κατὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ ὕδατος φύσις τὸ πρῶτον αὐτῷ ὑποκείμενον ἀμορφώτατόν τε καὶ ἀσχημάτιστον· σημεῖον δέ φησιν Ἀντιφῶν, ὅτι εἴ τις κατορύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδών, ὥστε ἀφεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην ἀλλὰ ξύλον, ὡς τοῦτο μὲν κατὰ συμβεβηκὸς ὑπάρχον αὐτῷ, τὴν κατὰ ῥυθμὸν διάθεσιν· ῥυθμὸν γὰρ καλεῖ τὴν μορφήν, τὴν δὲ οἰκείαν οὐσίαν ἐκείνην οὖσαν, ἣ διαμένει ταῦτα πάσχουσα συνεχῶς. εἰ δὲ καὶ ἄλλο τι πρὸς τὸ ξύλον λόγον ἔχει, ὥσπερ τὸ ξύλον πρὸς τὴν κλίνην, οἷον εἰ ὥσπερ αὐτὸ ὑπόκειται τῇ κλίνῃ, οὕτως ὕδωρ ἢ γῆ ἢ τῶν ἄλλων ὁτιοῦν ὑπόκειται τῷ ξύλῳ, ἐκεῖνα τὴν φύσιν εἶναι τοῦ ξύλου ὥσπερ τὸ ξύλον τῆς κλίνης. διὰ τοῦτο ὅσοι μὲν πῦρ ἐνόμισαν τὴν ὕλην τῶν ὄντων, καὶ φύσιν τοῦτο ἐνόμισαν τῶν ὄντων· ὅσοι δὲ ὕδωρ ὕλην, ταὐτὸν καὶ φύσιν· ὅσοι δὲ πλείους τὰς ὕλας, πλείους καὶ τὰς φύσεις, τὰ δὲ ἄλλα πάντα πάθη τούτων καὶ ἕξεις καὶ διαθέσεις· δεῖ μὲν γὰρ τὴν φύσιν ἀεὶ σώζεσθαι τῶν ὄντων, τοιοῦτον δὲ τὸ

7 λέξομεν] λέξωμεν V, πῶς λέξομεν A 9 γὰρ] γὰρ ἂν A 16 prius κατὰ om V 17 ῥυθμὸν legit Themistius in Aristotele, non νόμον, conf. Simplic. fol. 60 b. 21 οἷον εἰ] οἱονεὶ V, οἷον A

*πρῶτον ὑποκείμενον μόνον, τὰ δὲ ἄλλα γίνεται καὶ φθείρεται ἀπειράκις. οὗτοι μὲν οὖν τοῦτον τὸν τρόπον προσοικειοῦσιν τὴν ὕλην τῇ φύσει.*

*Οἱ δὲ ὑπὲρ τοῦ εἴδους ἱστάμενοι, καὶ τοῦτο ἀληθέστερον λέγεσθαι φύσιν ὑπολαμβάνοντες πρότερον κέχρηνται τοῖς ἐπὶ τῶν τεχνητῶν παραδείγμασιν. ὡς γὰρ ἐπ' ἀνδριάντος καὶ νεὼς καὶ τῶν ὑπὸ τέχνης δημιουργουμένων εὕροις ἂν οὐκ ἐν τῇ ὕλῃ τὴν τέχνην, ἀλλ' ἐν τῷ εἴδει, οὕτω καὶ ἐπὶ φυτοῦ καὶ ἐπὶ ζώου καὶ τῶν ὑπὸ φύσεως γινομένων εὕροις ἂν οὐκ ἐν τῇ ὕλῃ τὴν φύσιν ἀλλ' ἐν τῷ εἴδει, καὶ καθάπερ ἐπὶ τῶν τεχνητῶν τὸ εἶδός ἐστιν ἡ τέχνη, οὕτως [καὶ] ἐπὶ τῶν φυσικῶν τὸ εἶδός ἐστιν ἡ φύσις· οὐ γὰρ τὰ ξύλα τῆς νεὼς τέχνη οὐδὲ ὁ χαλκὸς τοῦ ἀνδριάντος, ἀλλὰ τὸ σχῆμα καὶ ἡ μορφή· τοῦτο γάρ ἐστιν τὸ κατὰ τέχνην γεγονὸς καὶ τὸ τεχνικόν. οὕτως οὖν οὐδὲ τὸ πρῶτον ὑποκείμενον ἡ φύσις, ἀλλ' ὁ λόγος ἑκάστου καὶ τὸ τί ἦν εἶναι· τοῦτο γάρ ἐστι τὸ κατὰ φύσιν γεγονὸς καὶ τὸ φυσικόν· οὔτε γὰρ ὁ χαλκὸς τέχνην ἔχει, πρὶν τὸ εἶδος τοῦ ἀνδριάντος λαβεῖν, οὔτε ἡ ὕλη φύσιν, πρίν τινα μορφὴν ὑποδέξασθαι, οἷον ἡ δυνάμει σὰρξ καὶ τὸ δυνάμει ὀστοῦν, ὅταν γένηται ὀστοῦν ἐνεργείᾳ. εἰ δὲ ἅμα τῷ τὸ εἶδος λαβεῖν καὶ ἔχει φύσιν καὶ κατὰ φύσιν ἐστίν, τὸ εἶδος ἂν εἴη φύσις. εἰ δὲ οὐχ ὡς σχῆμα οὐδὲ ὡς εὐειδὲς ἐλέγομεν ἢ δυσειδές, ἀλλὰ καθ' ὃ ἕκαστον ὁριζόμενοι τὸ τί ἐστιν ἀποδίδομεν· καὶ γὰρ οὖν καὶ τοῦτο ἰστέον, ὅτι φύσις μὲν ἑκάστου τὸ εἶναι ἑκάστου, καὶ καθό ἐστιν ἕκα-*

---

1 *μόνον* om A   6 *τεχνιτῶν* A   8 *εὗροι* V   12 *καὶ* om V   16 *τὸ τεχνικὸν*] *τεχνικὸς* A   19 *πρὶν*] *πρὸς* A   22 *ὀστοῦν*] scrib. *σὰρξ καὶ ὀστοῦν*   24 *εἴη*] *ἡ* A   25 *εἰ δὲ*] fort. *ἔτι δὲ*

στον ὅ ἐστιν· ἔστι δὲ ἕκαστον ὅ ἐστι κατὰ τὸ εἶδος, οὐ κατὰ τὸ ὑποκείμενον· ὥστε τὸ εἶδος ἡ φύσις. τοῦτο δὲ ἡμεῖς τὸ εἶδος οὐκ ἐλέγομεν χωριστὸν καθ' ὑπόστασιν, ἀλλὰ μόνον κατὰ λόγον, τὸ δὲ ἐκ τούτου καὶ τῆς ὕλης φύσις μὲν οὐκ ἔστιν, φύσει δέ· τὸ γὰρ εἶδος καὶ ὕλη συνδυασθέντα οὐκέτι λέγονται φύσις, ἀλλὰ τὸ γενόμενον ἐκ τούτων οἷον τὸ φυτὸν καὶ τὸ ζῷον φύσει μὲν εἶναι λεχθήσεται, οὐκέτι δὲ φύσις. καθ' αὑτὸ μέντοι γε ἕκαστον καὶ ἰδίᾳ λαμβάνοντι μᾶλλον φύσις τὸ εἶδος τῆς ὕλης. εἰ γοῦν ἔτι γίγνοιτό τι καὶ φύοιτο πρὶν ἅπαν τὸ εἶδος ἀπολαβεῖν, λέγομεν οὔπω τὴν αὑτοῦ φύσιν ἔχει· ἕκαστον γὰρ τότε καὶ ἔστι καὶ εἶναί τι λέγεται, ὅταν ᾖ ἐντελεχείᾳ, τουτέστιν ὅταν ἀπειλήφῃ τὴν αὑτοῦ φύσιν καὶ τελειότητα, τὸ δὲ εἶδος ἡ τελειότης, ὥστε καὶ συλλογισαίμεθα ἄν, οὗ τῇ παρουσίᾳ τὰ φύσει ὄντα φύσει ἐστί, τοῦτο ἔστι φύσις· τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει ὄντα φύσει ἐστί, τὸ εἶδος ἄρα φύσις. πρὸς fol. 24. Ἀντιφῶντα δὲ οὐ χαλεπὸν εἰπεῖν, ὡς εἰ διὰ τοῦτο τὴν ὕλην ᾤετο φύσιν, ὅτι γένοιτο ἂν ἐκ κλίνης εἰ λάβοι ἡ σηπεδὼν βλάστημα, τὸ ξύλον οὐ κλίνη, γίγνεται δὲ καὶ ἐξ ἀνθρώπου ἄνθρωπος, πῶς οὐκ ἂν εἴη τὸ εἶδος φύσις; ὁ γὰρ ἄνθρωπος εἶδος, ὡς ἐκ τοῦ ὁρισμοῦ δῆλον· τὸ μὲν γὰρ τεχνικὸν εἶδος οὐδὲ ἡμεῖς ἂν εἴποιμεν φύσιν, διόπερ οὐδὲ τῆς κλίνης τὸ εἶδος φύσις ἐστίν· οὐ γάρ ἐστιν ἀρχὴ κινήσεως ἐνυπάρχουσα. τὸ μέντοι φυσικὸν καὶ ἔνυλον εἶδος ἀεὶ ἐξ ὁμοίου τὴν γένεσιν ἔχει· κύων γὰρ ἐκ κυνὸς καὶ ἵππος ἐξ ἵππου. ἔτι πᾶν τὸ γινόμενον λέγεται τοῦτο

---

8 οὐκ ἔστι A 12 malim ἔχειν 21 ἡ σηπεδὼν] σηπεδόνα libri

*γίγνεσθαι, ἐφ' ὃ ἡ πρόοδος καὶ οὐκ ἀφ' οὗ. διὰ τί γὰρ τὸ ξύλον βάθρον γίγνεσθαι λέγεις ὑπὸ τοῦ τέκτονος καὶ οὐχὶ ξύλον ὅταν σχηματίζηται εἰς βάθρον; ὅτι πρόεισιν εἴποις ἂν εἰς τὴν τοῦ βάθρου μορφὴν ἐκ τῆς τοῦ ξύλου. διὰ τί δὲ ὅταν ὕδωρ εἰς ἀέρα μεταβάλλει, ἀέρα φὴς αὐτὸ γίγνεσθαι, οὐχ ὕδωρ; ὅτι τοῦ μὲν ἀπολείπει τὸ εἶδος, τοῦ δὲ σπεύδει λαβεῖν. οὕτως οὖν καὶ τὸ φυόμενον ἡνίκα φύεσθαι λέγεις, ἐπειδὴ εἰς φύσιν ἔρχεται, φύεσθαι λέγεις, ἐπειδὴ καὶ οὐκ ἀπὸ φύσεως μέν, ἔρχεται δὲ ἐπὶ τὸ εἶδος, ὥστε καὶ οὕτω τὸ εἶδος φύσις. οὐ γὰρ ὥσπερ ἡ ἰάτρευσις, ἔρχεται μὲν εἰς ὑγίειαν, ὀνομάζεται δὲ ἀπὸ τοῦ ποιοῦντος τῆς ἰατρικῆς, οὐχ οὕτως ἡ φύσις ἡ ὡς γένεσις ἔχει πρὸς τὸ εἶδος, ἀλλὰ μᾶλλον ὡς ὑγίανσις, ὅτι ὁδὸς εἰς ὑγίειαν, καὶ ὡς ἡ θέρμανσις, ὅτι ὁδὸς εἰς θερμότητα, ἀπὸ τῶν τεχνῶν ὀνομάζεται, οὕτως ἡ φύσις ὅτι ὁδὸς εἰς φύσιν ἐστί, διὰ τοῦτο καλεῖται φύσις. ἐπεὶ οὖν ἐδείξαμεν ὅτι τὸ εἶδος μᾶλλόν τῆς ὕλης φύσις ἐστίν, γνωστέον ὅτι ἡ φύσις ἡ ὡς μορφὴ λέγεται διχῶς· καὶ γὰρ ἡ στέρησις εἶδός πώς ἐστι, διὸ φύσει καὶ τὰ πηρώματα. ἀλλὰ τοῦτο μὲν ὅπως ἐνδέχεται λέγεσθαι, ὕστερον ἐπισκεψόμεθα· ἐπισκεψόμεθα δὲ πῶς ἡ στέρησις ἐναντίον τῷ εἴδει καὶ πῶς ἐξ ἀντικειμένων ἡ γένεσις ἡ ἁπλῆ καὶ ἡ τῆς οὐσίας.*

2 *Νυνὶ δὲ ἴσως οὐκ ἀπὸ τρόπου θεωρῆσαι τίνι διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ· περὶ σώματα γὰρ ἄμφω καὶ τὰ σώματι συμβεβηκότα, οἷον μήκη*

---

2 γενέσθαι V 4 εἴποι V 5 ὅταν] τὸ V. scrib. δ' εἰ τὸ ὕδωρ 9 λέγεις] λέγεται V 22 λέγεσθαι] σημαίνεσθαι A 28 σώματα A, fort. σώμασι

καὶ στιγμὰς καὶ στερεὰ καὶ ἐπίπεδα, ἢ οὐχ ὁμοίως; ἀλλ' ὁ μὲν φυσικὸς ὡς ἀεὶ μεθ' ὕλης ὄντα θεωρεῖ, ὁ δὲ χωρίζει τῷ λόγῳ τῆς ὕλης· καὶ ὁ μὲν τῆς θεωρίας ἔχει τὴν ἀναφορὰν ἐπὶ τὸ φυσικὸν σῶμα τὸ ἐν κινήσει· καὶ γὰρ ὅταν τὰ σχήματα θεωρῇ, ὡς πέρατα φυσικοῦ σώματος αὐτὰ θεωρεῖ, ὁ δὲ μαθηματικὸς οὐχ ὡς πέρατα, ἀλλ' ὡς εἴδη τινὰ καθ' αὐτὰ ὄντα ἁπάσης ἔξω κινήσεως. μᾶλλον δὲ ἴσως ἂν δόξειεν ὁ ἀστρολόγος ἐγγὺς εἶναι τοῦ φυσικοῦ· περὶ κινουμένων γὰρ οὗτος τὸν λόγον ποιεῖται, λέγει δὲ καὶ περὶ μεγέθους καὶ περὶ σχήματος ἃ καθ' αὑτὰ ὑπάρχει τοῖς σώμασιν τοῖς φυσικοῖς, περὶ ὧν ἀνάγκη καὶ τὸν φυσικὸν εἰδέναι. εἰ γὰρ τί μέν ἐστιν ἥλιος εἴσεται, τῶν δὲ καθ' αὑτὰ αὐτῷ ὑπαρχόντων οὐδ' ὁτιοῦν, οὐκ ἔσται ἀληθῶς ἐπιστήμων. εἰ οὖν ἀμφότεροι λέγουσιν καὶ περὶ σχημάτων ἡλίου καὶ σελήνης, καὶ πότερον ἡ γῆ σφαιροειδὴς καὶ ὁ κόσμος, τίνι διαφέροιεν ἄν; ἢ καὶ οὗτοι περὶ ταὐτὰ μὲν οὐχ ὡσαύτως δέ; καὶ γὰρ ὁ ἀστρολόγος ὁμοίως τῷ γεωμέτρῃ τὰ συμβεβηκότα τοῖς θείοις σώμασι θεωρεῖ, οὐχὶ τὴν οὐσίαν αὐτῶν προσεξετάζων, οὐδὲ ὅτι τὰ τοιαῦτα σχήματα καὶ μεγέθη καὶ αἱ κινήσεις οἰκεῖα τῇ τοιαύτῃ οὐσίᾳ, οὐδὲ τὰς δυνάμεις αὐτῶν, οὐδὲ ὅτι βέλτιον οὕτως· τῷ φυσικῷ δὲ περὶ ταῦτα καὶ ἐκ τούτων ἡ θεωρία, καὶ ὅλως ἄμφω μὲν περὶ κινουμένων τῶν θείων σωμάτων τὸν λόγον ποιοῦνται, ἀλλ' ὁ μὲν τὸ ποσὸν τῆς κινήσεως, ὁ δὲ τὸ ποιὸν ἐξετάζει, ὁ μὲν ὅτι ὁ ἥλιος ἐν τοσῷδε χρόνῳ τοσόνδε κινεῖται, ὁ δὲ ὅτι κύκλῳ φέρεται ἢ τοιῶσδε εἰ τύχοι, διὰ τὴν τοιαύ-

---

16 καὶ ante περὶ om A 17 σφαιροειδῶς A 18 ταὐτὰ] αὐτὰ libri

τὴν οὐσίαν. καὶ τὸ σχῆμα δὲ ὅτι σφαιρικόν, ὁ μὲν ἐπειδὴ μὴ πύρινον μηδὲ γήϊνον ἀλλ' αἰθέριον, ὁ δὲ ἐπειδὴ πανταχόθεν ὁμοίως ὁρᾶται· ὅλως γὰρ τὴν ὕλην οὐ προσποιοῦνται οἱ μαθηματικοὶ παντελῶς, ἀλλὰ τὸ τρίγωνον αὐτὸ ἢ κύβον λαβόντες οὕτω θεωροῦσιν ἄνευ ὕλης τε καὶ κινήσεως. ταῦτα δὲ εἰ μὲν καὶ καθ' ὑπόστασιν ἐχώριζον, ἀδύνατα ἂν ὑπετίθεντο· οὐ γάρ ἐστιν ὑπόστασις τῶν περάτων καθ' αὑτὰ χωρὶς ὧν ἐστὶν πέρατα· νῦν δὲ ἐπειδὴ τῷ λόγῳ μόνον αὐτὰ διαιροῦσιν, ὡς πέφυκε καὶ χωρίζεσθαι, οὐδὲν αὐτοῖς ἕπεται ψεῦδος· οἱ δὲ τὰς ἰδέας λέγοντες ἃ μηδὲ τῷ λόγῳ χωριστά, ταῦτα καὶ ὑποστάσει χωρίζουσι. καίτοι περιττὸν μὲν καὶ ἄρτιον καὶ εὐθὺ καὶ καμπύλον καὶ σχῆμα καὶ γραμμὴν ἔστιν ὁρίσασθαι μὴ προσλαμβάνοντας ἐν τῷ λόγῳ κίνησιν καὶ ὕλην, σαρκὸς δὲ καὶ ὀστοῦ καὶ ἀνθρώπου λόγον ἀποδοῦναι ἢ τοῦ τοιοῦδε σώματος, καὶ ὅλως τῆς ὕλης ἐκλαθόμενον ὁμοίως ἀδύνατον, ὥσπερ τοῦ σιμοῦ χωρὶς τῆς ῥινός, καὶ τοῦ βλαισοῦ χωρὶς τῶν σκελῶν. ὅτι δὲ τοῦτο ἀληθές, δηλοῖ καὶ τῶν μαθημάτων ὅσα ἐστὶ φυσικώτερα· προσχρῆται γὰρ κινήσει τε καὶ αἰσθήσει, οἷον ὀπτικὴ καὶ ἁρμονικὴ καὶ ἀστρονομία· γραμμὴν γὰρ λαβοῦσαι παρὰ γεωμετρίας ἣν ἐκείνη φυσικὴν οὖσαν οὐχ ὡς φυσικὴν ἐξετάζει, ἀλλὰ χωρίσασα τῆς ὕλης τῷ λόγῳ· λαβοῦσαι οὖν τὴν τοιαύτην γραμμήν, ἐπειδὴ χρῄζουσιν αὐτῆς κατ' ἐνέργειαν ὑφεστώσης, οὐκέτι χωρίζουσιν κινήσεώς τε καὶ ὕλης, ἀλλὰ κέχρηνται ὡς φυσικῇ τε καὶ κινουμένῃ· τῇ γὰρ ἐκ τῆς διόπτρας εὐθείᾳ μεθ' ὕλης ἤδη χρῶνται καὶ

5 ἀλλὰ τὸ] ἀλλ' αὐτὸ A 7 ἀδύνατον A 23 λαβοῦσα A, item infra 24 ἐξετάσει libri 26 χρήσουσιν A 27 τε om A 29 ἐκ om V

κινήσεως. εἰ δὴ καὶ ὅσα τῷ λόγῳ δυνατὸν χωρίζειν ὅλως, ὅταν ἐνεργείᾳ ὄντα λαμβάνηται, οὐδὲ τῷ λόγῳ χωρίζεται, πόσῳ μᾶλλον φυλακτέον ἐστὶν χωρίζειν ἐνεργείᾳ τὰ μηδὲ κατ' ἐπίνοιαν χωριστά;

Ἐπειδὴ τοίνυν ἡ φύσις διχῶς, τό τε εἶδος καὶ ἡ ὕλη, ὥσπερ ὁ περὶ σιμότητος λέγων περὶ ἀμφοῖν ἐρεῖ, καὶ τῆς ὕλης καὶ τοῦ εἴδους· τοιοῦτο γὰρ τὸ κοιλότης ἐν ῥινί, μᾶλλον μέντοι κατὰ τὸ εἶδος ὁρίζει· κατὰ γὰρ τοῦτο σιμῷ εἶναι, οὕτως καὶ περὶ τῶν φυσικῶν [fol. 24b] λεκτέον, ὡς ἐν ὕλῃ μὲν καὶ μεθ' ὕλης ὄντων, τὸ μέντοι εἶναι ἅ ἐστι, παρὰ τοῦ εἴδους ἐχόντων, ὥστε καὶ ὁ ὁριζόμενος προσχρήσεται μὲν τῇ ὕλῃ, ὁριεῖται δὲ κατὰ τὸ εἶδος. καὶ γὰρ δὴ καὶ ἀπορήσειεν ἄν τις, ἐπειδὴ δύο αἱ φύσεις, περὶ ποτέρας τοῦ φυσικοῦ λέγειν, πότερον περὶ ἑκατέρας ἰδίᾳ, ἢ περὶ τοῦ ἐξ ἀμφοῖν; ἀλλ' εἰ μὲν περὶ τοῦ ἐξ ἀμφοῖν, δεῖ καὶ περὶ ἑκατέρας εἰδέναι. εἰς μὲν οὖν τοὺς ἀρχαίους ἀποβλέψαντι δόξειεν ἂν μόνον ὁ περὶ τῆς ὕλης λόγος διαφέρειν τῷ φυσικῷ· ἐπὶ μικρὸν γάρ τι μέρος Ἐμπεδοκλῆς καὶ Δημόκριτος τὸ εἶδος ὠνειροπόλησαν, ὁ μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν ἀρχὰς θέμενος εἰδοποιούς, Δημόκριτος δὲ τὰ σχήματα· εἰς δὲ τὴν ἐκ τῶν προειρημένων ἀνάγκην μᾶλλον ὁ περὶ τῆς μορφῆς καὶ τοῦ εἴδους, οὐ μέντοι γε ὡς τῆς ὕλης παντάπασιν ἐκλανθάνεσθαι. εἰ γὰρ ἡ τέχνη μιμεῖται τὴν φύσιν, τῆς δὲ αὐτῆς τέχνης εἰδέναι τὸ εἶδος καὶ τὴν ὕλην μέχρι τινὸς οἷον ἰατρικῆς, ὑγίειαν καὶ χολὴν καὶ φλέγμα ἐν οἷς ἡ ὑγίεια, ὁμοίως δὲ καὶ οἰκοδόμου τό τε εἶδος τῆς οἰκίας καὶ τὴν ὕλην ὅτι πλίνθοι καὶ

---

2 ὄντος] A   4 μηδὲ] μήτε libri   7 τὸ] ἡ?   11 παρὰ] περὶ V   12 ὁ om A   18 ὁ om A

ξύλα, καὶ τῶν ἄλλων οὕτως ὁμοίως, καὶ τῆς φυσικῆς ἂν εἴη τὸ γνωρίζειν ἀμφοτέρας τὰς φύσεις. ἔτι τε τῆς αὐτῆς τὸ τέλος εἰδέναι καὶ τὰ πρὸς τὸ τέλος, οἷον ἰατρικῆς ὑγίειαν καὶ τὰ πρὸς ὑγίειαν. οὗ ἄρα τὸ εἶδος γινώσκειν, τούτου καὶ τὴν ὕλην· ἕνεκα γὰρ τοῦ εἴδους ἡ ὕλη. ὅτι γὰρ τὸ εἶδος καὶ ἡ τοιαύτη φύσις τέλος τῶν φυσικῶν σωμάτων ἐστίν, οὕτως ἂν καθόλου μάθοις, ὅταν κινούμενόν τι συνεχῶς κᾆτα ἀφικόμενον εἴς τι ἔσχατον καὶ τέλος παύσηται τῆς εἰς τὸ πρόσθεν ὁδοῦ. τοῦτο τῆς κινήσεως τέλος εἶχε καὶ τὸ οὗ ἕνεκα. νόει δέ μοι τὴν κίνησιν ἀνεμπόδιστον προϊοῦσαν καὶ περατουμένην καθ' αὑτήν, οὐκ ἔξωθέν τινος αἰτίας αὐτὴν ἐπισχούσης. τοιοῦτον οὖν τέλος τὸ εἶδος· ἐπὶ τοῦτο γὰρ αἱ φυσικαὶ κινήσεις ἐλθοῦσαι ἡ γένεσις καὶ ἡ αὔξησις τελειοῦνταί τε καὶ ἵστανται, καὶ ἔπειτα ἀνακάμπτουσιν. γελοίως δὲ ὁ ποιητής· ἔχει τελευτὴν ἧσπερ οὕνεκα ἐγένετο· ἔστι μὲν γάρ τι ἔσχατον καὶ ὁ θάνατος, οὐ πᾶν δὲ τὸ ἔσχατον τέλος τε καὶ οὗ ἕνεκα, ἀλλὰ τὸ βέλτιον· πᾶν γὰρ ἀγαθοῦ τινὸς ἐφίεται, καὶ ἡ αὔξησις οὐ θανάτου χάριν ἐγίγνετο εἴγε καὶ πρὸ τοῦ θανάτου παύεται πολλάκις, ἀλλὰ τῆς τελειότητος καὶ τοῦ εἴδους. ἀμέλει καὶ ἵσταται καθ' αὑτήν, ὅταν εἰς τὸ τοιοῦτον τέλος ἀφίκηται, ὁ δὲ θάνατος τελευταῖον οὐχ ὡς σκοπός, ἀλλ' ὡς ἀναγκαῖον σύμπτωμα τῆς τοιαύτης οὐσίας. ἔτι καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην αἱ μὲν [γὰρ] ἁπλῶς, αἱ δὲ εὐεργόν· ἁπλῶς μὲν οἰκοδομικὴ τὰς πλίνθους, εὐεργὸν δὲ πλαστικὴ τὸν κηρόν. εἰ δὲ ταῖς ποιητικαῖς συμβαίνει πολλαχοῦ τὸ ποιεῖν τὴν

3 τε] aut δὲ aut delendum 13 ἐπισχουμένης V 17 τὴν τελευτὴν A οὕνεκα] ἕνεκα V οὖν ἕνεκα A 19 scrib. βέλτιστον 23 ἀμέλει om V 27 γὰρ om V

ὕλην, πῶς οὐ ταῖς θεωρητικαῖς τὸ γιγνώσκειν αὐτὴν ἀναγκαῖον; ἀλλὰ καὶ ἡμεῖς τέλος ὄντες· πολλὰ γὰρ καὶ ἡμῶν γίνεται χάριν, οὐ μόνον ἴσμεν τὰ ἡμῶν ἕνεκεν, ἀλλὰ καὶ χρώμεθα αὐτοῖς. πῶς δὲ ἡμεῖς τέλος; καὶ ὅτι διχῶς τὸ τέλος ἐν τοῖς ἠθικοῖς λέγεται σκέμμασιν; οὐ χρὴ δὲ θαυμάζειν, εἰ ποιοῦσιν ἔνιαι τέχναι τὴν ὕλην, ὅπου γε καὶ ὅσαι αὐτῶν ἀρχιτεκτονικαί, αἵπερ δοκοῦσι μάλιστα τοῦ εἴδους ἕνεκεν ἐπιτάττειν ταῖς ὑπ' αὐτάς, ὅμως καὶ τῆς ὕλης λόγον ποιοῦνται. δύο δέ ἐστιν εἴδη τῶν τοιούτων τεχνῶν, καὶ ὅμως ἄμφω τῆς ὕλης φροντίζει, ὧν ἡ μὲν χρῆται τῷ εἴδει μόνον, τῇ δὲ ὑπ' αὐτὴν ὁποῖον τοῦτό ἐστιν καὶ ὅπως ἂν γένοιτο, ἐπιτάσσει· οὕτω γὰρ ἔχει κυβερνητικὴ πρὸς ναυπηγικήν· χρῆται μὲν γὰρ τῷ εἴδει τῆς νεὼς ὁ κυβερνήτης, ὑφηγεῖται δὲ ἐργαζομένῳ τῷ ναυπηγῷ ποῖον σχῆμα νεὼς πλωϊμώτερον. οὐ μέντοι γε ἐκ παντὸς ξύλου ναυπηγοῦντος ἀνάσχοιτο ἄν, ἀλλὰ μέλει καὶ ὕλης αὐτῷ· τὸ γὰρ εἶδος ᾧ χρῆται τοιᾶσδε ὕλης προσδεῖται, εἰ μέλει τὸ ἑαυτοῦ ἔργον εὖ ἀποδώσειν. ἄλλη δέ τις ἐστὶν τῶν ἀρχιτεκτονικῶν λεγομένων, ἣ χρῆται μὲν οὐκέτι τῷ εἴδει, ἀλλ' ἐργάζεται αὐτὸ καὶ ποιεῖ, ταῖς δὲ ὑπ' αὐτὴν ἐπιτάσσει περὶ τῆς ὕλης ὡς ναυπηγικὴ τῇ τε ὑλοτομικῇ καὶ τῇ πριστικῇ. ὥσπερ δὲ ἐν τοῖς κατὰ τέχνην ὅταν γίγνηται ὑπὸ τῆς τέχνης ἡ ὕλη, τοῦ εἴδους χάριν γίνεται καὶ τοῦ ἔργου, οὕτως ἐφ' ὧν οὐ γίνεται ἀλλά ἐστιν, τοῦ εἴδους ἕνεκέν ἐστιν καθάπερ ἐν τοῖς φυσικοῖς. εἴρηται δὲ ὅτι τῷ τὸ τέλος γινώσκοντι καὶ τὰ πρὸς τὸ τέλος γνωστέον. ἔτι τῶν

5 τὸ τέλος A   καὶ ὅτι] scrib. ἢ ὅτι   ἐν τοῖς ἠθικοῖς] Nicom. init. sed male Themistius, Simplicius, Philoponus Aristotelis verba ἐν τοῖς περὶ φιλοσοφίας explicuerunt.   28 ἐν om V

πρός τι ἡ ὕλη· ἡ γὰρ ὕλη τινὸς εἴδους ὕλη, καὶ ἄλλη γε ἄλλου, δῆλον δὲ ὡς ἡ προσεχής, ὥστε ὁ θάτερον εἰδὼς καὶ θάτερον εἴσεται ἐξ ἀνάγκης. περὶ μὲν οὖν τῆς ὕλης μέχρι τοσούτου ἐπισκέψεται ὁ φυσικός, ὥστε τὴν περὶ αὐτῆς θεωρίαν εἰς τὸ εἶδος ἐπαναφέρειν, περὶ δὲ αὐτοῦ τοῦ εἴδους ἄχρι τίνος; ἢ ὥστε μὴ χωρίζειν αὐτὸ τῆς ὕλης, ἀλλ' ὥσπερ ὁ ἰατρὸς νεῦρον ἐξετάζει οὕτως ὁ φυσικὸς ἄνθρωπον; εἰ γὰρ καὶ χωρίζεταί ποτε τὸ ἔνυλον εἶδος, ἀλλὰ λόγῳ γε, οὐχ ὑποστάσει. μαρτύριον δὲ τοῦ πάντα ἔνυλα εἶναι τὰ φυσικὰ εἴδη τὸ πάντα ὅσα γίνεται ὑπὸ τῶν τοιούτων, καὶ αὐτὰ γίνεσθαι τοιαῦτα· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος, ὥστε ἀμφότερα ἔνυλα τὰ ποιητικὰ αἴτια, καὶ τὸ προσεχὲς ὁ ἄνθρωπος καὶ τὸ πρῶτον ὁ ἥλιος. εἰ δέ τι χωριστὸν εἶδος κατ' οὐσίαν ἐστί, καὶ ὅπως ἔχει πρὸς τὰ φύσει καὶ τί ἐστι, τῆς πρώτης ἔργον φιλοσοφίας διορίσαι. περὶ μὲν τῶν ἀρχῶν τῶν ὡς στοιχείων ἱκανὰ ἔστω τὰ εἰρημένα.

3 Ἀναλαβόντες δὲ ἄνωθεν περὶ τῶν αἰτίων πειραθῶμεν ἀποδοῦναι καθ' ὅσους λέγεται τρόπους. ἕνα μὲν οὖν τρόπον αἴτιον λέγεται ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ χρυσὸς τῆς φιάλης καὶ τὰ τούτων γένη· προσεχῶς μὲν γὰρ ὕλη τῆς φιάλης οὗτος ὁ χρυσός, ὡς γένος δὲ ὁ χρυσὸς καὶ τὸ σῶμα. ἄλλον δὲ τρόπον τὸ εἶδος
fol. 25. καὶ τὸ παράδειγμα, τουτέστιν ὁ λόγος τοῦ τί ἦν εἶναι. παράδειγμα δὲ εἶπον οὐχ ὡς οἱ τὰς ἰδέας λέγοντες αὐτό τι καθ' αὐτὸ ὑφεστὼς καὶ χωριστὸν εἶδος, ἀλλ'

---

5 περὶ — ἄνθρωπον Simplicius fol. 60 b. 17 διορίσασθαι V

ἐπειδὴ ὥρισται τὸ εἶδος ἑκάστου τῶν ὑπο φύσεως γινομένων, οἷον ἀνθρώπου ἵππου βοὸς ἐλαίας συκῆς πλατάνου, καὶ ἡ ταῦτα δημιουργοῦσα ἀρχὴ μέχρι τοσούτου πρόεισι κινοῦσα τὴν ὕλην μέχρις οὗ τὸ εἶδος τοῦτο καὶ τὴν μορφὴν τελείως ἐναρμόσαι τῇ ὕλῃ. ἔτι ὅθεν ἡ ἀρχὴ πρώτη τῆς μεταβολῆς, οἷον ὁ βουλεύσας αἴτιος καὶ ὁ πατὴρ τοῦ τέκνου. πρώτην δὲ εἶπον ὅτι καὶ τὰ ὄργανα δοκεῖ κινήσεως αἴτια γίνεσθαι, ἀλλ' οὐ πρῶτα. πρὸς τούτοις ἕτερον αἴτιον ὡς τὸ τέλος, τοῦτο δέ ἐστιν τὸ οὗ ἕνεκα, οἷον αἴτιον τοῦ περιπατεῖν ἡ ὑγίεια, καὶ οὐ μόνον τοῦ περιπατεῖν, ἀλλὰ πάντων ἁπλῶς, ὅσα ὑπὸ τοῦ ποιοῦντος τὸ τέλος γίνεται μεταξὺ τοῦ τέλους, ἄλλο ἐξ ἄλλου, τούτων μᾶλλον ἁπάντων αἴτιον ἡ ὑγίεια, οἷον ἰσχνασίας καθάρσεως φαρμακείας, τῶν πρὸς ταῦτα ὀργάνων· πάντα γὰρ τοῦ τέλους ἕνεκα ταῦτα καὶ ὅσα ἔργα ὡς τὸ περιπατεῖν, καὶ ὅσα ὄργανα ὡς σικυΐα σμίλη. τὰ μὲν οὖν αἴτια σχεδὸν τοσαυταχῶς λέγεται, συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων πολλὰ τοῦ αὐτοῦ γίνεσθαι αἴτια, οὐ κατὰ συμβεβηκὸς μέν, οὐ μὴν κατὰ τὸν αὐτὸν λόγον οἷον φιάλης χρυσοχόος τε καὶ χρυσός. ἄμφω μὲν αἴτια καθ' αὑτά, ἀλλ' ὁ μὲν ὡς δημιουργός, ὁ δὲ ὡς ὕλη. δύναται δέ τινα καὶ ἀλλήλων αἴτια εἶναι, οἷον οἱ πόνοι τῆς εὐεξίας, καὶ αὕτη τοῦ πονεῖν, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος ἡ εὐεξία, οἱ πόνοι δὲ ὡς ἀρχὴ κινήσεως· ποιητικοὶ γὰρ οἱ πόνοι τῆς εὐεξίας καὶ τέλος ἡ εὐεξία τοῖς πόνοις. ἔτι δύναται ταὐτὸν αἴτιον εἶναι τῶν ἐναντίων, ἀλλ' οὐχ ὡσαύτως ἔχον. ὁ γὰρ

---

7 ὁ ante πατὴρ om A 10 δὴ V 14 μᾶλλον om A 17 scrib. σικύα 18 τοσαῦτα A 29 ἔχον] ἐχόντων libri, vid. Simplicius fol. 71.

παρὼν αἴτιος τῆς σωτηρίας τῆς νεὼς οὗτος ἀπὼν τῆς ἀνατροπῆς, ὡς ὁ κυβερνήτης. ἅπαντα μέντοι γε ὥσπερ ἔφην εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους, καὶ πάλιν γε αὐτοὺς ἀκριβείας ἕνεκα ἐξαριθμητέον. πρῶτον μὲν εἰς τὴν ὕλην καὶ τὸ ὑποκείμενον, οὐχ εἷς δὲ ὁ τρόπος τῆς ὕλης· ἄλλως γὰρ ὑπόκειται τὰ στοιχεῖα ταῖς συλλαβαῖς· κατὰ σύνθεσιν γάρ, καὶ ἄλλως ἡ κυρίως ὕλη δέχεται τὸ εἶδος· κατὰ ἀλλοιώσεις γάρ, γῆ δὲ καὶ ὕδωρ κατ' ἄμφω τοῖς τῶν ζώων σώμασιν. καὶ τὰ μέρη τῷ ὅλῳ καθ' ἕτερον τρόπον, καὶ αἱ προτάσεις τοῦ συλλογισμοῦ τῷ συμπεράσματι. δεύτερον δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον. καὶ τοῦτο δὲ λέγεται πολλαχῶς, ὅλον μὲν ἐπὶ τοῖς ἐκ μερῶν συγκειμένοις, ὅλον δὲ οὐ σὺν τοῖς μέρεσιν· τοῦτο γὰρ ἤδη τὸ συναμφότερον, ἀλλὰ τὸ ἐπὶ πᾶσιν αὐτοῖς ἐπιθεωρούμενόν τε καὶ ἐπιγιγνόμενον οἷον ἡ τελειότης, καὶ καθ' ὅλον λέγεται ὅλα, σύνθεσις δὲ ἐπὶ τοῖς συντιθεμένοις, εἶδος δὲ ἐπὶ τῆς κυρίως ὕλης. εἰς τρίτον δὲ τὴν ἀρχὴν τῆς κινήσεως, οἷον τὸ σπέρμα καὶ τὸν ἰατρὸν καὶ τὸν βουλεύσαντα καὶ ὅλως τὸ ποιητικὸν αἴτιον. τέταρτον δὲ τὸ τέλος καὶ τἀγαθόν· τὸ γὰρ οὗ ἕνεκα βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι, διαφέρει δὲ οὐθὲν ἀγαθὸν αὐτὸ εἰπεῖν ἢ φαινόμενον ἀγαθόν. ι τὰ μὲν οὖν αἴτια ταῦτα καὶ τοσαῦτά ἐστιν.

Ἀποδιδόντες δὲ αὐτὰ πολλαχῶς ἀποδίδομεν ἐφ' ἑκάστου εἴδους τῶν αἰτίων, οἷον ἐπὶ τοῦ ποιητικοῦ καὶ τῆς τοιαύτης αἰτίας· ἤτοι γὰρ προσεχῶς ἢ κοινότερον, προσεχῶς μὲν ὅταν λέγωμεν αἴτιον τῆς

1 παρὸν A, malim cum Simplicio ὃ γὰρ παρὸν αἴτιον — τοῦτο ἀπὸν vid. Aristot. p. 195, 12. 12 fort. δεύτερον δ' εἰς τὸ et infra τρίτον δ' εἰς τὴν 21 ὅλον A

ὑγιείας τὸν ἰατρόν, κοινότερον δὲ ὅταν τὸν τεχνίτην. πάλιν ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός· καθ' αὑτὸ μὲν γὰρ αἴτιον τῆς ὑγιείας ὁ ἰατρός, ἀλλ' ἐπειδὴ συμβέβηκεν αὐτῷ Ἀκουμενῷ εἶναι, αἴτιον ἂν καὶ τὸν Ἀκουμενὸν εἴποιμεν τῆς ὑγιείας. καὶ τὰ περιέχοντα τὸ κατὰ συμβεβηκὸς αἴτιον καὶ αὐτὰ αἴτια πολλάκις λέγεται, οἷον ἄνθρωπος τῆς ὑγιείας αἴτιος καὶ τὸ ζῶον. ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα τῶν ἄλλων πορρώτερον καὶ ἐγγύτερον, οἷον ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος γίνεται τῆς ὑγιείας, ᾗ συμβέβηκεν τῷ ἰατρῷ λευκῷ ἢ μουσικῷ εἶναι. πάλιν ταῦτα ἔστιν ἀποδιδόναι ἢ συμπλέκοντας ἢ χωρίς, συμπλέκοντας μὲν ὁ Ἀκουμενὸς ἰατρὸς αἴτιος τῆς ὑγιείας, ἢ λευκὸς ἰατρός· χωρὶς δὲ ὁ Ἀκουμενὸς αἴτιος, ἢ ὁ ἰατρὸς αἴτιος. ἐξ ὧν οἱ τρόποι τῶν ἀποδόσεων· ἢ γὰρ ὡς τὸ προσεχὲς καὶ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος, ἢ κατὰ συμβεβηκός, ἢ ὡς τὸ γένος, ἢ ὡς συμπλεκόμενα, ἢ χωρίς. τοῦτο δὲ οὐκ ἐπὶ τοῦ ποιητικοῦ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων εὕροις ἂν οὕτω γιγνόμενον, οἷον ἐπὶ τῆς ὕλης, οὗτος ὁ χαλκὸς αἴτιος τοῦ Διαδουμένου, καὶ ἁπλῶς χαλκὸς καὶ τὸ σῶμα. πάλιν τοδὶ τὸ ἐρυθρόν· ἔστω γὰρ ἐρυθρὸς ὁ χαλκὸς καὶ ἁπλῶς ὁ ἐρυθρός, καὶ ἔτι μᾶλλον ὁ κεχρωματισμένος, καὶ συντιθεὶς ὁ ἐρυθρὸς χαλκὸς ἢ ὁ μέλας χαλκός. τοῖς δὲ αἰτίοις ἀνάλογόν τε καὶ ἐξίσου καὶ

---

4 Ἀκουμενῷ] ἀκουομένῳ V. κακουμένῳ A  5 τὸν om A Ἀκουμενὸν] ἀκούμενον V. κακούμενον A  6 κατὰ om V αἴτια] τὰ αἴτια V  9 πορρώτερα καὶ ἐγγύτερα libri  11 ᾗ] fort. καὶ μουσικῷ  13 et 14 Ἀκουμενὸς] ut supra  15 ἐξ οὗ V  17 scrib. ἢ ὡς τὸ συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος,  18 fort. ὡς χωρὶς  21 Διαδουμένου Victorius, διδομένου libri  22 τοδὶ] τόδε Simplicius fol. 72 b.  24 fort. συντεθεὶς

*τὰ αἰτιατὰ λέγεται· ἢ γὰρ προσεχῶς αἰτιατὸν ἀποδίδομεν, ἢ τὸ γένος τούτου, οἷον Πολύκλειτος ἐποίησεν τὸν Διαδούμενον ἢ τὸν ἀνδριάντα ἢ ὅλως τὴν εἰκόνα, ὁμοίως ἐπὶ τοῦ κατὰ συμβεβηκότος, ἵνα μὴ καθ' ἕκαστον ἀπομηκύνωμεν. ἕκαστοι δὲ τῶν ἓξ τούτων τρόπων διχῶς αὖθις ἀποδίδονται· ἢ γὰρ δυνάμει ἢ ἐνεργείᾳ, διαφέρει δέ, ὅτι τὰ μὲν ἐνεργοῦντα αἴτια ἅμα τέ ἐστι καὶ οὐκ ἔστι τοῖς ἐνεργουμένοις αἰτιατοῖς, οἷον ὁ τέμνων τῷ τεμνομένῳ καὶ ὁ πρίζων τῷ πριζομένῳ, τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεί· φθείρεται γὰρ οὐχ ἅμα ὁ οἰκοδόμος τῇ οἰκίᾳ, οὐδὲ ὁ τέκτων τῷ βάθρῳ. τὸ δυνάμει δὲ λέγω νῦν οὐ μόνον ἐνεργῆσαι, ἀλλὰ καὶ τὸ πεπαυμένον τῆς ἐνεργείας. δεῖ δὲ ἀεὶ τὸ αἴτιον ἑκάστου τὸ κυριώτατον καὶ προσεχέστατον ζητεῖν, τοῦτο δ' ἔστιν ἐφ' ᾧ παύεται ἡ*
fol. 25b. *ζήτησις τοῦ διὰ τί, οἷον διὰ τί αἴτιος οὗτος τῆς οἰκίας; ὅτι οἰκοδόμος. διὰ τί δὲ ὅλως οἰκοδόμος αἴτιος οἰκίας; ὅτι τὴν οἰκοδομικὴν ἔχει τέχνην. ἐνταῦθα δὲ ἐλθόντα στῆναι ἀνάγκη· ἡ γὰρ ἑξῆς εὐήθης ἐρώτησις. πρώτη ἄρα ἡ τέχνη αἰτία τῆς οἰκίας. λεκτέον δὲ καὶ τὰ γένη τῶν γενῶν αἴτια καὶ τὰ καθ' ἕκαστον ἀντιθετέον τοῖς καθ' ἕκαστον, οἷον ἀνδριαντοποιὸς μὲν ἀνδριάντος αἴτιος, ὁδὶ δὲ τουδί, καὶ τὰ μὲν δυνάμει αἴτια τοῖς δυνάμει, τὰ δὲ ἐνεργοῦντα τοῖς ἐνεργουμένοις αἰτιατοῖς. πόσα μὲν οὖν τὰ αἴτια καὶ ποσαχῶς ἀποδίδοται, διώρισται καθ' ἕκαστον ἡμῖν.*

4 *Λέγεται δὲ καὶ ἡ τύχη πολλῶν αἰτία καὶ τὸ αὐτόματον, καὶ πολλὰ καὶ εἶναι καὶ γίνεσθαι διὰ*

---

3 *τὸν*] *τὸ* libri 5 *ἕκαστοι*] *ἕκαστον* V 14 *κυριώτατον*] *κυριώτερον* libri 15 *ᾧ*] *ὃ* libri

τύχην καὶ τὸ αὐτόματον. ταῦτα οὖν ὑπὸ τίνα τρόπον τῶν προειρημένων αἰτίων ἐστίν, καὶ πότερον ταὐτὸν τύχη καὶ ταὐτόματον ἢ ἕτερον, καὶ ὅλως τί ἐστιν ἑκάτερον; ἐπισκεπτέον δέ, εἰ ἔστιν ὅλως ἀρχὴ [γὰρ] αὕτη· φαίη γὰρ ἄν τις κενὸν ὄνομα τὴν τύχην εἶναι· καὶ γὰρ ἐφ' ὧν αἰτία λέγεται καὶ ὀνομάζεται, πάντως ἔστιν αἴτιον ὡρισμένον λαβεῖν ἐκ τῶν προαποδεδομένων τρόπων ἡμῖν ἐν τοῖς ἔμπροσθεν, οἷον εἰς τὴν ἀγοράν τις ἐλθὼν ἵνα τῷ δεῖνι διαλεχθείη, κατέλαβε τὸν ἑταῖρον ἐξ ἀποδημίας ἐπανήκοντα ὃν ἐβούλετο μὲν ἰδεῖν, οὐκ ᾤετο δὲ τηνικαῦτα. τούτου γὰρ εἰ ἔροιο τὴν αἰτίαν, καὶ ὅπως κατείληφε τὸν ἑταῖρον, ἀπὸ τύχης μὲν ἂν φαίη, κενολογεῖ δέ. πῶς γὰρ ἀπὸ τύχης, ἀλλ' οὐκ ἀπὸ τῆς αὐτοῦ προαιρέσεως, καθ' ἣν προείλετο εἰς τὴν ἀγορὰν προελθεῖν; εἰ γὰρ εἰ μὴ τούτου προῆλθεν ἕνεκα ἀλλὰ ἄλλου του, ἄλλην τινὰ αἰτίαν τῆς θέας τοῦ φίλου περιβλεπτέον καὶ οὐ τὴν πρόοδον. εἰ δὴ τὴν μὲν τύχην ἀόριστον αἰτίαν καὶ οἱ τιθέντες νομίζουσιν, ἐφ' ἑκάστῳ δὲ τῶν ἀπὸ τύχης λεγομένων ἐστὶν αἴτιον ὡρισμένον λαβεῖν, πῶς οὐκ ὄνομα λέγουσιν ἄνευ πράγματος οἱ τὴν τύχην ὡς αἰτίαν τινῶν ἀποσεμνύνοντες; οὐ παροπτέον δὲ οὐδὲ τοὺς παλαιοὺς ὅσοι περὶ αἰτίων ἐφιλοσόφησαν, ὧν οὐδέ τις αὐτὴν ἐν τούτοις καταριθμήσαιτο. ταῦτα μὲν οὖν εἴποιμεν ἂν τὴν τύχην ἐξελαύνοντες ἐκ τῶν πραγμάτων, ἡμεῖς δὲ τὸν μὲν πρότερον λόγον φαμὲν τοὐναντίον περαίνειν οὗ βούλεται. βούλεται

2 αἰτιῶν libri 4 fort. ἑκάτερον ἐπισκεπτέον, ἐπισκεπτέον δὲ γὰρ delendum 7 προαποδιδομένων A 9 δεῖνα V 10 ἐβουλεύετο A 15 προείχετο A fort. καὶ γὰρ εἰ 23 οὐδὲ om A 24 fort. οὐδεὶς — κατηριθμήσατο 27 περαίνειν] περανεῖν V, παραινεῖν A

μὲν γὰρ ἀναιρεῖν τὴν τύχην, λανθάνει δὲ αὐτὴν μᾶλλον κρατύνων. εἰ γὰρ ἔχοντες ἅπαντες ἅπαντα τὰ γινόμενα εἰς ὡρισμένας αἰτίας ἀνάγειν ἀεί, καὶ τοῦτο οὐκ ἀγνοοῦντες ὅμως οὐχ ἅπαντα ἀπὸ τύχης γενέσθαι λέγομεν, ἀλλὰ τὰ μὲν τὰ δὲ οὔ, δῆλον ὡς αἴτιόν τι παρὰ τὴν ὡρισμένην αἰτίαν ἡ τύχη, εἴγε ἀποροῦμεν μὲν οὐδέποτε ὡρισμένης ἀρχῆς, αἰτιώμεθα δὲ ἐπ' ἐνίων οὐ τὴν ὡρισμένην καὶ πρόδηλον ἀρχήν, ἀλλὰ τὴν τύχην ὡς οὖσαν ἕτερον παρ' ἐκείνην. διὰ τί γὰρ Ἀχιλλεὺς μὲν ἐκ προαιρέσεως λέγεται ἀνῃρηκέναι τὸν Ἕκτορα, Ἄδραστος δὲ ἀπὸ τύχης τὸν Κροίσου παῖδα; ἐχρῆν γὰρ καὶ τοῦτον ἐκ προαιρέσεως λέγειν καθάπερ τὸν Ἀχιλλέα. ἐξήρκει γὰρ αὐτοῖς κἀπὶ τούτου ληρεῖν, ὡς εἰ μὴ προείλετο ἀφεῖναι τὸ δόρυ, οὐκ ἂν ὁ Κροίσου παῖς ἀνῃρέθη, ἀλλὰ προείλετο μὲν ὅτε ἀφῆκε τὸ δόρυ, προείλετο δὲ οὐ κατὰ τοῦ Κροίσου παιδός, ἀλλὰ κατὰ τοῦ θηρίου. τῆς μὲν οὖν ἀφέσεως αἰτιῶ τὴν προαίρεσιν, τοῦ φόνου δὲ μή· πῶς γάρ; ὃ εἰ προῄδει συμβησόμενον, οὐκ ἂν ἔπεμψεν τὸ ἀκόντιον, ὥστε καλῶς ἀπὸ τύχης λέγεται καὶ οὐκ ἀπὸ προνοίας ὁ τοιοῦτος φόνος. οὕτως καὶ συγγνώμης ἐπὶ τούτοις τυγχάνουσιν καὶ ὁ Κροῖσος εὐγνώμων, οὐ παροξυνόμενος πρὸς τὸν δράσαντα. εἰ δὲ μηδεὶς ἐμνημόνευσεν τύχης τῶν παλαιῶν τί τοῦτο; ἐκείνων γὰρ ἔγκλημα τοῦτο, οὐχὶ τῆς τύχης ἀναίρεσις. φαίνονται μὲν γὰρ ὡς ἀληθῶς οὐδαμοῦ λόγον πεποιημένοι περὶ αὐτῆς, οὐκ Ἐμπεδοκλῆς, οὐκ Ἀναξαγόρας, οὐκ ἄλλος τις· οὔτε γὰρ ἓν ὧν ἔλεγον αἰτίων, ᾤοντο εἶναι τὴν τύχην,

---

3 τὰ om A 11 Ἄδραστος] Herod. I, 43. 16 ὅτε] ὅταν libri 23 εὐγνώμων] εὐγνωμῶν ὢν A, εὐγνωμονῶν Victorius. 29 αἴτιον A

οἷον φιλίαν ἢ τὸ νεῖκος ἢ νοῦν ἢ πῦρ, οὔτε τι προσόμοιον τούτοις, ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸν λόγον ἐστίν, ἐπεὶ καὶ περὶ ἄλλων πολλῶν οὐδένα ἐποιήσαντο λόγον, ἀλλ' ὅ γε χρόνος ἱκανὸς ἐξευρεῖν τὴν ἀλήθειαν. καίτοι θαυμαστὸν μέν, εἰ μηδὲν ὑπολαμβάνοντες τὴν τύχην ὅμως οὐκ ἔπειθον τοὺς ἀνθρώπους ὡς ἐπὶ κενὸν ὄνομα φέρονται, θαυμαστὸν δέ, εἰ γινώσκοντες οὖσαν παρέλιπον διδάξαι ὅπως ἐστίν. ἐγὼ δὲ ἀναμιμνήσκομαι νῦν, ὡς Ἐμπεδοκλῆς καὶ ἄκων περιπίπτει που τῷ ὀνόματι, καὶ χρώμενος εἰς ἀπόδοσιν τῆς φυσιολογίας τῇ τύχῃ πολλάκις λανθάνειν οἴεται· τῆς γὰρ τοῦ ἀέρος ἀποκρίσεως τὴν τύχην αἰτιᾶται λέγων ὡς οὕτω συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως, καὶ τὰ μόρια τῶν ζώων τὰ πλεῖστα ἀπὸ τύχης γενέσθαι φησίν. ἀλλ' οὗτος μὲν εἰς μικρὰ αὐτῇ καταχρώμενος, εἰ μηδέν' αὐτῆς πεποίηται λόγον, ἧττονος ἄξιος κατηγορίας ἂν εἴη, Δημοκρίτῳ δὲ καὶ τοῖς ἄλλοις πῶς οὐκ ἄξιον ἐγκαλεῖν, οἳ τὰ μέγιστα αὐτῇ προστιθέντες οὐδὲ ἐλαχίστου λόγου μεταδεδώκασιν ἀνθρώποις, τοὺς ἀπείρους οὐρανοὺς καὶ τὴν δίνην καὶ τὴν κατέχουσαν τάξιν εἰς ἄλλο μὲν οὐδὲν αἴτιον ἀναφέροντες, τύχης δὲ ἀνάψαντες μόνης καὶ τοῦ αὐτομάτου. καίτοι καὶ τοῦτο αὐτὸ καθ' αὑτὸ θαυμάζω τῶν ἀνδρῶν, εἰ τὰ μέγιστα καὶ θειότατα τῶν φαινομένων, τὸν οὐρανὸν καὶ τὴν τῶν ἄστρων χορείαν, ἐν οἷς οὐδὲν ἀόριστον οὐδὲ ἄτακτον, εἰς τὸ αὐτόματον ἀνάγουσι καὶ τὴν τύχην, ὁρῶντες καὶ τὰ φυτὰ καὶ ζῶα καθ' ὡρισμένας αἰτίας καὶ τεταγμένας γινόμενα, εἴτε φύσιν εἴτε νοῦν εἴθ' ἕτερόν

---

1 τὸ delendum 8 κατέλιπον V 13 θεῶν A 14 πολλάκις libri 16 μηδὲν A

τις ὀνομάζειν βούλοιτο τὰς αἰτίας· οὐ γὰρ περὶ τούτου νῦν διαφέρομαι, ἀλλ' ὅτι γε πόρρωθεν τὸ ἄλογον καὶ ἄτακτον καὶ αὐτόματον τῆς γενέσεως τούτων δῆλόν ἐστιν. διὰ τί γὰρ οὐ γίνεται ὅ τι ἔτυχεν ἐξ ὅτου ἔτυχεν, εἰ τύχη τὸ αἴτιον ἦν, ἀλλ' ἐξ ἀνθρώπου
fol. 26. μὲν ἄνθρωπος, ἐκ δ' ἐλαίας ἐλαία; καὶ οὐδεὶς ἀπὸ τύχης φησὶν ἵππον ἐξ ἵππου τετέχθαι, ἢ τὸν ἀστάχυν ἐκ τοῦ πυροῦ βεβλαστηκέναι. εἰ ταῦτα μὲν οὕτως ἃ καὶ ἐμποδίζεται καὶ διακόπτεται πολλάκις, ὁ δὲ οὐρανὸς καὶ τὰ ἄστρα καὶ ἡ ἀκίνητος καὶ διαιωνίζουσα τάξις οὐ κατὰ νοῦν οὐδὲ κατὰ λόγον συντέτακται, ἀλλ' ἐκ ταὐτομάτου καὶ τύχης, ἀμφότερα οὖν ἁμαρτάνουσιν, καὶ ὅτι πάντων αὐτὴν αἰτιῶνται, καὶ ὅτι μηδὲν ὑπὲρ αὐτῆς ἡμᾶς διδάσκουσιν. εἰσὶ δέ τινες οἳ τὴν τύχην αἰτίαν μὲν εἶναι καὶ πάνυ πολλῶν πεπιστεύκασιν, οὐκ ἔχοντες δὲ τὴν φύσιν αὐτῆς ἀποδοῦναι εἰς εὐσχήμονα λόγον ἀποδιδράσκουσιν ἄδηλον αὐτὴν αἰτίαν ἀνθρωπίνῃ διανοίᾳ τιθέμενοι. ἐοίκασι δὲ ἐξ ὧν λέγουσιν, θεῖόν τι καὶ δαιμονιώτερον αὐτὴν ὑπολαμβάνειν· ταύτης δὲ καὶ οἱ πολλοὶ τῆς δόξης εἰσὶν σεβόμενοι τὴν τύχην καὶ νεὼς οἰκοδομοῦντες αὐτῇ μετὰ τῶν θεῶν. σκεπτέον οὖν ἡμῖν ὥσπερ ἔφην, περὶ αὐτῆς κατὰ τὴν συνήθη μέθοδον.

5 Ὅτι μὲν οὖν ἔστιν καὶ ἐν οἷς ἐστὶν ἡ τύχη, λάβοιμεν ἂν οὕτως. τῶν γιγνομένων τὰ μὲν ὡσαύτως ἀεὶ γίγνεται ὡς τὰ ἀΐδια, τὰ δὲ ὡς ἐπὶ τὸ πλεῖστον ὡς τὰ φύσει, τὰ δὲ ἀντικείμενα τούτοις ὡς τὰ ἐπ' ἔλαττον. ἐπεὶ γάρ ἐστίν τινα ὡς ἐπὶ τὸ πλεῖστον γιγνόμενα, δῆλον ὡς ἔστι τινὰ καὶ ἐπ' ἔλαττον, ἃ

13 οὖν om A    17 εἰς om V    24 λάβωμεν libri

τὴν ἀναγκαίαν ἐκείνων γένεσιν διακόπτει. πότερον οὖν ἐν τοῖς ἐξ ἀνάγκης ἡ τύχη; καὶ τίς ἂν εἴποι τὸν ἥλιον ἀπὸ τύχης ἀνατέλλειν ἢ δύεσθαι τήμερον; ἀλλ' ἐν τοῖς ἐπὶ τὸ πλεῖστον; ἀλλ' οὐδεὶς λέγει Καλλίαν ἐκ τύχης πενταδάκτυλον γενέσθαι, ἢ καῦμα ἐν τοῖς ὑπὸ κύνα, ἢ χειμῶνα κατὰ τὸν τοξότην ὄντος ἡλίου. ἆρα οὖν ἐν τοῖς ἐπ' ἔλαττον ἡ τύχη; τοῦτο γὰρ καὶ ἡ κοινὴ δόξα φησί· τά τε γὰρ ὑπὸ τύχης γινόμενα σπανίως οἷόν τε συμβαίνειν, καὶ τὰ σπανίως συμβαίνοντα ἀπὸ τύχης οἷόν τε γίνεσθαι, καὶ τοῦτο μὲν ἐνταῦθα μενέτω, τὸ τὴν τύχην ἐν τοῖς ἐπ' ἔλαττον εἶναι. πάλιν δὲ ἄλλως διαιρουμένοις τῶν γινομένων τὰ μὲν ἕνεκά τινος γίνεται, ὥσπερ ὅσων διάνοια καὶ ὅσων ἡ φύσις δημιουργός, τὰ δὲ οὐδενὸς χάριν, ὥσπερ ὅταν ἡμεῖς ἐκτείνωμεν τρίχας ἢ κάρφος ἀναιρώμεθα. τούτων δὴ ποῦ τακτέον τὴν τύχην; φημὶ ὡς ἐν τοῖς ἕνεκά του. πῶς δέ, ἀναμεῖναι σμικρὸν βούλομαι. νῦν δὲ ἀναθεμένοις τοῦτο· οὐ γὰρ εἰς μακρὰν ἀποδειχθήσεται, τὸ συμβαῖνον δὲ ἐκ τῶν λημμάτων συλλογισώμεθα. κεῖται δὲ τὴν τύχην ἐν τοῖς ἐπ' ἔλαττον εἶναι, κεῖται δὲ καὶ ἐν τοῖς ἕνεκά του. τί δὴ τὸ ἐκ τούτων συμπεραινόμενον; τό τινα γίνεσθαι καὶ ἐπ' ἔλαττον ἐν τοῖς ἕνεκά τινος γιγνομένοις. τοῦ δὴ χάριν ὑπήχθην τουτὶ συλλογίσασθαι πρὸ τῆς θατέρου τοῖν λημμάτοιν διδασκαλίας; ὅτι τὸ ἕνεκά τινος οὐκ ἐν τοῖς ὡσαύτως ἔχουσι μόνον, οὐδ' ἐν τοῖς ἐπὶ τὸ πλεῖστον ὁμοίως. ἀλλ' οὐ δεῖ θαυμάζειν, εἰ καὶ ἐν τοῖς ἐπ' ἔλαττον εὑρεθείη. εἶεν. πῶς οὖν ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του;

---

14 τὰ δὲ] τὸ δὲ libri 15 ἐκτείνομεν — ἀναιρούμεθα libri 16 ψυχὴν A 18 scrib. ἀναθέμενοι 26 οὐδ'] οὐκ V

*προσδεῖ γὰρ δὴ τοῦτο τῷ λόγῳ. πάντες δὴ συμφαῖεν ἄν, ὅτι ὅσα γίνεται ὑπὸ διανοίας καὶ ὑπὸ φύσεως, ἕνεκά τινος γίνεται, οἷον τὸ προελθεῖν ἔξω τῆς οἰκίας· ἢ γὰρ τοῦ λούσασθαι ἕνεκα, ἢ τοῦ τῷ φίλῳ διαλεχθῆναι, καὶ τοῦ πεσεῖν ἐκ τοῦ στέγους τὴν κεραμίδα· τοῦ γὰρ εἰς τὸν οἰκεῖον ἐνεχθῆναι τόπον, φημὶ δὲ εἰς τὸν κάτω τὸ βαρὺ καὶ γήϊνον σῶμα, ἐπειδὴ οὐχ ἱκανῶς ἀνείχετο. ὅταν μὲν οὖν ἐκεῖνο τὸ τέλος αὐτοῖς ἀπαντήσῃ μόνον, οὗ καὶ τὴν ἀρχὴν χάριν ἐγένετο, οὐδὲν ἐνταῦθα ἔχει κοινὸν ἡ τύχη· ὅταν δὲ ὥσπερ εἴωθεν πολλάκις, ἕτερόν τι παρὰ τὸ προκείμενον ἐξ ἀρχῆς, ἐνταῦθα ἀναφαίνεται ἡ τύχη καὶ τὸ αὐτόματον. προῆλθεν μὲν γὰρ ὑπὲρ τοῦ λούσασθαι, περιέπεσεν δὲ τῷ λυττῶντι κυνί, καὶ κατηνέχθη μὲν ἡ κεραμὶς ὑπὲρ τοῦ τὴν οἰκείαν χώραν ἀπολαβεῖν, ἐπειδὴ παρὰ φύσιν ἦν αὐτῇ τὸ αἰωρεῖσθαι, ἔπληξε δὲ παριόντα τὸν ἄνθρωπον. ἔστι μὲν οὖν καὶ τῶν οὕτως συμβαινόντων ἢ τὴν φύσιν ἢ τὴν προαίρεσιν αἰτίαν πως εἰπεῖν, ἀλλ' οὐ καθ' αὑτήν· οὐ γὰρ τούτων χάριν οὔτε προῆλθεν ὁ ἄνθρωπος, οὔτε ὁ κέραμος κατηνέχθη, ἀλλ' εἰ ἄρα, κατὰ συμβεβηκός. τοῦτο οὖν ἐστὶν ἡ τύχη καὶ τὸ αὐτόματον, ὅταν αἰτία γένηται κατὰ συμβεβηκὸς ἡ φύσις τινὸς ἢ ἡ προαίρεσις. οὕτως οὖν ἔλεγον τὴν τύχην ἐν τοῖς ἕνεκά τινος εἶναι, ὅτι ἐστὶν ἐν τοῖς ἀπὸ διανοίας καὶ ἀπὸ φύσεως, ὅταν γένηται ταῦτα κατὰ συμβεβηκός τινων αἴτια, γίνεται δὲ κατὰ συμβεβηκός τινων αἴτια, ὅταν ἄλλα τινὰ αὐτοῖς ἀπαντήσῃ καὶ μὴ ὧν χάριν ἐγένετο· ἔστι γὰρ ὥσπερ τῶν ὄντων τὰ μὲν καθ'*

---

2 *γίνεται*] *γίνηται* A 3 *γίνονται* A *προσελθεῖν* A 10 *χάριν* om V 14 *καὶ* om A 17 *τὸν* om A 21 fort. *ἡ κεραμὶς*

αὐτά, τὰ δὲ κατὰ συμβεβηκός, καθ' αὑτὰ μὲν ἡ οὐσία, κατὰ συμβεβηκὸς δὲ τὰ ταύτῃ συμβεβηκότα, οὕτω καὶ τῶν αἰτίων τὰ μὲν καθ' αὑτὰ αἴτια, τὰ δὲ κατὰ συμβεβηκός, καθ' αὑτὸ μὲν αἴτιον τῆς οἰκίας ὁ οἰκοδόμος, κατὰ συμβεβηκὸς δὲ ὁ λευκὸς ἢ μουσικός· καὶ τὸ μὲν καθ' αὑτὸ ὡρισμένον, τὸ δὲ κατὰ συμβεβηκὸς ἀόριστον· ἄπειρα γὰρ ἂν τῷ οἰκοδόμῳ συμβαίη. τοιοῦτον δὲ καὶ ἡ τύχη, καὶ διὰ τοῦτο ἀόριστον. διαφέρει δὲ τῶν ἄλλων τῶν κατὰ συμβεβηκὸς αἰτίων ἡ τύχη, ὅτι ἐκείνων μὲν ἕκαστον ἐπειδὴ τῷ καθ' αὑτὸ αἰτίῳ συμβέβηκεν, οὕτως αἴτιον καὶ αὐτὸ λέγεται τὸ λευκὸν ἢ τὸ μουσικὸν ἢ τὸ περιπατοῦν ἢ τὸ καθήμενον, διόπερ οὐδὲ αἴτιόν τινος κυρίως ἐστὶ τὸ τοιοῦτον, ἐπὶ δὲ τῆς τύχης ἡ αὐτὴ πρᾶξις καὶ μία ἄλλου μὲν καθ' αὑτὴν αἰτία, ἄλλου δὲ κατὰ συμβεβηκός· τὸ γὰρ ὀρύξαι τοῦ μὲν φυτεῦσαι καθ' αὑτὸ αἴτιον, τοῦ δὲ τὸν θησαυρὸν εὑρεῖν κατὰ συμβεβηκός, ὥστε ἐκεῖ μὲν ἐν τοῖς αἰτίοις ἡ διαφορά· τὸ μὲν γὰρ καθ' αὑτό, τὸ δὲ κατὰ συμβε- fol.
βηκός· ἐνταῦθα δὲ ἐν τοῖς τέλεσι τοῦ μὲν καθ' αὑτό, 26b.
τοῦ δὲ κατὰ συμβεβηκός. ἔχει μέντοι γε καὶ τὸ ἀόριστον οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον ἡ τύχη· τὸ γὰρ εὑρεῖν τὸν θησαυρὸν πολλοῖς ἂν καὶ ἀπείροις αἰτίοις ἐπισυμβαίη χάριν ἄλλου τινὸς γινομένοις, τοῦ φυτεῦσαι χάριν ὀρύσσοντι, τοῦ θεμέλια καταβάλλεσθαι, τοῦ διαγαγεῖν ὀχετόν, φρεατείας ἕνεκεν, λάκκου μνήματος ἠρίου μυρίων ἄλλων. καθάπερ οὖν ἐλέχθη καὶ πρότερον· οὐδὲν γὰρ ἄτοπον σχολὴν ἄγοντα πολλάκις τὰ αὐτὰ συναφείας ἕνεκεν ἀναλαμβάνειν, ὅταν

12 alterum τὸ om A 21 ἔχοι libri τὸ om A 23 αἰτίοις om A 29 συναφείας] σαφηνείας A παραλαμβάνειν A

*τὰ ἕνεκά του γινόμενα γένηταί τινος αἴτια κατὰ συμβεβηκός, τὰ τούτοις οὕτως ἀπηντηκότα ἀπὸ τύχης λέγεται γεγονέναι ἢ ταὐτομάτου, οἷον ἕνεκα μὲν τοῦ λούσασθαι προῆλθεν, ἀπέλαβε δὲ τὸ ἀργύριον περιτυχὼν τῷ δεδανεισμένῳ κομιζομένῳ τὸν ἔρανον· τοῦ γὰρ ἀπολαβεῖν αἴτιον κατὰ συμβεβηκὸς τὸ προελθεῖν· οὐ γὰρ τούτου χάριν ἐγίνετο ὡς εἰ τούτου γε ἕνεκεν, οὐκ ἂν ἐλέγετο ἀπὸ τύχης ἀπειληφέναι τὸ ἀργύριον· ἀλλ' οὔτε εἰ κατὰ ἀνάγκην εἰς τὸν τόπον ἐκεῖνον ἐφοίτα, οὔτε εἰ κατὰ συνήθειαν ὡς ἐπὶ τὸ πλεῖστον· οὐκέτι γὰρ παράλογον τὸ τοιοῦτον, οὐδὲ σπάνιον. καὶ τοῦτο δὲ ἐπὶ τῆς τύχης θεωρητέον, ὅτι τὸ κατὰ συμβεβηκὸς οὐκ ἐπὶ τοῦ ποιητικοῦ μόνου αἰτίου, ἀλλὰ καὶ ἐπὶ τοῦ τέλους εὑρίσκεται· ὥσπερ γὰρ τὸ προελθεῖν κατὰ συμβεβηκὸς ποιητικόν ἐστι τοῦ κομίσασθαι, οὕτω καὶ τὸ ἀπολαβεῖν κατὰ συμβεβηκὸς τέλος τοῦ προελθεῖν, καὶ τὸ μὲν ὡς ποιητικὸν αἴτιον τύχη καλεῖται, τὸ δὲ ὡς τελικὸν τὸ ἀπὸ τύχης. δεῖ δὲ καὶ τοῦτο ἀόριστον εἶναι καὶ μὴ τεταγμένον, ὡς εἴγε εἴη τεταγμένον τε καὶ ὡρισμένον, οὐκέτ' ἀπὸ τύχης ἐστίν. εὐλόγως δὲ καὶ τοῦτο ἀόριστον· κατὰ συμβεβηκὸς γὰρ καὶ τοῦτο, καὶ οἷόν τε ἦν οὐ τὸ κομίσασθαι ἀπαντῆσαι μόνον τῷ προελθεῖν, ἀλλὰ καὶ τὸ πληγῆναι καὶ τὸ θεάσασθαι τὴν πομπήν· ἓν μὲν γάρ ἐστιν οὗ χάριν ἐγένετο τὸ προελθεῖν, ἄπειρα δὲ τὰ τούτῳ δυνάμενα ἐπισυμβῆναι. δῆλον ἄρα ἐκ τῶν εἰρημένων, ὅτι τύχη ἐστὶν αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς οὔτε ἐξ ἀνάγκης οὔτε ἐπὶ τὸ πολὺ γινομένοις, ἀλλ' ἐν τοῖς ἐπ' ἔλαττον, καὶ τούτων γε ἐν τοῖς ἕνε-*

---

15 *κομίσασθαι*] *ἀπολαβεῖν* A   23 *ἀπαντῆσαι* delendum videtur   *μόνον τὸ* V   26 *ἐπιβῆναι* A

κά του κατὰ προαίρεσιν· διόπερ ἐν ὅσοις διάνοια, ἐν τούτοις καὶ τύχη· ἡ γὰρ προαίρεσις οὐκ ἄνευ διανοίας. ἀόριστα μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι ἀφ' ὧν γένοιτο ἂν τὸ ἀπὸ τύχης, ὅθεν δοκεῖ ἡ τύχη ἀόριστος εἶναι· πάντα γὰρ τὰ κατὰ συμβεβηκὸς αἴτια τὸ ὡρισμένον οὐκ ἔχει· ταύτῃ γὰρ μάλιστα τῶν καθ' αὑτὰ διαφέρει, ὅτι ἐπ' ἐκείνων μὲν ἔστιν ὁρίσαντας εἰπεῖν τόδε τοῦδε αἴτιον, οἷον τὸν οἰκοδόμον τῆς οἰκίας, ἐπὶ δὲ τῶν κατὰ συμβεβηκὸς οὔ· οὐκέτι γὰρ μᾶλλον ὁ λευκὸς ἢ ὁ μουσικός. οὕτως οὖν καὶ τοῦ κομίσασθαι τὸ ἀργύριον προελθόντα ἄπειρα τὸ πλῆθος αἴτια· καὶ γὰρ ἰδεῖν τινὰ βουλόμενος καὶ διώκων καὶ φεύγων καὶ θεασάμενος. εἰ μὲν οὖν τὰ καθ' αὑτὰ αἴτια λέγει, οὐδὲν ἂν γίγνεσθαι δόξειεν ἀπὸ τύχης· εἰ δὲ καὶ τὰ κατὰ συμβεβηκὸς παραδέχοιτο, γίγνοιτ' ἄν τι καὶ ἀπὸ τύχης. παράλογον δὲ οὐδὲν θαυμαστὸν τὴν τύχην λέγεσθαι· ὁ γὰρ λόγος ἐν τοῖς ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολύ, ἀλλ' ἐπεὶ κατὰ συμβεβηκὸς αἴτιον ἡ τύχη, ἐν δὲ τούτοις ἦν τινὰ ἐγγυτέρω τε καὶ πορρωτέρω, ἐγγύτερον μὲν ὁ Πολύκλειτος αἴτιος τοῦ ἀνδριάντος, πορρώτερον δὲ ἄνθρωπος· οὕτω γένοιτο ἂν καὶ ἐν τοῖς ἀπὸ τύχης αἰτίοις, οἷον ὑγιείας αἴτιον ἐγένετο τῷ νοσοῦντι ἢ πνεῦμα ἢ εἰληθέρησις ἢ τὸ κείρασθαι καὶ ἀραιωθῆναι τὴν κεφαλὴν μηδὲν τούτων ἕνεκα τῆς ὑγιείας ποιήσαντι, ἀλλ' ἢ τοῦ πρᾶξαι χάριν ἢ τοῦ θεάσασθαί τινα ἢ τοῦ τὴν κόμην ἀποθέσθαι· καὶ γὰρ ἐνταῦθα προσεχέστερον τῆς ὑγιείας τὸ πνεῦμα αἴτιον τοῦ κείρασθαι. ὅταν μὲν οὖν τὰ κατὰ συμβεβηκὸς ἀλλήλοις ἀντεξετάσωμεν,

---

2 καὶ] ἡ A  5 ἀόριστον A  13 fort. καὶ θεασόμενος, nisi potius delenda sunt, conf. var. lect. in Arist.  19 δὲ om V  28 αἴτιον] αἰτίου libri  29 τὰ om V

*ἔστιν εὑρεῖν προσεχέστερα καὶ πορρώτερα· ὅταν δὲ ἁπλῶς ζητήσωμεν τί ἂν αἴτιον γίγνοιτο τοῦ ἀπὸ τύχης, οὐκ ἔστιν ὁρίσαντας εἰπεῖν τόδε τι· ἄπειρα γὰρ καὶ ἀόριστα ληφθῆναι δύναται, καθάπερ ἔφθημεν πολλάκις προειρηκότες.*

*Εὐτυχία δ' ἐστὶν ὅταν τοιοῦτόν τι ἀπαντήσῃ τέλος, οἷον ἄν τις καὶ προείλετο ἐξ ἀρχῆς, ἀτυχία δὲ ὅταν μὴ τοιοῦτον. τύχη δὲ ἀγαθὴ μὲν λέγεται ὅταν ἀγαθόν τι ἀποβῇ, φαύλη δὲ ὅταν φαῦλον. εὐτυχία δὲ καὶ ἀτυχία ὅταν μέγεθος ἔχῃ ταῦτα. καὶ τὸ παρὰ μικρὸν μέγα ἀγαθὸν λαβεῖν καὶ γενόμενον ἐγγὺς εὐτυχία μεγάλη, ὅτι ὡς ὑπάρχον αὐτὸ ἤδη λέγει ἡ διάνοια· τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ, ὁμοίως δὲ καὶ τὸ παρὰ μικρὸν μέγα κακὸν λαβεῖν ἀτυχίας εἶναι λέγεται μεγάλης. ἀλλὰ καὶ ἀβέβαιος ἡ εὐτυχία εὐλόγως· ἡ γὰρ τύχη ἀβέβαιος· οὔτε γὰρ ἐξ ἀνάγκης, οὔτε ὡς ἐπὶ τὸ πολύ.*

6 *Ἔστι μὲν οὖν καὶ τὸ αὐτόματον αἴτιον κατὰ συμβεβηκὸς ὡς προείρηται, ἐν τοῖς ἐπ' ἔλαττον γινομένοις καὶ ἕνεκά του, διαφέρει δὲ τῆς τύχης, ὅτι τὸ αὐτόματον ἐπὶ πλέον ἐστὶ καὶ λέγεται. τὸ μὲν γὰρ ἀπὸ τύχης πᾶν καὶ ἀπὸ ταὐτομάτου, οὐ πᾶν δὲ τὸ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης· ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἐστὶν οἷς ἂν καὶ τὸ εὐτυχῆσαι ὑπάρξῃ, καὶ ὅλως πρᾶξίς τις, διὸ καὶ ἀνάγκη περὶ τὰ πρακτὰ εἶναι τὴν τύχην, πρακτὰ δὲ τὰ κατὰ προαίρεσιν, ὡς ἐν ἠθικοῖς εἴρηται. σημεῖον δέ, ὅτι ἡ εὐτυχία δοκεῖ*

---

6 *εὐτυχία*] invenit igitur Themistius in Aristotele, quae leguntur in codice E. 10 *τὸ* om V 12 *εὐτυχία*] *ἀτυχία* libri 15 *ἀτυχίας*] *εὐτυχίας* libri 24 *τὸ* ante *ἀπὸ* om A *ὑπάρξῃ*] scrib. *ὑπάρξαι* 25 *πρακτὰ*] *πράγματα* V bis 27 *ἠθικοῖς*] I, 10. II, 4.

ταὐτὸν εἶναι τῇ εὐδαιμονίᾳ, ἡ δὲ εὐδαιμονία εὐπραξία τις καὶ περὶ πρᾶξιν, ὥστε ὅσοις μὴ ἐνδέχεται πρᾶξαι, οὔτε ἀπὸ τύχης τι ποιῆσαι τούτοις ἐνδέχεται. καὶ διὰ τοῦτο οὔτε ἄψυχον οὐδὲν οὔτε θηρίον ποιεῖ fol. 27. τι ἀπὸ τύχης, ὅτι οὐκ ἔχει προαίρεσιν, οὐδὲ εὐτυχία οὐδὲ ἀτυχία ὑπάρχει τούτοις, εἰ μὴ ἄρα καθ' ὁμοιότητα, ὥσπερ ἔφη Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοὶ καὶ τὰ ἀγάλματα, ὅτι σεβόμεθα αὐτοὺς μηδὲν εἰς τοῦτο συντελέσαντας, τοὺς δὲ ὁμόζυγας αὐτῶν, ἂν οὕτω τύχῃ, καταπατοῦμεν. ὑπάρχει δὲ τῶν ἀψύχων τισὶ καὶ οὕτως τὸ ἀπὸ τύχης, ὅταν τις ἀπὸ τύχης τι πράξῃ διὰ τοιούτων ὀργάνων, οἷον ὁ τὸν τύραννον Προμηθέα πλήξας μὲν ὑπὲρ τοῦ ἀνελεῖν, διακόψας δὲ τὸ φῦμα καὶ ἰασάμενος· εὐτυχὲς γὰρ ἂν οὕτω λέγοιτο τὸ ξίφος, ἐπεὶ προσκυνοῖτο ὑπὸ τοῦ θεραπευθέντος. τὸ δὲ αὐτόματον οὐκέτι καθ' ὁμοιότητα ἀλλὰ κυρίως ἂν καὶ τοῖς ἀψύχοις ὑπάρχοι καὶ τοῖς ἄλλοις ἀλόγοις τῶν ζώων, οἷον ἵππος ἐκ ταὐτομάτου ἐσώθη ληφθεὶς ὑπὸ τῶν πολεμίων, ὅτι ἦλθε μὲν τοῦ πιεῖν ἕνεκα, ἐλθὼν δὲ ἐσώθη παρὰ τοῦ δεσπότου· καὶ ὁ τρίπους ἐκ ταὐτομάτου κεῖται οὕτως ὥστε καθῆσθαι ἐπ' αὐτοῦ, οὐ τούτου κατέπεσεν ἕνεκεν· καὶ τὸ τέλος δὲ τὸ ἀπαντῆσαν ἔξωθεν εἶναι δοκεῖ καὶ οὐκ ἐν τῇ φύσει τοῦ πράγματος· εἰ γὰρ ὁ πεσὼν λίθος κυβικὸν ἔχει τὸ σχῆμα, οὐκ ἐκ ταὐτομάτου κεῖται πρὸς τὸ καθέζεσθαι ἐπιτηδείως· ἐν τῇ φύσει γὰρ ἦν αὐτοῦ τὸ πάντως εἰ πίπτοι, τοιοῦτον καταπεσεῖν τρόπον. διὰ τοῦτο οὐδὲ

---

6 οὐδὲ ἀτυχία om V 13 Προμυθέα A. vid. Simplicius fol. 78. Wyttenbach ad Plutarch. p. 89. C. Creuzer ad Ciceron. de nat. deor. p. 645. 16 θεραπεύοντος A 18 ὑπάρχει libri 21 παρὰ] ὑπὸ V 22 καθῆσθαι] καθεσθῆναι A 25 τὸ om A

τὸ πῦρ ἀπὸ ταὐτομάτου κινεῖται ἄνω· φύσις γὰρ αὕτη τοῦ πυρός. τὸ μὲν οὖν ἀπὸ ταὐτομάτου τοιοῦτον λέγω, τὸ δὲ κοινὸν ὃ καὶ ἐπὶ τῆς τύχης ἂν λέγοιτο. ἀπὸ τύχης δέ ἐστιν ὅσα γίνεται ἀπὸ ταὐτομάτου ἐν τοῖς προαίρεσιν ἔχουσιν, οὐκέτι δὲ ἅπαντα τὰ παρὰ τὴν προαίρεσιν εὐθὺς ἀπὸ τύχης ἐστίν· τῷ γὰρ πλεύσαντι χειμῶνος ἀπήντησεν μὲν οὐ κατὰ προαίρεσιν ἡ ναυαγία, οὐ μὴν οὐδὲ ἀπὸ τύχης· ὡς ἐπὶ τὸ πολὺ γὰρ οὕτως συμβαίνει. ὅτι δὲ τὸ αὐτόματον τοιοῦτόν ἐστιν οἷον εἰρήκαμεν, σημεῖόν ἐστιν ὅτι μάτην λέγεται ἐκεῖνα γενέσθαι οἷς οὐκ ἀπήντησεν τὰ τέλη, ὧν χάριν ἐπράχθη. ὅταν γὰρ βαδίσῃ μέν τις ὑπὲρ τοῦ τὴν γαστέρα διαχωρῆσαι, τοῦτο δὲ μὴ συμβῇ, μάτην αὐτόν φαμεν βεβαδικέναι, ὡς τούτου ὑπάρχοντος μάτην τὸ πεφυκὸς ἄλλου ἕνεκα, ὅταν μὴ γένηται ἐκεῖνο, οὗ ἕνεκα ἦν ἢ ἐπεφύκει, ἐπεὶ εἴ τις φαίη λελοῦσθαι μάτην, ὅτι οὐκ ἐξέλιπεν ὁ ἥλιος, γελοῖος ἂν εἴη· οὐ γὰρ ἦν τοῦτο ἐκείνου ἕνεκα. οὕτω δὴ καὶ τοὔνομα τοῦ αὐτομάτου παρὰ τὸ μάτην γεγονέναι. πολλάκις μὲν οὖν τῷ μάτην γιγνομένῳ οὐδὲν ἕτερον ἠκολούθησεν, ἀλλὰ μόνον τὸ τοῦ οἰκείου τέλους ἡμαρτηκέναι, ὡς τῷ περιπατοῦντι τὸ μὴ καθαρθῆναι, καὶ τοῦτό ἐστι μάτην, πολλάκις δὲ ἕτερόν τι καὶ οὐχ οὗ πέπρακται ἕνεκεν, ὡς τὸ χρυσίον εὑρεῖν τῷ βαδίζοντι διὰ κάθαρσιν, καὶ τοῦτό ἐστιν ἀπὸ ταὐτομάτου. διαφέρει δὲ τοῦ ἀπὸ ταὐτομάτου τὸ μάτην, ᾗ καὶ τὸ τελικὸν τοῦ ποιητικοῦ, καθάπερ καὶ τὸ ἀπὸ τύχης τῆς τύχης. ὅλως γὰρ ὅταν

5 ἐν] τῶν προαιρετῶν Aristoteles 12 βαδίσῃ μέν τις] βαδίσωμεν V 14 συμβῇ] συμβέβηκε V αὐτὸν om V 15 scrib. τοῦτο ὑπάρχον τὸ μάτην 19 δὴ] δὲ libri 20 μάτην] immo αὐτὸ μάτην 26 διαφέρει δὲ τοῦ ἀπὸ ταὐτομάτου om V

τι τοιοῦτον ἀποβῇ, ὅπερ ἔχει μὲν οἰκεῖα ποιητικά, γίνεται δὲ μὴ τῶν οἰκείων προϋπαρξάντων, ἀλλ' ἑτέρων τινῶν οἷς καὶ αὐτοῖς ἕτερον οἰκεῖον ἠκολούθει τέλος, τότε τὰ μὲν προϋπάρξαντα μάτην λέγεται γεγονέναι, ὅτι μὴ γέγονεν ἐξ αὐτῶν ὃ προέκειτο· τὰ δὲ ἐπισυμβάντα ἐκ ταὐτομάτου ὅτι μὴ προϋπαρξάσης ἐγένετο τῆς οἰκείας ἀρχῆς, οἷον ὁ λίθος καταπεσὼν ἐπάταξε τὸν παριόντα· ἐνταῦθα γὰρ τὸ μὲν πατάξαι τέλος, τὸ δὲ πεσεῖν ποιητικὸν αἴτιον εἴποιμεν ἄν. ἀλλὰ καὶ τὸ πατάξαι ἑτέραν εἶχεν οἰκείαν ἀρχὴν οὐ τὸ πεσεῖν, ἀλλὰ φέρε τὸ βληθῆναι ὑπό τινος, ὥστε τὸ πατάξαι καὶ τὸ πεσεῖν οὐ τὸ πατάξαι τέλος εἶχεν, ἀλλ' εἰς τὸν οἰκεῖον ἐνεχθῆναι τόπον, ἀλλήλων δὲ ἐγένετο κατὰ συμβεβηκὸς τὸ μὲν αἴτιον, τὸ δὲ τέλος. ὁ δὲ προϊὼν μὲν ὑπὲρ τοῦ πρᾶξαί τι, πληγεὶς δὲ καὶ ἀναστρέψας μάτην μὲν προῆλθεν, ἀπὸ ταὐτομάτου δ' ἐπλήγη, τάχα δ' οὕτως καὶ ἀπὸ τύχης· τὸ ἀπὸ ταὐτομάτου γὰρ ἐπὶ πλέον. γνοίης δ' ἂν κἀκεῖθεν· ὅταν γάρ τι παρὰ φύσιν γένηται, οἷον πολλὰ τέρατα τίκτεται, τότε οὐκ ἀπὸ τύχης, ἀλλ' ἐκ ταὐτομάτου φαμὲν γεγονέναι, οἷον τὸν ἑξαδάκτυλον ἢ στρουθοκέφαλον· ἢ ταῦτα οὐκ ἔστιν ἀπὸ ταὐτομάτου; ἔχει γὰρ οἰκείαν αἰτίαν τὴν προϋπάρχουσαν ἐν αὐτοῖς· ἢ γὰρ ψύξιν ἢ ἔλλειψιν ἢ πλεονασμὸν τῆς ὕλης. ἀλλά φησί τις ὅτι καὶ ὁ πεσὼν λίθος ἔνδον εἶχε τὴν βαρύτητα. ἀλλὰ τοῦ πεσεῖν μὲν αὕτη ποιητική, τοῦ πλῆξαι δὲ οὔ, ὃ ἔφαμεν ἐκ ταὐτομάτου. τί μὲν οὖν ἐστὶν ἡ τύχη καὶ τί τὸ αὐτόματον, εἴρηται, καὶ τίς ἡ πρὸς ἄλληλα τούτων διαφορά. ἀνάγονται δὲ εἰς τὸ ποιη-

---

6 ἐπισυμβάντως V 8 παριόντα] fort. προϊόντα 11 ὥστε τὸ] ὥστε A 18 δ'] γ' V 27 οὔ, ὃ] οὐκ V

*τικὸν εἶδος τῶν αἰτίων, ὅτι ποιητικοῖς αἰτίοις ἐπισυμβαίνει ἢ φύσει ἢ διανοίᾳ, φύσει μὲν κατενεχθεὶς ὁ λίθος διὰ τὸ βάρος ἐπάταξε, διανοίᾳ δὲ διορύττων θεμέλιον θησαυρὸν εὗρεν. ἔστι δὲ οὔτε τὸ διορύττειν τύχης καθ' ἑαυτό, οὔτε [τοῦ θησαυροῦ ἡ εὕρεσις· ὀρύξειε γὰρ ἄν τις καὶ θησαυρὸν εὑρίσκειν ἐλπίζων, ἀλλ' ὅταν τοῦτο ἐκείνου μὴ γένηται χάριν, ἀπαντήσῃ δὲ ἀλλήλοις καὶ οἷον συγκρούσῃ, ἡ τούτων συνδρομὴ τύχη καλεῖται. ἐπειδὴ δὲ ἡ τύχη καὶ τὸ αὐτόματον ἐπ' ἐκείνων ἀπεδείχθησαν, ἐφ' ὧν νοῦς ἢ φύσις γένοιτο ἂν αἴτια κατὰ συμβεβηκός, νοῦς ἄρα καὶ φύσις πρότερα τύχης καὶ αὐτομάτου· ἀεὶ γὰρ πρότερα τὰ καθ' αὑτὰ τῶν κατὰ συμβεβηκός, ὥστε ὅσοι τοῦδε τοῦ παντὸς τύχην αἰτίαν ἀποδιδόασιν, δῆλον ὅτι νοῦν πρότερον καταλείψουσιν. εἰ οὖν ἐξ ἀνάγκης αὐτοῖς ἀκολουθεῖ τὸν νοῦν αἴτιον τίθεσθαι, ὅρα πῶς τὸ λειπόμενον γελοῖον· εἰ γὰρ κατὰ συμβεβηκὸς αἴτιος ὁ νοῦς τοῦ ἀνθρώπου, οὐχ εὑρίσκω τίνος καθ' αὑτὸν ἔσται ποιητικός.*

7

fol. 27b. *Ὅτι δὲ τοσαῦτα αἴτια τὸν ἀριθμὸν ὅσα λέγομεν, δῆλον ἐκεῖθεν. ἐρωτώμενοι γὰρ ἐφ' ἑκάστου διότι ἔστιν ἕκαστον, ἢ τὸν ὁρισμὸν ἀποκρινόμεθα ἔσχατον ὡς ἐν τοῖς μαθηματικοῖς, οἷον διὰ τί αἵδε ἴσαι; ὅτι ἐν κύκλῳ ἀπὸ τοῦ κέντρου; διὰ τί δὲ αἱ ἀπὸ τοῦ κέντρου ἐν κύκλῳ ἴσαι; ὅτι κύκλος ἐστὶ σχῆμα ἐπίπεδον, καὶ ὥσπερ ὁρίζονται οἱ γεωμέτραι· ἢ τὸ κινῆσαν πρῶτον, οἷον διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι; ὅτι ἐσύλησαν οἱ Φωκεῖς τὸν νεών· ἢ τὸ οὗ*

---

8 *συγκρούσει* libri 11 *αἰτία* V 13 *αὐτὸ* V 14 *ἀποδίδωσιν* A 18 *ἀνθρώπου*] immo *οὐρανοῦ*. 19 scrib. *αὑτὸ* 22 *ὁρισμὸν*] *ὅρον* A 25 *ὅτι*] *διότι* V 27 *τί*] *τοῦτο* A

ἕνεκα, διὰ τί ἐπολέμησεν τοῖς Ἕλλησιν ὁ βασιλεύς; ἵνα ἄρξῃ τῶν Ἑλλήνων· ἢ ἐπὶ τὴν ὕλην ἐσχάτην ἐρχόμεθα, οἷον διὰ τί ἐσάπη τὸ βάθρον; ὅτι ξύλινον ἦν.

Ὁ φυσικὸς δὲ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει. διὰ τί ἄνθρωπος ἀποθνήσκει; ἢ γὰρ ὅτι ζῶόν ἐστι λογικὸν θνητόν, ἢ ὅτι τὸ ποιητικὸν ἡ ψυχὴ αὐτοῦ πρόεισι καὶ ἄπεισιν, ἢ ὅτι ἐξ ὕλης ἐστὶ φθαρτῆς, ἢ ὅτι βέλτιον αὐτῷ τὸ ἀποθνήσκειν. ἔρχεται δὲ τὰ τρία εἰς ἓν πολλάκις, τὸ εἶδος, τὸ οὗ ἕνεκα, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· ἡ γὰρ φύσις καὶ ὡς τέλος καὶ ὡς εἶδος καὶ ὡς ποιητικὸν αἴτιον τῶν φύσει γινομένων ἐστίν, ὁμοίως δὲ καὶ ἡ ψυχή, ἀλλὰ καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ ὁ αὐτὸς ὢν κατὰ τὸ εἶδος τῷ γινομένῳ· καὶ πάντα δὲ ὅλως ὅσα κινούμενα κινεῖ τε προσεχῶς καὶ δι' οὐδενὸς μέσου ὁμοιειδῆ ἐστιν τοῖς ὑπ' αὐτῶν γιγνομένοις, λέγω δὲ ἐπὶ τῶν φυσικῶν· περὶ γενέσεως γὰρ τοῦτον τὸν τρόπον σκοποῦσι τὰς αἰτίας, τί γίνεται μετὰ τί· ἕνεκα γὰρ τοῦ εἴδους ἡ φύσις κινεῖται πρὸ αὐτοῦ, καὶ ὅταν αὐτὸ ἐξεργάσηται, παύεται τῆς εἰς τὸ πρόσθεν προόδου· τί ἔπαθε καὶ ἠλλοιώθη ὅπερ ἐστὶν ὕλη· τί ἐποίησεν καὶ ἐκίνησεν. ἀλλὰ τοῦτό γε οὐ πᾶν, ἀλλὰ τὸ προσεχὲς καὶ εἴ τι κινούμενον. εἰ δέ τι ἀκίνητον ὂν ἀρχὴ καὶ κινήσεως γίνεται, οὐκέτι φυσικὸς ἂν ἀλλ' ὁ πρῶτος φιλόσοφος διορίσειεν. διὸ καὶ τρεῖς αἱ πραγματεῖαι, ἡ μὲν περὶ κινούμενα καὶ φθαρτά, ἡ δὲ περὶ κινούμενα ἄφθαρτα δέ, ἡ δὲ περὶ ἄφθαρτα καὶ ἀκίνητα. διτταὶ γὰρ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς, ὧν ἡ ἑτέρα οὐ φυσι-

---

1 διὰ τί] διότι A  2 ἔσχατα A  3 διὰ τί] διότι A, item v. 5. 6.  8 αὐτῶν A  10 ὅθεν] malim τὸ ὅθεν  24 ἀρχὴ καὶ] ἄρχον A  29 ἀρχαὶ αἱ] ἀρχαὶ A

κή· οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν ἐν αὑτῇ οὐδὲ φύσιν, τοιοῦτον δέ ἐστιν εἴ τι κινεῖ μὴ κινούμενον, ὥσπερ τὸ παντελῶς ἀκίνητον καὶ τὸ πάντων πρῶτον. κατὰ πάντας οὖν τοὺς τρόπους ἀποδοτέον τὸ διὰ τί, καθάπερ καὶ προειρήκαμεν καὶ πάλιν ἐροῦμεν γυμνασίας χάριν· διὰ τί τόδε ἐγένετο; ἐπειδὴ τόδε ἦν αὐτοῦ ποιητικόν, ὅπερ ἐν μὲν τοῖς ἀϊδίοις ἁπλῶς ποιεῖ καὶ ἐξ ἀνάγκης· τῷ γὰρ πρώτῳ τὸ δεύτερον ἕπεται, ἐν δὲ τοῖς γενητοῖς ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἐπειδὴ τόδε μέλλει γενήσεσθαι, ἀνάγκη τήνδε προυπάρχειν τὴν ὕλην, ὥσπερ ἐν τῷ συλλογισμῷ οὐχ οἷόν τε γενέσθαι τὸ συμπέρασμα μὴ προληφθεισῶν τῶν προτάσεων, καὶ ὅτι τοῦτο ἦν τὸ τί ἦν εἶναι, καὶ ὁ λόγος τοῦ πράγματος ὃ πολλάκις ὥσπερ ἔφην, συντρέχει τῷ οὗ ἕνεκα, ὅταν λαμβάνηται ὅτι βέλτιον οὕτως ἔχειν αὐτῷ· ἄμεινον γὰρ ἦν τοιόνδε εἶδος εἶναι ἀνθρώπου καὶ μὴ ἄλλο. τὸ βέλτιον δὲ οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὴν ἑκάστου οὐσίαν ληπτέον· οὐ γὰρ ἓν πᾶσιν τέλος τὸ ἄριστον· ἓν γὰρ ἂν ἦν τοῦτον τὸν τρόπον ἁπάντων τὸ τέλος, ἀλλ' ἅμα τῶν ἐν τῇ οἰκείᾳ φύσει δυναμένων ἑκάστου γενέσθαι. ὅταν μὲν οὖν οὕτω λαμβάνηται ὁ λόγος, ὡς εὐθὺς ἔχειν τὸ βέλτιον οὕτως ἢ ἄλλως, ὁ αὐτὸς γίνεται τῷ οὗ ἕνεκεν, ὥσπερ ἐπὶ τῶν φυσικῶν· ὅταν δὲ μηκέτι ἐγχωρῇ τοῦτο ποιῆσαι, μένει τὸ εἶδος μόνον, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν· οὐ γὰρ ὥσπερ ἐπ' ἀνθρώπου καὶ ἵππου καὶ φυτοῦ δυνάμεθα ἐπιδεικνύναι ὑπάρχειν ἀεὶ τῷ εἴδει τὸ τοῦ κρείττονος ἐστοχάσθαι, οὐχ οὕτως ἐπὶ τῶν μαθηματικῶν· γελοῖος γὰρ εἴ τις ἐπι-

3 παντελῶς] παντελὲς libri 17 ἄλλοις V 19 ἄριστον] ἀόριστον V

χειροίη δεικνύναι, ὅτι τῷ μὲν κύκλῳ βέλτιον ἦν τὸ τὰς ἀπὸ κέντρου γραμμὰς ἴσας ἔχειν, τῷ τετραγώνῳ δὲ τὰς περιεχούσας αὐτό.

Ἀλλ᾽ ἐπειδὴ τὴν φύσιν ἕνεκά του ποιεῖν πολλά- 8
κις ἡμῖν ἔμπροσθεν εἴρηται, ἤδη τοῦτο αὐτὸ δεικτέον· ἔχει γάρ τινας ἀμφισβητήσεις. ἀποδεικτέον δὲ καί, ὅπως ἔχει τὸ ἀναγκαῖον τὰ φυσικά, ἐπειδὴ πάντες σχεδὸν οἱ περὶ φύσεως διαλεχθέντες εἰς τὴν ἀνάγκην ἀνάγουσι τὰς αἰτίας, οὐδὲν ἄλλο τὴν ἀνάγκην ἢ τὴν ὕλην εἶναι νομίζοντες. ἐπειδὴ γὰρ τὸ θερμὸν τοιονδὶ καὶ τὸ ψυχρὸν καὶ ἕκαστον τῶν ὑλικῶν, ὃ τίθεται ἀρχὴν ἕκαστος, ἐξ ἀνάγκης τόδε ἐγένετο. καὶ γὰρ ὅσοι ποιητικῆς αἰτίας ἐμνημόνευσαν ὅσον ἁψάμενοι χαίρειν ἐῶσιν ὡς Ἐμπεδοκλῆς γε καὶ Ἀναξαγόρας, καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν. λέγουσι δέ τινες τὴν. φύσιν οὐχ ἕνεκά του ποιεῖν, οὐδὲ ὅτι βέλτιον οὕτως, ἀλλ᾽ ὥσπερ ὕει φασὶν ὁ Ζεὺς οὐχ ἵνα τὸν τοῦ δεῖνα σῖτον αὐξήσῃ, οὐδ᾽ ἵνα διαφθείρῃ τὸν κείμενον ἐν τῇ ἅλῳ, ἀλλ᾽ ὕει μὲν διὰ τὴν ὑλικὴν ἀνάγκην· δεῖ γὰρ τὴν ἀναχθεῖσαν ἀτμίδα ψυχθῆναι καὶ ὕδωρ γενομένην κατενεχθῆναι, κατενεχθείσης δὲ συνέβη τὸν μὲν αὐξηθῆναι σῖτον, τὸν δὲ ἀπολέσθαι. οὕτω δὲ τί κωλύει καὶ τὰ μέρη τῶν ζώων γενέσθαι μὲν ἐξ ἀνάγκης τοιάδε, ἐπειδὴ ἐξ ὕλης τοιᾶσδε, ἀλλ᾽ ὅταν μὲν οὕτως συνδράμῃ ὥστε ἐπιτηδείως ἔχειν ἀλλήλοις καὶ πρὸς ἓν ἔργον ἅπαντα συντελεῖν, ὥσπερ ἐγένετο ἄν, εἰ καὶ ἕνεκά του ἐγένετο, ταῦτα μὲν σώζεσθαι ἀπὸ ταὐτομάτου συστάντα, οἷον ἐπὶ τῶν ὀδόν-

---

5 ἤδη] καὶ V 14 γε] τε A 20 ἀνενεχθεῖσαν A 21 κατενεχθείσης] εἰσυνεχθείσης V

*των; φαίη γὰρ ἄν τις ἐξ ἀνάγκης μὲν αὐτοὺς ἀνατέλλειν τοὺς μὲν ἔμπροσθεν ὀξεῖς, τοὺς δὲ γομφίους πλατεῖς, οὐχ ἵνα οἱ μὲν διαιρῶσιν, οἱ δὲ λεαίνωσιν, ἀλλ' ἀνατέλλειν μὲν οὕτω διά τινα ὑλικὴν ἀνάγκην, συμπεσεῖν μέντοι τὴν τοιαύτην θέσιν αὐτῶν ἐπιτηδείως ἔχειν πρὸς τὴν ἐργασίαν τῆς τροφῆς. ὅσα δὲ μὴ οὕτως συμπίπτει, ὥστε μίαν χρείαν ἅπαντα συμπληροῦν, ταῦτα ἀπόλλυσθαι, ὥσπερ Ἐμπεδοκλῆς τὰ βουγενῆ καὶ ἀνδρόπρωρα. ἃ μὲν οὖν λέγουσι, ταῦτά ἐστιν, λέγουσι δὲ λίαν ἀσύνετα. διὰ τί; ὅτι τὰ μὲν τῆς φύσεως ἔργα ἢ τὸν αὐτὸν ἀεὶ γίνεται τρόπον ἢ*
fol. 28. *κατά γε τὸ πλεῖστον ὁμοίως· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου, καὶ ἵππος ἐξ ἵππου, καὶ οἱ ὀδόντες οὕτως. τὰ δὲ ἀπὸ τύχης ἐπ' ἔλαττον καὶ σπανίως· τότε γὰρ λέγεται ἀπὸ τύχης ὕειν, ὅταν ὑπὸ κύνα, καὶ καῦμα ἀπὸ τύχης, ὅταν ἐν χειμῶνι. εἰ τοίνυν τῆς φύσεως μὲν πάμπολυ τὸ ὡρισμένον, τῆς τύχης δὲ πάμπολυ τὸ ἀόριστον, οὐκ ἂν εἴη τὰ τῆς φύσεως ἔργα ἀπὸ τύχης τε καὶ ταὐτομάτου, ἀλλ' ὡς ἡμεῖς λέγομεν, ἕνεκά του. φύσεως δὲ ἔργα τὰ ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μόρια, ἐν οἷς οὐδὲν εἰκῇ οὐδὲ μάτην οὐδὲ ἐνδεῶς οὐδὲ περιττόν ἐστιν. ὁ δὲ Ζεὺς ὕει μὲν μὴ ἕνεκα τοῦ τὸν ἐμὸν σῖτον αὐξῆσαι, ἀλλὰ τί τοῦτο πρὸς τὸ μηδενὸς ἕνεκα ὕειν; οὐ γὰρ εἰ μὴ τῶν ἐμῶν πυρῶν ἕνεκεν, οὐδενὸς ἕνεκεν· ἀλλ' ὁ μὲν ὑετὸς ἕνεκα ἄλλου του γίνεται προηγουμένως ὑπὸ τῆς φύσεως, καὶ τοῦτο μάθοις ἂν ἐν οἷς περὶ τοῦ κόσμου διαλεξόμεθα· προσχρῆται μέντοι τῷ κατὰ φύσιν γιγνομένῳ τούτῳ ὁ γεωργικός· σπείρει γὰρ τηνικαῦτα, ἡνίκα*

---

3 *λεαίνουσιν* A 4 *ἀλλ'*] *ἀλλ' ἵν'* V 8 fort. *Ἐμπεδοκλῆς λέγει* 21 *ἐνδέον* A; scrib. ubique *οὔτε* 27 *περὶ*] *ὑπὲρ* V 29 *ἡ γεωργικὴ* V

καὶ ὑσθήσεσθαι προσδοκᾷ. ἐν ὅσοις τοίνυν τῶν γενομένων τέλος ἐστίν, εἰς ὃ περατοῦται ἡ κίνησις καὶ προϊοῦσα συνεχῶς τελευτᾷ, ἐν τούτοις ἅπαντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα γίνεται. ἐν δὲ τοῖς τῆς φύσεως ἔργοις τὸ τοιοῦτόν ἐστιν εὑρεῖν ἀκριβῶς· συνεχῶς γὰρ κινεῖται καὶ πρόεισιν ἀδιαλείπτως μέχρι τοῦ τὸ τέλος ὁλόκληρον περιποιήσασθαι· καὶ γὰρ ἡ πόα καὶ ἡ καλάμη· καὶ ὁ στάχυς καὶ αἱ ποικίλαι καὶ παμπληθεῖς αὗται μορφαὶ προΐασι μέχρι τοῦ πυροῦ, εἶτα ἐντεῦθεν στάσις ἤδη καὶ ἠρεμία, ὥστε δῆλον ὅτι πάντα ἐκεῖνα τοῦ πυροῦ χάριν ἐγένετο. οὐ συμπίπτει ἄρα τὸ πρὸ τοῦ τέλους τῷ τέλει, ἀλλ' ἐκείνου πέφυκεν ἕνεκα γίγνεσθαι· οὐδὲ γὰρ εἰ ἡ φύσις οἰκίαν ἐποίει, ἄλλως ἂν ἐποίησεν ἢ ὡς πέφυκεν οἰκία γίγνεσθαι, πέφυκεν δὲ γίγνεσθαι οἰκία τῶν πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα γινομένων· λίθοι γὰρ ἁρμόζονται καὶ ξύλα πρίεται καὶ πλάσσεται κέραμος τῆς σκέπης ἕνεκεν ὃ τέλος ἐστὶν οἰκίας. ἀλλ' οὐδὲ εἰ ἡ τέχνη ζῷον ἐποίει, ἄλλως ἂν ἐποίησεν ἢ ὡς ἡ φύσις ἐποίησεν, ἐποίησεν δ' ἂν ἕνεκα τοῦ τέλους τὰ πρὸ αὐτοῦ. τὸν αὐτὸν ἄρα τρόπον καὶ ἡ φύσις. ὅλως δὲ ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ, ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάζεσθαι, ὑγίειαν καὶ σαρκώσεις φαρμακείαις ἰατρική, ὅταν ἡ φύσις ἐξασθενήσῃ, τὰ δὲ μιμεῖται γράφουσα καὶ πλάσσουσα παντοίας ζῴων καὶ φυτῶν ἰδέας. ὁμοίως ἂν ἔχοι κατ' ἀμφοτέρας τὰ τέλη πρὸς τὰ πρὸ αὐτῶν. μάλιστα δὲ φανερὸν ἐπί τινων ζῴων, ὅτι ἡ φύσις ἔχει τὸ ἕνεκά του, οἷον μυρμήκων ἢ ἀραχνῶν, ἃ μηδὲ τέχνῃ μηδὲ προαιρέσει

1 ὑσθήσεσθαι] ὑσθήσεται libri  15 οἰκία] οἰκία ἕνεκα V  25 παντοίων A  26 ὁμοίως] ante hoc vocabulum quaedam exciderunt, vid. Aristotel. p. 199, 17.  27 malim ἐπὶ τῶν

ποιοῦντα ὅμως ἕνεκά του ποιεῖ, καὶ ἡ χελιδὼν οἰκοδομεῖ τὴν νεοττίαν ὅτι μάλιστα ἀσφαλῶς συνδέουσα κάρφεσιν τὸν πηλὸν καὶ σχῆμα πολυχωρότατόν τε καὶ ἰσχυρότατον ἐργαζομένη, καὶ ἡ μέλιττα θαυμαστὴ τῆς τῶν ἑξαγώνων συνθέσεως, τῆς δὲ ἀλκυόνος τὴν καλιὰν ἥκιστα ἂν ὕδωρ λυμάνοιτο. πολλὰ ἂν ἔχοιμεν λέγειν, εἰ βουληθείημεν τὸ λογοειδὲς τῶν ζώων ἐπιδεικνύναι. καὶ τί δεῖ λέγειν περὶ τῶν ζώων, ὅπου καὶ ἐν τοῖς φυτοῖς ἡ φύσις διώκει πάντως τὸ ἕνεκά του; τά τε γὰρ φύλλα ἕνεκα τῶν καρπῶν καὶ αἱ ῥίζαι ἕνεκα τῆς τροφῆς, ἐπεὶ διὰ τί πρὸς Διὸς οὐκ ἄνω μὲν αἱ ῥίζαι, κάτω δὲ οἱ κλάδοι; διὰ τί δὲ οὕτως ἀμφιέννυσι τὰ σπέρματα τῶν καρπῶν ἀκριβῶς τὰ μὲν ξύλοις τὰ δὲ χιτῶσιν ἐνδύουσα, εἰ μὴ πολλὴν εἶχε πρόνοιαν τοῦ μὴ διαλείπειν τὴν γένεσιν τὴν ἐξ ἀλλήλων, ὥστε δῆλον ἐξ ἁπάντων τῶν εἰρημένων, ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ. διττὴ δὲ αὕτη, ἡ μὲν ὡς ὕλη, ἡ δὲ ὡς μορφὴ καὶ τέλος· αὕτη ἕνεκεν ἄρα τοῦ εἴδους ἡ ὕλη· κυριώτερα γὰρ αἴτια τὸ εἶδος καὶ ὁ λόγος καὶ ἡ μορφή, οἱ δὲ παλαιοὶ τὴν ὕλην ἐσέμνυναν περιττῶς· μόνην γὰρ ᾔδεισαν. ναὶ φαίη τις ἄν, ἀλλ' εἰ τὸ ἕνεκά του διώκει πάντως ἡ φύσις, πῶς αὐτὸ οὐκ ἀεὶ κατορθοῖ; πῶς δὲ οὐκ ἀεὶ κατορθοῖ τὸ ἕνεκά του ἡ τέχνη; ἀλλὰ καὶ τὸ φάρμακον ἔβλαψε πολλάκις τοῦ σώματος δι' ἀσθένειαν οὐκ ἐνεγκόντος, καὶ ὁ κλινόπους κατεάγη συμπηγνύμενος, ἀλλ' ὅμως ἐδόθη τὸ φάρμακον, ἵνα ὠφελήσῃ, καὶ ὁ κλινόπους ἐξείργασται διὰ τὴν κλίνην, ὥστε ἢ καὶ τῆς τέχνης ἀφαιρετέον τὸ ἕνεκά του, ἢ καὶ τῇ φύσει

10 τε] γε A    19 praestat κυριωτέρα γὰρ αἰτία    21 ναὶ] καὶ V

συγχωρητέον· ἀμφότερα γὰρ ἐπὶ τὸ πλεῖστον μὲν κατορθοῦσιν, ἐν οἷς καὶ μάλιστα φανερὸν τὸ οὗ ἕνεκα, ἐπ' ἔλαττον δὲ ἁμαρτάνουσιν, ἀλλ' ὅμως ἐμφαίνεται καὶ ἐν τούτοις, ὅτι ἐστοχάζοντο μέν τινος ἀγαθοῦ, διήμαρτον δὲ ἄκουσαι τοῦ τυχεῖν διὰ τὴν τῆς ὕλης ἀσθένειαν. καὶ γὰρ ὅταν διαμαρτάνωσιν, οὐκ ἐκτοπίζεταί που μακράν, οὐδὲ πόρρω τοῦ προκειμένου τὸ σφάλμα. οὐδέποτε γοῦν ἐξ ἀνδρὸς πλάτανος ἐτέχθη, ἀλλὰ μάλιστα μὲν ἀνήρ· εἰ δὲ μή, γυνή· εἰ δὲ μή, ζῶον· εἰ δὲ μή, σάρξ. καὶ ἡ κεγχραμὶς ἢ συκῆν ἐποίησεν ἢ ἐρινεόν, οὐ δρῦν οὐδὲ ὄγχνην· ἥ τε ἐλαία πάλιν ἐλαίαν ἢ κότινον, καὶ οὐ πλάτανον οὔτε πίτυν. τοιαῦτα καὶ τὰ Ἐμπεδοκλέους βουγενῆ καὶ ἀνδρόπρῳρα ἐπὶ τῆς τῶν ζώων συστάσεως, ἐλαιόπρῳρα δὲ ἐπὶ τῶν ζώων οὐδὲ ἐκεῖνος εἰπεῖν ἐτόλμησεν, μᾶλλον δὲ οὐδ' ἐπὶ τῶν φυτῶν ἀμπελογενῆ τινὰ καὶ τοιαῦτα ἄλλ' ἄττα δραματουργῆσαι ἐθάρρησεν, καίτοι μᾶλλον ἐχρῆν· ἧττον γὰρ ἐν τοῖς φυτοῖς τὸ ἕνεκά του. περιττὸν μὲν οὖν τερατολογίαν τοσαύτην λόγου τινὸς ἀξιῶσαι, ὅμως δὲ ῥητέον, ὡς εἰ καὶ ἐγένετο κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν βουγενῆ καὶ ἀνδρόπρῳρα, οὕτως ἂν ἐγένετο ὡς τέρατα τοῦ σπέρματος ἐξασθενοῦντος καὶ διαφθειρομένης τινὸς ἀρχῆς, οὐκ εὐθὺς ἡμιτόμων ζώων ἡμιτόμοις συγκολλωμένων· οὐδὲ γὰρ τὸ ὁλοφυὲς ὡς αὐτὸς ὀνομάζει, καὶ ὁλόκληρον καὶ δυνάμενον σώζεσθαι εὐθὺς ζῶον συνίσταται, ἀλλ' ἀπὸ σπέρματος γίνεται κρατούσης τῆς μορφῆς. ὅλως δὲ οἱ τὸ ἕνεκά του τῆς φύσεως ἀφαιρούμενοι τί καὶ τὸ ὄνομα αὐτῆς καταλείπουσιν; ὁ γὰρ φύσει μέν τινα γενέσθαι fol. 28b. λέγων οὐχ ἕνεκά του δέ, μάτην καὶ τοὔνομα λέγει

12 οὔτε] scrib. οὐδὲ 13 τὰ om A 16 οὐδ' om A

τῆς φύσεως· φύσει γάρ ἐστιν ὅσα ἀπό τινος ἀρχῆς ἐνυπαρχούσης κινούμενα ἀφικνεῖται κατὰ τάξιν ἐπί τι τέλος, ἀλλ' οὐκ ἐπὶ τὸ τυχὸν ἀπὸ τῆς τυχούσης ἀρχῆς. τοῦτο μὲν γὰρ ἐν τοῖς ἀπὸ τύχης συμβαίνει καθάπερ εἴρηται, ἐνταῦθα δὲ ὥρισται ἀφ' ἑκάστης ἀρχῆς ἕκαστον τέλος καὶ κατορθοῦται ἐπὶ τὸ πλεῖστον, οὐ σπανιάκις οὐδὲ ἐπ' ἔλαττον ὥσπερ τὰ τυχηρά. τί οὖν ἀπὸ τύχης τὰ φύσει γίνεσθαι λέγουσιν; οὐκ ἔστι γὰρ συνάψαι φύσιν καὶ τύχην, εἰ μὴ τηνάλλως ὀνόματι συγκολλᾶν βούλοιτο, ἐπεὶ τά γε ἐξ ἀμφοῖν σημαινόμενα παντελῶς ἀλλήλων διέστηκεν. νὴ Δία, οὐ γὰρ ὁρῶμεν βουλευομένην τὴν φύσιν, ὥσπερ ὁρῶμεν τοὺς ἕνεκά του ποιοῦντας. οὕτω δ' ἂν οὐδὲ ταῖς πολλαῖς τῶν τεχνῶν συγχωροῖεν τὸ ἕνεκά του· οὐδὲ γὰρ ὁ τέκτων βουλεύεται, πότερον δεῖ πρίειν πρότερον ἢ ἀποξέειν, οὐδὲ ὁ γραμματιστὴς πῶς αὐτὸν δεῖ γράφειν $\overline{α}$ $\overline{β}$, οὐδὲ ὅταν γράφῃ Κλέωνα ἐπισκοπεῖται τί πρότερον ἢ τί δεύτερον τῶν στοιχείων αὐτῷ γραπτέον, [καὶ] ὁ οἰκοδόμος ὡσαύτως οὐ βουλεύεται πότερον τοὺς θεμελίους πρώτους ἢ τοὺς τοίχους ἢ τὴν ὀροφὴν ἐξεργαστέον, ὁ ὑφάντης, ὁ λαοξόος, ἀλλ' ὥρισται καὶ τῶν ἔργων ἕκαστον καὶ ἡ τάξις ἡ φέρουσα ἐπὶ τὸ προκείμενον τέλος, καὶ τὴν ὁδὸν ἕκαστος τῶν δημιουργῶν ὁδεύει τὴν τεταγμένην. ὁμοίως δὲ καὶ ἡ φύσις· παράδειγμα γάρ ἐστι τῆς τέχνης. ἡ διαφορὰ δὲ ἐν τῷ τὴν μὲν ἔξω, τὴν δὲ ἔνδον εἶναι τοῦ ἔργου, ἐπεὶ θῶμεν ἐν τοῖς ξύλοις εἶναι τὴν τεκτονικήν, καὶ οὐκ ἂν ἕτερον τρόπον ἐργάσαιτο

---

5 δὲ om V 6 κατορθοῦνται V 9 ἔσται A τύχην] τέχνην A 10 βούλοιτο] fort. βούλοιντο, aut ὀνόματί τις συγκολλᾶν βούλοιτο 19 καὶ om V 21 λευοξόος A 28 ἐργάσαιο A

τὴν κλίνην, ἀλλὰ καθάπερ νῦν ἔξω οὖσα, ὥστε εἰ νῦν ἔχει τὸ ἕνεκά του, καὶ τότε ἂν εἶχεν ὁμοίως, ἡνίκα ἂν ὡς φύσις εἰργάζετο. μάλιστα δὲ ἔοικεν ἡ τέχνη τῇ φύσει, ὅταν αὐτός τις ἑαυτὸν ἰατρεύῃ. ἀλλ' εἴρηται ἡ διαφορά. τοῦτο μὲν οὖν ἄν τις ἐκ τούτων ἱκανῶς πεισθείη.

Μετὰ δὲ ταῦτα σκεπτέον, πῶς ἐν τοῖς φύσει τὸ 9
ἀναγκαῖον, καὶ πότερον τὰ φύσει γινόμενα ἁπλῶς ἐξ ἀνάγκης γίνεται, ὡς τὸ τέλος ἁπλῶς ἕπεσθαι τοῖς πρὸ αὐτοῦ γινομένοις; ἢ ὡς ἐνόμιζον οἱ φυσικοί, ἐν ταῖς τῆς ὕλης κινήσεσιν ἕπεσθαι τὰ γινόμενα ἐξ ἀνάγκης οἰόμενοι. ἔστι μέν πως τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς, οὐχ οὕτως δὲ ὡς ἐκεῖνοι λέγουσιν. ἐκεῖνοι μὲν γὰρ πάνυ γελοίως τὸ ἀναγκαῖον εἰσάγουσιν εἰς τὰ τῆς φύσεως ἔργα· φασὶ γὰρ ἐξ ἀνάγκης τὴν μὲν γῆν κάτω κινεῖσθαι διότι βαρεῖα, τὸν δὲ αἰθέρα ἄνω διότι κοῦφος, ταῖς φυσικαῖς κινήσεσιν τῆς ὕλης προσάπτοντες τὴν ἀνάγκην τῶν γινομένων, ὥσπερ εἴ τις καὶ τὸν τοῖχον ἐξ ἀνάγκης νομίζοι, ὅτι τὰ μὲν βαρέα κάτω πέφυκε φέρεσθαι, τὰ δὲ κοῦφα ἐπιπολῆς, καὶ τῶν μὲν λίθων διὰ τὴν βαρύτητα κάτω πεσόντων, τῶν πλίνθων δὲ διὰ τὴν κουφότητα ἄνω, καὶ ἔτι τῶν ξύλων, οὕτω τὸν τοῖχον συνεστηκέναι· ἐμβροντήτου γὰρ τοῦτό γε καὶ οὐδέποτε οἰκοδομουμένην οἰκίαν ἰδόντος, ὡς οὐχ οἱ λίθοι καθ' αὑτούς, οὐδὲ αἱ πλίνθοι καὶ τὰ ξύλα κινούμενα ὡς ἐπεφύκει, κατασκευάζουσιν οἰκίαν, ἀλλ' ἡ σύνθεσις ἡ τοιάδε καὶ ἡ μορφὴ καὶ ἡ τέχνη, οὐκ ἄνευ μὲν ἐκείνων, οὐ μὴν δι'

7 δὲ om A 10 ἢ ὡς] conf. Petiti Miscell. III, 7. 16 κινεῖσθαι] κεῖσθαι libri 19 νομίζει libri 21 μὲν om A 25 ὡς om V 26 πεφύκει A, malim πέφυκε

*ἐκεῖνα, προηγουμένως αὐτὴ προελθοῦσα, τοὐναντίον δὲ δι' αὐτὴν κἀκεῖνα παράγουσα. ἔστι μὲν γὰρ καὶ ἡ ὕλη τῶν καθ' αὑτὰ αἰτίων ὥσπερ εἰρήκαμεν, ἀλλὰ κυριωτέρα γε ἡ μορφὴ καὶ ὁ λόγος καὶ τὸ τί ἦν, καὶ οὐ τοῦτο ταῖς ἐκείνης κινήσεσιν ἐξακολουθεῖ, ἀλλ' ἐκείνη μᾶλλον τῷ λόγῳ πέφυκε συναρμόζεσθαι. οὐδὲ γὰρ ἐπειδὴ σίδηρος, διὰ τοῦτο ἐξ ἀνάγκης γίνεται σμίλη καὶ ἄροτρον, ἀλλ' ἐπειδὴ σμίλης καὶ ἀρότρου δεόμεθα, διὰ τοῦτο καὶ σίδηρον μεταλλεύομεν· οἰκίας δὲ οἰκοδομούμεθα οὐκ ἐπειδὴ πλίνθους ἔχομεν καὶ ξύλα, χρεία μὲν γὰρ καὶ τούτων, ἀλλ' οὐ διὰ ταῦτα προηγουμένως οἰκοδομούμεθα, ἀλλὰ διὰ τὸ κρύπτειν ἄττα καὶ σώζειν, ὅπερ ἔστι λόγος τῆς οἰκίας. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις τοῖς ἕνεκά τινος γινομένοις. διὰ τί γίνεται χιτών; ἵνα ἐνδυώμεθα. ἀλλὰ τοῦτο οὐκ ἄνευ ἐρίων· χρὴ τοίνυν ὑποκεῖσθαι τὰ ἔρια. διὰ τί γίνεται ὑποδήματα; ἵνα μὴ τριβώμεθα βαδίζοντες. ἀλλὰ τοῦτο οὐκ ἄνευ δερμάτων· φροντιστέον ἄρα πρότερον τῶν δερμάτων. εἰ μὲν οὖν εἵπετο καὶ ἐρίῳ παντὶ τὸ χιτῶνι γίγνεσθαι, καὶ δέρματι τὸ ὑποδήματι, ἐξ ἀνάγκης ἂν εἵπετο ταῖς ὕλαις τὰ εἴδη. νῦν δὲ πρίονι μὲν ὑποκεῖσθαι τὸν σίδηρον ἐξ ἀνάγκης, καὶ θριγκίῳ λίθους, οὔτε δὲ τῷ σιδήρῳ εἶναι τὸ πρίονα γενέσθαι ἐξ ἀνάγκης ἀκολουθεῖ, οὔτε τῷ λίθους ὑπάρχειν τὸ θριγκίον οἰκοδομεῖσθαι. ἔχει μὲν οὖν ἡ ὕλη τὸ ἀναγκαῖον, ἀλλ' οὐ δι' ἑαυτήν, ἀλλὰ διὰ τὴν μορφὴν καὶ τὸ εἶδος. ταύτῃ μὲν γὰρ οὐδὲν ἐξ ἀνάγκης ἀκολουθεῖ, αὐτὴ δὲ ἐξ ἀνάγκης ὀφείλει προϋποκεῖσθαι τῷ εἴδει, ὥστε οὐ τὸ τέλος ἐξ*

---

4 *κυριώτερόν* A    scrib. *τὸ τί ἦν εἶναι*    15 *ἐνδυσώμεθα* A    19 *πρῶτον* V    21 *τῇ ὕλῃ* A    23 *δὲ* om A    *σιδήρῳ*] *σίδηρον* V    25 *θρίγγιον* et supra *θριγγίῳ* A

ἀνάγκης ἀκολουθεῖ τοῖς πρὸ αὐτοῦ, ἀλλ' ὑποθεμένοις τοῦτο διὰ τὴν ὑπόθεσιν ταύτην τὸ ἀναγκαῖον ἕπεται καὶ ἡ ἐξ ἀνάγκης αἰτία. οὐκ ἄρα τὸ τέλος ἐξ ἀνάγκης, ἀλλὰ διὰ τὸ τέλος τὸ ἐξ ἀνάγκης. διὰ γὰρ τὸ τέλος ἡ ὕλη, καὶ διὰ τὴν μορφὴν τὸ ὑποκείμενον, ἡ δὲ ὕλη καὶ τὸ ὑποκείμενον ἡ ἐξ ἀνάγκης αἰτία. οἱ μὲν οὖν μόνην αἰτίαν τὴν ὕλην τιθέμενοι καὶ ταῖς ἐκείνης φυσικαῖς κινήσεσιν ἕπεσθαι τὰ γιγνόμενα λέγοντες ἁπλῶς ἐξ ἀνάγκης γίνεσθαι τὰ γιγνόμενα λέγοιεν· ἐπειδὴ ἀποδέδεικται ἡμῖν ἄλλη παρὰ τὴν ὕλην αἰτία κυριωτέρα, τὸ εἶδος, καὶ ταύτης ἕνεκεν ἡ ὕλη παραγομένη, οὐκ αὐτὴ παράγουσα τὴν μορφήν, οὐδ' ἂν ἁπλῶς αἰτία λέγοιτο, οὐδ' ἂν ἁπλῶς ἀναγκαία, ἀλλ' ἐξ ὑποθέσεως, καθάπερ ἡμῖν ἔθος πολλαχοῦ λέγειν· ὑποθεμένοις γὰρ τὸ εἶδος οὕτως εὑρίσκεται καὶ τῆς ὕλης τὸ ἀναγκαῖον. τὸ δὲ ἐξ ὑποθέσεως ἀναγκαῖόν ἐστί πως κἂν τοῖς μαθήμασιν· ὑποθεμένοις γὰρ τὰς προτάσεις ἐξ ἀνάγκης ἕπεται καὶ τὸ συμπέρασμα, οὐ (fol. 29) μέντοι εἰ τὸ συμπέρασμα τοῦτο, ταδὶ πάντα καὶ τὰ λήμματα. δύναται γὰρ ταὐτὸν ἀποδείκνυσθαι διὰ πλειόνων, καθάπερ ἐν τοῖς ἀριθμοῖς· εἰ μὲν πέντε καὶ πέντε, πάντως ἐξ αὐτῶν τὰ δέκα, εἰ δὲ τὰ δέκα, οὐ πάντως πέντε καὶ πέντε· καὶ γὰρ ζ̄ καὶ γ̄ καὶ ἓξ καὶ δ̄, ὥστε οἷς τεθεῖσιν ἕπεται τὸ συμπέρασμα, ταῦτα οὐχ ἕπεται τεθέντι τῷ συμπεράσματι· μὴ ὄντος μέντοι γε ἀναγκαίου τοῦ συμπεράσματος, οὐδὲ αἱ προτάσεις ἔσονται ἀναγκαῖαι. ἆρ' οὖν ὁμοίως ἔχει ταῦτα τοῖς φυσικοῖς τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον;

9 scrib. ἁπλῶς ἂν 10 scrib. ἐπεὶ δ' vel ἐπειδὴ δ' 11 ἡ om A 12 οὐδ' — λέγοιτο om A, malim οὔτ' — οὔτ' 19 πάντα] διὰ πάντως A 25 τεθέντα A 28 ταῦτα] fort. τούτοις ἐν

οὐδαμῶς, ἀλλὰ ἡ τάξις ἀντέστραπται· ἐνταῦθα μὲν γὰρ εἰ αἱ προτάσεις, καὶ τὸ συμπέρασμα, τουτέστιν εἰ τὰ πρῶτα, καὶ τὸ ὕστερον· ἐπὶ δὲ τῶν φύσει τοὔμπαλιν· εἰ γὰρ τὸ ὕστερον, καὶ τὰ πρῶτα· εἰ γὰρ ἡ μορφή, καὶ ἡ ὕλη, ἐπεὶ τά γε ἄλλα ὁμοίως ἔχει· ὡς γὰρ ἐπὶ τῶν φυσικῶν ἐξ ἀνάγκης μὲν ἐδεῖτο τῆς ὕλης τὸ εἶδος, οὐχ εἵπετο δὲ ἐξ ἀνάγκης τῇ ὕλῃ, οὕτως ἐπὶ τῶν συλλογισμῶν ποιοῦσι μὲν ἐξ ἀνάγκης τὸ συμπέρασμα αἱ προτάσεις, ὄντος δὲ οὐκ ἐξ ἀνάγκης ὑπάρχουσιν. ἡ τάξις οὖν ἀνάπαλιν ἔχει, τάχα δὲ οὐδὲ αὕτη. σκόπει γάρ· ἐν ταῖς ποιητικαῖς τέχναις ἄλλη μέν ἐστιν τῆς θεωρίας ἀρχὴ κατὰ τὸν λόγον καὶ τὸ οὗ ἕνεκα, ἄλλη δὲ ἡ τῆς πράξεως· ἐπὶ γὰρ τῆς οἰκοδομικῆς τὸ μὲν εἶδος τῆς οἰκίας καὶ ὁ λόγος ἀρχὴ τῆς θεωρίας ἐστίν, καὶ οἱ θεμέλιοι δὲ τῆς πράξεως. ὅπου δὲ οὐκ ἔστι ποίησις οὐδὲ τάξις, ἐνταῦθα ἀκόλουθον μίαν ὑπολείπεσθαι τὴν ἀρχὴν τὴν κατὰ θεωρίαν τε καὶ τὸν λόγον· ἄλλη γὰρ οὐκ ἔνι. αὗται δέ εἰσιν αἱ προτάσεις, ὥστε εἰ ἐνταῦθα μὲν αἱ προτάσεις αἱ κατὰ τὸν λόγον ἀρχαί, ἐκεῖ δὲ τὸ εἶδος, ἐν ἀμφοτέραις ἂν ὁμοίως ἡ ἀκολούθησις γένοιτο· ταῖς γὰρ κατὰ τὸν λόγον ἀρχαῖς ἕποιτο ἂν τὸ ἀναγκαῖον, ὅπερ ἐπὶ μὲν τῶν ποιητικῶν ὕλη, ἐπὶ δὲ τῶν θεωρητικῶν τὸ συμπέρασμα. ἀπέφημεν ἄρα διὰ πάντων πῶς ἔχει τὸ ἀναγκαῖον, ἡ ὕλη καὶ αἱ ταύτης κινήσεις τε καὶ ἀλλοιώσεις· ταύτης γὰρ χωρὶς γενέσθαι ἀδύνατον τὴν μορφὴν καὶ τὸ εἶδος, καὶ ἄμφω μὲν τῷ φυσικῷ τὰς αἰτίας ἐπισκεπτέον, μᾶλλον δὲ τὴν τοῦ

---

4 γὰρ τὰ V 6 γὰρ om V 12 ἄλλο A 15 καὶ delendum, nisi scripseris καὶ τοῦ λόγου 16 τάξις] immo πρᾶξις 20 ἀρχὴ V (igitur et ἡ, non αἱ?) 21 fort. ἀμφοτέροις 24 ἀπέφημεν] fort. ἀπεφήναμεν

οὗ ἕνεκεν· αἴτιον γὰρ τοῦτο τῆς ὕλης, ἔφην δὲ ἐπὶ τῶν φυσικῶν ταὐτὸν εἶναι τὸ εἶδος καὶ τὸ οὗ ἕνεκεν· αὕτη γὰρ ἀρχὴ μάλιστα γίνεται τοῦ λόγου καὶ τοῦ τί ἦν εἶναι, ὥσπερ καὶ ἐν τοῖς τεχνητοῖς, ἐπεὶ οἰκία τοιόνδε, τάδε δεῖ γενέσθαι καὶ ὑπάρχειν ἐξ ἀνάγκης, καὶ εἴπερ ὑγίεια τοιονδί, τάδε γενέσθαι καὶ ὑπάρχειν ἐξ ἀνάγκης. οὕτω δὲ καὶ εἰ ἄνθρωπος, ταδί, καὶ εἰ κύων, ταδί. ἐπὶ μὲν γὰρ τῶν τεχνητῶν οὐ συντρέχει πολλάκις τὸ εἶδος τῷ οὗ ἕνεκεν, ἐπὶ πολλῶν δὲ ἐμφαίνεται ἐν τῷ λόγῳ καὶ τὸ οὗ ἕνεκεν. οἰκία γὰρ ἐκ τοιῶνδε τοιόνδε σκέπης ἕνεκεν. ἐπὶ δὲ τῶν φύσει ταὐτόν ἐστιν. εἴτε δὲ τῶν φύσει τι γιγνομένων εἴτε τῶν κατὰ τέχνην λαμβάνοις, εὑρήσεις ἂν ὡς φυσικὸς ἐξετάζῃς, ἐν τῷ αὐτῷ λόγῳ τὴν ὕλην καὶ τὸ ἀναγκαῖον αἴτιον περιεχόμενον· ὁρισαμένοις γὰρ τὸ ἔργον τοῦ πρίειν, ὅτι διαίρεσις τοιάδε ξύλων, εὐθὺς ἐμφαίνεται ἡ τοῦ σιδήρου χρεία, καὶ οὕτω μὲν δύναται καὶ ἐξ ἐπιλογισμοῦ τινος, πολλάκις δὲ καὶ ἐνεργείᾳ. τί ἐστιν ὀργή; ζέσις τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. ὥστε τῷ φυσικῷ γενήσονται μὲν οἱ λόγοι κατὰ τὸ εἶδος, ἐμπεριέξουσι δὲ καὶ τὴν ὕλην· τοιοῦτον γὰρ τὸ φυσικὸν εἶδος, ὥστε σὺν ὕλῃ ἀεὶ καὶ ὑποκειμένῳ τινὶ θεωρεῖσθαι.

---

3 γίνεται] ἡ ἀπὸ A  4 τεχνικοῖς A  5 ὑπάρξειν libri  7 ἄνθρωπος ταδί] sic Codex E in Aristot.  12 τι om V  14 τῷ αὐτῷ] αὐτῷ τῷ libri  15 γὰρ] δὲ V

fol. 29b.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

1 *Ἐπεὶ δὲ τὴν φύσιν ὡρισάμεθα ἀρχὴν κινήσεως καὶ μεταβολῆς, δεῖ μὴ λανθάνειν τί ἐστιν κίνησις· ἀναγκαῖον γὰρ ἀγνοοῦντας αὐτὴν ἀγνοεῖν καὶ τὸν λόγον τῆς φύσεως. ὥσπερ δὲ ὅτι κίνησις τῷ λόγῳ τῆς φύσεως ἐμπεριέχεται, ἀναγκαῖος ὁ λόγος ὁ περὶ αὐτῆς, οὕτως εἴ τι τῷ περὶ κινήσεως ὁρισμῷ εὑρίσκοιτο ἐμφαινόμενον, ἐφεξῆς καὶ περὶ τούτου διαλεκτέον. ἐμφαίνεται δὲ εὐθὺς τῷ τῆς κινήσεως λόγῳ τὸ συνεχές, τούτῳ δὲ πάλιν τὸ ἄπειρον· τὴν μὲν γὰρ κίνησιν τῶν συνεχῶν εἶναί φαμεν, ὁριζόμενοι δὲ τὸ συνεχὲς ἔσθ' ὅτε συγχρώμεθα τῷ ἀπείρῳ· λόγος γάρ τις καὶ οὗτος τοῦ συνεχοῦς· συνεχές ἐστιν τὸ εἰς ἄπειρα διαιρετόν, ὥστε πρώτως ἂν ὑπάρχοι τὸ ἄπειρον τῷ συνεχεῖ ποσῷ καὶ οὐ τῷ διωρισμένῳ· τοῦ μὲν γὰρ συμπληροῖ τὸν ὁρισμόν, τοῦ δὲ οὐδαμῶς. ὁ μὲν δὴ τοῦ ἀπείρου λόγος οὕτως ἔχεται τοῦ περὶ κινήσεως ἐφεξῆς, ἀλλὰ καὶ ὁ περὶ τόπου καὶ ὁ περὶ*

---

1 *Θεμιστίου παραφράσεως τρίτον περὶ κινήσεως καὶ ἀπείρου* V 9 *εὑρίσκοιτο*] *εὑρίσκει τὸ* libri 18 *ὅρον* A

κενοῦ καὶ ὁ περὶ χρόνου· τὰ μὲν γὰρ ἀναγκαίως ὑπάρχει κινήσει τόπος καὶ χρόνος, τὸ κενὸν δὲ οἱ φυσικοὶ νομίζουσιν. σκεπτέον οὖν εἴτε ὀρθῶς ὑπολαμβάνουσιν εἴτε μή, ἀλλὰ καὶ κοινὰ τοῖς φυσικοῖς σώμασι ταῦτα, ἡ κίνησις ὁ τόπος ὁ χρόνος, ἔφην δὲ καὶ ἀρχόμενος ἐπιστημονικώτερον εἶναι τῶν ἰδίων ἑκάστου τὰ κοινὰ πρότερα θεωρεῖν.

*Λέγομεν δὴ περὶ κινήσεως, πρῶτον ὅσα χρήσιμα πρὸς τὸν λόγον αὐτῆς ὑπειπόντες. τῶν ὄντων τὰ μὲν ἐντελεχείᾳ μόνον, οἷον τὰ ἄϋλα εἴδη καὶ πρῶτα· οὐδὲν γὰρ ἄλλο γενέσθαι δύναται παρ' ἅ ποτέ ἐστιν ἐξ ἀρχῶν· τὰ δὲ ἐντελεχείᾳ τε καὶ δυνάμει, οἷον τὰ σύνθετα ἐξ ὕλης καὶ εἴδους, ἐντελεχείᾳ μὲν ὅτι ἔχει τινὰ ἤδη μορφήν, δυνάμει δὲ ὅτι καὶ ἑτέραν οἷά τε δέξασθαι· τὸ δὲ αἰθέριον σῶμα κατὰ μὲν τὴν οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν· οὐ γὰρ ἂν μεταβάλλοι ποτὲ κατ' οὐσίαν, μετέχει δέ πως καὶ τοῦ δυνάμει διὰ τὴν κίνησιν τὴν τοπικήν· οὐ γὰρ πανταχοῦ ἅμα ἐστίν. ὅσα δὲ ἐντελεχείᾳ ἐστίν, ἢ ὡς οὐσίαι εἰσίν, ἢ ὡς ποσά, ἢ ὡς ποιά, ἢ ὥς τις ἄλλη κατηγορία. εἶεν. τοῦτο μὲν δὴ κείσθω χωρὶς λόγου τὸ εἶναί τινα τῶν ὄντων ἔχοντα καὶ τὸ δυνάμει.*

*Πάλιν δὲ ἕτερον δεύτερον καὶ οὐδὲν ἔλαττον ἐναργές. φημὶ γὰρ τοῦ πρός τι μὴ μόνον εἶναι τὸ καθ' ὑπεροχὴν καὶ κατ' ἔλλειψιν, τὸ ἄνισον καὶ τὸ μεῖζον ἢ μικρότερον, ἀλλ' εἶναι πολλὰ μὲν καὶ ἕτερα εἴδη τοῦ πρός τι, τὸ καθ' ὁμοιότητα τὸ κατ' ἰσότητα καὶ πολλὰ ἕτερα, εἶναι δ' οὖν καὶ τὸ ποιητικὸν καὶ τὸ παθητικὸν τοῦ πρός τι· λέγεται γὰρ πρὸς ἄλληλα φανερῶς, ὥστε καὶ τὸ κινητικὸν πρὸς τὸ κινητόν, καὶ*

---

30 καὶ τὸν V

*τοῦτο αὖ πρὸς ἐκεῖνο. ἔστω οὖν ἡμῖν καὶ τοῦτο εὐπρεπὲς τὸ λέγεσθαι ταῦτα πρὸς ἄλληλα.*

*Τρίτον πρὸς τούτοις, ὅτι ἡ κίνησις ἐν τοῖς κινοῦσιν καὶ κινουμένοις ἐστὶ καὶ οὐ καθ' αὑτὸ οὐδὲ χωριστόν. εἰ δὲ ἐν τοῖς κινοῦσιν καὶ κινουμένοις, δηλονότι τοσαυταχῶς ἂν εἴη κίνησις ὁσαχῶς ἂν κινῆται καὶ μεταβάλλῃ τὰ κινούμενα, μεταβάλλει δὲ ἢ κατ' οὐσίαν ἢ κατὰ ποιότητα ἢ κατὰ ποσὸν ἢ κατὰ τόπον. πολλαχῶς οὖν ἡ κίνησις. εἰ μὲν γὰρ ἦν τι κοινὸν γένος τῶν εἰρημένων κατηγοριῶν ἐν αἷς ἡ κίνησις, ἐξ ἀνάγκης ἂν καὶ ἡ κίνησις ἦν πρῶτον ἐν ἐκείνῳ τῷ γένει, καὶ οὐκ ἂν ἐλέγετο πολλαχῶς, ἀλλ' ὥσπερ ἐκεῖνο γένος ὑπῆρχε τῶν τεσσάρων κατηγοριῶν, οὕτω καὶ ἡ κίνησις ἀεὶ ἡ ἐν ἐκείνῳ γένος ἂν ἦν τῶν κινήσεων τῶν ἐν τοῖς ἐπ' ἐκεῖνο γένος. νῦν δὲ ὡσαύτως ἕξει ἡ κίνησις, ὥσπερ ἔχει τὰ πράγματα ἐν οἷς ἐστίν. ἐπεὶ οὖν διαφέροντες οἱ λόγοι τῶν προειρημένων γενῶν, διαφέροντες οἱ λόγοι καὶ τῶν κινήσεων, ὥστε εἰ καὶ ἕνα ὁρισμὸν ἐπιχειροίημεν τῆς κινήσεως ἀποδιδόναι ἰστέον ὅτι καὶ αὐτός ἐστι τῶν πολλαχῶς λεγομένων.*

*Κείσθω δὴ καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις τὴν κίνησιν εἶναι τῶν πολλαχῶς λεγομένων. ἔτι πρὸς τούτοις, ὅτι τούτων ἕκαστον ἐν οἷς εἴπομεν εἶναι τὴν κίνησιν, διχῶς ἐστί τε καὶ λέγεται ἢ ὡς ἄμεινον, ἢ ὡς φαυλότερον. ἐπὶ μὲν οὖν τῆς οὐσίας τὸ διττόν τι εἶδός τε καὶ ἡ στέρησις, ἐπὶ δὲ τοῦ ποσοῦ τὸ μὲν τέλειον τὸ δὲ ἀτελές, ἐπὶ δὲ τοῦ ποιοῦ τὸ μὲν λευκὸν τὸ δὲ μέλαν ἢ ἕτερα ἄττα τῶν ἐναντίων, ἐπὶ δὲ*

---

9 *πολλαχῶς*] *ποσαχῶς* V 13 *ὑπάρχει* A 15 *γένος*] *τὸ γένος* V 25 *τε*] *τι* V 26 *οὖν* om A fort. *διττὸν τὸ*

τοῦ τόπου τὸ μὲν ἄνω τὸ δὲ κάτω. ἐπεὶ τοίνυν καὶ fol. 30. ἡ κίνησις οὐδὲν ἄλλο παρὰ ταῦτά ἐστιν, εἰκότως καὶ αὐτὴ διττή τις ἂν εἴη καθ' ἕκαστον γένος. πῶς δὲ ἕξει τοῦτο, ἐν τοῖς ἐφεξῆς ἐροῦμεν· νῦν δὲ ἀποδῶμεν τί ἐστιν ἡ κίνησις, προσχρώμενοι τοῖς ὡρισμένοις. ἔκειτο δὴ πρῶτον ἡμῖν καθ' ἕκαστον γένος τῶν ὄντων εἶναι, οἷς ἐνυπάρχει καὶ τὸ ἐντελεχείᾳ καὶ τὸ δυνάμει. λέγω τοίνυν κίνησιν εἶναι τὴν τοῦ δυνάμει κινητοῦ ἐντελέχειαν ᾗ τοιοῦτον. τί οὖν πρόσκειται ᾗ τοιοῦτον; ἵνα ἐντελέχεια γένηται μενούσης ἔτι καὶ σωζομένης τῆς δυνάμεως, ἥσπερ ἦν ἐντελέχεια· διττὴ γὰρ ἐφ' ἑκάστου ἡ ἐντελέχεια, οἷον ἐπὶ τοῦ χαλκοῦ τοῦ δυνάμει ἀνδριάντος· ἐντελέχεια γὰρ αὐτοῦ ἐστὶν καὶ ὅταν γίνηται ἀνδριάς, ἐντελέχεια καὶ ὅταν γένηται ἤδη. ἀλλ' αὕτη μὲν ἡ ἐντελέχεια οὐκέτι σωζομένης ἐστὶ τῆς δυνάμεως καθ' ἣν ἠδύνατο γενέσθαι ἀνδριάς. ἤδη γάρ ἐστιν καὶ οὐκέτι ἔχει τὸ δυνάμει, διὸ καὶ τελειότης οὐ τῆς δυνάμεως αὕτη· πῶς γὰρ ἣν φθείρει; ἀλλὰ τοῦ πράγματος ἐν ᾧ ἡ δύναμις ἦν. ἡ δὲ πρότερον ῥηθεῖσα ἐντελέχεια καθ' ἣν ἐγένετο ἀνδριάς, εἰ τὸ δυνάμει διαφυλάττει τὴν τοιαύτην ἐντελέχειαν, κίνησιν λέγω καὶ τελειότητα τῆς δυνάμεως. πᾶσα γὰρ τελειότης σώζει ὃ τελειοῖ· ἕως μὲν γὰρ ἡ δύναμις σώζεται, σώζεται καὶ ἡ κίνησις, παυσαμένης δὲ συμπαύεται. παύεται δὲ ἡ δύναμις, ἡνίκα ἂν τὸ εἶδος ἐπιγένηται καὶ ἡ μορφή. ἄλλο δὲ ἐν ἑκάστῳ γένει τὸ δυνάμει, καὶ καθό ἐστι τὸ δυνάμει, κατὰ τοῦτό ἐστι καὶ ἡ κίνησις, οἷον τοῦ μὲν ἀλλοιωθῆναι δυναμένου καὶ γενέσθαι εἰ τύχοι, μέλανος ἢ λευκοῦ

---

10 conf. Simplicius fol. 94 b. 11 διττὴ — 12 ἐντελέχεια om A 13 ἀπ' αὐτοῦ A 14 γίνηται] fort. γένηται 24 σώζεται alterum om A 25 συμπαύεται] παύεται V

ἡ ἐπὶ τὸ λευκὸν ὁδὸς ἐκ τοῦ μέλανος, ἢ ἐπὶ τὸ μέλαν ἐκ τοῦ λευκοῦ. ἀμφοτέρας δὲ τὰς ὁδοὺς ἀλλοίωσιν ὀνομάζω, τοῦ δὲ αὐξηθῆναι δυναμένου ἢ μειωθῆναι αὔξησιν καὶ φθίσιν· οὐ γὰρ ἔχω κοινὸν ὄνομα ἐπ' ἀμφοῖν ὡς ἐκεῖ τὴν ἀλλοίωσιν, τοῦ δὲ γενητοῦ καὶ φθαρτοῦ γένεσιν καὶ φθοράν, τοῦ δὲ φορητοῦ φοράν· πάλιν γὰρ ἐπὶ τούτου διττὴ μὲν ἡ ὁδός· ἢ γὰρ ἄνω ἢ κάτω, ἢ πρόσθεν ἢ ὄπισθεν. ἢ εἰς δεξιὰ ἢ εἰς ἀριστερά, ἓν δὲ ὄνομα ἐπὶ πασῶν ἡ φορά. διχῶς οὖν ἡ κίνησις καθ' ἕκαστον γένος· ἔκειτο γὰρ ἡμῖν καὶ τοῦτο διχῶς ἕκαστον τῶν γενῶν λέγεσθαι, ἔκειτο δὲ αὖ πάλιν τὸ μηδὲν εἶναι τὴν κίνησιν παρὰ τὰ πράγματα. ταῦτα μὲν οὖν ἐκ τῶν προδιωρισμένων. ὅτι δὲ τοιοῦτόν ἐστιν ἡ κίνησις, δῆλον καὶ ἐξ ἄλλου παραδείγματος. τὸ γὰρ οἰκοδομητὸν ὅταν ἐνεργείᾳ γένηται [οἰκοδομούμενον], σῷζον ἔτι καὶ τὸ δυνάμει, τότε κινεῖται, ὡς ὅταν γε οἰκοδομηθῇ παντελῶς, οὔτε τὸ δυνάμει σῴζει λοιπὸν οὔτε κινεῖται. εἰ οὖν ἡ τοῦ οἰκοδομητοῦ ἐντελέχεια μένοντος οἰκοδομητοῦ οἰκοδόμησίς ἐστιν, ἡ δὲ οἰκοδόμησις κίνησις, ἡ τοῦ οἰκοδομητοῦ ἄρα ὡς οἰκοδομητοῦ ἐντελέχεια κίνησίς ἐστι, καὶ ἡ τοῦ αὐξητοῦ ἄρα ὡς αὐξητοῦ καὶ ἡ τοῦ φορητοῦ ὡς φορητοῦ. ἔστι δὲ καὶ μεταλαμβάνοντα εἰπεῖν κίνησιν εἶναι τὴν τοῦ δυνάμει ὄντος πρώτην ἐντελέχειαν· ὑστάτη μὲν γὰρ ἡ εἰς τὸ εἶδος μεταβολὴ ἐν ᾧ ἠρεμεῖ λοιπόν, πρώτη δὲ ἡ ἐπ' ἐκεῖνο πορεία ἥτις ἔτι κίνησίς ἐστιν. ἀλλ' ἐπειδὴ καὶ τὸ εἶδος ἐντελέχειαν λέγομεν τὴν κυρίως τε καὶ ἁπλῶς, δῆλον ὡς ἡ ἐπὶ τὸ εἶδος πορεία ἐστὶν ἐπ' ἐντελέχειαν τὴν κυρίως τε καὶ ἁπλῶς. οὐκοῦν οὐδὲ ἁπλῶς ἐντελέχεια. πῶς γὰρ ἡ ἐπὶ τὴν τοιαύτην πο-

9 πασῶν] πᾶσιν A 15 οἰκοδομούμενον om V 18 τοῦ οἰκοδόμου A 24 ἡ om A 26 ἡ om V

ῥευομένη ἀλλ' ἀτελὴς ἐντελέχεια; οὕτως οὖν ἡ κίνησις ἐντελέχεια οὐχ ὡς κυρίως οὐδὲ ἁπλῶς, ἀλλ' ὡς ἀτελής. οὐ μὴν καὶ ἐνέργεια ἀτελής, ἀλλ' ὡς ἐνέργεια τέλειος. ἐπεὶ δὲ ἔνια τὰ αὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν, οἷον τὸ ὕδωρ ἐντελεχείᾳ μὲν θερμόν, δυνάμει δὲ ψυχρόν, ἀλλ' οὐχ ἅμα οὐδὲ πρὸς ταὐτόν, ἀλλ' εἰ μὲν πρὸς τὸ αὐτό, οὐχ ἅμα· οὐ γὰρ οἷόν τε θερμὸν εἶναι καὶ δυνάμει καὶ ἐνεργείᾳ· εἰ δὲ ἅμα, οὐ πρὸς τὸ αὐτό, ἀλλὰ ψυχρὸν μὲν δυνάμει, θερμὸν δὲ ἐνεργείᾳ· ἐπεὶ οὖν τινὰ τοιαῦτά ἐστιν, συμβαίνει ἅμα κινεῖν τε καὶ κινεῖσθαι πολλοῖς ὑπ' ἀλλήλων καὶ ποιεῖν καὶ πάσχειν, οἷον ὁ πρίων πρίσει τε καὶ ἀμβλυνθήσεται, ἀλλ' οὐ κατὰ ταὐτὸν οὐδὲ ἅμα, ἀλλὰ πρίσει μὲν κατὰ τὸ εἶδος, κατὰ δὲ τὴν ὕλην ἀμβλυνθήσεται. ὁ μὲν γὰρ σίδηρος ἀμβλύνεται, πρίσει δὲ οὐχ ὁ σίδηρος ἀλλὰ ἡ μορφή. καὶ τὸ ὕδωρ θερμαίνει τε καὶ ψύχεται ἅμα ὑπὸ τοῦ θερμαινομένου, ἀλλὰ θερμαίνει μὲν καθό ἐστιν ἐνεργείᾳ θερμόν, ψύχεται δὲ καθό ἐστι δυνάμει ψυχρόν. πᾶν γὰρ ἁπλῶς τὸ δυνάμει τε ὂν καὶ ἐντελεχείᾳ, καὶ κινοῦν φυσικῶς ἀντικινεῖται ὑπὸ τοῦ κινουμένου, ἀλλὰ κινεῖ μὲν καθό ἐστιν ἐντελεχείᾳ, ἀντικινεῖται δὲ καθό ἐστι καὶ δυνάμει, τουτέστι κινεῖ μὲν κατὰ τὸ εἶδος, ἀντικινεῖται δὲ κατὰ τὴν ὕλην. οὐ πάντα δὲ ἁπλῶς τὰ κινοῦντα φυσικῶς ἀντικινεῖται, ἀλλὰ κινεῖ μὲν πάντα, ἀντικινεῖται δὲ μόνα τὰ ἔχοντα κατ' οὐσίαν καὶ τὸ δυνάμει καὶ τὸ εἶδος. καίτοι δοκεῖ τισὶν οὐ τὰ φυσικῶς μόνον κινοῦντα κινεῖσθαι, ἀλλὰ καὶ πάντα ἁπλῶς τὰ κινοῦντα. τοῦτο μὲν δὴ καὶ εἰσαῦθις ἐπισκεψώμεθα, τέως δὲ

8 εἰ δὲ — ἐνεργείᾳ om A 13 κατ' αὐτὸν A 15 μὲν om A πρίει? 17 ἅμα καὶ ψύχεται A 20 τε om A 23 κινεῖ] κινεῖται A 29 fort. ἐπισκεψόμεθα

ἐπανέλθωμεν ἐπὶ τὸν ὅρον τῆς κινήσεως. ὅταν δή τι ἄλλο ὂν ἐνεργείᾳ δυνάμει ἄλλο ᾖ, ἡ ἐνέργεια αὐτοῦ ᾗ καθὸ δυνάμει ἐστί, κίνησίς ἐστιν. οὐδὲν γὰρ ἁπλῶς δυνάμει ὂν μόνον, ἐνεργείᾳ δὲ οὐδὲν κινηθείη ποτ' ἄν. διὰ τοῦτο οὐδὲ ἡ ὕλη κινεῖται καθ' αὑτήν, ὅτι μηδὲ ἔστι καθ' αὑτὴν ἐνεργείᾳ. δεῖ οὖν καὶ ἐνεργείᾳ τι εἶναι καὶ ἐνεργεῖν οὐ καθό τί ἐστιν, ἀλλὰ καθὸ δύναται εἶναι ἄλλο τι, λέγω δὲ τὸ καθ' ὃ δύναται τοῦτον τὸν τρόπον· ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς, ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντελέχεια ᾗ χαλκός, κίνησίς ἐστιν· ἠρεμεῖ γὰρ καθὸ χαλκός, ἀλλ' ἡ τοῦ δυνάμει αὐτῷ προσόντος, ὑπάρχει δὲ αὐτῷ δυνάμει τὸ ἀνδριάντι γενέσθαι, ἡ δὴ τούτου ἐνέργεια κίνησίς ἐστιν. οὐδὲν δὲ κωλύει καθὸ μὲν χαλκός ἐστιν, ἠρεμεῖν, καθὸ δὲ δυνάμει ἀνδριάς, κατὰ τοῦτο κινεῖσθαι· οὐ γὰρ ταὐτὸν ἁπλῶς χαλκῷ τε
fol. 30b. εἶναι καὶ δυνάμει ἀνδριάντι· ἦν γὰρ ἂν καὶ τῷ λόγῳ ταὐτόν, νῦν δὲ ἕτερα ταῦτα κατὰ τὸν λόγον, εἰ καὶ κατὰ τὸ ὑποκείμενον ἕν. καὶ τοῦτο δέδεικται μέν, οὐδὲν δὲ κωλύει καὶ νῦν ἔτι σαφέστερον ἀποδεῖξαι. οὐκ ἔστι ταὐτὸν τῷ λόγῳ σώματί τε εἶναι καὶ δύνασθαι ὑγιαίνειν ἢ καὶ δύνασθαι νοσεῖν· τὸ μὲν γὰρ σῶμα ἓν καὶ ταὐτὸν ἑαυτῷ, τὸ δύνασθαι δὲ ὑγιαίνειν καὶ δύνασθαι νοσεῖν οὐ μόνον ἕτερα ἀλλήλων, ἀλλὰ καὶ ἐναντία· καὶ γὰρ αἱ ἐνέργειαι αὐτῶν ἐναντίαι. εἰ δὲ ταὐτὸν ἦν τὸ σῶμα ταῖς δυνάμεσιν, ἦσαν ἂν αἱ αὐταὶ καὶ αἱ δυνάμεις ἀλλήλαις. πάλιν οὐκ ἔστι ταὐτὸν τῷ λόγῳ χρώματί τε εἶναι καὶ ὁρατῷ εἶναι·

---

1 conf. Simplic. fol. 96 b. 1. 5 οὐδὲ ἡ] γὰρ οὐδὲ A 9 τοῦτον] ταὐτὸν V 18 εἰ καὶ κατὰ τὸ] καὶ V 20 ἐπιδεῖξαι V 21 τε] μὲν A δύνασθαι ὑγιαίνειν] δυνάμει ὑγιαίνειν V 23 δὲ δύνασθαι V 26 ἂν] ἂν καὶ V

*χρῶμα μὲν γάρ ἐστι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς, ὁρατὸν δὲ τὸ συμβεβηκὸς τῷ χρώματι ἢ ὃ οἷόν τε ὁραθῆναι καὶ τὸ ὁρατόν, οὐδὲ μὴν ψόφῳ καὶ ἀκουστῷ οὐδὲ δὴ θερμῷ καὶ ἁπτῷ οὐδὲ ἁπλῶς τῷ κατ' ἐνέργειαν ὄντι τὰ δυνάμει αὐτῷ προσόντα. δῆλον οὖν ὡς οὐδὲν ψεῦδος, οὐδὲ ταὐτὸν ἄρα ἠρεμεῖν μὲν καθό ἐστιν ἐνεργείᾳ, κινεῖσθαι δὲ καθό ἐστι καὶ δυνάμει. ὅτι δέ ἐστι τοιαύτη τις ἐνέργεια σώζουσα τὸ δυνάμει, ἐντεῦθεν δῆλον. ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν καθὸ δύναται, ὁτὲ δὲ μηδέ πω, οἷον τὸ οἰκοδομητὸν ὅ ἐστι δυνάμει, ποτὲ μὲν ἐνεργοίη ἂν ὡς οἰκοδομητόν, ὅταν οἰκοδομῆται, ποτὲ δ' οὔ, οἷον εἰ κέοιντο ἁπλῶς οἱ λίθοι καὶ ὁ πηλὸς μήπω κινούμενοι ὑπὸ τοῦ τεχνίτου. ἔστιν οὖν τις αὐτοῦ ἐνέργεια ἡ φυλάττουσα αὐτὸ οἰκοδομητὸν ἔτι. αὕτη δέ ἐστιν οἰκοδόμησις· εἰ γὰρ μὴ αὕτη, τίς ἄλλη; οὐ γὰρ δὴ τὴν οἰκίαν εἴποι τις ἄν· οὐ γὰρ ἔτι οἰκοδομητὸν αὕτη λαβοῦσά γε ἅπαξ τὴν μορφήν, ἡ δὲ οἰκοδόμησις σωζομένου τοῦ οἰκοδομητοῦ γίνεται. ὥστε αὕτη ἐστὶν ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ. ἀλλ' αὕτη ἡ ἐνέργεια κίνησις. οὔτε οὖν πρότερον ἡνίκα μόνον οἰκοδομητὸν ἦν, ἐκινεῖτο, οὔτε ὕστερον ἡνίκα ᾠκοδομήθη, ἀλλ' ἐν τῷ μεταξὺ χρόνῳ ἡνίκα ἐκ τοῦ δυνάμει ἐπὶ τὴν ἐντελέχειαν ἐπορεύετο.*

2

*Ὅτι δὲ καλῶς ἐν τῇ τοῦ δυνατοῦ καθὸ δυνατὸν ἐνεργείᾳ τὴν κίνησιν ἐθέμεθα, δῆλον καὶ ἐξ ὧν ἕτεροι λέγουσιν, ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν, ὧν εἴπερ τι κίνησις*

---

2 *χρώματι*] scrib. *χρώματι ὃ οἷόν τε ὁραθῆναι, οὐδὲ μὴν* conf. Simplic. fol. 97. 4 *ἁπλῶς τὸ* A 11 *οἷον τὸν* A 12 *ἐνεργοίη* Victorius, *ἐνεργείᾳ* V, *ἐνεργῇ* A 28 *τι*] *τὶς* V

*ἦν, οἷς τι τούτων ὑπῆρχε, τούτοις ἂν προσῆν πάντως καὶ ἡ κίνησις. πολλὰ δὲ ἕτερα μέν ἐστιν ἀλλήλων, οὐ κινεῖται δὲ διὰ τοῦτο· ἐμοὶ γὰρ ἑτερότης ὑπάρχει πρὸς τὸν ἵππον, καὶ οὐ διὰ τοῦτο κινοῦμαι. ἀλλὰ καὶ ἄνισα τὰ δέκα τοῖς πέντε, καὶ ὅμως οὐ κινεῖται διὰ τὸ ἄνισον. ναὶ φησίν, ἀλλὰ τὴν ἐν αὑτῷ ἑτερότητα κίνησιν λέγομεν. ἀλλὰ καὶ ἐν αὑτῷ ἑτερότης μὲν πάντως, κίνησις δὲ οὔ. ἑτερότης γὰρ ἐν τοῖς μορίοις ἑκάστου καὶ πρὸς ἄλληλα, καὶ ἔστιν ἑτερότης καὶ ἐν τῷ δυνάμει ἑκάστου καὶ ἐνεργείᾳ, ἀλλ' ὅμως οὐκ εὐθὺς οὔτε ὧν τὰ μόρια πλείω, ταῦτα κινεῖται, οὔτε τὸ κατ' ἄλλο μὲν δυνάμει ὄν, κατ' ἄλλο δὲ ἐνεργείᾳ, ὡς χαλκὸς δυνάμει μὲν ἀνδριάς, ἐνεργείᾳ δὲ χαλκός, ὅμως ὥσπερ εἶπον οὐδὲν τούτων, ἐπειδὴ ἐν αὑτῷ ἔχει τὴν ἑτερότητα, εὐθέως κινεῖται. νὴ Δία, ἀλλὰ τὴν ἑτερότητα τὴν ὡς ἑτεροίωσιν λέγουσιν. οὐκοῦν οὐδὲν ἄλλο ἢ τὴν κίνησιν διὰ κινήσεως ἀποδιδόασιν. ἡ γὰρ ἑτεροίωσις τί ἂν ἕτερον σημαίνοι; ἢ γὰρ ἀλλοίωσιν, εἴπερ ταὐτὸν σημαίνει τὸ ἕτερον καὶ τὸ ἄλλο, ἢ μεταβολήν τινα. ἡμῖν δὲ ἡ ἐντελέχεια καὶ ἡ ἐνέργεια γένος ἐστὶ τῆς κινήσεως. οἱ δὲ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν (οὗτοι δὲ ἂν εἶεν οἱ Πυθαγόρειοι) μᾶλλον ἂν αὐτῆς λαμβάνοιντο, εἰ μὴ ὂν αὐτὴν οὕτω λέγουσιν, οὐχ ὡς μηδαμῇ μηδαμῶς ὄν, ἀλλ' ὡς τοῦ κινουμένου μηδέπω τούτου κατ' ἐνέργειαν ὄντος, ἐφ' ὃ κινεῖται, ἀλλ' ἀτελοῦς ἔτι. τοιοῦτο γὰρ καὶ ἡμεῖς τὸ δυνάμει λέγομεν ἀλλ' ὅμως ἀσαφῶς καὶ οὗτοι. δόξειέ γὰρ ἂν συμβεβηκός τι μᾶλλον τῇ κινήσει λέγειν, ἢ ὅ τι ποτέ ἐστιν ἀπο-*

---

12 τὸ om V  14 ὥσπερ] ὅπερ V  17 **οὐδὲν**] **οὐδὲ** libri  23 **ἂν αὐτῆς**] **αὐτῆς** V, **αὐτοῖς** A  27 **λεγόμενον** V  28 **ἀσαφῶς καὶ**] **καὶ ἀσαφῶς** A

διδόναι· συμβέβηκε μὲν γὰρ τῇ κινήσει μὴ ὄν τι πῶς εἶναι, καθ' ὃ τοῦ ὄντος ἐξίστησιν· ἀλλ' οὐκ εἴ τινι συμβέβηκεν μὴ ὄν τι πῶς εἶναι, εὐθὺς καὶ κινεῖται· οὕτω γὰρ πάντα ἦν ἐν κινήσει· ἕκαστον γὰρ τῶν ὄντων ἓν μέν ἐστιν, ἄπειρα δὲ οὐκ ἔστιν. ἀλλ' εἴ τι μεταβάλλει, φήσουσιν, ἐξ ἑτερότητος εἰς ἑτερότητα μεταβάλλει, ἢ ἐξ ἀνισότητος εἰς ἀνισότητα. διὰ τί δὲ μᾶλλον οὐχὶ καὶ ἐκ ταὐτότητος εἰς ταὐτότητα; ἀπὸ γὰρ εἴδους εἰς εἶδος, καὶ ἀπὸ χρώματος εἰς χρῶμα. αἴτιον δὲ αὐτοῖς τοῦ εἰς ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν τιθέναι τὴν κίνησιν, ὅτι ἀόριστον δοκεῖ εἶναι ἡ κίνησις· ὅταν γὰρ ὁρισθῇ, παύεται. ἀόριστα δὲ αὐτοῖς καὶ τὰ προειρημένα πάντα ἐστὶν ἡ ἑτερότης ἡ ἀνισότης τὸ μὴ ὄν, καθάπερ γε καὶ αἱ ἄλλαι αἱ τῆς ἑτέρας συστοιχείας ἀρχαὶ πᾶσαι. πᾶσαι γὰρ κατὰ στέρησιν, οὐδὲν δὲ ὥρισται τῶν κατὰ στέρησιν λεγομένων, οὔτε ὡς τόδε, οὔτε ὡς τοιόνδε, οὔτε ὡς τοσόνδε, οὔτε ὡς ἄλλη κατηγορία τις. ὑπόκειται δὲ τῆς ἱστορίας ἕνεκεν τὸ διάγραμμα ἑκατέρας τῆς συστοιχείας τῆς κατὰ τὸ εἶδος καὶ τῆς κατὰ στέρησιν

| | |
|---|---|
| Περιττόν | Ἄρτιον |
| Πέρας | Ἄπειρον |
| Δεξιόν | Ἀριστερόν |
| Ἄρρεν | Θῆλυ |
| Ἠρεμοῦν | Κινούμενον |
| Εὐθύ | Καμπύλον |
| Τετράγωνον | Ἑτερόμηκες |
| Νοῦς | Δόξα |

1 μὲν om A    7 μεταβάλλειν ἢ A    12 ἀόριστα] ἀόριστος A    16 οὐδὲν] ἐστὶν οὐδὲν A    18 ὑπόκειται] immo ὑποκείσθω

| | |
|---|---|
| Ἓν | Πολλά |
| Φῶς | Σκότος. |

καὶ διὰ τοῦτο οὖν ἀόριστον ᾤοντο τὴν κίνησιν, καὶ ὅτι τῶν ὄντων διῃρημένων εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ, ἐν οὐδετέρῳ τούτων ἡ κίνησις. οὔτε γὰρ τὸ δυνάμει ποσόν, οἷον πηχυαῖον, κινεῖται ἐξ ἀνάγκης καὶ αὔξεται, οὔτε τὸ γενόμενον πηχυαῖον ἤδη, οὔτε fol. 31. τὸ δυνάμενον ἐλθεῖν Μέγαράδε ἔρχεται ἐξ ἀνάγκης οὔτε τὸ ἐλθὸν ἤδη, οὔτε τὸ δυνάμει λευκὸν λευκαίνεται, οὔτε τὸ λευκανθὲν ἤδη. ἀλλ' οὔτε στέρησιν εἰπεῖν αὐτήν ἐστιν οἷόν τε· ἐν ὑπάρξει γάρ ἐστιν ἡ κίνησις, οὐ στερήσει, καὶ ἅμα οὐ πᾶν τὸ ἐστερημένον κινεῖται. διὰ τοῦτο δὲ χαλεπὸν ἐνομίσθη τὸ λαβεῖν αὐτὴν καὶ γνῶναι τί ἐστιν. εἰ γὰρ ἢ εἰς στέρησίν ἐστιν ἀναγκαῖον θεῖναι αὐτὴν ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν, τούτων δὲ οὐδὲν φαίνεται ἐνδεχόμενον τοῖς ἁπλῶς λέγουσιν, λείπεται ὁ προειρημένος τρόπος ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δὲ ἐνέργειαν οἵαν εἴπομεν χαλεπὴν μὲν ἰδεῖν, ἐνδεχομένην δὲ εἶναι. ποίαν οὖν εἴπομεν, ἀναμνησθῶμεν πάλιν· καὶ γὰρ δὶς καὶ τρὶς καὶ πολλάκις τοῦ σαφοῦς ἕνεκεν ταῦτα ῥητέον. διττὸν εἶδός ἐστιν ἐν ἑκάστῳ τῆς ἐνεργείας, ἓν μὲν ὅταν ἤδη τελειωθῇ καὶ ἀπολάβῃ τὴν αὐτοῦ φύσιν, οἷον ὁ ὀφθαλμὸς ὅταν ἤδη γένηται ὀφθαλμός, ἐνέργειαν ἔχει τὴν ὅρασιν, αὕτη δὲ ἡ ἐνέργεια τῆς μορφῆς οὐδὲν διαφέρει· τοῦτο γάρ ἐστιν ὀφθαλμῷ εἶναι τὸ ὁρᾶν κατ' ἐνέργειαν οὕτως. καὶ οὐ λέγω ταύτην τὴν ἐνέργειαν κίνησιν· μορφὴ γάρ ἐστι καὶ εἶδος καὶ ἠρεμίᾳ μᾶλλον προσέοικεν. ἄλλη

---

5 ἐν οὐδετέρῳ] καὶ οὐδέτερα V  9 ἐλθὸν] ἐλθεῖν A
10 ἀλλ' οὔτε] scrib. ἀλλ' οὐδὲ  19 εἴπομεν] εἴποιμεν libri

δέ ἐστιν ἐνέργεια ἡ τοῦ δυνάμει ὄντος ἐν τῷ πράγματι σώζουσα αὐτοῦ τὸ δυνάμει, οἷον ὄμματος ἡ περιαγωγὴ κόρης· καὶ γὰρ ὅταν περιάγηται, ἔχει τὴν δύναμιν τοῦ περιάγεσθαι. αὕτη δέ ἐστι καὶ ἀτελής· σπεύδει γὰρ ἐπὶ τὸ τέλος, καὶ τοῦ δυνάμει ἐστίν, πᾶν δὲ ἀτελὲς καθὸ δυνάμει. διότι μὲν οὖν ὅλως ἐκβέβηκε τὸ δυνάμει, διὰ τοῦτο ἐνέργειαν αὐτὴν λέγομεν, διότι δὲ συνεφέλκεται αὐτὸ καὶ συνδιατηρεῖ, διὰ τοῦτο ἐνέργειαν ἀτελῆ, καὶ τὴν τοιαύτην ἐνέργειαν ἐθέμεθα εἶναι κίνησιν. ταύτῃ μὲν οὖν ἀποχρώντως.

Πάλιν δὲ ἀναλαβόντες λέγομεν, ὅτι κινεῖται καὶ τὸ κινοῦν ὥσπερ εἴρηται, ἀλλ' οὐ πᾶν, ἀλλ' ὅσον δυνάμει κινητόν ἐστιν, τουτέστιν ὅσον ποτὲ καὶ οὐ κινεῖται, καὶ οὗ ἡ ἀκινησία ἠρεμία ἐστίν. οἷς γὰρ κίνησις ὑπάρχει, ταῦθ' ὅταν μὴ κινῆται, ἠρεμεῖν λέγεται. εἰκότως δὲ τὸ τοιοῦτο κινοῦν καὶ κινεῖται· ἔχει γὰρ τὸ δυνάμει. δεῖ γὰρ αὐτὸ ἐξ ἐνεργείας μεταβάλλειν καὶ οὕτως ἐνεργῆσαι πρὸς τὸ κινητὸν ὑπ' αὐτοῦ. διὰ τοῦτο οὖν ἀντικινεῖται. διὰ τοῦτο δὲ καὶ ἀντιπάσχει, καθὸ μὲν γάρ ἐστι ἐνεργείᾳ, ποιεῖ· καθὸ δὲ δυνάμει, πάσχει. τοῦτο δὲ ἐν ἀμφοτέροις τῷ τε κινοῦντι καὶ τῷ κινουμένῳ· ἐν ἀμφοῖν γάρ τό τε ἐντελεχείᾳ καὶ τὸ δυνάμει, ὥσπερ ἴσα ἀντιδιδόντων κατὰ μὲν τὸ ἐντελεχείᾳ τὸ ἀντιποιεῖν, κατὰ δὲ τὸ δυνάμει τὸ ἀντιπάσχειν. ἅπαντα μὲν οὖν τὰ κινοῦντα παραθίξει καὶ ἁφῇ τῶν κινουμένων ἐνεργεῖ πρὸς αὐτά, ἀντικινεῖται δὲ μόνα ὅσα δυνάμει ἐστὶ κινητά. ἆρα οὖν ἔχει καλῶς ὁ τῆς κινήσεως ὁρισμός, καὶ

---

6 πᾶν δὲ] καὶ A  οὖν om V  10 οὖν om V  20 δὲ καὶ] οὖν V  26 πάσχειν V

πᾶσα ἡ τοῦ δυνατοῦ καθὸ δυνατὸν ἐντελέχεια, κίνησίς ἐστιν; ἢ τι προσδιοριστέον; φαίη γὰρ ἄν τις, ὅτι τὸ δυνάμει δεξιόν, ὅταν γένηται δεξιὸν ἐνεργείᾳ μεταστάντος ἐμοῦ [φέρε] πρὸς τὰ εὐώνυμα, μεταβάλλει μὲν εἰς ἐντελέχειαν ἐκ τοῦ δυνάμει, οὐ κινεῖται δέ. λέγεται μὲν οὖν καὶ τοῦτο καλῶς πρὸς τοὺς ἀποροῦντας, ὅτι τὸ δυνάμει εὐώνυμον ἐκινήθη, μία δὲ ἡ δύναμις τῶν πρός τι· αὕτη γὰρ ἡ σχέσις ἣ δύναμίς ἐστιν ἣ ἐνέργεια ἐν ᾗ καὶ τὸ δεξιὸν καὶ τὸ εὐώνυμον πρὸς ἄλληλα ἔστι τε καὶ λέγεται, ὥστε εἰ τὸ ἕτερον ἐκινήθη, πάντως που καὶ τὸ ἕτερον. ἐγὼ δέ φημι τὴν κατὰ τὸ πρός τι ἐνέργειαν μὴ διασώζειν τὸ δυνάμει, ἀλλὰ ἀθρόαν γίνεσθαι μεταβολὴν ἐκ τοῦ δυνάμει εἰς ἐντελέχειαν. μία οὖν ἐπ᾽ αὐτῶν ἐνέργεια θεωρεῖται ἡ κυρίως τε καὶ ἁπλῶς, ἡ δὲ ἀτελὴς οὐκέτι· οὐ γὰρ κατ᾽ ὀλίγον δεξιὸν γίνεται τὸ δένδρον μετακινουμένου μου πρὸς τὰ εὐώνυμα, ἀλλὰ ἀθρόως, κἀγὼ δὲ ἐπὶ τὰ ἀριστερὰ μεθιστάμενος κινοῦμαι μὲν κατὰ τόπον, οὐ κινοῦμαι δὲ κατὰ τὸ πρός τι· ὅλως γὰρ ἐπὶ τῶν τοιούτων δεικνύναι δεῖ πρῶτον τὴν ἐνέργειαν τὴν ἀτελῆ, καθ᾽ οὕτως τὸν ὅρον ἐλέγχειν. ἀλλ᾽ ὅμως ἐπειδὴ τὸ δυνατὸν ἐν ἁπάσαις ταῖς κατηγορίαις ἐστίν, ἡ δὲ κίνησις οὐκ ἐν ἁπάσαις, μεταθῶμεν τὸ δυνατὸν εἰς τὸ κινητὸν καὶ ὁρισώμεθα αὐτὸ ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν, καὶ μὴ νομίσῃ τις ἡμᾶς δι᾽ ὁμοίως ἀδήλου τοῦ κινητοῦ τὴν κίνησιν πειρᾶσθαι δηλοῦν. μάλιστα μὲν γάρ, ἐπειδὴ ἡ κίνησις πρός τι· κεῖται γὰρ καὶ τοῦτο ἐν τοῖς πάλαι προδιωρισμένοις, καὶ ἔστι πρὸς τὸ κινητόν, ἀδύνατον

3 δεξιὸν om A  4 φέρε om V  12 κατὰ τὸ] κατὰ V  17 ἀθρόως] ἀχρόνως libri; vid. Simplic. fol. 100.  21 καθ᾽] καὶ A, Simplicius.  29 διωρισμένοις A

αὐτὴν ἄλλως ὁρίσασθαι, μὴ πρὸς ὅ ἐστιν παραλαβόντας, ὥσπερ οὐδὲ πατέρα χωρὶς υἱοῦ, οὐδὲ διπλάσιον χωρὶς ἡμίσεως· ἔπειτα καὶ γνωριμώτερον τὸ κινητὸν τῆς κινήσεως· οὐ γὰρ ταὐτόν, εἰδέναι ὅτι ἔστι κίνησις καὶ τί ἐστιν· τὸ μὲν γὰρ ὅτι ἔστιν, ἅπασιν γνώριμον, τὸ δὲ τί ἐστι καὶ ἡμεῖς ζητοῦμεν. ἀλλὰ μὴν ὅτι ἔστι κίνησις ἀπὸ τῶν κινουμένων γνώριμον. ταῦτα δέ ἐστι τὰ κινητά, ὥστε ὁ τῷ κινητῷ πρὸς τὸν ὁρισμὸν τῆς κινήσεως χρώμενος τῷ γνωριμωτέρῳ πρὸς τὸ ἀγνωστότερον κέχρηται. εἶδος δὲ πάντως ἕξει τὸ κινοῦν ὅταν κινῇ ἢ κατ' οὐσίαν ἢ κατὰ ποιότητα ἢ κατ' ἄλλην τινὰ τῶν κατηγοριῶν· τῷ γὰρ εἴδει κινεῖ καὶ τοῦτ' ἔστιν ἀρχὴ τῆς κινήσεως.

3 Ζητητέον δ' ἐφεξῆς, ὅταν ἕτερον ὑφ' ἑτέρου κινῆται, πότερον ἐν τῷ κινοῦντι ἢ τῷ κινουμένῳ ἡ κίνησις. ἔστιν οὖν ἐν τῷ κινουμένῳ. τὴν γὰρ τοῦ κινητοῦ ἐντελέχειαν κίνησιν λέγω, καὶ ὅλως ἐν τούτῳ ἐστὶν τὸ δυνάμει, οὗ κίνησις ἡ ἐνέργεια. ἐν τούτῳ μὲν οὖν ἐστίν, γίνεται δὲ ὑπ' ἄλλου· τοῦ γὰρ κινητικοῦ, καὶ ἔστι μία· οὐ γὰρ ἄλλη μὲν ὑπὸ τοῦ κινοῦντος γίνεται, ἄλλη δέ ἐστιν ἐν τῷ κινητῷ, ἀλλὰ ἡ ἐνέργεια τοῦ κινητικοῦ αὕτη ἐστὶν ἐν τῷ κινητῷ, καὶ μία οὖσα ἅμα τε τὸ κινητικὸν κινοῦν ποιεῖ καὶ τὸ κινητὸν κινούμενον. μία μὲν ἀμφοῖν ἡ ἐνέργεια τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, ὅταν τὸ μὲν κινῇ τὸ δὲ κινῆται, μία δὲ τῷ ὑποκειμένῳ. τῷ γὰρ λόγῳ δύο καὶ τὸ τί ἦν εἶναι, ὥσπερ τὸ ἄναντες καὶ τὸ κάταντες. fol. 31b. ὡς γὰρ ἐπὶ τούτων τὸ μὲν αὐτὸ διάστημα, ἀλλ'

10 ἀγνωριμώτερον V 11 ποιότητα] ποσότητα V 14 ὑφ'] ἐφ' V 27 fort. καὶ τῷ

*ἔνθεν μὲν ἀρχομένῳ ἄναντες, ἔνθεν δὲ κάταντες, καὶ διὰ τοῦτο τῷ λόγῳ δύο· οὕτως καὶ ἐπὶ τῆς κινήσεως κατὰ μὲν τὸ ὑποκείμενόν ἐστι μία ἡ ἐνέργεια τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, ἀλλ' ἀπὸ μὲν τοῦ κινοῦντος ἀρχομένοις ποίησίς ἐστιν, ἀπὸ δὲ τοῦ κινουμένου πάθησις· καὶ οὕτως ἂν εἶεν τῷ λόγῳ δύο, ἐπεὶ μὴ οὕτω τιθεμένοις ἔχει τινὰ λογικὴν ἀπορίαν. δεῖ μὲν γὰρ εἶναι ἐνέργειαν τοῦ κινητικοῦ, δεῖ δὲ καὶ τοῦ παθητικοῦ ὧν τὸ μὲν ποίησις τὸ δὲ πάθησίς ἐστιν. αὗται δὲ ὅτι διαφέρουσιν, δῆλον· καὶ γὰρ τὰ ἔργα αὐτῶν καὶ τὰ ἀποτελέσματα διαφέρει· τῆς μὲν γὰρ ποίημα ἀποτέλεσμα, τῆς δὲ πάθος. κείσθω τοίνυν ἑτέρας εἶναι τὰς ἐνεργείας. πῶς δὴ καὶ ἐν τίνι ἔσονται, σκεψώμεθα. ἢ τοίνυν ἄμφω ἐν τῷ ποιοῦντι, ἢ ἄμφω ἐν τῷ κινουμένῳ, ἢ ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι· ἀνάπαλιν γὰρ οὐκ ἐνδέχεται, οἷον τὴν ποίησιν ἐν τῷ πάσχοντι εἶναι, εἰ μή τις τὴν τοῦ πάσχοντος ἐνέργειαν ὁμωνύμως ποίησιν ὀνομάζειν θέλοι. ἔστω δὴ πρῶτον ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι. οὐκοῦν ὥσπερ τὸ κινούμενον ἔχει κίνησιν ἐν ἑαυτῷ τὴν ἰδίαν ἐνέργειαν, οὕτω καὶ τὸ κινοῦν ἕξει κίνησιν ἐν ἑαυτῷ τὴν ἰδίαν ἐνέργειαν. ὁ γὰρ αὐτὸς λόγος ἐπ' ἀμφοῖν, ἀλλ' εἰ τοῦτο, δυοῖν ἀτόποιν θάτερον ἀναδεξόμεθα· ἢ γὰρ ἅπαν τὸ κινοῦν καὶ κινήσεται, ἢ τὶ ἔχον κίνησιν οὐ κινήσεται. εἶεν. ἀλλ' ἔστω ἄμφω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι ἡ ποίησις καὶ ἡ πάθησις, οἷον καὶ ἡ δίδαξις καὶ ἡ μάθησις ἐν τῷ μανθάνοντι. πρῶτον μὲν τοίνυν ἄλογον*

---

5 *ἀρχόμενος* V 11 *τῆς*] *τοῖς* A 12 *ὡς ἀποτέλεσμα* A 13 *ἐν τίνι*] *ἔν τι* V 14 *ποιοῦντι*] *κινοῦντι?* 19 *θέλοι*] *θέλει* libri, vid. Simplic. fol. 101 b.

τὸ τὴν ἑκάστου ἐνέργειαν μὴ ἐν αὐτῷ εἶναι τῷ ἐνεργοῦντι, ἔπειτα θαυμαστόν, ὅπως τὸ πάσχον δύο κινήσεις ἅμα διαφερούσας κινήσεται. τίνες γὰρ ἔσονται αὗται, χαλεπὸν ἐξευρεῖν μάλιστα καθ' ἓν εἶδος κινήσεως τοῦ πάσχοντος κινουμένου. τὰ αὐτὰ δὲ καὶ ἔτι πλείω τὰ ἄτοπα ἀκολουθήσει, εἰ θείημεν ἐν τῷ κινοῦντι τὰς δύο κινήσεις ὑπάρχειν· προσέσται γὰρ καὶ τὸ μὴ κινεῖσθαι τὸ κινούμενον ἐν τῷ κινοῦντι τῶν δύο οὐσῶν κινήσεων. ταῦτα μὲν οὖν τὰ ἄτοπα ἠκολούθησεν ἑτέρας εἶναι τὰς κινήσεις ὑποθεμένοις, ὅθεν καὶ τῆς ὑποθέσεως ταύτης ἀποστατέον. ἔσται τοίνυν μία ἀμφοῖν ἡ ἐνέργεια τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου· τοῦτο γὰρ τὸ λοιπόν. ἀλλ' ἄτοπον δύο διαφερόντων κατ' εἶδος τοῦ τε ποιοῦντος καὶ τοῦ πάσχοντος μίαν ἐνέργειαν εἶναι· ὡς γὰρ οὐκ ἔστι λευκοῦ καὶ μέλανος μία ἐνέργεια, οὕτως οὐδὲ ποιοῦντος καὶ πάσχοντος. καὶ εἴπερ τοῦτο ἀληθές, ἔσται ἡ δίδαξις καὶ ἡ μάθησις τὸ αὐτό, καὶ τὸ διδάσκειν τῷ μανθάνειν, καὶ τὸ ποιεῖν τῷ πάσχειν, ὥστε τὸν διδάσκοντα ἀνάγκη ἔσται μανθάνειν ἐν αὐτῷ τῷ διδάσκειν, καὶ τὸν ποιοῦντα πάσχειν ἐν αὐτῷ τῷ ποιεῖν. ποῦ δὲ καὶ ἔσται ἡ μία αὕτη ἐνέργεια; κατὰ μὲν γὰρ τὸν ὁρισμὸν ἐν τῷ κινουμένῳ· ἡ γὰρ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ἦν. καὶ τοῦτο ἄτοπον τὸ τὴν τοῦ ποιοῦντος ἐνέργειαν μὴ ἐν τῷ ποιοῦντι εἶναι. οὐδὲν οὖν ὁ λόγος εὐπορώτερον ἀπαλλάττει μίαν ὑποθέμενος εἶναι τὴν ἀμφοτέρων ἐνέργειαν, ὥστε εἰ μήτε ἕτεραι μήτε μία, τάχα ἂν καὶ μία καὶ ἕτεραι. οὕτω δὲ καὶ ἐξ ἀρχῆς ἐλέγετο, ὅτι μία μὲν τῷ ὑποκειμένῳ,

---

5 κινουμένου] τοῦ κινουμένου V 6 fort. πλείω ἄτοπα 10 ὑποθεμένας A 22 ἔστιν A

τῷ λόγῳ δὲ διαφέρουσαι, καὶ οὐδὲν ἄτοπον ὑπομένουσιν. οὔτε γὰρ ἀποτμηθήσεται ἡ τοῦ κινοῦντος ἐνέργεια μία οὖσα κατὰ τὸ ὑποκείμενον ἐν ἀμφοτέροις καὶ γινομένη ἐν τῷ κινουμένῳ, ὥσπερ ἐκ τῆς ἐναργείας ὁρῶμεν· τοῦ γὰρ διδάσκοντος κινουμένου πρὸς τὸν μανθάνοντα οὐκ ἀποτεμνομένη ἡ δίδαξις τοῦ διδάσκοντος γίνεται ἐν τῷ μανθάνοντι, ὥστε τὸν μὲν ἀνενέργητον εἶναι, τὸν μανθάνοντα δὲ ἐνεργεῖν μόνον, ἀλλὰ τοῦ διδάσκοντος παρόντος καὶ ἐνεργοῦντος τὸ τοῦτον ἐνεργεῖν καὶ ποιεῖν τοῦτο ὃ πάσχει ὁ μανθάνων, οὕτως ἡ τοῦ μανθάνοντος ἐνέργεια γίνεται. οὐδὲν δὲ κωλύει μίαν εἶναι τὴν ἐνέργειαν τῶν διαφόρων κατ' εἶδος κινήσεων ποιήσεως καὶ παθήσεως. κατὰ γὰρ τὸ ὑποκείμενον μόνον ἔσονται μία, ὅτιπερ ἕν εἰσιν ἄμφω· ταὐτὸν γὰρ καὶ ἓν τὸ θεώρημα, ὃ διδάσκει ὁ διδάσκων καὶ ὃ μανθάνει ὁ μανθάνων, καὶ ἡ δίδαξις οὐκ ἄλλο τί ἐστιν ἢ τὸ ἐκ τοῦ διδάσκειν καὶ μανθάνειν γινόμενον. ὁμοίως δὲ καὶ ἡ μάθησις. ἀλλὰ ταῦτα ὡς ἔφαμεν τῷ μὲν ὑποκειμένῳ ταὐτόν, οὐ ταὐτὸν δὲ τῷ λόγῳ· ἀλλὰ δίδαξις μὲν ἐπιστήμης δόσις, μάθησις δὲ ἐπιστήμης λῆψις, καὶ ἄγεται ἡ τοῦ μανθάνοντος δύναμις ὑπὸ τοῦ διδάσκοντος εἰς ἐνέργειαν. οὐκ ἔστιν οὖν τὸ διδάσκειν τῷ μανθάνειν ταὐτόν, εἰ καὶ περὶ ταὐτὸ θεώρημα ἄμφω· οὐδὲ γὰρ τὸ ἀνιέναι τῷ κατιέναι, εἰ καὶ περὶ τὴν αὐτὴν ὁδὸν ἄμφω· διάφοροι γὰρ αὐτῶν οἱ λόγοι καὶ τὸ τί ἦν εἶναι, καὶ ὥσπερ ἔνθεν μὲν βαδίζειν ἀρχομένοις ἄναντες, ἔνθεν δὲ κάταντες, ἓν δὲ μεταξὺ τὸ διάστημα, οὕτως ἀπὸ τοῦ διδάσκοντος μὲν ἀρχομένοις δίδαξις, ἀπὸ δὲ τοῦ μανθάνοντος μάθησις, ἓν δὲ ἐν

---

4 ἐναργείας] ἐνεργείας A

ἀμφοῖν τὸ θεώρημα. δεῖ γὰρ οὐχ ἁπλῶς τὰ αὐτὰ εἶναι, οἷς τὰ αὐτὰ μέλλει πάντα ἀκριβῶς ἀκολουθῆσαι, ἀλλὰ τῷ λόγῳ καὶ τῷ ὁρισμῷ, ἐπεὶ καὶ τὸ Ἀθήναζε ἐκ Θηβῶν καὶ τὸ εἰς Θήβας Ἀθήνηθεν ἀπιέναι οὐ ταὐτὸν οὐδὲ ἅμα αὐτῷ ὑπάρξει, καίτοι γε μία ἡ ὁδὸς καὶ τὰ αὐτὰ ὄρη καὶ αἱ αὐταὶ καταλύσεις. ἀλλ' ἐκ περιόντος ἔστω καὶ δίδαξις μαθήσει ταὐτόν. ἀλλ' οὐδὲ οὕτως ἀκολουθήσει ταὐτὸν εἶναι τὸ διδάσκειν καὶ τὸ μανθάνειν, ἐπεὶ καὶ ἡ διάστασις ἡ αὐτὴ ἐνθένδε ἐκεῖσεν, κἀκεῖθεν δεῦρο, ἀλλ' οὐ ταὐτὸν τό τε ἔνθεν ἐκεῖσεν, καὶ τὸ ἐκεῖθεν δεῦρο διίστασθαι. ἀλλ' οὔτε ἡ δίδαξις τῇ μαθήσει ταὐτὸν οὔτε ἡ ποίησις τῇ παθήσει, ἀλλὰ ἐκεῖνα οἷς ταῦτα ὑπάρχει, ἡ κίνησις καὶ ἡ ἐνέργεια, ἥτις κατὰ μὲν τὸ ὑποκείμενον μία, κατὰ δὲ τοὺς λόγους διάφορος. τί μὲν οὖν fol. 32. ἐστὶ κίνησις καὶ καθόλου καὶ κατὰ μέρος, εἴρηται κατὰ δύο λόγους, καθ' ἕνα μὲν ἐντελέχεια τοῦ δυνάμει ᾗ τοιοῦτον, καθ' ἕτερον δὲ ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητόν. ἔστι καὶ οὐ χαλεπὸν ἀποδοῦναι λοιπὸν καὶ τὰς κατ' εἶδος ἀλλήλων διαφερούσας· ἀλλοίωσις μὲν γὰρ ἐντελέχεια τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτόν, αὔξησις δὲ ἐντελέχεια τοῦ αὐξητοῦ ᾗ αὐξητόν. εἰ δὲ δεῖ καὶ τρίτον λόγον προσθεῖναι, τοῖς νῦν εἰρημένοις προσχρώμενοι οὐκ ἀπορήσομεν· ἡ γὰρ τοῦ δυνάμει ποιητικοῦ καὶ τοῦ δυνάμει παθητικοῦ πρὸς ἄλληλα ἐντελέχεια κίνησίς ἐστιν. ἁρμόσει δὲ καὶ οὗτος ὁ λόγος καὶ ἐπὶ τὰς καθ' ἕκαστον κινήσεις μεταφέρεσθαι, οἷον οἰκοδόμησιν αὔξησιν ἰάτρευσιν.

---

1 ἁπλῶς] immo ὁπωσοῦν 5 ὑπάρξει] ὑπάρξῃ libri 12 οὔτε ἡ ποίησις τῇ παθήσει om A 13 ἡ ante κίνησις et ἐνέργεια om V 20 διαφερούσας] διαφόρους V

*διττὴ δὲ ἡ μετάθεσις μεταλαμβανομένου τοῦ δυνάμει καθ' ἕκαστον εἶδος. περὶ μὲν οὖν κινήσεως ἀρκείτω τέως τὰ εἰρημένα.*

4 *Ἐπεὶ δέ ἐστιν ἡ περὶ φύσεως ἐπιστήμη περὶ μεγέθη καὶ κίνησιν καὶ χρόνον, τούτων δὲ ἕκαστον ἀναγκαῖον ἢ πεπερασμένον ἢ ἄπειρον εἶναι· οὐ γὰρ ὡς πάθος ἢ στιγμὴ ταῦτα λέγεται, ἀκόλουθον ἂν εἴη καὶ περὶ ἀπείρου ποιήσασθαι λόγον, εἰ ἔστιν ἢ μή, καὶ εἰ ἔστι τί ἐστιν. σημεῖον δὲ ὅτι ταύτης τῆς ἐπιστήμης οἰκεία ἡ θεωρία· ἅπαντες γὰρ ὅσοι τῆς τοιαύτης ἧψαντο φιλοσοφίας ἀξίως λόγου, εἰρήκασί τι περὶ ἀπείρου, καὶ πολλοί γε αὐτὸ καὶ ὡς ἀρχὴν ἀπεσέμνυναν. οἱ μὲν οὖν Πυθαγόρειοι καὶ Πλάτων ὡς οὐσίαν τινὰ καὶ φύσιν καθ' αὐτὴν οὕτως ἀρχὴν ποιοῦσιν τὸ ἄπειρον, οὐ γῆν ἄπειρον ἢ ὕδωρ ἢ ἄλλο τι σῶμα λέγοντες, ἀλλ' αὐτήν τινα φύσιν ἄπειρον οὐσιωμένην ἐν τῷ ἀπείρῳ, διαφέρονται δὲ ἀλλήλοις ὅμως κατὰ πολλά. οἱ μὲν γὰρ ἐκ Πυθαγόρου τὸν ἀριθμὸν τὸ ἄπειρον λέγουσιν, ἀριθμὸν δὲ οὐ χωριστὸν οὐδὲ ἀσώματον, ἀλλ' ὡς ἀρχὴ τῶν αἰσθητῶν ἐστὶ κατ' ἐκείνους. πάντα γὰρ ἐκ τῶν ἀριθμῶν παράγουσι τὰ αἰσθητά, κἀντεῦθεν τῷ ἀριθμῷ δὲ πάντ' ἐπέοικεν καὶ ἡ πηγὴ τῆς φύσεως ἡ τετρακτύς, εἶναι δέ τι καὶ ἔξω τοῦ οὐρανοῦ προστερατεύονται ἄπειρον, οὔτε ὁποῖον οὔτ' εἰς ὅ τι χρήσιμον διορίζοντες· Πλάτων δ' ἔξω μὲν τοῦ οὐρανοῦ οὔτε σῶμα οὐδὲν οὔτε ἀσώματον ὑπολαμβάνει· οὔτε γὰρ τὰς ἰδέας ἔξω τί-*

---

1 *διττὴ*] *δῆλον* A  3 *τέως τὰ εἰρημένα* om A  12 *καὶ* ante *ὡς* om A  19 *τὸ* om V  22 *τῷ*] scrib. *τὸ ἀριθμῷ δέ τε* vid. de anima I, 2.  24 *τι* om V, sic quidam Aristot. libri; fort. *δὲ καὶ τὸ*  27 *οὔτε γὰρ*] scrib. utroque loco *οὐδὲ γὰρ*

θησι τοῦ οὐρανοῦ· οὔτε γὰρ ὅλως ἐν τόπῳ, τὸ μέντοι ἄπειρον οὐ μόνον ἐν τοῖς αἰσθητοῖς ὡς ἐκεῖνοι, ἀλλὰ καὶ ἐν τοῖς νοητοῖς εἶναι ἀρχήν· ἀρχὴ μὲν γὰρ ὁ ἀριθμὸς αὐτῷ καὶ αἰσθητῶν καὶ νοητῶν· ποιεῖ γὰρ καὶ τὰς ἰδέας ἀριθμούς· ἀρχὴ δὲ ἀριθμοῦ δυάς, δυάδος δὲ αὖθις ἀρχαὶ τὸ μέγα καὶ τὸ μικρόν, καὶ τὸ διπλάσιον καὶ τὸ ἥμισυ, καὶ πλῆθος καὶ ὀλιγότης, καὶ ὑπεροχὴ καὶ ἔλλειψις, οἷς ἅπασι τὸ ἄπειρον εὐθὺς ἐμφαίνεται καὶ τὸ ἀτερμάτιστον καὶ ἀόριστον κατά γε τὰς τῶν σωμάτων τομὰς καὶ τὴν αὔξησιν τῶν ἀριθμῶν. διαφέρονται δὲ καὶ ταύτῃ πρὸς τὸν Πλάτωνα οἱ Πυθαγόρειοι οἳ τὸν ἀριθμὸν οὐχ ἅπαντα ἄπειρον λέγουσιν, ἀλλὰ τὸν ἄρτιον μόνον· τοῦτον γὰρ εἶναι τῆς εἰς τὰ ἴσα τομῆς αἴτιον ἥτις ἄπειρος. καὶ τῇ μὲν αὐτοῦ φύσει γεννητικὸν ἀπειρίας τὸν ἄρτιον εἶναι ἐν οἷς ἂν ὑπάρξῃ, περαίνεσθαι δὲ ὑπὸ τοῦ περιττοῦ· τοῦτον γὰρ κωλύειν τὴν εἰς ἴσα διαίρεσιν προστιθέμενον τῷ ἀρτίῳ, φέρουσι δὲ καὶ ἄλλο σημεῖον τοῦ πέρατος μὲν αἴτιον εἶναι τὸν περιττόν, ἀπειρίας δὲ τὸν ἄρτιον· λαβόντες γὰρ μονάδα τοὺς ἐφεξῆς αὐτῇ περισσοὺς ἐπισυντιθέασι χωρὶς ἕκαστον, οἷον γ̄ καὶ ε̄ καὶ ζ̄ καὶ θ̄. ἑκάστη τοίνυν τούτων ἐπισύνθεσις τὸ συναγόμενον ἀεὶ τετράγωνον διαφυλάττει δ̄ θ̄ ιστ̄ κε. διὰ τοῦτο γνώμονας καλοῦσιν οἱ ἀριθμητικοὶ τοὺς περιττούς, ὅτι φυλάττουσι τὸ εἶδος τοῦ τετραγώνου οἱ ἐφεξῆς τοῖς πρώτοις περιτιθέμενοι ὥσπερ οἱ γραμμικοί. πάντως δὲ ὅ τι πότ' ἐστι γνώμων, ἐν γεωμετρίᾳ γινώσκεις· οὐ γὰρ ἀμαθέσι παντελῶς ταῦτα γράφεται. οὕτως μὲν οὖν οἱ περιττοὶ

3 μὲν om A 4 γὰρ] δὲ V 20 τοὺς — περισσοὺς] τὰ — περισσὰ V 23 συναγόμενον] λεγόμενον V 27 ὅ τι] ὅτι τί V 29 συγγράφεται V

φυλακτικοὶ τοῦ εἴδους εἰσὶ καὶ τὸ ἓν τηροῦσιν, οἱ δὲ ἄρτιοι προστιθέμενοι τῇ μονάδι κατὰ τοὺς ἐφεξῆς ἀεί τι καινὸν εἶδος ποιοῦσιν, καὶ ἡ διαφορὰ πρόεισιν εἰς ἄπειρον τρίγωνον, εἶτα [καὶ] ἑπτάγωνον, εἶθ' ὅ τι καὶ τύχοι. οὕτως οὖν τοῖς Πυθαγορείοις ὁ ἄρτιος μόνος ἀριθμὸς ἄπειρος γίνεται. Πλάτων δὲ δύο ποιεῖ τὰ ἄπειρα τὸ μέγα καὶ τὸ μικρόν· ἄμφω γὰρ ἐπ' ἄπειρόν ἐν τῇ τῶν σωμάτων τομῇ τὸ μὲν καθαιρεῖται, τὸ δὲ αὔξεται. τῶν δὲ φυσικῶν οἱ περὶ ἀπείρου διαλεχθέντες συμβεβηκέναι ποιοῦσιν τὸ ἄπειρον ἑτέρᾳ φύσει, ταύτην δὲ ἢ πῦρ ἢ ἀέρα ἢ μίγμα τούτων ὑπολαμβάνουσιν, διαφερόμενοι δὲ πρὸς ἀλλήλους ἐν ταῖς ἀρχαῖς εἰς μίαν ἅπαντες δόξαν συναπαρτίζουσι περὶ τῆς θέσεως τοῦ ἀπείρου. τῷ μεγέθει γὰρ πάντες τὸ πᾶν ἄπειρον ποιοῦσιν, οἱ μὲν μίαν τὴν ἀρχὴν ὑποτιθέμενοι καὶ ταύτην ἄπειρον καὶ πάνυ σαφῶς, οἱ δὲ πλείους μέν, οὐ πεπερασμένας δὲ τῷ ἀριθμῷ ἀλλ' ἀπείρους, καθάπερ Ἀναξαγόρας τε καὶ Δημόκριτος ὁ μὲν κατὰ τὰς ὁμοιομερείας, ὁ δὲ κατὰ τὰ σχήματα. τούτοις δὲ ἀκολουθεῖ καὶ αὐτὸς Δημόκριτος ἄρχεται μὲν ἐκ τοῦ κατ' ἀριθμὸν ἀπείρου, τελευτᾷ δὲ εἰς τὸ κατὰ μέγεθος ἄπειρον. τῇ γὰρ τῶν ἀπείρων κατὰ τὸ πλῆθος πρὸς ἄλληλα ἁφῇ καὶ συνθέσει τὸ πᾶν ἐξ αὐτῶν ἄπειρον γίνεται κατὰ μέγεθος, ἐπεὶ ὅσοι πλείους μὲν τὰς ἀρχὰς πεπερασμένας δὲ τίθενται, οὐδεμίαν χώραν τῷ ἀπείρῳ καταλείπουσιν οὔτε ἐν ταῖς ἀρχαῖς· πῶς γὰρ ἅμα τε τρεῖς ἢ τέτταρες καὶ μία ἄπειρος ἢ δύο ἢ πόσαι; οὔτε μετὰ τὰς ἀρχάς· τὸ

---

4 καὶ om V 10 συμβεβηκέναι] συμβεβηκὸς V 13 συναπαντίζουσι A 19 ὁμοιομερίας libri 21 ἄρχεσθαι, item τελευτᾶν V. scribo ἀκολουθεῖ καὶ αὐτοῖς ἄρχεσθαι — τελευτᾶν δὲ 27 τέσσαρα V

γὰρ ἐκ πεπερασμένων καὶ πλήθει καὶ μεγέθει πεπερασμένον. τούτοις μὲν οὖν τοιαῦτα ἀκολουθεῖ.

Εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασιν οἱ τιθέμενοι. εἰ γάρ ἐστιν, ὅλως οὐδὲν ἄλλο ἐστίν· οὔτε γὰρ ἐξ ἀρχῆς· ποίας γάρ; εἶδος μὲν γὰρ ἄπειρον οὐκ ἔστιν, ὕλης δὲ οὐδέποτε πλέον τὸ ἐξ αὐτῆς. ἀλλ' οὐδὲ μάτην, τί γὰρ ἄλλο ἕνεκά του λοιπόν, εἰ τοῦτο μάτην; εὐλόγως δὲ καὶ ἄφθαρτον καὶ ἀγένητον. εἴτε γὰρ γέγονέ ποτε, ἀρχὴν ἔσχεν τὴν κατὰ μέγεθος· οὐ fol. 32b. γὰρ δὴ ἀθρόον ἐφάνη, καθάπερ τὰ ἀλλοιούμενα· εἴτε φθαρήσεταί ποτε, πέρας ἕξει τι κατὰ μέγεθος εἰς ὃ ἡ φθορὰ ἀπολήξει. διὰ τοῦτο οὖν ἀρχὴν τὸ ἄπειρον καὶ ἀΐδιον καὶ περιέχειν αὐτὸ πάντα φασὶ καὶ κυβερνᾶν καὶ τοῦτό γε εἶναι τὸ θεῖον Ἀναξίμανδρός τε καὶ ἄλλοι τινὲς διατείνονται, ὅσοι μὴ νοῦν ἢ φιλίαν ἢ ἑτέραν τινὰ ποιητικὴν αἰτίαν ἐφιστᾶσιν τοῖς γινομένοις. ὅτι μὲν οὖν ἀναγκαῖος ὁ λόγος τῷ φυσικῷ, ταῦτα ἀποχρώντως διδάσκει.

Λέγωμεν δὲ ἑξῆς εἴ ἐστι, καὶ πρῶτόν γε ἐκ πόσων ἂν δόξειεν εἶναι. συμβαίνει δὲ ἐκ πέντε μάλιστα σκοποῦσιν, πρῶτον μὲν ἐκ τοῦ χρόνου· οὗτος γὰρ ἄπειρος. δεύτερον δὲ ἐκ τῆς ἐν τοῖς μεγέθεσιν διαιρέσεως· χρῶνται γὰρ καὶ οἱ μαθηματικοὶ τῷ ἀπείρῳ ὡς ἀρχῇ καὶ ὑποθέσει. τρίτον ὅτι οὕτως ἂν μόνως ἀνεπίλειπτος ἡ γένεσις εἴη, εἰ ἐξ ἀπείρου ποθὲν χορηγοῖτο, ὅθεν ἀφαιρεῖται τὸ γινόμενον. τέταρτον ᾧ καὶ τῶν ὑστέρων τινὲς κατεχρήσαντο, ὅτι τὸ πεπερασμένον πρός τι περαίνειν ἀνάγκη, ὥστε μηδὲν εἶναι τὸ πέρας, εἰ τὸ λαμβανόμενον ἀεὶ πρὸς ἕτερον

---

2 τοιαῦτα] ταῦτα V 13 κυβερνῶν A 19 λέγομεν A
25 ἀνεπίλειπτος] ἀνεπείληπτος libri, rectius fort. ἀνέκλειπτος

περατοῦται. πέμπτον ὃ καὶ τοῖς προειρημένοις παρέχει τὴν πιθανότητα τὸ τὴν νόησιν ἡμῶν μὴ προσίεσθαι πέρας καὶ τέλος, ἀλλ' ἀεὶ τοῦ νοουμένου πλέον τι προσφαντάζεσθαι· διὰ γὰρ τοῦτο καὶ τὸν ἀριθμὸν ἄπειρον ὑπολαμβάνομεν καὶ τὴν τῶν σωμάτων τομὴν καὶ τὸ ἔξω τοῦ οὐρανοῦ· οὐ γὰρ ἔχει στάσιν ἡ φαντασία, ἀλλ' ὅταν ὑπερβῇ τὸν οὐρανόν, ζητεῖ κενὸν ἔξωθεν ἄπειρον ἢ σῶμα, μᾶλλον δὲ σῶμα· καὶ γὰρ εἰ κενὸν ἄπειρον εἴη, ἀκολουθεῖ τὸ καὶ σῶμα ἄπειρον εἶναι· εἰ γὰρ κενόν ἐστιν ὃ δύναται δέξασθαι σῶμα, τὸ ἄπειρον κενὸν ἄπειρον ἂν δέξαιτο σῶμα, ὥστε καὶ δέδεικται ἤδη. οὐ γὰρ ἐπειδὴ δύναται δέξασθαι, ἐνδέχεται αὐτὸ καὶ μὴ δέξασθαι· τοῦτο γὰρ ἐπὶ μὲν τῶν φθαρτῶν ἐγχωρεῖ, καὶ τὸ ἐνδεχόμενον οὐ πάντως ἂν γένοιτο ἐξ ἀνάγκης προαπολλυμένου πολλάκις ᾧ ὑπάρξαι εἶχεν ἐπιτηδείως, ἐφ' ὧν δὲ οὐδὲ περιώρισται τὸ εἶναι ὑπὸ τοῦ χρόνου ἀλλ' ἔστιν ἀεί, δεῖ γενέσθαι ποτὲ ἐξ ἀνάγκης τὸ ἐνδεχόμενον, ὡς εἰ μηδέποτε γένοιτο, οὐδ' ἐνδεχόμενόν ἐστιν, διόπερ οὐδὲ κυρίως ἐπὶ τῶν ἀϊδίων τὸ ἐνδεχόμενον· οὐ γὰρ ἔχει τὴν ἐπ' ἄμφω ῥοπήν, ἀλλ' ἐξ ἀνάγκης ἔσται ποτέ, μᾶλλον δέ ἐστιν ἐξ ἀνάγκης. τὸ γὰρ ἐνδέχεσθαι ἐπὶ τούτων τοῦ εἶναι οὐδὲν διαφέρει· οὐ γὰρ ἔχει τὸ ἄλλο τε ἄλλως, ὥστε εἰ ἄπειρον κενόν, ἄπειρον καὶ σῶμα. ἀμέλει καὶ λέγουσιν οὕτως ἀπείρους εἶναι τοὺς κόσμους καὶ πανταχοῦ εἶναι τοῦ κενοῦ, τί γὰρ μᾶλλον ἐνταῦθα; ὥσπερ εἴπερ ἐνταῦθα, καὶ ἀλλαχοῦ. ἔχει δὲ οὕτως ἀπορίαν ἡ τοῦ ἀπείρου θεωρία· καὶ γὰρ μὴ εἶναι τιθεμένοις αὐτὰ πολλὰ ἄτοπα ἀκολουθεῖ· ἀναιρεῖται γὰρ τὰ μαθήματα, ἀναιρεῖται ἡ αὖ-

5 ἀπολαμβάνομεν A 19 ἐστιν] ἔτι V 29 τιθέμενοι V

ξησις τοῦ ἀριθμοῦ, ἀναιρεῖται ἡ αὔξησις τοῦ χρόνου. ταῦτα δὲ ὁ κινῶν οὐ τῶν κρασπέδων ἅπτεται τῆς φύσεως, ἀλλ' αὐτοῦ τοῦ κόσμου τὴν ἀφθαρσίαν διασαλεύει· οὐ γὰρ δὴ σωζομένου τοῦ οὐρανοῦ κωλυθήσεται ἐπ' ἄπειρον αὔξεσθαι ὁ χρόνος. ταῦτα μὲν οὖν ἀναιροῦσι, τιθεμένοις δ' ἕτερα ἀπορώτερα, ὡς ἔσται δῆλον προϊούσης τῆς ζητήσεως. ἄξιον οὖν ἐπισκέψασθαι εἴτε ἔστιν εἴτε μή, καὶ πῶς ἐστιν εἰ ἔστιν· ἆρα ὡς οὐσία τις, ἢ ὡς συμβεβηκὸς καθ' αὑτὸ φύσει τινί, ἢ ἕτερον τρόπον. μάλιστα δὲ φυσικοῦ ἐπισκέψασθαι, εἰ ἔστιν αἰσθητὸν μέγεθος ἄπειρον.

Ἀρχὴ δὲ οἰκειοτάτη διελεῖν πρῶτον ποσαχῶς τὸ ἄπειρον λέγεται. λέγεται τοίνυν ἄπειρον ἕνα μὲν τρόπον, τὸ μηδὲ ὅλως ποσὸν τῷ μὴ πεφυκέναι διεξοδεύεσθαι, ὡς καὶ τὴν φωνὴν ἀόρατον λέγομεν τῷ μὴ πεφυκέναι ὁρᾶσθαι· οὕτως ἡ στιγμὴ ἄπειρος καὶ ἡ ποιότης ὅτι μηδὲ ὅλως ποσά. ἄλλον δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον ἐφ' ὃ μάλιστα καταφερόμεθα σημαινόμενον. ἄλλον δὲ τὸ μόλις καὶ χαλεπῶς, οὕτως ἄπειρος ὁδὸς ἡ μακρά. ἄλλον δὲ ὃ τῇ μὲν αὑτοῦ φύσει διεξίτητόν ἐστιν καὶ ὥρισται τῷ μεγέθει, ἡμῖν δὲ ἀδύνατος ἡ διέξοδος, οὕτως ἄπειρον τὸ βάθος τοῦ πελάγους. ἄλλον δὲ τῇ ἀεὶ προσθέσει, ὡς ἀριθμός. ἄλλον δὲ τῇ ἀεὶ ἀφαιρέσει, ὡς τὸ συνεχές. καὶ ἀμφοτέρως· τεμνομένου γὰρ τῷ μὲν ἀεὶ προστίθεται μέρει, τοῦ δὲ ἀφαιρεῖται.

5 Τούτων οὖν προδιωρισμένων ἐπισκεψώμεθα πρῶτον, εἰ δύναται ἄπειρον εἶναι κεχωρισμένον ἀεὶ τοῦ-

---

3 ἀφθορίαν V 10 φυσικῶς V 15 λέγομεν ἐν libri 20 ὁδὸς ἄπειρος V 25 μέρει] μέρος A 27 προσδιωρισμένων V 28 ἀεὶ om V

τωνὶ τῶν σωμάτων τῶν αἰσθητῶν αὐτό τι καθ' αὑτὸ ἄπειρον ὄν, ὁποῖον αὐτὸ οἱ Πυθαγόρειοι λέγουσιν. τοῖς οὖν οὕτως αὐτὸ τιθεμένοις ἀνάγκη ποιεῖν τὸ ἄπειρον ἀδιαίρετον· εἰ γὰρ διαιρεθήσεται, ἢ κατὰ μέγεθος ἢ κατὰ πλῆθος διαιρεθήσεται, οὕτως δὲ ἔσται μέγεθος ἢ πλῆθος καὶ ποσόν, οὐκ οὐσία καθ' αὑτήν. ἔσται ἄρα αὐτοῖς τὸ ἄπειρον ἀδιαίρετον, εἴγε βούλοιντο τὴν ὑπόθεσιν διασώζειν. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ ὡς στιγμὴ τῷ μὴ πεφυκέναι, καὶ ὡς ἡ φωνὴ ἀχρωμάτιστος. ἀλλὰ τὸ οὕτως ἄπειρον οὔτε ἐκεῖνοί φασιν, οὔτε ἡμεῖς ζητοῦμεν, ἀλλὰ τὸ ὡς ἀδιεξίτητον καὶ ἀτελεύτητον. εἰ δὲ ἄλλῃ φύσει τὸ ἄπειρον ἐροῦσιν συμβεβηκέναι, οὐκέτι ἂν εἴη στοιχεῖον τῶν ὄντων τὸ ἄπειρον, ἀλλ' ἐκείνη ἡ φύσις ᾗ συμβέβηκεν τὸ ἄπειρον, ὥσπερ οὐδὲ τὸ ἀόρατον στοιχεῖον τῆς διαλέκτου, ἀλλ' ἡ τῶν γραμμάτων δύναμις ᾗ συμβέβηκε τὸ ἀόρατον. ἀλλ' ὡς στοιχείου καὶ ἀρχῆς ἐδεήθησαν τοῦ ἀπείρου. θαυμαστὸν δὲ ἀριθμὸν μὲν καὶ μέγεθος μὴ εἶναι καθ' αὑτά· ἀχώριστα γὰρ τῆς οὐσίας, τὸ δὲ τούτοις συμβεβηκός, εἰ ἄρα καὶ συμβέβηκε, τὸ ἄπειρον λέγω, καθ' αὑτό τι εἶναι καὶ χωριστόν. ὅλως δὲ ἀμήχανον οὕτως εἶναι τὸ ἄπειρον ὡς ἐνέργειαν καὶ οὐσίαν καὶ ὡς ἀρχήν, ἁπλῆν τινὰ φύσιν αὐτὸ τοῦτο ἄπειρον μόνον, οὐδὲν ἔχουσαν ὑποκείμενον, οἷαν τὴν ψυχὴν λέγομεν ἢ τὸν νοῦν, ὡς
fol. 83. ταὐτὸν εἶναι κατὰ τὸν λόγον τό τε ἀπείρῳ εἶναι καὶ ἄπειρον. αὕτη γὰρ ἡ φύσις τῶν ἁπλῶν ἀκριβῶς μηδὲ τῷ λόγῳ διῃρῆσθαι εἰς πλείονα, ὃ τοῖς συνθέτοις οὐδὲ ὅλως ὑπάρχει. οὐ γὰρ ταὐτὸν λευκόν τε καὶ

---

6 καὶ] ἢ V 7 ἄρα] γὰρ V 20 ἄρα] γὰρ V 21 λέγω] fort. λέγειν 23 ἐνέργειαν] scrib. ἐνεργείᾳ ὄν

λευκῷ εἶναι, ἀλλὰ λευκὸν μὲν σῶμα λελευκωμένον, τὸ λευκῷ δὲ εἶναί ἐστιν τὸ χρώματι εἶναι διακριτικῷ ὄψεως. ἀλλ' ὅπερ ἔφην, εἰ τοιαύτη φύσις τὸ ἄπειρον ἁπλῆ καὶ ἀσύνθετος [ἄπειρος] μόνον, πᾶν αὐτῆς μέρος ἄπειρον ἔσται. σκέψαι γὰρ ἐξ ἀρχῆς. τὸ μέρος τῆς τοιαύτης οὐσίας ἢ τὸν αὐτὸν δέξεται λόγον ἢ ἕτερον, ἀλλ' εἰ μὲν τὸν αὐτόν, ἔσται καὶ τῷ μέρει ταὐτὸν τό τε εἶναι καὶ ἀπείρῳ εἶναι· εἰ δὲ ἕτερον, ἀνομοιομερὲς ἔσται τὸ ἄπειρον, οὐκοῦν οὐδὲ ἁπλοῦν οὐδὲ ἀρχή. εἰ μὲν οὖν τις ἀριθμὸν λέγει ἄπειρον ἢ μέγεθος ἄπειρον, οὐκ ἀκολουθήσει τούτῳ καὶ τὰ μέρη τούτων ἄπειρα ποιεῖν. ὑποτίθησιν γὰρ τῷ ἀπείρῳ ἑτέραν φύσιν καὶ οὐδὲν κωλύσει τὸ μέγεθος τὸ τοῦ ἀριθμοῦ ἀριθμὸν μὲν εἶναι, ἄπειρον δὲ μή. οὐ γὰρ ταὐτὸν ἀριθμῷ τε εἶναι καὶ ἀπείρῳ εἶναι. ἀριθμὸς μὲν γάρ ἐστιν τὸ ἐκ μονάδων συγκείμενον πλῆθος, ἄπειρον δὲ ποσὸν ἀδιεξίτητον. ὅστις δὲ οὕτως οὐσίαν τὸ ἄπειρον λέγει, ὡς ἐν τῷ λόγῳ τοῦ ἀπείρου τὸ εἶναι ἔχουσαν, τούτῳ πῶς οὐκ ἂν εἴη καὶ τῶν μερῶν ἕκαστον ἄπειρον οὐχ ὁρῶ. ὡς γὰρ τὸ μέρος τοῦ ὕδατος ὕδωρ ἐστίν, ἐπειδὴ τὸν αὐτὸν ἔχει λόγον, οὕτω καὶ τοῦ ἀπείρου τὸ μέρος ἄπειρον. ὁ γὰρ αὐτὸς λόγος ὅλου τε καὶ τοῦ μέρους ὡς προειρήκαμεν. πολλὰ οὖν ἄπειρα ἔσται τὸ ἄπειρον, εἴγε πολλὰ μέρη· εἴτε ταύτας φεύγοντες τὰς ἀπορίας ἀδιαίρετον αὐτὸ ποιήσουσι, τοῦτο ἐκεῖνο πάλιν ὑπομενοῦσι στιγμὴν ὑπολαμβάνειν τὸ ἄπειρον. βούλονται μὲν οὖν ὅτι λέγουσιν ἄπειρον, οἱ Πυθαγόρειοι τὸ ἄπειρον οὐσίαν ποιεῖν, οὐ φυλάττουσιν δὲ ἀλλ' ἀποκλίνουσιν εἰς τὸ

---

3 ὅπερ] ὥσπερ V 4 ἄπειρος] ἄπειρον V; delendum puto 21 τὸν αὐτὸν] ταὐτὸν A 24 fort. εἰ δὲ 29 ποιεῖν] εἰπεῖν A

συμβεβηκὸς αὐτὸ λέγειν. τὸ γὰρ ἄρτιον ἄπειρον λέγουσιν, ὥστε ἐν ἀριθμῷ τινὶ τὸ ἄπειρον τιθέασιν καὶ μερίζουσί τε αὐτό. πλῆθος οὖν, οὐκ οὐσία τὸ ἄπειρον. ἀλλὰ τὸ μὲν εἰ τοιοῦτόν ἐστιν ἄπειρον, ζητεῖν οὐδὲν διαφέρει τοῦ ζητεῖν, εἰ νοητόν ἐστιν ἄπειρον· τοιοῦτον γὰρ τὸ ἄνευ ὑποκειμένου, καὶ εἰ δύναται κἂν τοῖς μαθήμασιν εἶναι καὶ ἐν ταῖς ἰδέαις, ἥ τις ἔξω τῆς προκειμένης μεθόδου σκέψις ἐστίν. εἰ δή τι σῶμα αἰσθητὸν ἄπειρόν ἐστιν κατὰ μέγεθος, ἐπισκεπτέον, ἐπεὶ κοινῶς τε καὶ οὐ φυσικῶς ἐξετάζων καὶ οὕτως ἂν ἐπιχειρήσαις. πᾶν σῶμα ὥρισται ἐπιπέδῳ, οὗτος δὲ σώματος λόγος, τὸ δὲ ἄπειρον ἀόριστον· οὐδὲν ἄρα σῶμα ἄπειρον οὐδὲ νοητὸν οἷον τὸ μαθηματικόν, οὐδὲ αἰσθητὸν οἷα τὰ φυσικά. πᾶς ἀριθμὸς ἀριθμητὸς ὅ τε ἐν ταῖς μονάσιν αὐταῖς, ὅ τε ἐν ἵπποις ἢ ἐν ὄνοις, πᾶν δὲ τὸ ἀριθμητὸν ἐνδέχεται διελθεῖν, τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διελθεῖν· οὐδεὶς ἄρα ἀριθμὸς ἄπειρος. ἀλλ' ὅπερ εἶπον, φυσικῶς μᾶλλον ἐπισκεπτέον. ἀνάγκη τοίνυν εἰ ἔστιν ἄπειρον, ἤτοι σύνθετον αὐτὸ ἢ ἁπλοῦν εἶναι, ἀλλ' οὔτε σύνθετον οὔτε ἁπλοῦν· οὔτε ἄπειρον ἄρα. σύνθετον μὲν οὐκ ἔστιν διὰ τάδε, εἴγε πεπερασμένα ἐστὶ κατὰ ἀριθμὸν τὰ στοιχεῖα. ἢ γὰρ ἐκ πάντων ἀπείρων ἔσται τὸ σύνθετον, ἢ τῶν μὲν τῶν δὲ οὔ, ἢ τό γε ἔσχατον ἐξ ἑνός. ἐξ ἑνὸς μὲν οὖν ἀδύνατον. διὰ τί; ὅτι πᾶν σῶμα φυσικὸν δύναμιν ἔχει σύμφυτον ἐν ἑαυτῷ, θερμότητα ἢ ψυχρότητα ἢ ξηρότητα ἢ ὑγρότητα. τῶν μὲν οὖν πεπερασμένων πεπερασμέναι καὶ αἱ δυνάμεις, τῶν ἀπείρων δὲ ἄπειροι, πᾶσα δὲ ἀπει-

---

3 scrib. μερίζουσιν αὐτὸ 8 fort. ἢ εἰ δή τι 13 ἄρα] γὰρ V scrib. οὔτε — οὔτε 21 scrib. οὐκ ἄπειρον 25 διὰ τί] διότι A

ρος δύναμις μείζων τῆς πεπερασμένης καὶ φθαρτικὴ ὡς μείζων τῆς ἐλάττονος, ὥστε εἴπερ ἓν ἄπειρον εἴη ἐν τῷ συνθέτῳ, διαφθείρει τὰ ἄλλα στοιχεῖα, τὰς δὲ δυνάμεις αὐτῶν διαφθεῖραν ποιήσει τὸ ἄπειρον οὐκέτι σύνθετον, ἀλλ' ἁπλοῦν, ὅπερ ὅτι μηδὲν ἧττον ἀδύνατον, ἑξῆς ἐπιδειχθήσεται· ἀλλ' ὅ γε πρὸς τοῦτον τὸν λόγον ἴσως ἄν τις ὑπολάβοι, πρότερον διαλύομεν. φαίη γὰρ ἄν τις ὡς οὐδὲν κωλύει τὸ ἄπειρον σῶμα τῷ μὲν ὄγκῳ μέγιστον εἶναι, τῇ δυνάμει δὲ ἔλαττον τῶν πεπερασμένων, ἐπεὶ καὶ ἀέρος ὄγκον, εἰ πολλῷ πλείονα λάβοις, πυρὸς δὲ ἐλάττω, ἥ γε δύναμις ἡ τοῦ πυρὸς ἔσται πολλῷ πλείων, καίτοι κατὰ τὸν ὄγκον ὄντος ἐλάττονος. ἀλλὰ τοῦτο ὅταν μὲν ἀμφότερα ᾖ πεπερασμένα τὰ σώματα, γένοιτο ἂν ἀληθές· ὅταν δὲ τὸ μὲν τὸ δὲ μή, λόγον οὐκ ἔχει. πῶς; ὅτι κἂν πολὺ τοῦ πυρὸς ἰσομεγέθης ὁ ἀὴρ ἀσθενέστερος ᾖ, παραύξοντάς τε αὐτοὺς εἰς τὸ πολλαπλάσιον μέγεθος ἔσται ποτὲ ἀντανισῶσαι τὴν δύναμιν, εἰ δὲ τοῦτο, καὶ μείζω ποιῆσαι ἐνούσης γε ἡμῖν τῆς παραυξήσεως, καὶ εἴγε μηδέποτε ὑπολείποι, καὶ ἀπείρῳ μείζω. τί οὖν ἐνταῦθα ὠφελεῖ, εἰ τὸ ἴσον πυρὸς τοῦ ἴσου ἀέρος ἰσχυρότερον; ἔστω γὰρ ἰσχυρότερον κατὰ δεκαπλασίῳ· πάντως γάρ τινα ἀριθμὸν δώσει τῇ τῆς δυνάμεως ὑπερβολῇ. ὁ δὴ χιλιοπλάσιος ὄγκος ὁ τοῦ ἀέρος ἰσοστάσιος ἔσται κατὰ δύναμιν τῷ πυρί. μείζων οὖν ὁ μυριοπλάσιος, πολλῷ δὲ μείζων ὁ ἑκατοντάκις τοσοῦτος καὶ χιλιάκις, ὁ δὲ ἄπειρος ὑπὲρ πάντα λόγον. φθείρει τοίνυν οὐδὲν ἧττον τὸ πῦρ τὸ πεπερασμένον ὁ ἄπειρος ἀήρ, ὥσπερ ἐξ ἀρχῆς ἐρρέθη· δεῖ γὰρ

7 fort. διαλύωμεν  10 πεπερασμένων] πεπραγμένων V  20 μήποτε V  22 fort. δεκαπλάσιον vel κατὰ delendum

ἰσάζειν τὰς δυνάμεις τῶν ἐναντίων εἰ μέλλει τὸ σύνθετον σώζεσθαι. τὸ μὲν οὖν ἐξ ἑνὸς διὰ ταῦτα ἀμήχανον. ἐκ πλειόνων δὲ πάντων ἀμηχανώτερόν ἐστιν. πῶς γὰρ ἀλλήλοις ὑπολείψει χώραν ἕκαστον αὐτῶν πᾶσαν κατειληφός; τοῦτο δὲ παρῆλθε καὶ ἐπὶ τοῦ ἑνὸς ὑπομνῆσαι. εἰ γὰρ ἓν ἄπειρον ἐν τῇ συνθέσει, ποῦ τὰ ἄλλα ἔσται; ὅτι μὲν οὖν οὐχ οἷόν τε ἄπειρον εἶναι σῶμα, ἐκ τούτων δεδείχθω, ὅτι δὲ μηδὲ ἁπλοῦν, οὕτως μάθοιμεν ἄν. ἤτοι γὰρ ἕν τι τῶν στοιχείων ἐστίν, οἷον ἀὴρ ὕδωρ ἢ πῦρ, ἤ τις ἑτέρα φύσις ὡς Ἀναξίμανδρος οἴεται. οὗτος γὰρ ἦλθεν ἐπὶ τὴν ὑπόνοιαν ταύτην ἐξορίσαι τῶν στοιχείων τὸ ἄπειρον, ὅπως μὴ ἑνὸς ὄντος ἀπείρου τὰ λοιπὰ φθείρηται αὐτῷ ὑπὸ τῆς ἐν τῷ ἀπείρῳ δυνάμεως, ἐπειδὴ ἐν τοῖς στοιχείοις εἴη πρὸς ἄλληλα ἐναντίωσις. ὁ μὲν
fol. 33b. γὰρ ἀὴρ ψυχρός, τὸ δὲ ὕδωρ ὑγρόν, τὸ δὲ πῦρ θερμόν, ὡς εἴπερ ἦν ἄπειρον ἕν, ἔφθαρτο ἂν ἤδη τὰ ἄλλα. διὰ τοῦτο οὖν ἑτέραν φύσιν τὴν ἄπειρον λέγει, ἐξ ἧς τὰ στοιχεῖά τε καὶ τὰ λοιπά. διττῆς οὖν οὔσης περὶ τούτου τῆς σκέψεως, πρῶτον μὲν εἰ ἔστιν ὅλως τοιαύτη τις φύσις ἔξω τῶν λεγομένων στοιχείων, ἔπειτα εἰ καὶ ἄπειρος, δοκεῖ μοι περὶ μὲν τούτου κοινῷ τινὶ χρήσασθαι λόγῳ, ὃς οὔτε τῶν στοιχείων οὔτε ἔξω τι τῶν στοιχείων ἄπειρον εἶναι διδάξει, πρότερον δὲ ἐπιδεῖξαι, ὅτι ἀδύνατον εἶναί τινα φύσιν ἑτέραν παρὰ τὰ καλούμενα στοιχεῖα. ἅπαν γὰρ ἐξ οὗ ἐστίν, καὶ διαλύεται εἰς τοῦτο· τὰ μὲν ἐκ γαίης φύντα εἰς γαῖαν, φησὶ καὶ ἡ τραγῳδία, τὰ δὲ ἀπὸ

---

1 ἐξισάζειν V 3 fort. ἀμηχανώτατον 5 παρῆλθε] fort. παρῆλθον 8 σῶμα] ἁπλοῦν σῶμα A, scrib. σύνθετον σῶμα 9 μάθοιμεν] μάθωμεν libri 13 μηδενὸς V 17 ὡς] ὢν Aristotel. 26 τὴν καλουμένην A 28 τραγῳδία] Euripides Chrysipp. fragm. 6.

*αἰθερίου βλαστόντα γονῆς εἰς αἰθέρα. διὰ τί οὖν οὐχ ὁρῶμεν διαλυόμενον εἴς τι τοιοῦτον σῶμα τῶν γινομένων, ὃ μήτε πῦρ μήτε ἀὴρ μήθ' ὕδωρ ἐστίν; ὅλως γὰρ ἕν τι στοιχεῖον ὑποτίθεσθαι οὐ μόνον ἕτερόν τι τῶν τεσσάρων, ἀλλὰ καὶ εἰ τούτων αὐτῶν, λῆρος πολύς· ἓν δὲ στοιχεῖον ὡς σῶμα ὂν ἤδη κατ' ἐνέργειαν· τοῦτο γὰρ ἄτοπον εἶναί φημι, κἂν ἄπειρόν τις αὐτὸ κἂν πεπερασμένον ποιῇ, ὥσπερ Ἡράκλειτος τὸ πῦρ οἴεται μόνον στοιχεῖον καὶ ἐκ τούτου γεγονέναι τὸ πᾶν. ἐντεῦθεν γὰρ ἡμᾶς καὶ δεδίττεται συμφλεγήσεσθαί ποτε τὸ πᾶν ἀπειλῶν, ἐπειδὴ διαλυθήσεται εἰς τοῦτο, ἐξ οὗ καὶ γέγονε. καὶ γὰρ οὗτος ἁλίσκεται τῷ αὐτῷ λόγῳ τὰς τῆς γενέσεως ὑποθέσεις προϊέμενος, ὥσπερ γε καὶ Ἀναξίμανδρος. Ἀναξιμάνδρῳ γάρ, ἐπειδὴ πρὸς οὐδὲν ἐναντίωσιν ἔχει τῶν τεσσάρων, ἐκεῖνο τὸ μεταξὺ οὐδ' ἂν εἰς ἓν τούτων μεταβάλλοι. οὕτω δὲ οὐδ' ἂν γένοιτο ἐξ αὐτοῦ ἢ ταῦτα ἢ καὶ ἄλλο τι, εἰ ποιεῖν δεῖ καὶ τὰ τέσσαρα ἐξ ἐκείνου. τί οὖν ἔτι αὐτοῦ δεήσεται οὕτως ὄντος ἀχρείου πρὸς τὰς γενέσεις; τὸ δὲ Ἡρακλείτου πῦρ, ἢ εἴ τις ἄλλο τι στοιχεῖον τῶν γενομένων σῶμα ὂν κατ' ἐνέργειαν ὑποτίθοιτο ἕξει μὲν ἐν αὐτῷ πάντως ἐναντιότητα, καὶ οὕτω γε οὐδὲν αὐτὸ κωλύει μεταβάλλειν εἰς τοὐναντίον, ἀλλ' ἤτοι φυλάξει τὴν ἐναντίωσιν ἐν τῇ μεταβολῇ καθ' ἥν ἐστιν, οἷον εἰ πῦρ εἴη, διατηρήσει τὴν θερμότητα ἐν τοῖς ἐναντίοις ὅπερ ἀδύνατον, ἢ ταύτην ἀπολιπὸν δέχοιτ' ἂν τὴν ψυχρότητα, οὕτως δὲ οὐκέτι ἂν σώζοιτο πῦρ. δεῖ δὲ σώζεσθαι τὸ στοιχεῖον. διὰ τί δὲ οὐ τὸν ἀέρα στοιχεῖον*

---

19 *οὕτως ὄντος*] Victorius, *ὄντως* A, *οὕτως ὄντως* V 21 *τις*] *τι* V

οὕτως ἐροῦμεν, ἀλλὰ τὸ πῦρ; καὶ γὰρ οὗτος ὁμοίως εἰς ἐκεῖνο ἂν μεταβάλλοι. τάχα οὖν ἄν τις εἴποι, ὅτι καὶ ἡμεῖς τοῖς Ἀναξιμάνδρου περιπίπτομεν ἀτόποις τὴν ὕλην ἄνευ τινὸς ἐναντιώσεως ποιοῦντες, ἢ πολὺ τὸ διάφορον αὐτό τι μεταβάλλειν καὶ ἐν αὐτῷ γίνεσθαι τὰς μεταβολάς; αὐτὸ μὲν οὖν τι μεταβάλλειν οὐχ οἷόν τε, εἰ μή τινα ἔχοι καὶ ἐναντίωσιν, ἐν αὐτῷ δὲ γίνεσθαι τὰς μεταβολὰς τῶν ἐναντίων εἰς τὰ ἐναντία τίς κωλύσει λόγος; οὕτω δὲ ἡμῖν καὶ μία οὖσα ἡ ὕλη ἐνυπάρχει παντὶ τῷ γιγνομένῳ, ὅπερ τοῖς ἓν τῶν στοιχείων ὑποτιθεμένοις οὐ σώζεται. ἀλλὰ ταῦτα μὲν ὁδοῦ φασὶν πάρεργον εἰρήσθω· ἐπανιτέον δὲ ὅθεν ἐξέβην, ὅτι μηδὲν ἄπειρον σῶμα. πέφυκε τοίνυν ἅπαν τὸ αἰσθητὸν ὅπερ γέ ἐστιν ἐν γενέσει καὶ φθορᾷ (νῦν γὰρ εἴ τι τοιοῦτον ἄπειρον ζητοῦμεν) ἐν τόπῳ εἶναι, καὶ ἔστι τόπος τις οἰκεῖος ἑκάστου καὶ ὁ αὐτὸς τοῦ τε μορίου καὶ ἅπαντος, οἷον ὅλης τε τῆς γῆς καὶ μιᾶς βώλου, καὶ πυρὸς καὶ σπινθῆρος. ὁ αὐτὸς δὲ οὐ τῷ ποσῷ, ἀλλ' ὅτι ἀμφοῖν ἢ ἄνω ἢ κάτω. τούτου τοίνυν ὄντος ἐναργοῦς τὸ ἄπειρον σῶμα ἤτοι ὁμοειδές ἐστιν ἢ ἀνομοειδές. ἔστω δὴ πρῶτον ὁμοειδές. ὁμοειδὴς τοίνυν αὐτοῦ καὶ ὁ τόπος καὶ ὁ αὐτὸς ὅλου τε καὶ τῶν μορίων καὶ οὕτως ἄπειρος. τὸ δὴ μόριον τοῦ ἀπείρου, φέρε βῶλος ἢ τοσονδὶ ὕδωρ, πότερον ἀκίνητον ἔσται, ἢ κινηθήσεται; κινεῖσθαι μὲν γὰρ αὐτὸ ἀδύνατον. τί γὰρ μᾶλλον κάτω ἢ ἄνω; συγχωρείσθω γὰρ αὐτοῖς ἐν τῷ ἀπείρῳ καὶ ἄνω καὶ κάτω. πᾶς γὰρ τόπος οἰκεῖος αὐτῷ καὶ οὐδὲν μᾶλλον οὗτος ἐκείνου. πότερον οὖν ἐπὶ πάντας ὁμοῦ κινήσεται καὶ πάντας ὁμοῦ πληρώσει, ἢ

1 οὗτος] οὕτως V 22 ὁμοειδὴς] ὁμοειδὲς A

διασπασθήσεται πανταχοῦ; πῶς δὲ καὶ στήσεται κινηθὲν ἅπαξ; πῶς δὲ καὶ ἠρεμήσει; οὐ γὰρ ὅταν τε εἰς τὴν οἰκείαν παραγένηται χώραν. καὶ γὰρ ἣν ἀπέλιπεν, ὁμοίως εἶχεν οἰκείαν. τοῖς μὲν οὖν μορίοις ἀμήχανος οὕτως ἡ κίνησις. ὅλως τε ἄπειρόν τε ἅμα καὶ κινούμενον καὶ Μέλισσος ἀπεγίνωσκεν. οὐκ εὖ δέ, ὅτι πᾶσαν κίνησιν· ἀλλοιοῦσθαι γὰρ ἴσως ἐνδέχεται. ἀλλὰ οὐδὲ οὕτω κινεῖσθαι τὸ ὅλον ἐγχωρεῖ, ὡς ἡ σφαῖρα ἐν ταὐτῷ τόπῳ κατὰ τὰ μόρια πάντα κύκλῳ κινεῖσθαι. πρῶτον μὲν γὰρ ἐχρῆν, εἴπερ ὁμοιοειδές, καὶ τὰ μόρια πάντα κύκλῳ κινεῖσθαι, οὐχ ὁρᾶται δ' οὕτως, ἀλλὰ ἐκεῖνα καὶ ἐπ' εὐθείας, οἷον γῆ ὕδωρ. ἔπειτα δὲ εἰ κύκλῳ, καὶ πεπέρανται· σχῆμα γὰρ ἕξει. μένει τοίνυν ἀκίνητον τό τε ὅλον καὶ τὰ μόρια. ἐγὼ δὲ τοῦτο μὲν οὐ λέγω, ὅτι καὶ μονὴ τῆς φορᾶς οὐδὲν ἧττον ἀδύνατος· ὥσπερ γὰρ κινεῖσθαι ἐφ' ἕνα τόπον ἀμήχανον τοῦ παντὸς ὁμοίως ὄντος οἰκείου, οὕτως καὶ ἠρεμεῖν ἐν ἑνὶ τόπῳ μηδὲν μᾶλλον ἑτέρου προσήκοντι. ἀλλ' ἔστω, δεδόσθω μένειν. καὶ καθ' ὅλον καὶ κατὰ μόρια τοίνυν ἡ κίνησις οὐκ ἔσται, πρᾶγμα οὕτως ἐναργὲς καὶ οὐδὲ λόγου δεόμενον, εἰ μὴ πρὸς ἀκινήτους γε ὄντως δεόμεθα λόγου.

Ἔστω δὴ πάλιν ἀνομοειδὲς τὸ ἄπειρον καὶ οὐχ ἁπλοῦν. σύνθετον ἄρα καὶ τῷ ἅπτεσθαι ἕν. οὐκοῦν οὐδὲ εἷς αὐτῷ κατὰ φύσιν τόπος, ἀλλ' ἑκάστῳ τῶν σωμάτων οἰκεῖος τόπος, ἐξ ὧν σύγκειται τὸ ὅλον. καὶ

---

2 dele τε 4 οἰκείαν] οἰκείως A 9 σφαῖρα] ἀναφορὰ V 10 κινεῖσθαι] fort. κινεῖται 14 ἕξειν A 15 δὲ om V 16 ἀδύνατον A 19 μᾶλλον μηδὲν A ἔστω] εἰ V 20 ὅλον] immo ὅλου 25 ἁπλοῦν] ἁπλῶς οὖν V 26 ἑκάστῳ] ἔστω A

κίνησις μὲν δὴ σώζοιτ' ἄν, ὅρα δὲ τὰ λοιπά. τὰ ἀνομοειδῆ ταῦτα πότερον ἄπειρα ἢ πεπερασμένα; ἀλλ' εἰ μὲν πεπερασμένα κατ' ἀριθμόν, ἕν τι ἐξ αὐτῶν ἄπειρον ἔσται κατὰ μέγεθος, ἢ καὶ πλείονα· οὕτω γὰρ ἂν τὸ ὅλον ἄπειρον εἴη. ἥξουσι τοίνυν αὐτοῖς οἱ πρότερον λόγοι, οὓς ἄρτι λέγοντες ἐπαυσάμεθα. προσέτι δὲ οὐδὲ οἷόν τε ἓν τῶν στοιχείων ἄπειρον εἶναι ἐν τῇ συνθέσει ὂν πῦρ ἢ γῆ. ὥρισται γὰρ ἑκάστου τούτων ὁ τόπος, καὶ οὐ πᾶς οἰκεῖος ἅπαντι, ἀλλὰ τῷ μὲν ἄνω τῷ δὲ κάτω, καὶ διὰ τοῦτο οὐδεὶς fol. 34. τῶν φυσιολόγων πῦρ τὸ ἄπειρον ἐποίησεν ἢ γῆν, ἀλλ' ὕδωρ ἢ ἀέρα, ὅτι ἐκείνων μὲν ὁ τόπος ἑκάστου δῆλός ἐστι, τούτων δὲ ἐπαμφοτερίζει τῷ ἄνω καὶ κάτω. ἄπειρα ἄρα κατὰ ἀριθμὸν τὰ ἀνομοειδῆ μόρια τοῦ ἀπείρου. ἄπειροι ἄρα καὶ οἱ τόποι. ἀλλὰ τοῦτο ἀδύνατον· πεπερασμένοι γὰρ οἱ τόποι καὶ αἱ τῶν τόπων διαφοραί· ὁ γὰρ ἄνω καὶ κάτω, καὶ εἰς δεξιὰ καὶ εἰς ἀριστερά, ἔμπροσθεν καὶ ὄπισθεν. πεπερασμένα ἄρα καὶ τὰ στοιχεῖα κατ' ἀριθμόν· οὐ γὰρ δὴ πλειόνων ὁ αὐτὸς τόπος· οὐκέτι γὰρ ἐκεῖνα κατ' εἶδος διοίσει οἷς ὁ αὐτὸς ἀφώρισται τόπος, εἰ μὴ ὥσπερ Δημόκριτος. οὕτω δὲ [καὶ] ὁμοειδὴς ἡ κίνησις, οὕτω δὲ ὁμοειδῆ τὰ στοιχεῖα, οὕτω δὲ καὶ ἑκάστῃ τῶν ἀτόμων οἰκεῖος ὁ τοῦ παντὸς ἔσται τόπος. καὶ ταῦτα ἡ ἄτομος ὑπομενεῖ, ἅπερ εἰ τῇ ἰδέᾳ πεπερασμένα κατ' ἀριθμὸν καὶ κατὰ μέγεθος, πῶς τὸ ἐξ αὐτῶν ἄπειρον ἔσται; ὅτι δὲ ἀναγκαίως ἀκολουθεῖ τῷ πεπεράσθαι

---

1 κινήσεις — σώζοιντ' A 13 τῷ] τῶν libri 17 ὁ γὰρ] fort. ὁ γὰρ τόπος, vel εἰσὶ γὰρ 18 fort. καὶ ἔμπροσθεν, nisi et in altero membro καὶ omiseris. 22 καὶ om V 27 τῷ πεπεράνθαι V quod ut Aristoteli, sic et Themistio ubique reddendum puto.

*τοὺς τόπους πεπεράσθαι καὶ τὰ σώματα, τίς οὐκ οἶδε; συναπαρτίζειν γὰρ τοῖς τόποις αὐτὰ ἀναγκαῖον· οὔτε γὰρ ὁ τόπος μείζων ἢ [ἀναγκαῖον] ὅσον ἐνδέχεται τὸ σῶμα εἶναι, καὶ ἅμα εἰ μείζων ὁ τόπος, οὐκ ἄπειρον τὸ σῶμα· οὔτε [γὰρ] τὸ σῶμα μεῖζον ἢ ὅσος ἐστὶν ὁ τόπος· εἰ γὰρ ὑπερβάλλει τὸν τόπον, ἢ ἐν κενῷ ἔσται ἢ οὐδαμοῦ, ὧν τὸ μὲν οὐκ εἰς μακρὰν λόγου τεύξεται, τὸ δὲ αὐτόθεν ἐστὶν καταγέλαστον· οὔτε γὰρ κινεῖσθαί τι δυνατὸν οὔτε ἠρεμεῖν ἄνευ τόπου. Ἀναξαγόρας δὲ ἄτοπον αἰτίαν ἀποδώσει τοῦ μένειν καὶ ἀκίνητον εἶναι τὸ ἄπειρον μίγμα· περιέχεσθαι μὲν γὰρ ὑπ' οὐδενὸς ἄλλου διότι ἄπειρον, στηρίζειν δὲ ἐν αὐτῷ καὶ ἐπερείδεσθαι καὶ ἀντιβαίνειν, διὰ τοῦτο δὲ αὐτῷ καὶ κατὰ φύσιν εἶναι τὴν μονήν. τοῦτο δὲ οὐκ ἀληθές. οὐ γὰρ ὅπου τι ἂν ᾖ, ἐκεῖ πάντως καὶ πέφυκεν εἶναι· εἴη γὰρ ἄν πού τι καὶ βίᾳ καὶ ὅπου οὐ πέφυκεν εἶναι, ὡς ὁ λίθος ἐκ τοῦ παττάλου κρεμάμενος, τὸ δὲ στηρίζειν ἐν ἑαυτῷ καὶ ἐπερείδεσθαι βιαίου μονῆς αἰτία μᾶλλον ἢ τῆς κατὰ φύσιν ἐστίν· τόπου γὰρ ἀπορίαν ὑποδηλοῖ καὶ τὸ μὴ ἔχειν ὅπου κινήσεται, ἄδηλον δὲ εἰ παρούσης χώρας ἠρέμησεν ἄν, ὥσπερ τὰ πεφυκότα. μένειν γοῦν οὐ πέφυκε. διὰ τοῦτο γὰρ καὶ τῇ γῇ τὸ μένειν κατὰ φύσιν ἐστίν, ἐπειδὴ καὶ τόπου ὑπάρχοντος ὅμως οὐ κινεῖται, διότι πέφυκεν ἐν τῷ μέσῳ μένειν, ὥστε εἰ καθ' ὑπόθεσιν ἄπειρος ἦν ἐν τῷ μέσῳ κειμένη, ὡς νῦν ἔχει, οὐ διότι ἄπειρος ἦν καὶ ἐστήριξεν ἐν ἑαυτῇ, ἔμενεν, ἀλλ' ὅτι μένειν ἐν τῷ μέσῳ βάρος ἔχουσα*

1 *εἶδε* libri 3 *ἀναγκαῖον* delendum 4 *εἰ* om libri 5 *γὰρ* delendum 10 *ἀποδίδωσι?* 12 *ὑπ'*] *ἀπ'* A 13 *ἐν*] *ἐπ'* A 22 *μένειν*] fort. *μένειν.μένειν* 25 *διότι πέφυκεν*] non legit ergo Themistius negationem in Arist. p. 205 b. 13.

ἐπεφύκει. λεκτέον οὖν τοῦ τὸ ἄπειρον μένειν αἰτίαν φυσικήν· ἣν γὰρ λέγει νῦν αἰτίαν, οὐκ ἐκ τῆς φύσεώς ἐστιν τοῦ μίγματος ἢ ὅπερ ἄν τις ὑπόθηται σῶμα, ἀλλ' ἐκ τοῦ μεγέθους, ἐπεὶ τί ποτ' ἐρεῖ περὶ τῶν μορίων τοῦ μίγματος; εἰ μὲν γὰρ καὶ τούτων ἑκάστῳ κατὰ φύσιν ἐστὶ τὸ στηρίζειν ἐν ἑαυτῷ, πάντα ἀκίνητα μένειν, ὅπερ οὐδὲ αὐτὸς ἂν ἐθελήσειεν· εἰ δὲ διότι πεπέρανται, διὰ τοῦτο οἷά τε καὶ κινεῖσθαι, οὐ κατὰ τὴν φύσιν ἄρα τοῦ σώματος τὸ ἀκίνητον [εἶναι] ὑπῆρχε τῷ ὅλῳ, ἐπεὶ καὶ τοῖς μορίοις ἂν τοῦτο ὑπῆρχεν εἴπερ ὁμοειδὲς τὸ μίγμα, διόπερ καὶ πᾶν ἐν παντί, ἀλλὰ διὰ τὸ ποσὸν καὶ τὸ μέγεθος. ὅλως δὲ εἴπερ μὴ ἐξ ἀνάγκης, ἀλλὰ πέφυκεν εἶναι τὸ ὅλον ἐν ἑαυτῷ καὶ τόπον ἔχειν ἐν ἑαυτῷ, διὰ τί οὐ καὶ τῶν μορίων ἕκαστον; ὁμοειδεῖς γὰρ οἱ τόποι τοῦ τε ὅλου καὶ τοῦ μέρους, ὅλου τε τοῦ ὕδατος καὶ κυάθου, καὶ πυρὸς καὶ σπινθῆρος. εἰ τοίνυν τοῦ ἀπείρου τόπος τὸ ἐν αὑτῷ μένειν, ἄρα καὶ τὸ ὅλον καὶ τὰ μόρια. περιήρηται οὖν καὶ οὗτος τὴν κίνησιν ὁμοίως τοῖς ἄλλοις, ὅσοι καὶ ἐξ ἀρχῆς ἀκίνητον εἶναι τὸ πᾶν ὑποτίθενται. ἁπλῶς δὲ ἀδύνατον ἄπειρόν τι λέγειν σῶμα καὶ ἐν τόπῳ εἶναι. εἰ γὰρ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα, καὶ κατὰ τὰς ῥοπὰς ταύτας ἐπὶ τοὺς οἰκείους φέρεται τόπους, ἀδύνατον δὲ τὸ ἄπειρον σῶμα ἢ βαρὺ ἢ κοῦφον εἶναι, ἀδύνατον ἄρα καὶ τόπον αὐτῷ προστιθέναι. ἤτοι γὰρ πᾶν βαρὺ καί ἐστιν ἐν μόνῳ τῷ κάτω, ὁ δὲ ἄνω αὐτοῦ περιττεύσει, ἢ πᾶν κοῦφον καὶ ἔσται μόνον ἐν τῷ ἄνω, ὁ δὲ κάτω αὐτοῦ ὑπερβαλεῖ, ἢ τὸ

7 fort. μένει . 10 εἶναι om V ἂν τοῦτο] αὐτοῦ A 14 διὰ τί] διότι A 18 μένειν] malim ἐν αὐτῷ μένειν, ἐν αὐτῷ μενεῖ

μὲν ἥμισυ βαρὺ τὸ δὲ ἥμισυ κοῦφον. καὶ πρῶτον μὲν πῶς τὸ ἄπειρον διαιρεῖ; ἔπειτα εἰ τὸ μὲν ἐν τῷ ἄνω τε καὶ ἐσχάτῳ, τὸ δὲ ἐν τῷ κάτω τε καὶ μέσῳ, περανθήσεται ὑπὸ τῶν τόπων· τὸ γὰρ ἔσχατον καὶ τὸ μέσον περάτων ἐστὶν ὀνόματα. καὶ γὰρ εἰ ἐν τόπῳ τὸ ἄπειρον, τούτου δὲ διαφοραὶ τὸ ἄνω καὶ τὸ κάτω, καὶ ἔμπροσθεν καὶ ὄπισθεν, καὶ δεξιὸν καὶ ἀριστερόν, ἀνάγκη καὶ τοῦ ἀπείρου ταύτας εἶναι τὰς διαστάσεις· ἀλλὰ πεπερασμένων αἱ διαστάσεις αὗται καὶ διαφοραί. οὐδὲ γὰρ ἐκεῖνό ἐστιν εἰπεῖν, ὡς αἱ διαφοραὶ τοῦ τόπου τὸ ἄνω καὶ κάτω καὶ τὰ λοιπὰ κατὰ τὴν πρὸς ἡμᾶς εἰσὶ σχέσιν, οὐκ ἐν αὐτῇ τῇ φύσει τοῦ τόπου· καὶ γὰρ τοῦτο μικρὸν ὕστερον ἐπιδείξομεν, ὅτι διχῶς ἕκαστον τούτων καὶ πρὸς ἡμᾶς καὶ τῇ φύσει. καὶ τὰς τοῦ τόπου διαφοράς, ἐν ᾧ τὸ ἄπειρόν ἐστιν, εἰ ἄρα ἔστιν, ἀνάγκη τῇ φύσει εἶναι, οὐ τῇ σχέσει τῇ πρὸς ἡμᾶς. νῦν δ' ἔτι κἀκεῖνο προςκείσθω, ὡς εἰ ἀδύνατον ἄπειρον εἶναι τόπον, ἐν τόπῳ δὲ πᾶν σῶμα, ἀδύνατον ἄπειρον εἶναι σῶμα· τὸ πρῶτον δέ, τὸ ἄρα δεύτερον. ἀλλὰ μὴν τὸ ἐν τόπῳ καὶ ἔν τινι τόπῳ· εἰ γὰρ ἐν μηδενί, οὐδὲ ἐν τόπῳ, ὥσπερ οὐδὲ ποσόν, ὃ μήτε δίπηχυ μήτε τρίπηχυ μηδὲ κατ' ἄλλον τινὰ ἀριθμόν. εἰ δὲ ἔν τινι τόπῳ, πάντως ἢ ἐν τῷ ἄνω ἢ ἐν τῷ κάτω ἢ ποῦ ἀλλαχοῦ, τοῦτο δὲ ἤδη πολλάκις ἀδύνατον ἀπεδείξαμεν. ὅτι μὲν οὖν ἐνεργείᾳ οὐκ ἔστι σῶμα ἄπειρον, φανερὸν ἐκ τούτων.

Ὅτι δὲ καὶ ἁπλῶς ἀναιροῦσι τὸ ἄπειρον πολλὰ 6

---

1 καὶ] ἢ A 2 πῶς] πρὸς V 15 τὴν φύσιν A 21 γὰρ om A οὐδὲ] οὔτε libri, conf. Prantl symb. crit. p. 19.

*ἀδύνατα συμβαίνει, εἴρηται μὲν πρότερον ἤδη, λεγέσθω δὲ καὶ νῦν. τοῦ τε γὰρ χρόνου ἔσται τις ἀρχὴ καὶ τελευτή, πρᾶγμα τῶν πάντων ἀμηχανώτατον· τὸ γὰρ λέγειν, ὡς ἤρξατό ποτε γίνεσθαι χρόνος, οὐδὲν ἄλλο λέγειν ἐστίν, ἢ ὅτι χρόνος ἦν, ὅτε χρόνος οὐκ ἦν. πᾶν γὰρ τὸ γινόμενον ἐν χρόνῳ γίνεται, καὶ τὸ ποτὲ χρόνου κατηγορεῖται, δείκνυται δὲ καὶ* fol. 84b. *κίνησις οὖσα ἀΐδιος, ἧς παρακολούθημα ὁ χρόνος. ἓν μὲν τοῦτο ἄτοπον μὴ παραδεχομένοις τὸ ἄπειρον. ἕτερον δὲ ἡ τῶν συνεχῶν διαίρεσις ἱσταμένη, καὶ πάλιν ἡ αὔξησις τοῦ ἀριθμοῦ. ὅταν δὲ μήτε εἶναι μήτε μὴ εἶναι τιθεμένοις αὐτὸ ὁ λόγος εὐοδῇ, τοῦ διαιτήσοντος χρεία, καὶ δῆλον ὅτι πὼς μὲν ἔστι, πὼς δὲ οὔ. λέγεται δὴ τὸ μὲν δυνάμει, τὸ δὲ ἐντελεχείᾳ, καὶ αὕτη ἡμῖν ἡ διαίρεσις τῶν ὄντων πολλαχοῦ δέδεικται, ὥστε εἴπερ εἶναι μὲν τὸ ἄπειρον ἀνάγκη καὶ προσθέσει διὰ τὸν ἀριθμὸν καὶ τὸν χρόνον, καὶ διαιρέσει διὰ τὴν τομὴν τῶν μεγεθῶν, οὐκ ἔστι δὲ ἐνεργείᾳ διὰ τοὺς ἔμπροσθεν λόγους, λείπεται αὐτὸ εἶναι δυνάμει. καὶ τοίνυν τοῦ σώματος τοῦ συνεχοῦς εἰ ἀνάγκη ἄπειρον εἶναι τὴν τομήν, (τὸ γὰρ ἀνελεῖν τὰς ἀτόμους γραμμὰς οὐ χαλεπόν) ἔσται δυνάμει ἄπειρον, οὐκ ἐνεργείᾳ· τοῦτο γὰρ ἀμήχανον παντελῶς. τὸ γὰρ ἐνεργείᾳ τὴν διαίρεσιν εἰς ἄπειρα ὑποτίθεσθαι, καὶ τὴν σύνθεσιν ἐξ ἀπείρων ἐστὶ ποιεῖν· εἰς ὅσα γὰρ διαιρεῖται τὸ συνεχές, ἐκ τοσούτων δήπου καὶ σύγκειται· τὸ δὲ ἐξ ἀπείρων συγκείμενον ἄπειρόν ἐστι κατὰ μέγεθος, τοῦτο δὲ ἀδύνατον ἐπιδεικνύντες ἄρτι πεπαύμεθα. ὅταν δὲ λέγωμεν τὸ ἄπειρον εἶναι δυνάμει, οὐχ οὕτω λέγομεν,*

---

12 εὐοδῇ] εὐδῇ A    26 ἐξαιρεῖται V    30 λέγομεν libri

ὡς τὸν χαλκὸν ἀνδριάντα εἶναι δυνάμει, ὅτι κἂν γένοιτό ποτε ἀνδριὰς ἐνεργείᾳ, ἀλλ' ἐπὶ μὲν τοῦ χαλκοῦ καὶ τοῦ ἀνδριάντος παύεται ἡ δύναμις ἐπελθούσης τῆς ἐνεργείας. ὁ γὰρ γενόμενος ἀνδριὰς οὐκέτ' ἔχει δύναμιν ἀνδριὰς γενέσθαι. λέγεται οὖν ἐπὶ τῶν τοιούτων τὸ δυνάμει πρὸς τὴν ἐνέργειαν, διόπερ οἷόν τε αὐτῷ καὶ προελθεῖν εἰς ἐκείνην πρὸς ἣν καὶ λέγεται, ἐπὶ δὲ τοῦ ἀπείρου ταὐτόν ἐστιν ἐνέργεια ὡς ἀπείρου τοῦ δυνάμει καὶ ἐνεργείᾳ. ἡ γὰρ τοῦ ἀπείρου ἐνέργεια ὡς ἀπείρου τὸ δύνασθαι ἀεί τι πλέον, ἐπεὶ εἴγε τοιαύτην τις ἐντελέχειαν ἐπιζητοίη, οἷον στάσιν τινὰ καὶ μορφὴν καὶ εἶδος, οὗτος οὐδὲν ἄλλο ἢ πέρας τι ζητεῖ τοῦ ἀπείρου, μᾶλλον δὲ φθορὰν τοῦ ἀπείρου, τοῦτο δὲ ἀμήχανον. πᾶσα γὰρ ἐντελέχεια σώζειν ὀφείλει τὸ ὑποκείμενον. ὥσπερ τοίνυν τὴν τοῦ κινητοῦ ἐντελέχειαν ᾗ κινητὸν φυλάττουσαν ἐπιδείκνυμεν τὴν δύναμιν τοῦ κινεῖσθαι, οὕτως ἐντελέχεια τοῦ ἀπείρου καὶ τελειότης τὸ δύνασθαι ἀεὶ προσωτέρω. εἰ δὲ παύσαιτό ποτε ἡ δύναμις αὕτη, παύεται παραχρῆμα τὸ καὶ ἄπειρον εἶναι. καθάπερ γὰρ οἷς ἐν τῷ γίνεσθαι τὸ εἶναί ἐστιν, ταῦτα παυσάμενα τοῦ γίνεσθαι οὐδὲ ἔστιν ἔτι, ὡς ἀγὼν καὶ ἡμέρα καὶ χρόνος καὶ φλόξ, οὕτως οἷς τὸ εἶναι ἐν τῷ δύνασθαι, ταῦτα ἀπολέσαντα τὸ δύνασθαι συναπόλλυσιν εὐθὺς καὶ τὸ εἶναι. ἀλλ' εἴ τις ἄρα καὶ τὴν τοιαύτην δύναμιν τοῦ ἀπείρου ζητεῖ, ἣ πρὸς τὴν ἐνέργειαν λέγεται, καὶ αὐτὴν αὐτῷ δεικτέον ἐπὶ τῶν τῆς τομῆς μεγεθῶν· ὅτε γὰρ μήπω διαιρεῖται,

---

9 ἐνέργεια] ἐνεργείᾳ A  τοῦ] τὸ A  10 τὸ om A  18 τελειότητα A  19 προσωτέρω] προτέρω V πορρωτέρω? 20 τὸ καὶ] τοῦ καὶ libri  27 scrib. ἐπὶ τῆς τῶν μεγεθῶν τομῆς

τότε ἐστὶν οὕτως ἄπειρα τῇ διαιρέσει, ὡς καὶ ὁ χαλκὸς ἀνδριάς. ἔλθοι γὰρ ἂν εἰς τὸ κατ' ἐνέργειαν εἰς ἄπειρα διαιρεῖσθαι, πλὴν διαφέρει ὅτι, καίτοι διαιρεῖσθαι εἰς ἄπειρα δύναται τὰ μεγέθη, οὐχ ὅμως δύναται ἐνεργείᾳ εἰς ἄπειρα διαιρεῖσθαι. τοῦτο μὲν γὰρ ἀδύνατον καὶ ἑαυτὸ ἀνατρέπει. εἰ γὰρ μὴ διῄρηται, οὐκ εἰς ἄπειρα πάντως· πῶς γὰρ ἂν ἔληξεν ἡ τομή; τὸ δὲ διαιρεῖσθαι εἰς ἄπειρα οὐδὲν κωλύει ἀεὶ δυναμένου τέμνεσθαι τοῦ λειπομένου. μηδεὶς οὖν ἀθρόαν ζητείτω τὴν ἐντελέχειαν τοῦ ἀπείρου, ὥσπερ ἢ οἰκίας ἢ κλίνης, ἀλλ' ὥσπερ τὸν ἀγῶνά φαμεν ἐνεργείᾳ παρεῖναι, καὶ τὴν ἡμέραν, καὶ ὅλως τὸν χρόνον, οὔτε τῶν Ὀλυμπίων ἀθρόων δυναμένων φαίνεσθαι οὔτε ἡμέρας οὔτε ὅλως χρόνου, ἀλλ' ὅτι γίγνεταί τι αὐτῶν ἀπὸ μέρους· οὕτω δὴ καὶ τὴν εἰς ἄπειρα διαίρεσιν, οὐχ ὡς ἀθρόαν οὐδ' ὡς ἅμα δυναμένην γίνεσθαί ποτε, ἀλλὰ ὅτι γίνεται ἀπὸ μέρους, ἀεί τινος ὑπολειπομένου πάντως μεγέθους. τὸ μὲν οὖν εἶναι ὅμοιον τῷ τε χρόνῳ καὶ τῇ εἰς ἄπειρα διαιρέσει· ἀμφοτέροις γὰρ ἐν τῷ γίνεσθαι καὶ ἐκ μέρους εἶναι καὶ μὴ ἀθρόοις, ἀλλὰ καὶ τὸ ἄπειρον ἐν ἀμφοτέροις ὁμοίως, τῷ γὰρ ἄλλο καὶ ἄλλο ἀεὶ τὸ λαμβανόμενον εἶναι καὶ τοῦτό γε πεπερασμένον, διαφέρουσι δὲ ὅτι ἐπὶ μὲν τοῦ χρόνου τὸ ληφθὲν ἀεὶ μέρος ἐφθάρη· ἀεὶ γὰρ τὸ παρελθὸν ἔφθαρται, ἐπὶ δὲ τῆς διαιρέσεως ἀεὶ τὸ τμηθὲν ὑπομένει, οὔτε δὲ χρόνον ὑπολιπεῖν πρὸς γένεσιν οὔτε μέγεθος πρὸς διαίρεσιν. μὴ λανθανέτω δὲ ἡμᾶς, ὡς ἐν τοῖς μεγέθεσιν οὐ κατὰ διαίρεσιν μόνον τὸ ἄπειρον, ἀλλὰ καὶ κατὰ

---

3 πλὴν] πολλὸν V  5 διαιρεῖσθαι] διῄρεισθαι libri  26 τμηθὲν] ληφθὲν V et sic Simplicius fol. 115.  27 τὸ μέγεθος V  29 μόνον] fort. μόνον ὂν

πρόσθεσιν· ἐν γὰρ τῷ πεπερασμένῳ μεγέθει, ἐφ' ὅσον κατὰ θάτερον ἡ διαίρεσις γίνεται, ἐπὶ τοσοῦτον ἡ πρόσθεσις κατὰ θάτερον. εἰ οὖν ἡ διαίρεσις ἐπ' ἄπειρον, καὶ ἡ πρόσθεσις, ἀλλ' ἀντεστραμμένως. ὃ γὰρ ἀφαιροῦμεν ἐκείνου, τούτῳ προστίθεμεν. οὐ πᾶσα δὲ διαίρεσις ἐπ' ἄπειρον οὐδὲ πρόσθεσις· ἂν γὰρ ἴσα τις ἀλλήλοις τὰ μεγέθη ἀεὶ λαμβάνῃ, διαιρῶν ποτὲ ἀναλώσει τὸ ὅλον ὁπηλίκον ἂν ᾖ, ἀλλὰ χρὴ ποιεῖσθαι τὴν τομὴν τῷ αὐτῷ μὲν λόγῳ, οὐ τῷ αὐτῷ δὲ μεγέθει. ἐὰν γὰρ ἐξ ἀρχῆς εἰς ἥμισυ διαιρῶν ἀεὶ τὸ ἥμισυ λαμβάνῃς, τοῦ λειπομένου τὸν μὲν αὐτὸν φυλάξεις λόγον ἐν τῇ τομῇ, οὐ τὸ ἴσον δὲ μέγεθος, καὶ μόνως οὕτως ἡ διαίρεσις οὐχ ὑπολείψει· οὕτω δὲ οὐδὲ ἡ πρόσθεσις. καὶ τὸ ἄπειρον ἔστι μὲν ἐν ἀμφοτέροις δυνάμει, διαφέρει δὲ ὅτι διαιροῦντας μέν ἐστιν ἔλαττον ἀεὶ λαβεῖν παντὸς ὡρισμένου μεγέθους, προστιθέντας δὲ οὐ παντὸς μεῖζον μεγέθους· οὐ γὰρ παντός ἐστιν μεῖζον, οἷον τοῦ οὐρανοῦ, ἀλλ' ἐκείνου δυνατοῦ μόνον, ὃ τὴν αὔξησιν εἶχεν ἐκ τοῦ τέμνεσθαι τὸ ἕτερον μέρος, ἐπεὶ εἴγε οἷόν τε ἦν παντὸς μεγέθους μεῖζον λαβεῖν, ἦν ἄν τι σῶμα ἄπειρον ἐντελεχείᾳ, ὁποῖον λέγουσιν οἱ φυσικοί. ὅτε δὲ οὐ δυνατὸν εἶναι σῶμα τοιοῦτον, οὐ δυνατὸν οὐδὲ κατὰ πρόσθεσιν ἄπειρον εἶναι, ἀλλ' ἄπειρον μὲν προσθέσιν οἷόν τε εἶναι, ἐπεὶ καὶ διαιρέσιν· ἄπειρον δὲ κατὰ πρόσθεσιν οὐκέθ' οἷόν τε. διὰ ταῦτα μέντοι καὶ Πλάτων δύο ἐποίησεν τὰ ἄπειρα τὸ μέγα καὶ τὸ fol. 35. μικρόν, τὸ μὲν τῇ προσθέσει, τὸ δὲ τῇ διαιρέσει προσομοιῶν καὶ ἐκ τούτων ἐκεῖνα ὑπαινιττόμενος, ἀλλ' ὅμως δύο ποιήσας οὐδετέρῳ χρῆται ἐν ταῖς ἀρχαῖς·

1 ἐν γὰρ] εἰ γὰρ libri

ἀρχαὶ δὲ κατ' αὐτὸν οἱ ἀριθμοί· οὔτε τὸ κατὰ διαίρεσιν ἄπειρον ἐν τοῖς ἀριθμοῖς οὔτε τὸ κατὰ πρόσθεσιν, ἀλλὰ τὸ μὲν οὐκ ἔχουσιν· ἵσταται γὰρ εἰς μονάδα, τὸ δὲ αὐτὸς οὔ φησιν· αὔξει γὰρ αὐτούς· μέχρι γὰρ δεκάδος φησὶν εἶναι τὸν ἀριθμόν, ἐντεῦθεν δὲ αὐτὸν ἀνακυκλεῖσθαι.

Εἰ δὲ καὶ καλῶς ἡμεῖς λέγομεν, καὶ τὸ ἄπειρον κατὰ μόνην τὴν διαίρεσίν ἐστι τῶν σωμάτων, ὅταν μὴ παύσηται ἡ τομή, συμβαίνει τοὐναντίον ἄπειρον εἶναι ἢ ὥς τινες βούλονται λέγειν· οἱ μὲν γὰρ ἄπειρον λέγουσιν, οὗ μηδέν ἐστιν ἔξω λαβεῖν, ἡμεῖς δὲ οὗ ἀεί τί ἐστιν ἔξω λαβεῖν. μαρτυρεῖ δὲ ἡμῖν καὶ ἡ συνήθεια· καὶ γὰρ δακτυλίους ἀπείρους λέγουσιν τοὺς μὴ ἔχοντας τὴν σφενδόνην, ὅτι ἀεί τι ἄλλο ἐστὶν ἔξω λαβεῖν. τοῦτο δὲ ἔοικε μὲν τῷ ἀπείρῳ, διαφέρει δέ· οὐ γὰρ μόνον ἀεί τι δεῖ λαμβάνειν ἕτερον ἐπὶ τῶν ὄντων ἄπειρον, ἀλλὰ καὶ μηδέποτε ταὐτόν, ὅπερ οὐχ ὑπάρχει τοῖς κύκλοις· διὰ τοῦτο γὰρ καὶ ὑπὲρ ἀριθμὸν πίπτουσιν αἱ στροφαί. ὡς οὖν οἷόν τε καὶ ἀφορίσασθαι τὸ ἄπειρον, τοῦτ' ἂν ἄπειρον εἴη οὗ κατὰ ποσὸν λαμβάνουσιν ἀεί τι λαβεῖν ἔστιν ἔξω, ποσὰ δὲ ἀριθμῷ καὶ μεγέθει, ἐν ἀμφοῖν δὲ οὕτως τὸ ἄπειρον· ἀεὶ γάρ ἐστιν ἔξω λαβεῖν ἀριθμὸν πλείονα ἢ τομήν. τὸ δὲ κατὰ ποσὸν λαμβάνουσι προσθεῖναι ἦν ἀναγκαῖον, ὅτι κατὰ τὸ εἶδος ἐν τῇ διαιρέσει πεπέρασται τὰ συνεχῆ· τὸ γὰρ αὐτὸ εἶδός ἐστιν ἐν τῇ διαιρέσει, εἰ καὶ μὴ τὸ αὐτὸ ποσόν·

---

1 οὔτε τὸ] scrib. οὔτε γὰρ τὸ  4 αὔξει γὰρ αὐτοὺς fort. delenda, nisi scripseris αὔξει γὰρ αὐτοὺς μέχρι δεκάδος· μέχρι γὰρ δεκάδος  9 παύηται A  11 ἡμεῖς — λαβεῖν] om A. conf. Simplicius fol. 116 b.  12 ἡμῖν om A  17 ὄντων ἄπειρον] ὄντως ἀπείρων A  26 πεπέρασται] πεπέραται V. scrib. πεπέρανται

γραμμαὶ γὰρ ἢ ἐπιφάνειαι ἢ σώματα ἄμφω. τὸ μὲν οὖν ἄπειρον τοιοῦτόν ἐστιν.

Οὗ δὲ μηδέν ἐστιν ἔξω λαβεῖν, τοῦτο τέλειον ἂν εἴη μᾶλλον καὶ ὅλον· οὕτω γὰρ καὶ ὁριζόμεθα τὸ ὅλον οὗ μηδὲν ἄπεστιν τῶν πρὸς τὴν οἰκείαν αὐτοῦ συμπλήρωσιν συντελούντων; οἷον ἄνθρωπον ὅλον ἢ κιβώτιον. ὅλον ἦν ἄν, οἷς οὐδὲν εἰς τὴν μορφὴν ἐλλείπει. ὥσπερ δὲ ἐπὶ τούτων τῶν κατὰ μέρος, οὕτως ἕξει κἀπὶ τοῦ κυρίως ὅλου· ἔστι γὰρ κυρίως καὶ ἁπλῶς ὅλον οὗ μηδὲν ἄπεστιν, τοῦτο δὲ καὶ τέλειον ἀκριβῶς· ἔοικε γὰρ τὰ δύο ταῦτα ὀνόματα τό τε ὅλον καὶ τέλειον ἢ ταὐτὸν σημαίνειν, ἢ σύνεγγυς εἶναι· ὅλον μὲν γὰρ λέγομεν πρὸς τὰ μόρια ἀναφέροντες, ὅταν μηδὲν ἐκείνων ἐλλείπῃ, τέλειον δὲ τὸ ἔχον πέρας καὶ τέλος, λέγεται δὲ ἀμφοῖν κατὰ πράγματος τοῦ αὐτοῦ. εἰ δὴ τέλειον τὸ πέρας ἔχον, καὶ ὅλον ἂν εἴη τὸ πέρας ἔχον. ἄμεινον οὖν Παρμενίδης Μελίσσου τὸ ὅλον πεπερασμένον ποιῶν μεσσόθεν ἰσοπαλές, ὁ δὲ τὰ ἀσύναπτα συνάπτει καὶ οὐ λίνον λίνῳ κατὰ τὴν παροιμίαν, πάνθ' ὁμοῦ καὶ ἄπειρον λέγων. εἰ γὰρ πᾶν ἐστιν οὗ μηθὲν ἔξωθεν ἄλλο, ἄπειρον δὲ οὗ ἀεὶ τὸ ἔξωθεν ἄλλο, οὐκ ἂν εἴη πάνθ' ὁμοῦ τι καὶ ἄπειρον. διὰ ταύτην δὲ τὴν πλάνην καθ' ἣν οἴονται ἐμφερῶς ἔχειν τὸ ὅλον καὶ τὸ πᾶν καὶ τὸ ἄπειρον, ἤδη καὶ σεμνύνουσιν τὸ ἄπειρον, ἃ τῷ ὅλῳ προσήκει καὶ τῷ παντί, ταῦτα ἐπὶ τὸ ἄπειρον μεταφέροντες, τὸ πάντα περιέχειν καὶ τὸ πάντα ἔχειν ἐν ἑαυτῷ. ταῦτα δὲ κατὰ μὲν ὅλου κυρίως λέγεται, κατὰ

---

7 ἂν οἷς] οἷς ἂν V. fort. κιβώτιον ὅλον εἶναι οἷς ἂν οὐδὲν — ἐλλείπῃ neque in Themistio sic οὐδὲν offendat 13 μὲν om A 18 μεσόθεν A 19 ἀσύναπτα] ἀσύνθετα V 20 πάνθ'] τὸ πάνθ' V, malim τὸ πᾶν 22 πάνθ'] fort. πᾶν ὁμοῦ τε 28 fort. τοῦ ὅλου

δὲ τοῦ ἀπείρου, ὅτι τὸ ἄπειρον ὕλη ἐστὶν τοῦ ὅλου τε καὶ τελείου, ὅ ἐστι μετὰ εἴδους ἤδη καὶ συναμφότερον· ἡ γὰρ ὕλη κατὰ μὲν τὸν αὐτῆς λόγον ἄπειρος ἔσται καὶ ἀόριστος, δυνάμει δέ ἐστιν ὅλον τε καὶ πᾶν· δεκτικὴ γὰρ τοῦ εἴδους καὶ ἐξ αὐτῆς τε καὶ τοῦ εἴδους τὸ σύνθετον. ὃ τοίνυν δυνάμει εἶχεν, λέγω δὲ τὸ ὅλον, τοῦτο ἁπλῶς κατηγοροῦσιν αὐτῆς καὶ οὕτως ἃ τῷ ὅλῳ προσήκει, ταῦτα τῷ ἀπείρῳ προσάπτουσιν. ὅτι δ' ἐν τῇ ὕλῃ τὸ ἄπειρον, δῆλον. καὶ γὰρ ἡ τῶν μεγεθῶν καθαίρεσις ἡ ἐπ' ἄπειρον, καὶ ἡ πρόσθεσις ἡ ἀντίστροφος κατὰ τὸ ὑποκείμενον οὐ κατὰ τὸ εἶδός ἐστιν, ὥσπερ ἔφην· μένει γὰρ τὸ εἶδος ταὐτό, καὶ ἄλλως τὸ πέρας αὐτῇ καὶ τὸ ὅλον οὐ καθ' αὑτήν, ἀλλὰ ἐκ τοῦ εἴδους ὑπάρχει καὶ ἀεί τι περιέχεται ὑπ' ἄλλου, καὶ ἀεί τι αὐτῆς ἐστὶν ἔξω λαβεῖν τό τε εἶδος καὶ τὴν μορφήν. διὰ ταῦτ' οὖν ἄπειρος, εἰκότως δὲ καὶ ἄγνωστος κατὰ τὴν ἑαυτῆς φύσιν· τὸ γὰρ ἄπειρον ἄγνωστον. εἰς τί δὴ περιελήλυθεν ἡμῖν ὁ λόγος ἐκ τῶν εἰρημένων; ἔστι μὲν γὰρ ἄγαν παρὰ τὴν δόξαν, ἀληθέστατον δέ, τὸ ἄπειρον μόριον εἶναι μᾶλλον τοῦ ὅλου ἢ ὅλον. ἡ γὰρ ὕλη μόριον τοῦ συναμφοτέρου, καθάπερ ὁ χαλκὸς τοῦ Διαδουμένου. τοῦτο γὰρ ἴσως εὐλογώτερον ἢ τὸ μέγα καὶ τὸ μικρὸν ἄπειρά τε ποιοῦντας καὶ ὕλην αἰσθητῶν τε καὶ νοητῶν, προσαναγκάζεσθαι συγχωρεῖν περιέχεσθαι καὶ τὰ νοητὰ ὑπὸ τῆς ὕλης, εἴγε ἅπαντα ὑπὸ τοῦ ἀπείρου περιέχεσθαι βούλονται. οὕτως γὰρ ὑπὸ τοῦ ἀορίστου τε καὶ ἀγνώστου τὰ γνωστά τε καὶ ἐπιστητὰ περιέχοιτό τε καὶ ὁρίζοιτο. ἡμῖν δὲ τὸ ἄπειρον ὑπὸ τοῦ

5 δεκτικὸν A 15 ἀπ' A 22 Διαδουμένου] διαδιδομένου A 24 ποιοῦντας] ποιοῦντα V ποιοῦντες A 29 add. ἂν

ὅλου περιέχεσθαι τιθεμένοις, λέγω δὲ τὴν ὕλην, κατὰ λόγον συμβαίνει ἔλαττον μὲν δύνασθαι παντὸς ὡρισμένου μεγέθους λαβεῖν, μεῖζον δὲ μή· ἡ γὰρ ὕλη ἔνδον ἐμπεριέχεται τῷ τεμνομένῳ μεγέθει.

7

Σμικρότερον μὲν οὖν αὐτο ποιεῖν βουλομένοις δίδωσι τὴν χορηγίαν ἐνυπαρχούσης τῆς ἀπειρίας, μεῖζον δὲ οὐκέτι· δεῖ γὰρ τῆς ἔξωθεν προσθήκης, ἐνδέχεται δὲ μηδὲν ἕτερον ἔξωθεν εἶναι, καὶ εἰ περιέχει τὸ εἶδος, ἀνάγκη εἰς τοῦτο στῆναι τὴν αὔξησιν. εὐλόγως δὲ καὶ ἐν μὲν τοῖς ἀριθμοῖς ἐπὶ τὸ ἐλάχιστόν ἐστι πέρας, ἐπὶ δὲ τὸ πλεῖστον οὐκέτι· ἐν δὲ τοῖς μεγέθεσι τὸ ἀνάπαλιν, διαιροῦσι μὲν οὐκ ἔστιν, προστιθεῖσι δέ ἐστι. τί ποτ' οὖν δὴ τοῦτο; ὅτι ὁ μὲν ἀριθμὸς ἐκ μονάδων οἶμαι σύγκειται· οὐδὲ γὰρ ἄλλο ἐστὶν ἀριθμὸς ἢ πλείους μονάδες· τὸ γὰρ δύο καὶ τρία πλειόνων μονάδων ἐστὶν ὀνόματα, ἕκαστον δὲ ἐξ ὧν σύγκειται, εἰς ἐκεῖνα καὶ διῄρηται. διαιρεῖται οὖν καὶ ἀριθμὸς εἰς τὰς μονάδας, αὗται δὲ καθὸ μονάδες ἀδιαίρετοι. πᾶν γὰρ ἓν καθὸ ἓν ἀδιαίρετον ὡς εἷς ἄνθρωπος καθὸ ἄνθρωπος ἀδιαίρετος· οὐ γὰρ εἰς ἀνθρώπους, εἰ δὲ εἰς μόρια, ἀλλ' οὐ κατὰ τοῦτο εἷς ἦν. ἡ δὲ μονὰς παντελῶς ἕν· οὐδὲ γὰρ ὕλη αὐτῇ ὑπόκειται, ὥστ' ἀνάγκη στῆναι τὴν διαίρεσιν εἰς (fol. 35b.) ταύτην ἐλθοῦσαν, τὸ δὲ μέγεθος οὐκέτι σύγκειται ἐξ ἑνάδων, ἀλλ' ἐκ μεγεθῶν. οὐ καταντᾷ οὖν εἰς ἀδιαίρετα ἡ διαίρεσις. διὰ ταύτην δὲ καὶ ἀριθμὸς ἐπ' ἄπειρον αὔξεται, ὅτι καὶ ἡ διαίρεσις ἀριθμητὴ καὶ παντὸς ὡρισμένου πλήθους ὑπερβάλλει τὰ λαμβανό-

5 βουλομένου A  8 μηδὲν ἕτερον] μηδέτερον A  26 fort. διὰ τοῦτο

*μενα· οὐ γὰρ δὴ καθ' αὑτὸν ὁ ἀριθμὸς τὸ ἄπειρον ἔχει, ἀλλὰ καὶ οὗτος διὰ τὴν ὕλην, ὥστε πανταχοῦ τὸ ἄπειρον διὰ τὴν ὕλην. καλῶς οὖν καὶ δυνάμει τὸ ἄπειρον, ἐνεργείᾳ δὲ οὔ· καὶ γὰρ ἡ ὕλη δυνάμει. καλῶς δὲ καὶ ἐν τῷ γίνεσθαι τὸ ἄπειρον, οὐκ ἐν τῷ εἶναι· καὶ γὰρ ἡ ὕλη ῥεῖ καὶ οὐχ ἵσταται. ὁ μὲν οὖν ἀριθμὸς διὰ τὴν ὕλην ἔχει τὸ ἄπειρον, διὰ δὲ τὸν ἀριθμὸν ἐν τοῖς μεγέθεσιν οὐκ ἔστι τὸ ἄπειρον ἐπὶ τὸ μεῖζον, ὅτι προχωροῦσιν ἐπὶ τὸ μεῖζον τὸ ὅλον ἀπαντᾷ καὶ πᾶν ὥσπερ ἐν τοῖς ἀριθμοῖς ἡ ἑνάς. οὐ γάρ ἐστιν τὸ πᾶν αὔξεσθαι δυνάμενον· οὕτω γὰρ ἂν εἴη τι τοῦ οὐρανοῦ μεῖζον, ἀλλὰ τὸ ὅλον ὥρισται εἴπερ ὅλον. εἰ δέ τι ἦν δυνατὸν προστιθέναι παντὶ σώματι, οὐδὲν ἂν ἦν πᾶν οὐδὲ ὅλον, ἀλλ' οἷον οἱ φυσικοὶ λέγουσιν τὸ ἄπειρον, ἐνεργείᾳ αἰσθητόν τι σῶμα καὶ μέγεθος. ὅταν λέγωμεν τὸ ἄπειρον καὶ ἐν μεγέθει εἶναι καὶ ἐν κινήσει καὶ ἐν χρόνῳ, ἰστέον ὅτι οὐχ ὡς γένος οὐδὲ ὡς μίαν αὐτῶν φύσιν κατηγοροῦμεν, ἀλλ' ὡς ἔχει τάξεως ταῦτα πρὸς ἄλληλα, οὕτω καὶ τὸ ἄπειρον τὸ ἐν αὐτοῖς. ὁ μὲν οὖν χρόνος ἄπειρος διὰ τὴν κίνησιν, ἐπειδὴ καὶ τὸ εἶναι ἀπ' αὐτῆς ἔχει, ἡ κίνησις δὲ ἄπειρος διὰ τὸ μέγεθος· πᾶσα γὰρ κίνησις περὶ μέγεθος αὔξησις μείωσις ἀλλοίωσις ἢ κατὰ τόπον μεταβολή, τὸ μέγεθος δὲ πρώτως ἄπειρον ἤδη· διαιρεῖται γὰρ εἰς μεγέθη. νῦν μὲν οὖν χρώμεθα τούτοις, ὕστερον δὲ καὶ ἀποδείξομεν. οὐκ ἀφαιρεῖται δὲ ὁ λόγος οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν τὸ ἄπειρον ὑποδεικνὺς μὴ εἶναι ἐνεργείᾳ ἐπὶ τὴν αὔξησιν ἀδιεξίτητον· οὐδὲ γὰρ νῦν*

---

10 *ἀπαντᾷ*] fort. *ὑπαντᾷ*  13 Simplic. fol. 118 *δὲ ἦν δυνατὸν προστεθῆναι*  16 *ὅταν*] fort. *ὅταν δὲ*

δέονται τῆς οὕτως ἀπείρου γραμμῆς· ἀεὶ γὰρ κέχρηνται πεπερασμένῃ, ἀλλ' ὑπὲρ τοῦ ἔχειν ὅσην ἂν βούλωνται.

Ἀπορήσειε δ' ἄν τις, πῶς τὸ πρῶτον ἀποδείξουσιν ἐν τοῖς στοιχείοις θεώρημα. δεδόσθω γὰρ αὐτοῖς ἡ τοῦ κόσμου διάμετρος, ἐφ' ἧς δεῖ τὸ τρίγωνον συστήσασθαι· ποῦ γὰρ ἕξουσι χώραν αἱ δύο πλευραὶ τοῦ τριγώνου; ἢ πρῶτον μὲν οὐ δίδως ὁποίαν ᾔτησαν ἐξ ἀρχῆς; ᾔτησαν δὲ ἣν οἷόν τε καὶ ἐκβάλλειν, ἔπειτα τί διοίσει τῷ γεωμέτρῃ, εἰ μηδέν ἐστιν ἔξω τοῦ κόσμου; τῇ γὰρ ἐπινοίᾳ δύναται αὔξειν τὴν δοθεῖσαν γραμμήν, οὐκ ἀναγκαῖον δὲ αὐτῷ τίθεσθαι πᾶν τὸ νοούμενον ὡς ὂν ἐνεργείᾳ, καθ' ἑαυτὸ κεχωρισμένον. ἴσως γὰρ οὐδὲ γραμμὴ τοιαύτη κεχώρισται ἐν τοῖς οὖσιν, ὁποίαν οὗτος νοεῖ, οὐδὲ σῶμα ἐπὶ τρία διεστὼς ἄνευ τινὸς ἀντιτυπίας, ἀλλ' ὥσπερ οὐδὲν κωλύει πλάτει μήκει κεχρῆσθαι καὶ ἀδιαστάτῳ σημείῳ ἃ καθ' αὑτὰ μὲν οὐχ ὑφέστηκεν ἐνεργείᾳ, νοεῖσθαι δὲ οὐκ ἐξείργεται, οὕτω κεχρήσθω καὶ τῇ αὐξήσει τῆς διαμέτρου τῆς κατ' ἐπίνοιαν. εἰ δὲ μηδείς ἐστιν ἔξω τοῦ κόσμου τόπος, οὐδὲν ἄτοπον· οὐδὲ γὰρ τόπου δεῖται ὅλως ἡ τοιαύτη γραμμή· οὐ γὰρ φυσικόν ἐστι μῆκος ἅπαν ὃ δεῖται καὶ φύσει τόπου, ἀλλὰ μαθηματικόν, οὗ τόπος ἡ τοῦ θεωροῦντος διάνοια. τὸ γὰρ ἐξ ἀφαιρέσεως εἶναι τὰ μαθηματικά, τοῦτό ἐστιν, ὅτι πάντα ἀφαιροῦντες ὅσα τοῖς φυσικοῖς σώμασιν ὑπάρχει, τόπον λέγω ποιότητα χρόνον τὸ ποιεῖν τὸ πάσχειν τὸ κινεῖσθαι τὰς ἄλλας κατηγορίας, αὐτὰ μόνα καθ'

---

2 βούλωνται] Simplic. fol. 119 βούλωνται, τὰς ἀπείρους γραμμὰς ὑποτίθενται 4 ἀπορήσειε δ' ἄν τις] ἀπορεῖ δέ τις V, idque verum videtur; intelligitur enim Alexander Aphrod. ap. Simplic. fol. 119. 8 ὁποῖον V

*αὐτὰ τὰ διαστήματα ἐξετάζομεν καὶ τὸ ποσὸν τὸ ὡς συνεχὲς ἐν αὐτοῖς. εἰ μὲν οὖν προσεχρώμεθα πρὸς τὴν καταγραφὴν τοῦ ἰσοπλεύρου τριγώνου τόπῳ τινὶ καὶ χώρᾳ γραμμῆς, ὁ τὸν τόπον αὐτοῦ ἀφαιρούμενος συναφαιροῖτο ἂν καὶ τὴν ἀπόδειξιν. νῦν δὲ οὐδαμοῦ λέγομεν, ἐπειδὴ κεῖται ἐνθάδε ἢ ἐνθάδε ἡ δοθεῖσα γραμμή, ἀνάγκη ταδὶ συμβαίνειν. ὥσπερ οὖν Δημόκριτος κατασκευάζειν ἐπιχειρῶν, ὅτι τὰ χρώματα οὐ συνυπάρχει φύσει τοῖς σώμασιν, ἀλλὰ νόμῳ καὶ τῇ θέσει τῇ πρὸς ἡμᾶς, οὐδὲν ἂν βλάπτοι γεωμετρίαν, ἐπεὶ μὴ χρῆται, οὕτως ὁ τὸν τόπον τὸν ἐπ' ἄπειρον ἀναιρῶν, μᾶλλον δὲ εἴ τις καὶ ἄλλος ἀναιρῶν τόπον, οὐδὲν ἐμποδὼν γίνεται ταῖς γραμμικαῖς ἀποδείξεσιν· ἀφαιρεῖται γὰρ οὗ μὴ δέονται. ὅτι δὲ οὐκ ἔστιν ἐν τόπῳ τὰ μαθηματικά, φησὶν Ἀριστοτέλης ἐν τῷ ἐχομένῳ συγγράμματι· δηλοῖ γὰρ τὰ μαθηματικὰ οὐκ ὄντα ἐν τόπῳ ὅμως κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν. ἀλλὰ τίς ἂν βλάπτοι γεωμετρίαν τῶν περὶ φύσεως λόγων; ὁ τὰ ἀμερῆ καὶ ἐλάχιστα ἀρχὰς ὑποτιθέμενος καὶ στοιχεῖα· τὴν γὰρ εἰς ἄπειρον τομὴν ἀναιρεῖ ἢ συναναιρεῖται πολλὰ τῶν ἐν τοῖς μαθήμασιν νῦν προχείρως δεικνυμένων. ὅλως δὲ εἰ τὰ αὐτὰ δυνατὸν καὶ ἐπὶ τῆς μείζονος γραμμῆς καὶ ἐπὶ τῆς ἐλάττονος ἀποδεῖξαι, καθάπερ καὶ ποιοῦσι καὶ λέγουσιν, τί δέονται τῆς μεγίστης γραμμῆς; τέμνουσι γὰρ κατὰ τὸν αὐτὸν λόγον τήν τε μεγίστην καὶ τὴν ἐλαχίστην, ἣν οἴονται καὶ ἐκβάλλειν· οὕτω γὰρ καὶ ἄπειρον ὑποτίθενται οὐ τὴν ὡς ἀδιεξίτητον, ἀλλὰ τὴν οἷόν τε καὶ αὐξη-*

---

10 *ἡμᾶς οὐδὲν*] *ἡμᾶς ἔχει τὸ εἶναι, οὐδὲν* Simplic. fol. 119 b. 12 *ἄλλος*] fort. *ὅλως*, vel *τὸν ἄλλον*. Simplicius *ὁ τὸν ἄπειρον τόπον ἀναιρῶν καὶ ὅλως τόπον*, 16 *μαθήματα* V 17 *ὄντα*] *ὄντα γὰρ* V 24 *καὶ ποιοῦσι*] *καὶ* om A 28 *τὴν*] fort. *ἣν*

θῆναι. τὸ μὲν οὖν ἄπειρον οὕτως ἐστίν, ἀνάγεται δὲ ἐκ τῶν διῃρημένων αἰτίων εἰς τὴν ὕλην ὡς προειρήκαμεν· αὕτη γὰρ τὸ ἄπειρον, εἰ μόνον λαμβάνοιτο καθ' αὑτήν. ἐν στερήσει γάρ, καὶ ἡ ἀπειρία δὲ στέρησις. οὐ μέντοι γε εἰ τὸ ἄπειρον στέρησίς τε καὶ περὶ τὴν ὕλην, ἡ ὕλη μόνη καθ' αὑτὴν ὑπόκειται τῇ εἰς ἄπειρα διαιρέσει, ἀλλὰ τοῦτο ἤδη τὸ συνεχὲς σῶμα καὶ αἰσθητόν· δεῖ γὰρ ἐνεργείᾳ τὸ διαιρεθησόμενον εἶναι. πῶς οὖν λέγεται περὶ τὴν ὕλην τὸ ἄπειρον ἐν τῇ διαιρέσει; ὅτι τοῦ συνθέτου σώματος εἰς ἄπειρα τεμνομένου, ἐπειδὴ μὴ κατὰ τὸ εἶδος ἡ τομὴ γίνεται· μένει γὰρ ἐκεῖνο ταὐτόν, ἀνάγκη κατὰ τὴν ὕλην γίνεσθαι τὴν διαίρεσιν. φαίνονται δὲ καὶ οἱ ἄλλοι πάντες ὡς ὕλῃ χρησάμενοι τῷ ἀπείρῳ. πῶς δὲ οὕτω χρώμενοι περιέχειν αὐτό, οὐ περιέχεσθαι λέγουσιν, τοῦτο οὐκ ἀκολουθεῖ.

8

Λοιπὸν δὲ ἐπελθεῖν καὶ τοὺς λόγους, καθ' οὓς fol. 36. τὸ ἄπειρον εἶναι δοκεῖ οὐ μόνον δυνάμει, ἀλλ' ὡς ἀφωρισμένον καὶ ἐνεργείᾳ. οἱ μὲν γὰρ αὐτῶν εἰσιν οὐκ ἀναγκαῖοι, οἱ δὲ ἔχουσιν ἀληθεῖς ἀπαντήσεις. ὁ μὲν γὰρ ἵνα μὴ ἐκλίπῃ ἡ γένεσις, ἀξιῶν τὸ ἄπειρον εἶναι οὐκ ἀναγκαίαν τὴν ἀκολουθίαν λαμβάνει· ἐνδέχεται γὰρ τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν εἶναι τοῦ παντὸς ὄντος πεπερασμένου· ὁ δὲ τὸ πεπερασμένον πρός τι περαίνειν οἰόμενος πιθανὸς μέν, ὅρα δὲ ὅπως ἐλέγχεται σοφιζόμενος· οὐ γάρ φημι τὸ πεπερασμένον ἐξ ἀνάγκης πρός τι περαίνειν· τὸ γὰρ πρός τι περαίνειν ταὐτὸν τῷ ἅπτεσθαί τινος ἁπτομένου,

---

8 ἐνεργείᾳ] ἐνεργείᾳ διεστὼς Simplicius 9 περὶ] παρὰ A. vid. Simplic. 10 ὅτι] ἢ ὅτι Simplicius

*ἄλλο δὲ τὸ πεπεράνθαι, καὶ ἄλλο τὸ ἅπτεσθαι· τὸ μὲν γὰρ ἅπτεσθαι πρὸς ἕτερον ἔξωθεν λέγεται, τὸ δὲ πεπεράνθαι πρὸς ἑαυτό· ἁφὴ μὲν γὰρ ἐν τῷ ἄλλου θιγγάνειν, πέρας δὲ ἐν τῷ αὐτὸ ἔσχατον ἔχειν. δύναται μὲν οὖν τινα πεπερασμένα καὶ πρός τι περαίνειν καὶ ἅπτεσθαί τινος, ἀλλ' οὐ ταὐτὸν αὐτοῖς τὸ ἅπτεσθαι τῷ πεπεράνθαι· συμβέβηκε γάρ τισιν τῶν πεπερασμένων, ἃ οὐχ ὅλα μόνον ἐστίν, ἀλλὰ καὶ μόρια τοῦ παντός, οὐ καθὸ πέρας ἔχει, ἀλλὰ καθὸ μέρη τοῦ ἀληθινοῦ ὅλου ἐστίν. εἰ δέ τι μόνον ὅλον ἐστὶ καὶ ἀκριβῶς ἅπαν τοῦτο, διὰ τί πρός τι ἕτερον περαίνει; ἔπειτα καὶ πεπεράνθαι μὲν πρὸς ἅπαντά ἐστιν, ἅπτεσθαι δὲ οὐ πρὸς ἅπαντα, οἷον ἡ πηχυαία γραμμὴ πεπέρανται μὲν πρὸς ἅπαντα τὰ ἄλλα θεωρουμένη· ἤδη γάρ ἐστιν ἡ τὰ σημεῖα πέρατα ἔχουσα, ἅπτεται δὲ οὐκέτι πρὸς ἅπαντα, ἀλλὰ δεῖ γραμμῆς αὐτῆς ἅπτεσθαι μόνης. ἕκαστον γὰρ πεπέρανται μὲν πρὸς τὸ τυχόν, ἅπτεται δὲ οὐ τοῦ τυχόντος· μὴ ἁπτέσθω δὴ γραμμῆς. οὐκοῦν εἰ πεπέρανται μὲν οὐχ ἅπτεται δέ, οὐ ταὐτόν ἐστι τὸ πεπεράνθαι τῷ πρός τι περαίνειν, καὶ ὁ ἀριθμὸς οἷον ἡ δεκὰς πεπέρανται μέν, τίνος δὲ ἅπτεται; καὶ ἡ φωνὴ ἡ τοσήδε πεπέρανται μὲν ὑπὸ τῆς σιγῆς, οὐχ ἅπτεται δὲ τῆς σιγῆς. τοῖς δὲ τὸ κενὸν περὶ τὸν οὐρανὸν ὑποτιθεμένοις πεπέρανται μὲν ὁ οὐρανός, οὐ θιγγάνει δὲ τοῦ κενοῦ·*

---

3 *γὰρ* om V  11 *περαίνει*] vide an propter *ὁμοιοτέλευτον* in Themistio exciderint quae in Simplicio fol. 120 sequuntur. *ἀλλ' ἐοίκασιν οἱ ταῦτα λέγοντες ἀπὸ τῶν ἁπτομένων ἠπατῆσθαι, τὸ ἅπτεσθαι καὶ πεπεράνθαι ταὐτὸν οἰόμενοι. εἰ δέ τις λέγοι καὶ τὸ πέρας πρός τι εἶναι· τὸ γὰρ πέρας τινός ἐστι πέρας, ἀλλ' οὐ πρὸς ἄλλο ἐστίν, ἀλλὰ πρὸς αὐτό. τοῦ γὰρ πεπερασμένου πέρας ἐστίν, ἀλλ' οὐκ ἐκείνου πρὸς ὃ περαίνει.* 14 *πεπέραται* V  17 *πεπέρασται* V  19 *δὴ*] *δὲ* A  *πεπέρασται* V et v. 21 A V  22 *καὶ* om A  24 *πεπέραται* V

σῶμα γὰρ σώματος ἅπτεται. καὶ ταῖς Ἐπικούρου δὲ ἀτόμοις ἐν τῷ κενῷ φερομέναις πεπεράνθαι μὲν ὑπάρχει, πρός τι δὲ περαίνειν οὐκέτι ἐπ' αὐτῶν τοῦτο ἢ τὸ ἅπτεσθαι. καίτοι τὸν λόγον τοῦτον ἠγάπησεν οὕτως Ἐπίκουρος, ὥστε παλαιότερον ὄντα εἰσποιήσασθαι καὶ ὑποβάλλεσθαι μικραῖς τισὶ καὶ φαύλαις προσθήκαις, καθάπερ οἱ τὰ φώρια μετασχηματίζοντες ὑπὲρ τοῦ λανθάνειν. εἶεν. ἀλλ' ἐπειδὴ καὶ τὸ πρός τι περαίνειν ἐπ' ἐκείνων ἐστίν, ὧν ἀεί τι λαβεῖν ἐστιν ἔξω, οὗ δ' ἦν λαβεῖν ἔξω, τοῦτο ἄπειρον ἡμῖν διωμολόγηται, εἰ τοῖς πεπερασμένοις ὑπάρχει τὸ πρός τι περαίνειν, ὑπάρχοι ἂν τοῖς πεπερασμένοις ἀπείροις εἶναι. ἢ τοίνυν δεικτέον αὐτοῖς, ὅτι τὸ πρός τι περαίνειν οὐ ταὐτόν ἐστιν τῷ ἀεί τι ἔξωθεν ἔχειν, ἢ οὐ καλῶς ἄπειρον εἴρηται, ἢ μέχρι περ ἂν ταῦτα μένῃ, οὐ κατηγορητέον αὐτοῖς τοῦ πεπερασμένου τὸ πρός τι περαίνειν, εἰ μὴ καὶ τὸ ἄπειρον ἐξ ἀρχῆς τοῦ πεπερασμένου κατηγορήσουσιν. παράβαλε δὴ καὶ τὸν ἡμέτερον λόγον, εἰ ἄρα ἔχει τὴν αὐτὴν ἰσχὺν ἐν τοῖς λήμμασιν. ἄπειρον μὲν γὰρ λέγομεν οὗ ἀεί τί ἐστιν ἔξω λαβεῖν, πᾶν δὲ καὶ ὅλον οὗ μηδέν ἐστιν ἔξω λαβεῖν, καὶ οὕτως ἡμῖν συμβαίνει τὸ πᾶν μὴ ἄπειρον εἶναι. τὴν μὲν οὖν ἑτέραν πρότασιν καὶ αὐτοὶ συγχωροῦσιν, ὅτι τοῦ παντὸς οὐδέν ἐστιν ἔξω· καὶ γὰρ ἐναργέστατον καὶ ἀναγκαῖον, τὴν ἑτέραν δὲ ἡμεῖς ἀπεδείξαμεν ἀληθῆ. πρὸς μὲν οὖν τοῦτον τὸν λόγον ἱκανὰ τὰ εἰρημένα, τὸν δὲ ἐκ τῆς διανοήσεως θεασώμεθα, εἰ ἄρα ἔχει τινὰ διανόησιν. ἀεί τί φησιν ἐκτὸς νοοῦμεν μετὰ

---

2 πεπερᾶσθαι V 18 πεπερασμένου] ἀπείρου V 19 παράβαλλε δὲ A 21 γὰρ om V 29 νοοῦμεν] νοῦ V

τοῦ λαμβανομένου μεγέθους, καὶ ἡ νόησις οὐκ ἐπιλείπει προσεπιλαμβάνουσά τι καὶ προστιθεῖσα τῷ νοηθέντι. οὐδὲ γὰρ εἰ καὶ πάνυ βούλοιτό τις, ἀπαλλάξειεν ἂν τὴν διάνοιαν τοῦ προσωτέρω προϊέναι καὶ προσεπισωρεύειν ἄλλοις. ἀλλὰ τίς ἀνάγκη, πρὸς Διός, εἰ νοοῦμεν ὑπεροχήν τινα ἐπ' ἄπειρον τοῦ μεγέθους φανταζόμενοι, εἶναί τινα τοιαύτην καὶ ἐν τοῖς πράγμασιν; οὐ γὰρ τὰ πράγματα ἀληθῆ, ὡς ἔχει τὰ διανοήματα. νοῶ οὖν σε ἔξω τοῦ ἄστεως· νοῶ σε πολλαπλασίονα τοῦ ὄρους. ἆρ' οὖν ἔξω τοῦ ἄστεως εἶ; καὶ εἶ ἄρα καθ' Ὅμηρον ἴσος ὄρεος κορυφῇ; χάριεν μέντ' ἂν ἦν ἐφ' ἡμῖν εἶναι τὸ ποιεῖν ἀληθές, ὅ τι περ ἂν βουλοίμεθα· ἐξήρκει γὰρ ὑπολαμβάνειν μόνον, ὅτι κρείττους ἐσμὲν τοῦ Διός. ἀλλ' οὐ πάντα οἷα νοεῖται, καὶ ἔστιν, ἀλλ' οἷα ἔστιν, ὀλίγα νοεῖται· ὁ χρόνος δὲ καὶ ἡ κίνησις οὐκ ἀναγκασθήσονται ἀρχὴν ἔχειν ἢ τελευτήν· ἔστι γὰρ ἐν τούτοις τὸ ἄπειρον, οὐ μὴν ἀθρόον καὶ πᾶν ἅμα, οὐδὲ ἐνεργείᾳ· οὐδὲ γὰρ ὑπομένει τι ὅλως, ἀλλὰ τῷ γίνεσθαι καὶ ἀπὸ μέρους. οὕτω δὲ καὶ ἡ τῶν συνεχῶν τομὴ τὸ ἄπειρον ἔχει. εἰ δὲ σφόδρα ἡ κίνησις φιλονεικοίη, συγχωρήσομεν αὐτῇ τὸ ἄπειρον ἐπινοίᾳ μὲν εἶναι, ἐνεργείᾳ δὲ καὶ ὑποστάσει μηδαμῶς. οὐδὲ γὰρ αὐτὴ δύναται ἀθρόον αὐτὸ νοῆσαι· προσθείη γὰρ ἂν αὐτῷ πέρας, ἀλλὰ πρόεισιν ἀεὶ πεπερασμένον τι προσθεῖσα, μέχρι οὗπερ ἂν ἀποκνήσασα ἀπαυδήσῃ.

---

1 ἐκλείπει V 5 ἄλλοις. ἀλλὰ] ἄλλοις ἄλλα. καὶ A, ἄλληλα V, fort. et ἄλλοις delendum 8 ἀληθῆ] fort. ἀληθείᾳ ἔστιν, 11 ἄρα om A Ὅμηρον] Odyss. X, 113. 13 scrib. βουλώμεθα 23 αὐτὴ] αὐτὸ V qui sequens αὐτὸ om.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

fol. 36b.

# ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

*Ὁμοίως δ' ἀνάγκη καὶ περὶ τόπου τὸν φυσικὸν ἐπισκέψασθαι κατὰ τὴν αὐτὴν ἀκολουθίαν, πρῶτον μὲν εἰ ἔστιν, ἔπειτα πῶς ἐστιν, πότερον οὐσία καὶ καθ' αὑτό, ἢ ἐν ἄλλῳ τὸ εἶναι ἔχει, καὶ ὅλως τί ἐστιν ὁ τόπος. ὅτι γὰρ ὁ περὶ τόπου λόγος προσήκει τῇδε τῇ θεωρίᾳ, δηλοῖ καὶ ἡ παλαιὰ δόξα· τὰ γὰρ ὄντα ὑπολαμβάνουσί που εἶναι, νοεῖ δὲ τὴν ὑπόληψιν ταύτην λόγος οὐχ ὑγιής· ἐπεὶ γὰρ τὸ μὴ ὂν οὐδαμοῦ· τραγέλαφος γὰρ οὐδαμοῦ καὶ σφὶγξ οὐδαμοῦ, καὶ οἴονται ἀκολουθεῖν τὰ ὄντα πού εἶναι διὰ τὴν ἄγνοιαν τῆς ἀντιστροφῆς. ἀλλ' εἰ καὶ τῇ καθόλου θέσει ἁμαρτάνουσιν, ἐκεῖνό γε ἴσως ἀληθές, ὅτι τὰ φυσικὰ σώματα ἐν τόπῳ γῆ πῦρ ὕδωρ ἀὴρ καὶ τὰ ἐκ τούτων, ὥστε τῷ φυσικῷ ῥητέον καὶ περὶ ταύτης τῆς φύσεως, καὶ ὅλως εἰ κινήσεώς ἐστι θεωρητικός, κινήσεως δὲ ἡ πρώτη τε καὶ κοινοτάτη πᾶσι τοῖς σώμασι τοῖς φυσικοῖς ἡ κατὰ τόπον, οὐδὲ κατὰ τοῦτο ἂν ἀμελήσειε τοῦ σκέμματος. ἔστι μὲν οὖν χαλεπὸς ὁ*

---

1 *Θεμιστίου παραφράσεως τὸ τέταρτον* V    19 *τε* om A

*λόγος· εἰ γάρ τις θεωρήσειε τὰ καθ' αὑτὸ προσόντα τῷ τόπῳ, οὐκ ἂν ἐξ ἁπάντων ἔχοι τὸν αὐτὸν ὁρισμὸν ἀποδοῦναι, ὡς ἔσται δῆλον μικρὸν ὕστερον, ἀλλ' οὐδὲ ἔχομεν κοινωνόν τινα εἰς τὴν ζήτησιν τῶν προλαβόντων· οὐ γὰρ ὅπως ηὐπόρησέ τις εἰς τὸ ἀληθὲς περὶ τοῦ τόπου, ἀλλ' οὐδὲ ἠπόρησεν ἱκανῶς, ὅμως δὲ ὅπως ἂν ᾖ δυνατόν, οὐκ ἀποκνητέον.*

*Εἶναι μὲν οὖν ὅλως τὸν τόπον ἐκ τῶνδε ἄν τις ὑπολάβοι. ἀντιμεθίσταται ἀλλήλοις τὰ σώματα, καὶ ὅπου πρότερον ὕδωρ ἦν, ἐκρυέντος τοῦ ὕδατος ἀὴρ ἔνεστι νῦν, καθάπερ ἐν τοῖς ἀγγείοις, καὶ μένει μὲν ὁ αὐτὸς τόπος, δέχεται δὲ ἕτερα καὶ ἕτερα τῶν σωμάτων. ἐκ δὲ τούτων δύο ἅμα ἄν τις πιστεύσειε τό τε εἶναι τὸν τόπον καὶ ἕτερον ἐκείνων εἶναι ἃ δέχεται· ἔτι φέρεται ἕκαστον τῶν σωμάτων εἰς τὸν ἑαυτοῦ τόπον μὴ κωλυόμενον, πῦρ μὲν ἄνω, κάτω δὲ γῆ. τοῦτο τοίνυν ἐπιδείκνυσιν οὐ μόνον ὅτι ἔστι τι ὁ τόπος, ἀλλ' ὅτι καὶ ἔχει τινὰς διαφορὰς οἰκείας καὶ οἷον δυνάμεις, τὸ ἄνω καὶ κάτω καὶ τὰς λοιπὰς διαστάσεις, ἐφ' ἃς κινεῖται τὰ σώματα. μὴ γὰρ δή τις ὑπολάβῃ τῇ πρὸς ἡμᾶς σχέσει μόνον τὸ ἄνω καὶ κάτω, καὶ ἔμπροσθεν καὶ ὄπισθεν εἶναι, καὶ δεξιὸν καὶ ἀριστερόν, ἀλλ' ἴστω πολλῷ πρότερον ὅτι καὶ τῇ φύσει ταῦτα διώρισται, ἡ διαφορὰ δὲ οὐκ ἄδηλος. πρὸς ἡμᾶς μὲν γὰρ ταὐτὸν πολλάκις τὸ ἄνω καὶ κάτω, οἷον ὁ κέραμος τῆς οἰκίας νῦν μὲν ἄνω, ἀνελθοῦσι δὲ ἐπὶ τὸ στέγος γίνεται κάτω, καὶ ὁ στύλος νῦν μὲν δεξιός, μεταστάντι δὲ εὐώνυμος· τὸ δὲ τῇ φύσει κάτω καὶ ἄνω ταῖς τῶν φυσικῶν σωμάτων κι-*

---

1 fort. *αὐτὰ* 7 *ᾖ*] *ἦν* libri 9 *ὑπολάβοι*] *ὑπολάβοιεν* libri 21 *ὑπολάβῃ*] *ὑπολάβοι* libri 28 malim *μεταστᾶσι*, aut supra *ἀνελθόντι*

νήσεσιν διακέκριται, ἄνω μὲν ἐφ' ὃ κινεῖται τὸ πῦρ καὶ τὸ κοῦφον, κάτω δὲ ἐφ' ᾧ τὰ βαρέα καὶ γεηρά, καὶ ταῦτα οὐ μόνον τῇ θέσει πρὸς ἄλληλα πάμπολυ διέστησεν ἡ φύσις, ἀλλὰ καὶ τῇ δυνάμει· δεκτικὰ γάρ ἐστι τῶν μήκιστον διαφερόντων. μάλιστα δὲ δῆλον γίνεται, ὅτι μὴ ταὐτὸν τό τε πρὸς ἡμᾶς ἄνω καὶ κάτω καὶ τὰ τῇ φύσει διωρισμένα ὡς ἐπὶ τῶν μαθηματικῶν θεωρημάτων· ταῦτα γὰρ καθ' αὑτὰ μὲν οὔτε ἔχει τόπον, οὔτε κινεῖταί που· οὐδὲ γάρ ἐστιν ὅλως καθ' ἑαυτά, τῇ δὲ πρὸς ἡμᾶς σχέσει δεξιὰ καὶ ἀριστερὰ δύναται καὶ νοεῖσθαι καὶ γράφεσθαι, ἀλλ' οὐχ ὥστε ἔχειν φύσει τούτων ἕκαστον, ἀλλὰ τῇ παρ' ἡμῶν ἐπινοίᾳ· ὡς γὰρ νοοῦμεν αὐτά, οὕτως καὶ τόπον αὐτοῖς συμφανταζόμεθα μὴ ὑπάρχοντος αὐτοῖς κατὰ φύσιν τόπου. καὶ οἱ τὸ κενὸν δὲ εἰσάγοντες ὡς τόπον αὐτὸ εἰσάγοιεν ἄν· τὸ γὰρ κενὸν νοοῦμεν εἴγε ἐστὶν οὐδὲν ἄλλο ἢ τόπος σώματος ἐστερημένος. ἱκανὰ μὲν οὖν καὶ ταῦτα δεῖξαι, ὅτι ἔστιν τι ὁ τόπος, οὐκ ἀτιμαστέον δὲ οὐδὲ τὸ ποιητικὸν φῦλον, οὐδὲ Ἡσίοδον ὃς καὶ πρῶτον ἁπάντων τὸν τόπον ποιεῖ· τὸ γὰρ χάος τοῦτο βούλεται αὐτῷ σημαίνειν ὡς δέον πρῶτον χώραν τινὰ ὑπάρξαι τοῖς οὖσιν· καὶ γὰρ οὗτος ἦν ὡς ἔοικεν τῶν οἰομένων πάντα τὰ ὄντα εἶναί που. εἰ δὲ Ἡσίοδος ὀρθῶς λέγει, θαυμαστή τις ἡ τοῦ τόπου φύσις ἀναφαίνεται· πρώτη γάρ ἐστιν ἁπάντων τῶν ὄντων, εἴγε ἅπασιν προϋποβέβληται· καὶ τῶν μὲν ἄλλων οὐδέν ἐστιν ἄνευ τόπου, τὸ χάος δὲ καὶ ἄνευ τῶν ἄλλων· προϋπῆρξε γὰρ τῶν ἄλλων τῷ χρόνῳ. ἀλλὰ καὶ τῇ φύσει πρῶτος ὁ τόπος· συναναιρεῖ μὲν γάρ, οὐ συναναιρεῖται δέ· οὐ γὰρ ἀπόλ- fol. 37.

2 ἐφ' ᾧ] scrib. ἐφ' ὃ    20 Ἡσίοδον] Theogon. v. 116.

λυται τῶν ἐν αὐτῷ φθειρομένων· οὐ γὰρ εἰ τὸ πῦρ φθαρείη, συναπόλλυται καὶ ὁ τόπος, φθειρομένου δὲ τοῦ τόπου, συμφθείρεται καὶ τὰ ὄντα, εἰ τὸ μηδαμοῦ εἶναι ταὐτὸν τῷ μὴ εἶναι.

Ἀλλ' ὅρα, μὴ περαιτέρω τοῦ δέοντος τὸν τόπον ἀποσεμνύνομεν· σκέψαι γὰρ καὶ τοὺς ἐναντίους λόγους οἵ πρὸς τῷ μηδὲν αὐτῷ προστιθέναι καὶ καθάπαξ αὐτὸν ἀναιροῦσιν. εἰ γὰρ ἐπιχειρήσεις φησὶ τί ἐστιν ὁ τόπος ἀποδιδόναι, εἰς τὸ μὴ εἶναι αὐτὸν ὁμολογεῖν περιαχθήσῃ· πρῶτον γὰρ εἴς τι γένος ἀνάξεις τὸν τόπον, καὶ δῆλον ὅτι εἰς σῶμα· καὶ γὰρ ὁ τόπος ἐπὶ τρία διέστηκεν. ἀλλ' οὕτω τὸ πάντων ἀτοπώτατον ἀπαντήσεται· σῶμα γὰρ διὰ σώματος χωρήσει δι' ὅλου, καὶ δύο σώματα τὸν αὐτὸν ἐφέξει τόπον· εἰ γὰρ καὶ ὁ τόπος σῶμα, καὶ τὸ γενόμενον ἐν αὐτῷ σῶμα, καὶ ἴσα τοῖς διαστήμασιν ἄμφω, τὸ σῶμα ἔσται ἐν ἴσῳ ἑτέρῳ σώματι. τοῦτο δὲ Χρυσίππῳ μὲν καὶ τοῖς ἀπὸ Ζήνωνος δόγμασίν ἐστιν, οἱ παλαιοὶ δὲ ἀπάγουσιν ὡς εἰς ἀδύνατον ἐναργῶς, καὶ πολλοὶ παρίστανται τῷδε τῷ λόγῳ γενικῶς ὅ τε Ἀφροδισιεὺς Ἀλέξανδρος ἐν τῷ περὶ κράσεων γράμματι καὶ τοῖς ὑπομνήμασιν τοῖς φυσικοῖς, καὶ ἄλλοι τινὲς οἷς οὐ χαλεπὸν ἐντυχεῖν. εἰ δὲ σῶμα οὐκ ἔστιν ὁ τόπος, σχολῇ γ' ἂν ἕτερόν τι φανείη δυνάμενον εἶναι· τὸ γὰρ εἰς τρία διιστάναι τοῦ σώματός ἐστιν μόνου. ἀλλὰ δέχεται ὕδωρ ἐξ ἀέρος· τοῦτο γὰρ ὑπολαμβάνομεν τὴν ὕπαρξιν δεικνύναι τοῦ τόπου. ὅρα δὲ ὡς οὐ διαφεύγει καὶ τοῦτο δυσχερεῖς τινὰς ἀτοπίας· ὅταν γὰρ ὕδωρ ὁ τόπος δέχηται ἐν ᾧ πρότερον ἀὴρ

---

4 ταὐτὸν τῷ] ταὐτὸν τὸ libri 15 εἰ γὰρ] καὶ γὰρ V 25 fort. διεστάναι

ἦν, δῆλον ὡς καὶ τὴν ἐπιφάνειαν δέχεται τὴν τοῦ ὕδατος, ὥσπερ πρότερόν γε τὴν τοῦ ἀέρος· εἰ δὲ τὴν ἐπιφάνειαν δέχεται, δέξεται καὶ τὰς γραμμάς, δέξεται καὶ τὰ σημεῖα. ἔσται τοίνυν τις καὶ σημείου τόπος ὥσπερ καὶ σώματος, ἀλλὰ ἀδύνατον. τί γὰρ διοίσει τῆς στιγμῆς ὁ τόπος τῆς στιγμῆς; οὐδὲ τῆς γραμμῆς οὐδὲ τῆς ἐπιφανείας· τί γάρ ἐστιν ὁ τόπος τῆς ἐπιφανείας παρ' αὐτὴν τὴν ἐπιφάνειαν; μείζων μὲν γὰρ αὐτῆς οὐκ ἔστιν· ᾧ γὰρ περιττεύει μέρει, τοῦτο μηδὲν αὐτῆς περιέχον, ὁ δὲ τόπος ἐστὶ κατὰ τοῦτο, ἴσως δὲ ὢν αὐτὸ τοῦτό ἐστιν ἐπιφάνεια. εἰ δὲ τόπος μὲν τῆς γραμμῆς οὐ διοίσει γραμμῆς, καὶ δεχόμενος ἐπιφάνειαν οὐχ ἕτερος ἔσται παρὰ τὴν ἐπιφάνειαν, καὶ περιέχον σημεῖον καὶ αὐτὸ σημεῖόν ἐστιν, καὶ ὅταν σώματος γένηται χώρα, σῶμα γενήσεται. ὅλως δὲ τῶν ὄντων ἕκαστον ἢ στοιχεῖόν ἐστιν ἢ ἐκ στοιχείων συνέστηκεν, εἴτε σῶμά τις εἴτε ἀσώματον λέγοι· ἔστι δὲ τῶν μὲν σωμάτων σώματα καὶ τὰ στοιχεῖα, τῶν δὲ ἀσωμάτων ἀσώματα, ἐν οὐδενὶ δὲ τούτων ὁ τόπος οὐδὲ ἐν τοῖς νοητοῖς· μέγεθος γὰρ ἔχει, οὐδὲ ἐν σώματι· σώματα μὲν γὰρ ὡς προειρήκαμεν δέχεται. τὸ δὲ κἂν πρῶτον λέγειν τὸν τόπον καὶ ὡς ἀρχὴν πορρωτέρω σφαλλομένων ἐστίν· πῶς γὰρ ἔσται ἀρχή; πότερον ὡς ὕλη; τί οὖν ἐξ αὐτῆς συνέστηκεν; ἀλλ' ὡς εἶδος; ἀλλ' ὡς τὸ κινοῦν; ἀλλ' ὡς οὗ ἕνεκεν; ἀλλὰ πῶς; ἔχοι δ' ἄν τινα λόγον καὶ ἡ Ζήνωνος ἀπορία, ὡς εἰ εἴη τῶν ὄντων ὁ τόπος, καὶ αὐτὸς ἂν ἐν τόπῳ εἴη, καὶ ὁ τούτου τοῦ τόπου τόπος, καὶ τοῦτο εἰς ἄπειρον. εἰ δὲ τὸ κενόν τις ἀναιροίη παντάπασιν, ὥσπερ οὖν ἔχει καὶ τἀληθές,

19 τὰ om A 20 malim οὔτε — οὔτε 24 αὐτῆς] αὐτῷ A

*δῆλον, ὡς εἰ τόπος ἐστὶν οὐκ ἂν εἴη ποτὲ κενὸς σώματος, ἀλλὰ πᾶς ἐμπέπλησται τόπος· εἰ δὲ τοῦτο ἀληθές, περὶ τῶν αὐξανομένων τί λέξωμεν; ᾧ γὰρ μείζω γίνεται σώματι, τούτῳ πόθεν ὑπάρξει τόπος; πάντα γὰρ ἤδη κατέχεται. ἀνάγκη δὴ μείζω γίγνεσθαι τὸν τόπον καὶ συνογκοῦσθαι τῷ σώματι. πῶς οὖν ἢ πόθεν αὔξεται τόπος; χαλεπὸν γάρ ἐστιν ἀποδοῦναι τί ἐστιν. καλῶς οὖν ὡς ἔοικεν εἴρηται, ὁ πειραθεὶς ἀποδοῦναι τί ἐστιν ὁ τόπος, ὁμολογεῖν αὐτὸν μὴ εἶναι ἀναγκασθήσεται.*

2 *Πάλιν οὖν ἄλλην ἀρχὴν ποιησάμενοι λέγομεν, ὅτι τόπος ὁ μέν τις πρῶτος λέγεται, ὁ δὲ κατ' ἄλλο· κατ' ἄλλο μὲν ὁ κοινὸς πλειόνων σωμάτων, πρῶτος δὲ ὁ ἑκάστου ἴδιος μόνου. κατ' ἄλλο μὲν καὶ τὴν οἰκίαν ὅλην σοῦ τόπον εἴποιμι ἂν καὶ τὴν πόλιν, μᾶλλον δὲ καὶ τὴν γῆν ἢ καὶ τὸν ἀέρα καὶ τὸν οὐρανόν. ἀλλὰ τίς ἐστιν ὁ πρῶτός σου τόπος; ὃς περιέχει οὐδὲν πλέον ἢ σέ· διὰ γὰρ τοῦτον καὶ τὰ ἐφεξῆς ἀληθεύσεται. εἰ γὰρ ἐν τῇ οἰκίᾳ, ὅτι ἐν τῷδε αὐτῆς τῷ τόπῳ ὅς σοι ἐφαρμόζει, καὶ εἰ ἐν τῇ πόλει, ὅτι ἐν τῇ οἰκίᾳ, καὶ εἰ ἐν τῇ γῇ, ὅτι ἐν τῇ πόλει· ἀλλ' εἴπερ ὁ κυρίως τόπος ἐστὶ τὸ πρῶτον περιέχον ἕκαστον τῶν σωμάτων, πέρας τι ἂν εἴη ὁ τόπος· εἰς τοῦτο γὰρ περατοῦται τὰ σώματα καὶ εἰς πρῶτόν γε τοῦτο· οὐ γὰρ δὴ εἰς ἄλλο τι πρὸ αὐτοῦ, καὶ προσεχῶς γε εἰς τοῦτο· οὐδὲν γὰρ μεταξύ. εἰ δὲ ὁ τόπος καὶ πέρας καὶ πρῶτον καὶ προσεχές, τὸ εἶδος ἀναφαίνεται ἑκάστου καὶ τόπος ἑκάστου· ἐκεῖνο γὰρ τὸ*

---

3 *λέξομεν* Victorius 8 *τί ἐστιν* om V 9 *πειρασθεὶς* libri, malim *ὅτι ὁ πειραθεὶς* 25 *δὴ* Victorius, *δεῖ* libri

πρώτως περατοῦν καὶ ὁρίζον ἕκαστον τῶν σωμάτων καὶ τὴν ὑποκειμένην ὕλην τοῖς μεγέθεσιν. οὕτω μὲν οὖν σκοποῦσιν τὸ εἶδος ἂν τόπος δόξειεν εἶναι. εἰ δὲ ἄλλο τι τῶν περὶ τὸν τόπον ὑπαρχόντων νοήσαιμεν, μᾶλλον ἂν ἡ ὕλη φανείη προσήκειν τῷ τόπῳ. δοκεῖ μὲν γὰρ εἶναι ὁ τόπος διάστημα τοῦ μεγέθους καὶ τοῦ σώματος, τοιοῦτον δέ τι καὶ ἡ ὕλη φαντάζεται· ὁρισθεῖσα μὲν γὰρ ὑπὸ τοῦ εἴδους καὶ περισχεθεῖσα ἐπιπέδοις καὶ πέρασιν μέγεθος γίνεται καὶ σῶμα, καθ' ἑαυτὴν δὲ διάστημα μέν ἐστιν, διάστημα δὲ ἀόριστον· ὅταν γὰρ ἀφαιρεθῇ τῆς σφαίρας τὸ πέρας καὶ τὰ συμβεβηκότα, λείπεται οὐδὲν παρὰ τὴν ὕλην καὶ τὸ διάστημα· οὐ γὰρ ἐν τῷ πέρατι τὸ διάστημα, ἀλλὰ ὁρίζεται μὲν ὑπὸ τούτων, ἔστι δὲ οὐκ ἐν τούτοις ἀλλ' ἐν τῷ ὑποκειμένῳ. ἔστι μὲν οὖν καὶ διὰ τοῦτο προσοικειοῦν τῇ ὕλῃ τὸν τόπον, μᾶλλον δὲ ὅτι δέχεται πλείους μορφάς τε καὶ εἴδη τὰ ἐν τοῖς σώμασιν ὁ αὐτὸς μένων. ἀπὸ γὰρ ταύτης τῆς ὁμοιότητος καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτόν φησιν εἶναι ἐν τῷ Τιμαίῳ· τὸ γὰρ μεταλαμβάνον τῶν εἰδῶν ὅπερ ὕλη, καὶ τὴν χώραν ὅπερ ἐστὶν ὁ τόπος, ταὐτὰ fol. 87b. λέγει, καίτοι τὴν ὕλην ἄλλως μὲν ἐν Τιμαίῳ φησὶ δέχεσθαι τὰ εἴδη, ἄλλως δὲ ἐν τοῖς ἀγράφοις δόγμασιν· ἐκεῖ μὲν γὰρ κατὰ μέθεξιν, ἐν τοῖς ἀγράφοις δὲ καθ' ὁμοίωσιν. ἀλλ' ὅμως ὅπερ εἶπον δόξειεν ἂν ταὐτὸν ἀποφαίνεσθαι ὕλην καὶ τόπον· λέγουσι μὲν γὰρ ἅπαντες εἶναί τι τὸν τόπον, τί δέ ἐστιν μόνος οὗτος ἐπεχείρησεν ἀποδοῦναι· ἀλλ' ἔοικε μεταφορικῶς κεχρῆσθαι τῷ ὀνόματι· οὐδὲν γὰρ διασαφεῖ περαιτέρω. ἡ μέντοι χαλεπότης τοῦ σκέμματος καὶ

1 πρώτως] πρότερον A  20 Τιμαίῳ] p. 52.

*ἐντεῦθεν δήλη· εἴτε γὰρ εἶδος, εἴτε ὕλη μᾶλλον ὁ τόπος, χαλεπὸς ὁ περὶ αὐτοῦ λόγος· εἰς γὰρ τὰς ἀρχὰς ἄνεισιν ὧν ἡ θέα καθ' αὑτὴν ἀκροτάτη καὶ οὐ ῥᾳδία, διότι πειρώμεθα χωρίζοντες γινώσκειν ἃ γνῶναι χωρὶς ἀλλήλων οὐχ οἷόν τε.*

*Ἀλλὰ μὴν ὅτι ἀδύνατον ὁποτερονοῦν εἶναι τούτων τόπον οὐ χαλεπὸν ἰδεῖν· ταῦτα μὲν γὰρ ἀχώριστα τοῦ πράγματος, ὁ τόπος δὲ οὔ· ἐν ᾧ γὰρ ἦν ἀήρ, ἐν τούτῳ πάλιν γίνεται ὕδωρ ἀντιμεθισταμένων ἀλλήλοις τῶν σωμάτων ὡς ἔφαμεν· οὐδὲ γὰρ ὅλως τι τοῦ σώματος οὐ μέρος οὐ πάθος οὐχ ἕξις οὐ δύναμις· οὐδὲν γὰρ τούτων χωρίζεται, ὁ τόπος δὲ χωριστὸς ἑκάστου. καὶ γὰρ δοκεῖ τοιοῦτόν τι εἶναι ὁ τόπος οἷον τὸ ἀγγεῖον· ἔστι γὰρ τὸ ἀγγεῖον τόπος μεταφορητός, τὸ δὲ ἀγγεῖον οὐδὲν τοῦ πράγματός ἐστιν. ἆρ' οὖν, εἴποι τις ἄν, οὐδὲ συμβεβηκός ἐστιν τοῦ σώματος, εἴπερ καὶ χωριστός; ἢ οὐ τοῦ σώματος συμβεβηκὸς οὗ χωρίζεται, ἀλλὰ τοῦ περιεχομένου πέρας ἐστὶν καὶ ἐπιφάνεια; ὕλη δὲ οὐκ ἂν εἴη καὶ δι' ἄλλον λόγον· ἡ μὲν γὰρ περιέχεται, ὁ δὲ περιέχει· καὶ ἔτι ὁ μὲν τόπος ἕτερος καὶ ἔξω τοῦ πράγματος, οὔτε δὲ ἡ ὕλη οὔτε τὸ εἶδος τοιαῦτα. Πλάτων δὲ εἰ σφόδρα βούλεται τὴν ὕλην ποιεῖν τὸν τόπον, ὅρα αὐτὸν καὶ τὰς ἰδέας ἐν τόπῳ λέγειν καὶ τοὺς εἰδητικοὺς ἀριθμούς· καὶ γὰρ τούτοις ὑποτίθησι τὴν ὕλην ὥσπερ ἔφην, ἢ ποτὲ μὲν τὸ μέγα καὶ τὸ μικρόν, ποτὲ δὲ τὸ μεθεκτικὸν ὀνομάζει. χωρὶς δὲ τούτων, εἰ τὰ κινούμενα κατὰ φύσιν ἐπὶ τοὺς οἰκείους φέρεται τόπους, ἐπὶ δὲ τὴν ὕλην καὶ τὸ εἶδος οὐδὲν φέρεται· σὺν αὐτῷ γὰρ καὶ ἐν ἑαυτῷ τούτων ἑκάτερον, οὐδέτερον τούτων τόπος ἔσται. ἡδέως δ' ἂν ἔγωγε μάθοιμι, πῶς ἂν ὅλως καὶ κινοῖτο τὰ σώματα*

ἔχοντά γε τὸν οἰκεῖον ἀεὶ σὺν ἑαυτοῖς τόπον, εἰ τούτων θάτερον τόπος· πῶς δὲ ἄνω καὶ κάτω διοίσει λοιπὸν ἐν τοῖς τόποις, ἢ πῶς ἐπ' αὐτὰ κίνησις ἔσται. τί γὰρ ἐν τῇ ὕλῃ τὸ ἄνω καὶ κάτω; τί δὲ ἐν τῷ εἴδει; περὶ ταῦτα δὲ ζητητέον τὸν τόπον, ἐφ' ἃ τοῖς σώμασιν ἡ κίνησις ἡ κατὰ φύσιν. εἰ δὲ ἔσται τόπος ἢ ὕλη ἢ μορφή, συγκινεῖται δὲ ταῦτα τοῖς σώμασιν καὶ συμπαραγίνεται οὗπερ τὸ πρᾶγμα, πρῶτον μὲν ἄτοπον κινεῖσθαι τοὺς τόπους, ἔπειτα πῶς οὐκ ἔσται ὁ τόπος ἐν τόπῳ; εἰ γὰρ τὸ σῶμα γίνεται ἐν τόπῳ, ὅταν ἔνθεν ἐκεῖσεν μεταβαίνῃ, δῆλον ὅτι καὶ τὸ εἶδος ἐν τόπῳ· συμμεθίσταται γάρ. ὅταν τοίνυν εἰς ἄλληλα μεταβάλλῃ τὰ σώματα καὶ γένηται ἐξ ἀέρος ὕδωρ, εἰ μὲν τὸ εἶδος ἐρεῖς τὸν τόπον, φθείρεις τὸν τόπον· φθείρεται γὰρ τὸ εἶδος ἐν ταῖς μεταβολαῖς· τίς δὲ τόπου φθορά, χαλεπὸν ἀποδοῦναι· εἰ δὲ τὴν ὕλην, διὰ τί ἐν ἄλλῳ τόπῳ γίνεται τὸ ὕδωρ, καίτοι τῆς ὕλης οὐκ ἐκστάν, οὐδὲ χωρισθὲν ἐξ αὐτῆς; αὕτη γάρ φησι μένουσα δέχεται διαφέροντα εἴδη. ταῦτα μὲν οὖν ἡμῖν προηπορήσθω.

Λέγομεν δὲ ἐφεξῆς ποσαχῶς τὸ ἔν τινι λέγεται· 3
προὔργου γὰρ ἄν τι γένοιτο πρὸς τὸν λόγον. ἕνα μὲν δὴ τρόπον ὡς ὁ δάκτυλος ἐν τῇ χειρί, καὶ ὅλως τὸ μέρος ἐν τῷ ὅλῳ. ἄλλον δὲ ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν, ὡς τὸ πρόσωπον ἐν ὀφθαλμοῖς καὶ ῥινὶ καὶ στόματι. ἄλλον δὲ ὡς τὸ εἶδος ἐν τῷ γένει, ὡς ἄνθρωπος ἐν τῷ ζώῳ. ἄλλον δὲ ὡς τὸ γένος ἐν τῷ εἴδει, ὡς τὸ ζῶον ἐν τῷ ἀνθρώπῳ· καὶ μὴ θαυμά-

24 ὅλον ἐν] ἐν om A 27 τῷ ζώῳ] articulum om A, malim ὁ ἄνθρωπος ἐν τῷ ζώῳ

σης εἰ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ λέγεται, τὸ πλεῖον ἐν τῷ ἐλάττονι· εἰ γὰρ ἐπιστήσειας ἀκριβῶς, σχεδὸν ὡς μέρος εὑρήσεις τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ· ἐν γοῦν τῷ λόγῳ αὐτοῦ περιέχεται. ἔν τινι δὲ λέγεται καὶ ὡς τὸ εἶδος ἐν τῇ ὕλῃ, ὡς τὸ βάθρον ἐν τῷ ξύλῳ καὶ ἡ ὑγεία ἐν θερμοῖς καὶ ψυχροῖς. ἕκτον ὡς ἐν βασιλεῖ τὰ τῶν Ἑλλήνων, καὶ ὅλως ἐν τῷ πρώτῳ κινητικῷ, ὥσπερ Ὅμηρος Διὸς δ' ἐν γούνασι κεῖται. ἕβδομον ὡς ἐν τῷ τέλει καὶ τἀγαθῷ, ὡς πάντα μοι κεῖται ἐν τῇ εὐδαιμονίᾳ. εἰσὶ δὲ καὶ ἄλλοι τρόποι τοῦ ἔν τινι, ἀλλὰ καὶ τῶν εἰρημένων καὶ τῶν παραλελειμμένων κυριώτατός ἐστι καθ' ὃν ἔν τινι λέγεται τὸ ὡς ἐν ἀγγείῳ καὶ ὡς ἐν τόπῳ.

Τούτων ἡμῖν διωρισμένων ζητητέον ἐφεξῆς, εἴ τι δύναται ἔν τινι εἶναι ὡς ἐν ἑαυτῷ, καὶ πότερον οὗτος ὁ τρόπος ὑφ' ἕνα πίπτει τῶν εἰρημένων, ἢ ἀδύνατον παντελῶς αὐτό τι εἶναι ἐν ἑαυτῷ. ἀλλ' εἰ τοῦτο ἀληθές, ὅτι πᾶν ἢ οὐδαμοῦ ἢ ἐν ἄλλῳ, πῶς λέγομεν τὸν ἄνθρωπον εἶναι ἐν ἑαυτῷ; γνωστέον τοίνυν ὡς οὐ πρώτως λέγομεν ἀλλὰ κατ' ἄλλο, ὅτι γὰρ ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐστὶν ἐν τῷ σώματι τοῦ ἀνθρώπου, καὶ τοῦ ὅλου τούτου τὸ μόριον ἐν ἄλλῳ μορίῳ· οὕτω γὰρ δύναται μόνως αὐτό τι εἶναι ἐν ἑαυτῷ, ἐπειδὴ τὸ μέρος ἐν τῷ μέρει ὡς καὶ αὐτοκίνητον λέγεται τὸ ζῷον, ὅτι τὸ μέν τι μόριον αὐτοῦ κινεῖ τὸ δὲ κινεῖται, ἄλλως δὲ ἀμήχανον ὡς ὅλον εἶναι ἐν ὅλῳ. ἀλλ' οὐ λέγομεν φησί τις τὴν ψυχὴν ἐν τῷ σώματι εἶναι, ἀλλὰ τὸ ζῷον ἐν ἑαυτῷ. οὗτος δὲ ἔοικεν ἀγνοεῖν τὴν ἐξουσίαν τῆς

8 Διὸς δ'] immo θεῶν ut Iliad. P, 514. 13 καὶ ὡς] καὶ ὅλως Arist. 17 ἀλλ' εἰ] ἀλλὰ V 18 πῶς] ὡς V 23 ἄλλῳ] ὅλῳ V

συνηθείας, ὅτι πολλὰ καὶ ἀπὸ πολλῶν τῶν μερῶν ὀνομάζει. ὡς οὖν λέγει Σωκράτη ὑποδεδέσθαι, οὐχ ὅτι καὶ ὅλον ὑποδέδεται τὸ σῶμα ἀλλ' ὅτι τοὺς πόδας, οὕτω καὶ τὸ ζῷον ἐν ἑαυτῷ ὅτι τὸ μέρος αὐτοῦ ἐν τῷ μέρει, ἐπεὶ καὶ τὸν ἀμφορέα τοῦ οἴνου, λέγω δὲ τὸ κεραμοῦν σκεῦος μετὰ τοῦ οἴνου, φήσαιμι ἂν (fol. 38.) εἶναι ἐν ἑαυτῷ, ὅτι ὁ οἶνός ἐστιν ἐν τῷ σκεύει, οὔτε δὲ τὸ σκεῦος χωρὶς ἐν τῷ σκεύει, οὔτε ὁ οἶνός ἐστιν ἐν τῷ οἴνῳ. οὕτως μὲν οὖν μόνως αὐτό τι ἐν ἑαυτῷ ὡς κατ' ἄλλο· ὡς γὰρ κατὰ μέρος. πολλὰ δὲ οὕτως λέγεται ἔν τινι ὡς κατ' ἄλλο· λέγεται γὰρ τὸ λευκὸν ἐν τῷ ἀνθρώπῳ ὅτι ἐν τῷ σώματι, καὶ ἐν σώματι ὅτι ἐν τῇ ἐπιφανείᾳ, ἐν ταύτῃ δὲ οὐκέτι κατ' ἄλλο, ἀλλὰ πρώτως. οὐ μὴν ἐπειδὴ πρώτως ἐν ἐπιφανείᾳ τὸ λευκόν, ταὐτόν ἐστιν ἐπιφάνειά τε καὶ λευκόν, καὶ διὰ τοῦτο δύνασθαι αὐτό τι εἶναι ἐν ἑαυτῷ· ἄλλος γὰρ λόγος ἐπιφανείας, ἄλλος λευκοῦ, καὶ ἄλλη φύσις ἐπιστήμης ἄλλη ψυχῆς. καίτοι πρώτως ἐν ψυχῇ ἐπιστήμη· καὶ γὰρ ἐν ἀνθρώπῳ, διότι ἐν ψυχῇ. ἀλλ' ὅμως εἰ καθ' ἕκαστον ἐπισκοποίης, πάντα τὰ πρώτως ἔν τινι ὄντα ἕτερα ἐκείνων τὴν φύσιν εὑρήσεις, τούτου δὲ οὕτως ἔχοντος πῶς ἔσται τι πρώτως ἐν ἑαυτῷ; ἕτερον γὰρ ἑαυτοῦ ἔσται. εἰ δὲ κατά τινα ὧν ἀπηριθμησάμεθα τρόπων, ἐστὶν ἐν ἑαυτῷ· πάντα γὰρ ἕτερα ἐν ἑτέρῳ· οὐδὲ γὰρ τὸ ὅλον, ὅταν λέγωμεν ἐν τοῖς μορίοις αὐτό, ἐν ἑαυτῷ λέγομεν εἶναι· ἄλλο γὰρ τὸ ὅλον καὶ ἄλλα τὰ μέρη· τὸ μὲν γὰρ ἓν καὶ ταὐτὸν ἑαυτῷ, τὰ δὲ πλείω καὶ διαφέροντα. ἀλλ' οὐδὲ ὁ λόγος ἐφίησιν ὃν εἰρήκαμεν,

6 κεραμειοῦν A    9 μὲν om A    16 δύνασθαι] immo δύναται    24 εἰ δὲ κατά τινα] fort. ἔτι δὲ κατὰ τίνα    25 ἐν ἑτέρῳ] τῷ ἑτέρῳ V    28 ἑαυτῷ] ἐν ἑαυτῷ V

*ὅτι διαφέρει τὸ τί ἦν εἶναι καὶ αἱ φύσεις κεχωρισμέναι τοῦ τε ἔν τινι πρώτως ὄντος καὶ ἐν ᾧ πρώτῳ ἐστίν, ὥστε εἴπερ τι γένοιτο ἐν ἑαυτῷ, τοὺς διαφέροντας λόγους ἀναδέξεται, μᾶλλον δὲ ἔσται ἅμα τὰ διαφέροντα· ἀλλὰ καθάπερ οὐκ ἐνδέχεται τὸν οἶνον οἶνόν τε ἅμα εἶναι καὶ ἀμφορέα κεραμοῦν, ἢ τὸν κεραμοῦν ἀμφορέα ἀγγεῖόν τε ἅμα καὶ οἶνον, οὕτως οὐδὲ αὐτό τι ἐν ἑαυτῷ· ἀλλ᾽ ὥσπερ εἴρηται, κατὰ τὰ μόρια τάχα ἂν ἐνδέχοιτο μόνον αὐτό τι εἶναι ἐν ἑαυτῷ, ὥσπερ εἴποι τις ἂν καὶ τὸν ἀμφορέα τοῦ οἴνου, ἵνα τὸ μέν τι δέχηται μέρος τὸν οἶνον οἷον ὁ κεραμοῦς ἀμφορεύς, οὐχ ὡς αὐτὸς οἶνος ὢν ἀλλ᾽ ἕτερον τοῦ οἴνου, τὸ δὲ ἐγγίνεται ἐν τῷ σκεύει οἷον ὁ οἶνος, οὐχ ὡς ἐν ἑαυτῷ σκεύει ὄντι ἀλλ᾽ ἐν ἑτέρῳ· ὅλως γὰρ ἕτεροι οἱ λόγοι παντελῶς τοῦ τε ἐν ᾧ καὶ τοῦ ἐν τούτῳ. ὅτι μὲν οὖν ἀδύνατον καθ᾽ αὑτό τι εἶναι ἐν ἑαυτῷ, ἐκ τούτων δῆλον· ἀλλὰ μὴν οὐδὲ κατὰ συμβεβηκός. οὐ ταὐτὸν δὲ τὸ κατὰ συμβεβηκὸς τῷ κατὰ μέρος, εἰ καὶ ἄμφω κατ᾽ ἄλλο, ἀλλὰ πάμπολυ διαφέρει. τὸ μὲν γὰρ ζῷον ὁρᾶν λέγεται κατὰ μέρος· μέρος γὰρ αὐτοῦ τὰ ὄμματα οἷς ὁρᾷ, ὁ δὲ ἱστὸς κινεῖται, ἀλλὰ κατὰ συμβεβηκὸς ἐν τῷ πλοίῳ, ἐπειδὴ τῷ πλοίῳ συμβέβηκεν ὃ κινεῖται, καὶ ἡ λευκότης κινεῖται κατὰ συμβεβηκός, ἐπειδὴ ὁ ἄνθρωπος ᾧ ὑπάρχει· δύο γὰρ οὗτοι τρόποι τοῦ κατὰ συμβεβηκός, ὅταν ἢ τὸ μόριόν τινος ταὐτόν τι λέγεται πάσχειν ὅπερ καὶ τὸ ὅλον, ἢ τὸ συμβεβηκὸς ὅπερ καὶ ᾧ συμβέβηκεν. πῶς ἂν οὖν εἴη τι κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ; δεῖ γὰρ αὐτὸ ἢ μέρος ἢ πάθος ἑαυτοῦ εἶναι ὅπερ οὐδὲ ἐπινοεῖσθαι δυνατόν. καὶ οὕτως δὲ ἂν εἴη τι κατὰ συμβεβηκὸς ἐν*

---

6 κεραμοῦν ἢ τὸν κεραμοῦν] κεραμέουν καὶ A 11 κεραμεοὺς ἀμφορεοὺς A 21 ἀλλὰ om A

ἑαυτῷ, οἷον οὕτω καὶ τὸ ἀγγεῖον ὁ ἀμφορεὺς κατὰ συμβεβηκὸς ἐν αὑτῷ, εἰ μέρος ἢ πάθος ὑποτεθείη τοῦ ὕδατος· ἐπεὶ γὰρ τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ, ἔσται καὶ τὸ ἀγγεῖον ἐν ἑαυτῷ μέρος τι ὂν ἢ πάθος τοῦ ὕδατος. ἀλλὰ καὶ τοῦτο γελοῖον· χωρὶς γὰρ τοῦ τὴν ὑπόθεσιν ἄτοπον εἶναι, καὶ δύο σώματα ἔσται ἐν τῷ αὐτῷ τόπῳ τό τε ἀγγεῖον, εἴπερ τοῦτο ἐν ἑαυτῷ, καὶ τὸ ὕδωρ, εἴπερ καὶ τοῦτο ἐν τῷ ἀγγείῳ. τούτων μὲν οὖν ἅλις. ἐκ δὲ τῶν προειρημένων τρόπων τοῦ ἔν τινι καὶ τὴν Ζήνωνος ἀπορίαν λύειν ἔστιν, καθ' ἣν ᾤετο δεῖν τὸν τόπον εἰ ἔστι, καὶ ἔν τινι εἶναι· τὸ γὰρ ἔν τινι πολλαχῶς, καὶ ἔσται ὁ τόπος ἔν τινι μέν, οὐκ ἐν τόπῳ δέ· ὁ γὰρ κυρίως λεγόμενος τόπος τὸ πέρας τοῦ περιέχοντος ἔν τινι μέν· ἐν γὰρ τῷ σώματι οὗ μέρος ἢ πέρας ἐστίν· οὐ μὴν ὡς ἐν τόπῳ· καὶ γὰρ ἡ ὑγίεια ἔν τινι· ἐν θερμοῖς γὰρ καὶ ψυχροῖς ἀλλ' ὡς ἕξις, καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἔν τινι ἀλλ' ὡς πάθος. οὕτως δὲ καὶ ὁ τόπος ἔν τινι ἀλλ' οὐκ ἐν τόπῳ. τοῦτο δ' ἦν τὸ ἄτοπον καὶ τὸ εἰς ἄπειρον προϊέναι· ταῦτα μὲν οὖν ἔστω διηπορημένα.

Τί δ' ἐστὶν ὁ τόπος, ὧδε ἂν γένοιτο φανερόν. 4
ἐπειδὴ γὰρ δυσθήρατος ἡ φύσις αὐτοῦ, πρότερον θεωρήσωμεν ὅσα ὑπάρχειν τῷ τόπῳ καθ' αὑτὸ αἱ κοιναὶ βούλονται ἔννοιαι. ἀξιοῦμεν δὴ τὸν τόπον πρῶτον μὲν περιέχειν ἐκεῖνο οὗ τόπος ἐστίν, δεύτερον μηδὲν αὐτὸν εἶναι τοῦ πράγματος ὃ περιέχει· τουτὶ γὰρ ἤδη καὶ ἀποδέδεικται. τρίτον μήτε ἐλάττω μήτε μείζω τοῦ σώματος εἶναι τὸν πρῶτον τόπον·

---

1 οὕτω] αὐτῷ οὕτω A   7 τόπῳ A post ἑαυτῷ   13 τόπῳ δὲ] τόπῳ A. τῷ δέ πω V   17 ἀλλ' om A, vid. Simplic. fol. 131 b. fine.   19 καὶ fort. delend.   26 αὐτὸν] αὐτὸ libri

*ἐλάττων μὲν γὰρ οὐκ ἔσται, πῶς γὰρ περιέξει; μείζων δὲ εἴπερ εἴη, καὶ ἄλλο ἂν δέχοιτο σῶμα, ὥστε οὐκ ἂν εἴη πρῶτος, λοιπὸν οὐδὲ τούτου μόνου. ἔτι πρὸς τούτοις ἀπολείπεσθαι καὶ χωριστὸν εἶναι τοῦ σώματος· οὕτω γὰρ καὶ ἐξ ἀρχῆς ἐνοήθη ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων. ἔτι πάντα τόπον ἔχειν τὸ ἄνω ἢ κάτω καὶ ἕκαστον τῶν σωμάτων ἐν ἑνὶ αὐτῶν. ὑποκειμένων δὲ τούτων τὰ λοιπὰ θεωρητέον. δεῖ δὲ τοιοῦτόν τινα λόγον ἀποδοῦναι τοῦ τόπου ὃς τά τε ἀπορούμενα λύσει, καὶ τὰ δοκοῦντα ὑπάρχειν τῷ τόπῳ φυλάξει, καὶ τὸ αἴτιον τῆς περὶ αὐτῶν δυσκολίας ἐμφανιεῖ. πρῶτον μὲν οὖν δεῖ κατανοῆσαι, ὅτι οὐκ ἂν ἐζητεῖτο ὁ τόπος, εἰ μὴ κίνησις ἦν ἡ κατὰ τόπον· διὰ γὰρ τοῦτο καὶ τὸν οὐρανὸν μάλιστα οἰόμεθα ἐν τόπῳ εἶναι, ὅτι μάλιστά ἐστιν ἐν κινήσει. τρία δὲ τῆς κατὰ τόπον κινήσεως εἴδη φορὰ καὶ αὔξησις καὶ φθίσις· καὶ γὰρ ἐν τῇ αὐξήσει μεταβάλλει τόπον ἐκ τόπου, καὶ ὃ πρότερον ἦν ἐνταῦθα, πάλιν μεθέστηκεν εἰς ἐλάττονα ἢ μείζονα. ἔπειτα ὅτι μὴ πάντα τὰ κινούμενα εἰς τὴν περὶ τοῦ τόπου ἔννοιαν ἡμᾶς προήγαγεν, ἀλλὰ μόνα τὰ καθ' αὑτά, τὰ δὲ κατὰ συμβεβηκὸς ὥσπερ οὐδὲ κινεῖται κυρίως, οὕτως οὐδὲ τόπου προσδεῖται, οὐδὲ εἰς τὴν γνῶσιν αὐτοῦ συντελεῖ. καίτοι διαφορά μέν τίς ἐστιν τῶν κατὰ συμβεβηκὸς κινουμένων· τὰ μὲν γὰρ ἐνδέχεται καὶ καθ'
fol. 38b. αὑτὰ κινηθῆναι, οἷον τὰ μόρια τοῦ σώματος καὶ τοὺς ἥλους τῆς νεὼς εἰ διαιρεθεῖεν, τὰ δὲ οὐδαμῶς ἐνδέχεται οἷον τὴν λευκότητα καὶ τὴν ἐπιστήμην. ἀλλ'*

---

4 *ἀπολείπεσθαι*] sic igitur Themist. in Arist. legit; alii *μήτ' ἀπολ.* vid. Simplic. fol. 131 b.* 18 *πρότερον*] *πρῶτος* V 22 malim *οὔτε — οὔτε* 25 *καὶ* om A

ὅμως οὔτε ταῦτα οὔτε ἐκεῖνα εἰς τὰς πρώτας ἐννοίας ἤγαγεν ἡμᾶς τοῦ τόπου, ἀλλὰ τὰ καθ' αὑτὰ κινούμενα μόνα. καθ' αὑτὰ δὲ κινεῖται ὅσα ἀπολελυμένα τοῦ περιέχοντος ἅπτεται αὐτοῦ, οὐκ ὄντα αὐτῷ συνεχῆ, ἡ δὲ χεὶρ κινεῖται μὲν γράφουσα νῦν δίχα τοῦ λοιποῦ σώματος, οὐκ ἀπολέλυται δὲ τοῦ σώματος, ἀλλὰ συνεχὴς αὐτῷ, καὶ οὐχ ἅπτεται τοῦ ὤμου. οὐκοῦν οὐδὲ κινεῖται κατὰ τοῦτο τὸ μέρος καθ' αὑτήν, οὐδὲ ἐστὶν ἐν τόπῳ, ἀλλ' ὅπερ εἶπον, ἐκ τῶν καθ' αὑτὰ κινουμένων ἀναμφιλέκτως θηρευτέον τὴν φύσιν τοῦ τόπου. κινεῖται δὲ τὸ ζῷον καθ' αὑτὸ ἐν κόσμῳ. ἆρα οὖν τὸν κόσμον εἴποις ἂν εἶναι τόπον τοῦ ζῴου; οὐδαμῶς. ἀλλὰ τὸν ἀέρα; οὐδὲ τοῦτον. τί δή ποτε; ὅτι κεῖται τὸν τόπον μήτε μείζω μήτε ἐλάττω τοῦ σώματος εἶναι. τίς οὖν ὁ τόπος τοῦ Καλλίου; τὸ ἔσχατον τοῦ ἀέρος ὃ περιέχει μόνον Καλλίαν· διὰ γὰρ τοῦτο ἦν ἐν τῷ ἀέρι, καὶ διὰ τοῦτο ἦν ἐν τῷ κόσμῳ, ὥστε οὗτος ὁ πρῶτος τόπος. ὅταν μὲν οὖν μὴ διῃρημένον ᾖ τὸ περιέχον ἀλλὰ συνεχές, οὐχ ὡς ἐν τόπῳ λέγεται εἶναι ἀλλ' ὡς μέρος ἐν ὅλῳ, ὡς ἔφην καὶ τὴν χεῖρα ἐν τῷ σώματι· ὅταν δὲ διῃρημένον ᾖ καὶ ἁπτόμενον, ὡς ἐν τόπῳ ἔσται τοῦ ἐσχάτου τοῦ περιέχοντος, τοῦτο δὲ οὐδὲ μέρος τοῦ σώματος· ἔξωθεν γάρ, οὔτε μὴν μεῖζον οὔτε ἔλαττον ἀλλ' ἴσον πανταχοῦ τοῖς πέρασι τοῦ σώματος ὃ περιέχει· ἅμα γάρ ἐστι τὰ ἔσχατα τῶν ἁπτομένων. τὰ μὲν οὖν μόρια τοῦ συνεχοῦς οὐκ ἐν τῷ ὅλῳ κινεῖται ἀλλὰ μετὰ τοῦ ὅλου, τὰ διῃρημένα δὲ ἐν τόπῳ, οὐ μετὰ τόπου κινεῖται πλὴν εἰ μὴ τὰ ἐν ἀγγείοις· μεταφορητὰ γάρ ἐστι τὰ ἀγγεῖα. ἀλλὰ ταῦτα οὐκ εἰσὶν οἱ πρῶτοι τόποι· μείζω γὰρ τῶν

---

12 οὐδαμῶς om A 22 τοῦ ἐσχάτου om A 23 μὴν om A

σωμάτων, ἀλλὰ τὰ ἔσχατα αὐτῶν ἡ κοίλη ἐπιφάνεια τοῦ κάδου καὶ ἡ κοίλη ἐπιφάνεια τοῦ κεραμείου οἷς συμβάλλει τῷ ὕδατι ἢ τῷ οἴνῳ. εἰ δὴ ταῦτα ἀληθῆ λέγομεν, φανερὸν ἐκ τούτων τί ἐστιν ὁ τόπος, ὅτι τὸ πέρας καὶ ἔσχατον τοῦ περιέχοντος ὃ τοῦ σώματος ἅπτεται, ὃ περιέχει. τοῦτο δὲ καὶ ἄλλως ἂν ἀποδειχθείη. ἐπειδὴ γὰρ τέσσαρά ἐστιν ὧν εἶναί τι τὸν τόπον ἀνάγκη, (λέγω δὲ εἶδος, ὕλη, διάστημα τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος, αὐτὰ τὰ ἔσχατα τοῦ περιέχοντος,) εἰ μηδὲν τῶν τριῶν ἐστίν, ἀνάγκη τὸ λειπόμενον εἶναι τὸν τόπον. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ὕλη, δέδεικται ἱκανῶς. ἀλλὰ καὶ ὅτι μηδὲ τὸ εἶδος, ἤδη φανερὸν γέγονε τὸ φενακίσαν τοὺς τὸ εἶδος ὑπολαμβάνοντας εἶναι τὸν τόπον· ἐπειδὴ γὰρ περιέχει μὲν ἡ μορφή, περιέχει δὲ καὶ ὁ τόπος, τὸ εἶδος ὑπέλαβον εἶναι τὸν τόπον δι' ἄγνοιαν τῶν συλλογισμῶν· καίτοι πέρατα μὲν ἄμφω, οὐ τοῦ αὐτοῦ δέ, ἀλλὰ τὸ μὲν εἶδος τοῦ περιεχομένου, ὁ τόπος δὲ τοῦ περιέχοντος σώματος. ἐγὼ δὲ οὐδὲ πέρας εἴποιμι ἂν τὸ εἶδος· οὐδὲ γὰρ ἡ ἐπιφάνεια τὸ εἶδος ἀλλ' ὁ λόγος τοῦ τί ἦν εἶναι, ἀλλ' ἴσως ἐπεὶ περατοῖ τὴν ὕλην καὶ ὁρίζει· πέρας γὰρ λέγεται ὥσπερ καὶ μέτρον καὶ ἀριθμός. λείπεται τοίνυν ἡμῖν ὅτι μηδὲ τὸ διάστημα ὁ τόπος ἐστὶν ἀποδεῖξαι. διάστημα δὲ τὸ μεταξὺ νοούμενον τῶν περάτων τοῦ περιέχοντος, οἷον τὸ μεταξὺ τῆς κοίλης ἐπιφανείας τοῦ κάδου. παλαιὰ μὲν οὖν ἡ δόξα καὶ τοῖς τὸ κενὸν τιθεμένοις προσήκουσα, ἠκολούθησεν δὲ ὅμως αὐτῇ καὶ ὁ περὶ Χρύσιππον χορὸς καὶ Ἐπίκουρος ὕστερον. εἰσποιοῦσι δὲ

---

2 κάδδου libri, item infra κεραμείου] nihil h. l. Vict. ex V
21 τοῦ τί] τοῦτό τι libri 29 χορὸς Victorius. χρόνος libri

*τινες καὶ τὸν Πλάτωνα τῷ δόγματι· ἤρτηται δὲ ἐκ πιθανῆς μὲν αἰτίας ψευδοῦς δὲ ἱκανῶς. ἐπειδὴ γὰρ εἰς ἐπίνοιαν ἤλθομεν ὅλως τοῦ τόπου ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων καὶ τοῦ γίνεσθαι συνεχῶς ἄλλοτε ἄλλα ἐν τῷ αὐτῷ τόπῳ, διὰ τοῦτο αὐτοῖς ὁ τόπος ἔδοξεν εἶναι τὸ διάστημα τὸ μεταξύ, ὃ ταὐτὸ μένον ὑπελάμβανον ὑποδέχεσθαι τὰ ἀντιμεθιστάμενα σώματα κεχωρισμένον ἑκάστου τούτων τῶν εἰσιόντων σωμάτων· ἐνῆγε δὲ αὐτοὺς εἰς ταύτην μάλιστα τὴν ὑπόνοιαν τὰ ἀγγεῖα· ἐπειδὴ γὰρ τῆς ἐπιφανείας ἐν τῷ κεραμείῳ τῆς κοίλης μενούσης τῆς αὐτῆς καὶ περιγεγραμμένης ἰδίοις πέρασιν ποτὲ μὲν ὕδωρ ἐγγίνεται, ποτὲ δὲ ἀὴρ ἐν τῷ σκεύει, διὰ τοῦτο εἶναι τὸ μεταξὺ τῆς κοίλης ἐπιφανείας διάστημα ὑπενόησαν ὃ ταὐτὸ μένον καὶ τῶν σωμάτων κεχωρισμένον ὥσπερ καὶ ἡ ἐπιφάνεια τοῦ ἀγγείου, δέχεσθαι ἀνὰ μέρος τὰ σώματα, ἀλλ' οὐκ ἔστι τοῦτο ὑγιές. εἰ μὲν οἷόν τε ἦν κενὸν σώματος γενέσθαι ποτὲ τὸ ἀγγεῖον, ἴσως ἂν ἐφωράθη καὶ ἑαυτὸ τὸ λεγόμενον τοῦτο διάστημα· νῦν δὲ ἅμα ἐκχεῖται τὸ ὕδωρ καὶ ὁ ἀὴρ ἀντεισέρχεται, κἀντεῦθεν ἡ πλάνη· ἐπεὶ γὰρ σῶμα πᾶν μετὰ διαστήματος, μεταφέρουσιν τὸ τῶν σωμάτων διάστημα ἐπὶ τὸν τόπον οὐκ ἐννοοῦντες, ὅτι διὰ τοῦτο ἀεὶ διάστημά ἐστιν ἐν τόπῳ, ἐπειδὴ καὶ σῶμα ἀεί, δηλοῖ δὲ τὰ χαλκᾶ καὶ στεγανὰ πανταχόθεν ἀγγεῖα· οὐ γὰρ ἂν ἐκρύσειεν τὸ ὕδωρ, εἰ μὴ χώραν εἰς ῥύσιν ὁ ἀὴρ λάβοι. φενακίζει δὲ αὐτοὺς καὶ τὸ μένειν ἀεὶ ἀσύγχυτον καὶ τὴν κοίλην ἐπιφάνειαν τῶν ἀγγείων, ὡς εἴγε συνέπιπτεν ἐξαιρουμένου τοῦ ὕδατος, ὥσπερ*

3 *ἐκ*] *καὶ* V 8 *κεχωρισμένων* V 11 *κεραμίῳ* Bekk. in Aristot. 17 fort. *εἰ μὲν γὰρ* 20 *δὲ* om A 27 *λάβῃ* libri et Simplicius fol. 133 b. sed idem Simplicius recte *εἰσρυήσεως*

ἐπὶ τῶν ἀσκίων, οὐκ ἂν ὁμοίως ἐξηπατῶντο. οὔκουν ὁμοίως ἐν τῷ ἀέρι φανταζόμεθα ὑπομένειν τὸ διάστημα τοὐμοῦ σώματος· συγχεῖται γὰρ εὐθὺς κινηθέντος ἡ περιέχουσά με ἐπιφάνεια καὶ ἑνοῦται πρὸς ἑαυτήν, τῆς δὲ ἐν τοῖς στερεωτέροις ἀγγείοις ἀεί τι ἅπτεται ἕτερον σῶμα ἀσυγχύτου φυλαττομένης, τὸ δὲ τὸ σῶμα τοῦτο ἐν διαστήματι εἶναι διὰ τοῦτο καὶ ἐκείνης ἀεὶ διάστημα μεταξὺ εἶναί φησιν.

Ἀλλ' ὑποθώμεθα ἐξαιρεθέντος τοῦ ὕδατος μηδὲν ἕτερον εἰσρυῆναι σῶμα. μένει τοίνυν τὸ μεταξὺ τῆς ἐπιφανείας διάστημα κεχωρισμένον. ἀλλὰ ἄλογος ἡ ὑπόθεσις ὦ σοφώτατε Γαληνέ· αὐτὸ γὰρ ὑποτίθεσαι ὃ ζητοῦμεν· ζητούντων γὰρ ἡμῶν, εἰ δύναται εἶναι διάfol. 39. στημα κεχωρισμένον, πλάττεις σεαυτῷ καὶ ἀναζωγραφεῖς ὃ βούλει εἶναι διάστημα κεχωρισμένον, οὐχ ὅτι ὑπάρχει δεικνύεις. ὅλως δὲ οὔτε δυνατὰ ἐννοεῖς· τὸ γὰρ ἀναιρεῖν τὴν ἀντιμετάστασιν τῶν σωμάτων τοῦ παντάπασιν ἀναιρεῖν σῶμα οὐ διαφέρει, οὐδὲ δὴ τοῦ λέγειν, ὡς εἴ τις ὑπόθοιτο μήτε οὐρανὸν ἔσεσθαί ποτε μήτε γῆν μήτε ἄλλο τι τῶν νῦν ὑπαρχόντων σωμάτων, ἀλλὰ μηδέ τι ἕτερον ἂν τούτων γενέσθαι σῶμα· καὶ γὰρ οὕτως μόνον καταλιπεῖν βουλήσεται διάστημα ἐν ᾧ τὰ σώματα νῦν ἐστί, τηνικαῦτα δὲ οὐκ ἔσται. ἀλλ' οὔτε τοῦτο δυνατόν, οὔτε ὃ βούλεται ὁ Γαληνός· διάστημα γὰρ ἄνευ σώματος ἀμήχανον ὑποστῆναί ποτε, ἀλλὰ θᾶττον ἂν ὁ χαλκὸς συμπέσοι τῆς κοίλης ἐπιφανείας ἢ δίχα σώματος μένειεν· τὸ γὰρ κενὸν ὅτι κενὸν ὄντως ἐστίν, εὐθὺς ἀποδει-

1 fort. ἀσκῶν, conf. Simpl. 7 τὸ σῶμα] τὸ om A 9 ὑποθώμεθα] ὑποθώμεθα, φησὶν ὁ Γαληνὸς Simplicius 10 τὸ] Simplicius; om libri 12 ὑποτίθεται libri 16 fort. οὐδὲ 18 οὐδὲ] οὐ V 22 σῶμα om V 26 συμπέσῃ libri

χθήσεται. τί δὲ δή ποτε ἐπὶ μὲν τοῦ τοίχου οὐκ ἂν ὑπολάβοις, ὅτι οὐ δύναταί ποτε αὐτοῦ μηδὲν σῶμα ἅπτεσθαι παντελῶς, εἴγε μὴ τὸ κενὸν οὕτως προσίεσθε, ἐπὶ δὲ τοῦ κρατῆρος οὐκέτι; καὶ γὰρ τούτου παραπλησίως ἀεί τι ἅπτεται, ἡ διαφορὰ δὲ ἐν τῷ σχήματι μόνον ἐστί. πῶς οὖν φησὶν ἐπινοοῦμεν τὸ διάστημα ὡς ἄλλο τι τῶν σωμάτων, πῶς δὲ λευκότητα, πῶς δὲ μελανίαν; ἕκαστον γὰρ τούτων ἀφαιροῦντες τοῦ σώματος καθ' αὑτὸ νοοῦμεν, οὐχ ὡς καθ' αὑτὸ ὑφεστὼς καὶ τοῦ σώματος κεχωρισμένον, ἀλλὰ τῷ λόγῳ μόνον χωρίζοντες. ἐπεὶ γὰρ μὴ ταὐτὸ τῷδε τῷ ὕδατι τοσοῦτόν τι διεστάναι καὶ ὕδατι εἶναι, ὁμοίως καὶ τῷ οἴνῳ, ὁμοίως καὶ τῷ ἀέρι, ἀφαιροῦντες τῷ νῷ τὰς ποιότητας καθ' ἃς τὸ μὲν ὕδωρ ἐστίν, τὸ δὲ οἶνος τὸ δὲ ἀήρ, οὕτω νοοῦμεν τὸ διάστημα μόνον καθ' ἑαυτό· εἶτα ἐπειδὴ συμβαίνει τὰ τρία σώματα ἐν τῷ αὐτῷ παρὰ μέρος ἀγγείῳ γίγνεσθαι ἃ ταῖς μὲν ἄλλαις ποιότησι διαφέρει, ἴσα δέ ἐστι τῷ διαστήματι αὐτῷ, καὶ μᾶλλον ὑπονοοῦμεν ἄλλο τι εἶναι τὸ διάστημα παρὰ τὰ σώματα ὁρῶντες ὅτι εἰσρυεὶς ὁ ἀὴρ μετὰ τὸν οἶνον τὰς μὲν ἄλλας ποιότητας οὐκ ἔχει τοῦ οἴνου, τὸ διάστημα δὲ μόνον φυλάττει τῷ οἴνῳ· καὶ ἐπειδὴ κατὰ μὲν τὰς ἄλλας ποιότητας οὐκ ἔστιν ἐν τόπῳ τὰ σώματα οἷον θερμότητα ἢ ψυχρότητα, κατὰ δὲ τὸ διάστημα μόνον, οὕτω τὸ διάστημα τὸν τόπον ὑπολαμβάνομεν, οὐ καλῶς· οὐ γὰρ εἰ κατὰ διάστημά ἐστιν ἐν τόπῳ, ὁ τόπος ἐστὶ τὸ διάστημα, ἢ καὶ ἡ κίνησίς ἐστιν ὁρμή, ἐπειδὴ κινούμεθα καθ' ὁρμήν. τὰ μὲν οὖν αἴτια τῆς πλάνης τοῖς ἐπὶ ταύτην ἐλθοῦσιν τὴν δόξαν ταῦτά ἐστιν.

---

9 κατ' αὐτὸ A utroque loco  15 τὸ δὲ ἀήρ] ὁ δὲ ἀὴρ libri  29 τοῖς] τῆς A

*Ὅτι δὲ οὐκ ἔστι τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος διάστημα τόπος, ἀναμνησθῆναί σε δεῖ μόνον, ὅσα ὑπάρχειν τῷ τόπῳ ταῖς κοιναῖς ἀκολουθοῦντες ἐννοίαις ἐξ ἀρχῆς διωρισάμεθα. τὸν τόπον δεῖν περιέχειν, ἀλλ' ἐμπεριέχεται τὸ διάστημα. τὸν τόπον δεῖν χωρίζεσθαι τῶν σωμάτων, ἀλλὰ τὸ διάστημα ἑκάστῳ τῶν σωμάτων σύνεισί τε καὶ συναπέρχεται· εἰρήκαμεν γὰρ ὡς ὁ μένειν αὐτὸ χωρὶς τῶν σωμάτων ἀξιῶν τὸ κενὸν κἂν μὴ βουλήσεται, παραδέχεται· εἰρήκαμεν δὲ ὅτι καὶ τὸ μὲν ποσὸν τοῦ διαστήματος μένει ταὐτόν, ταὐτὸν δὲ οὐ μένει διάστημα. ἔτι τὸν τόπον ᾠόμεθα δεῖν μηδὲν τοῦ σώματος εἶναι, τὸ διάστημα δέ ἐστιν μικροῦ δεῖν αὐτὸ τὸ σῶμα. ὅλως δὲ ὁ τὸ διάστημα τόπον λέγων τί μᾶλλον τὸ σῶμα ἐν τόπῳ ποιεῖ ἢ τὸν τόπον ἐν τῷ σώματι; μᾶλλον γὰρ τὸ διάστημα ἐν τῷ σώματι ἢ τὸ σῶμα ἐν τῷ διαστήματι, εἴγε τὸ μὲν συμβεβηκός· ποσὸν γάρ, τὸ δὲ οὐσία· σῶμα γὰρ αἰσθητόν. καὶ τοῦτο δὲ ἡδέως ἂν πυθοίμην αὐτῶν, ὅταν ἐν τόπῳ γένηται σῶμα, πότερον φυλάττον τὸ διάστημα τὸ οἰκεῖον (πᾶν γὰρ σῶμα σὺν διαστήματι οὕτω γίνεται ἐν τῷ τοῦ τόπου) ἢ τὸ μὲν οἰκεῖον ἀποβάλλει, μόνῳ δὲ γίνεται τῷ τοῦ τόπου; εἰ μὲν τοίνυν ἐροῦσι τὸ δεύτερον, διδαξάτωσαν ἡμᾶς, πῶς φθείρεται τὸ διάστημα μὴ φθειρομένου τοῦ σώματος, πῶς δὲ τὸ μὲν ἴδιον αὐτοῦ φθείρεται, προσγίνεται δὲ τὸ ἀλλότριον; εἰ δὲ ἄμφω τὰ διαστήματα σώζεσθαι λέξουσιν, καὶ τὸ τοῦ σώματος καὶ τὸ τοῦ τόπου, πῶς ἅμα ἔσται τὰ δύο καὶ πότερον ἐν ποτέρῳ; ποῖον γὰρ ἐρεῖς περιέχεσθαι; ποῖον δὲ περιέχειν; πῶς δὲ δύο μὲν διαστήματα ἅμα καὶ ἐν τῷ*

6 δεῖ A 9 βουλήσηται? 11 οὐ] οὗ A 30 τῷ αὐτῷ] αὐτῷ τῷ libri. conf. Simplic. fol. 145 b.

αὐτῷ μέτρῳ γίνεσθαι δυνατόν, ἐν ᾧ καὶ τὸ ἕτερον ἦν, δύο δὲ σώματα οὐκέτι; οὐ γὰρ τὰ ἄλλα γε συμβεβηκότα κωλύσει· οὐ γὰρ θερμότης ἢ ψυχρότης ἢ λευκότης ἢ μελανία τὸν ὄγκον μείζονα ποιοῦσιν, ἀλλὰ μόνα τὰ διαστήματα. ἢ τοῦτο ἐκεῖνοι μὲν ὡς ἀκόλουθον παραδέχονται, ἡμῖν δὲ τοῦτο ψεῦδος ἀποδεικνύουσιν συναναιρεῖν ὑπάρχει καὶ τὸ ἡγούμενον. ἔτι πότερον αὐξανομένου τοῦ σώματος αὔξεται καὶ τὸ τοῦ τόπου διάστημα, ἢ τὸ μὲν τοῦ σώματος αὔξεται, τοῦ τόπου δὲ οὔ; αὔξεσθαι μὲν γὰρ πῶς ἂν εἴποι τις ἕτερον μέγεθος, ἑτέρῳ γενομένης προσθήκης· ὅμοιον γὰρ ὡς εἰ ἔλεγεν καὶ τὸν πῶλόν τις αὐξάνεσθαι ἐκ τῆς τροφῆς τοῦ σκυλακίου. μένειν δὲ ἴσον ἀμηχανώτερον, πῶς γὰρ ἔτι τοῦ μείζονος τόπος; οὐκ ἐπιστρέφει δὲ ὁ λόγος οὗτος ἐπὶ τὸ τοῦ περιέχοντος πέρας· οὐ γάρ ἐστιν αὔξησις ἐπιφανείας καθ᾽ ἑαυτήν.

Ἃ μὲν οὖν ἡμεῖς λέγομεν πρὸς τὴν δόξαν, ταῦτά ἐστιν· οἷς δὲ χρῆται Ἀριστοτέλης, ἀσαφέστερον μὲν ἔχει, πειρατέον δὲ ὅπως ἐνδέχεται κἀκεῖνα ὡς ἐξ ἀρχῆς προὐθέμεθα, ἐκκαλύπτειν· εἰ (φησίν) ἦν τι διάστημα καθ᾽ αὑτὸ πεφυκὸς εἶναι καὶ μένειν ἐν ἑαυτῷ, ἄπειροι ἂν ἦσαν οἱ τόποι. τί δή ποτε; ὅτι ἡνίκα ἂν μεταφέρηται τὸ ἀγγεῖον πλῆρες ὂν ὕδατος ἢ ἀέρος ὃ ποιεῖ τὸ ὅλον ὕδωρ ἐν τῷ ἀγγείῳ, τοῦτο ποιήσει καὶ τὰ τοῦ ὕδατος μόρια. ὡς οὖν τὸ ὅλον ὕδωρ κατέχον τὸ οἰκεῖον διάστημα σὺν τῷ ἀγγείῳ κεῖται μεταφερομένῳ, οὕτως ἕκαστον τῶν μορίων κατέχον τὸ οἰκεῖον διάστημα κινηθήσεται σὺν τῷ ἀγγείῳ. ὅταν τοίνυν ἐν ἄλλῳ τόπῳ γένηται ὁ ἀμφορεύς, δηλονότι καθέξει

---

1 γενέσθαι V 5 fort. διαστήματα, εἰ τοῦτο 7 ἡγούμενον] ἡγεμόνιον V

τι διάστημα τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος fol. 39b. ἀέρος, οὗ διαστήματα καὶ τὸ ὕδωρ μέρος, καθέξει καὶ τὰ τοῦ ὕδατος μόρια. ὅρα δὲ πόσα ἐν ταὐτῷ γίνεται διαστήματα. ὃ κατέσχεν ὅλος ὁ ἀμφορεύς, ὃ κατέσχε τὸ τούτου μέρος τὸ ὕδωρ, ὃ κατέσχεν ἕκαστον τῶν μορίων τοῦ ὕδατος, πάλιν ὃ κατέσχεν ὅλον τὸ ὕδωρ ἐν τῷ ἀμφορεῖ· ἦν γὰρ ἐν τόπῳ τῷ ἀμφορεῖ, καὶ τὸ μεταξὺ τῶν ἐσχάτων αὐτοῦ τῆς κοίλης ἐπιφανείας, πρὸς τούτοις ὃ κατεῖχεν ἕκαστον τῶν μορίων τοῦ ὕδατος. τούτοις εἰ προσθείης καὶ τὸ τοῦ ἀμφορέως ὡς τοῦ ὕδατος σώματος, καὶ τὸ τοῦ μέρους ὡς σώματος, πολλὰ εὑρήσεις ἐν ταὐτῷ διαστήματα. ἓν μέν γε τοῖς μορίοις, καὶ ἕτερον ἔγωγε ἀτοπώτερον ὑφορῶμαι· ἕκαστον γὰρ ἔν τε τῷ οἰκείῳ διαστήματι ἔσται καὶ ἐν τῷ μείζονος μέρους, γιγνομένης δὲ εἰς ἄπειρον τῆς τομῆς εἰς ἄπειρον καὶ ἡ τῶν τόπων πρόσθεσις προελεύσεται· ὅλως γὰρ εἰ διάστημα ὁ τόπος, οὐδὲν ἄτοπον καὶ τῶν μορίων ἕκαστον ἐν τόπῳ εἶναι καθ' αὑτό· καὶ γὰρ ἐν διαστήματι καθ' αὑτό ἐστιν ἕκαστον, ὃ διάστημα μόριον ὅλου τοῦ τόπου. τοῖς μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος τιθεμένοις κατὰ συμβεβηκὸς τὸ μέρος ἐν τόπῳ, ἐπειδὴ τὸ ὅλον ἐν τόπῳ· τοῖς δὲ ὅλον τὸ μεταξὺ διάστημα, πῶς οὐκ ἔσται τὰ μόρια καθ' αὑτὰ ἐν τόπῳ; ἔστιν οὖν ἐν ἀπείροις ἕκαστον τόποις. ὅτι δὲ καὶ ὁ τόπος ἐν τόπῳ γίνεται, δῆλον. τὸ γὰρ διάστημα τὸ μεταξὺ τῶν κοίλων τοῦ ἀμφορέως ἔσται ἐν ἄλλῳ διαστήματι μετατεθέντος τοῦ ἀμφορέως. ἆρα οὖν ταῦτα ἄτοπα ἀπαντᾷ τοῖς τὸ ἔσχατον τοῦ περιέχοντος λέγουσι τὸν τόπον; οὐδαμῶς. διὰ τί; οὐκέτι γὰρ ἂν εἴποιμι ἐν ἄλλῳ τόπῳ γενέσθαι τὸ ὕδωρ ἢ τὰ

---

9 κατέσχεν? 28 ταῦτα] aut ταὐτὰ aut ταῦτα τὰ

τοῦ ὕδατος κινουμένου τοῦ ἀμφορέως· ἐν τῇ αὐτοῦ γάρ ἐστιν ἐπιφανείᾳ, καὶ οὐκ ἐξαλλάξει ταύτην οὐδὲ ἑτέραν προσεπιλαμβάνει τινὰ ὥσπερ ἕτερον καὶ διάστημα. πῶς οὖν εἰ τὸν αὐτὸν κατέχει τόπον ὁ οἶνος, καὶ καθ' ὅλου καὶ κατὰ μόρια κινεῖται ἐνθένδε κάκεῖσε ἐκ τοῦ οἰκήματος εἰς τὸ ταμεῖον; ἐρήσεταί τις, ὅτι μηδὲ κινεῖται καθ' αὑτόν· μένει γὰρ ἐν τῷ ἀμφορεῖ. ἀλλὰ κινεῖται καὶ μεθίσταται ὁ ἀμφορεὺς ἐν ᾧ ὁ οἶνός ἐστιν· ἐν ᾧ γάρ ἐστιν ὁ ἀὴρ ἢ τὸ ὕδωρ ἢ ὅ τι δήποτε, τοῦτο μεθίσταται, οὐχ ὁ ἀὴρ οὐδὲ τὸ ὕδωρ οὐδὲ τὰ μόρια τούτων, ἀλλὰ τότε ταῦτα κινεῖται, εἰ ἀλλήλοις ἀντιμεθίσταται τὰ ἐν τῷ κεραμείῳ. εἰ δὲ ἦν τὸ διάστημα ὁ τόπος, συμμεθίστατο ἂν τοῖς ἀγγείοις τὰ σώματα καθ' αὑτὰ καὶ τὰ μόρια ὁμοίως γε ἐκείνοις ἐξαλλάττοντα τὸ διάστημα, καὶ ἐγίνετο ἂν ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ οὐ κατὰ συμβεβηκός, ὧν ἕκαστος τόπος μέρος τοῦ μείζονος, καὶ πάλιν ὁ μείζων τοῦ μείζονος, καὶ τοῦτο ἄχρι τοῦ μεγίστου τόπου καὶ διαστήματος, ἐν ᾧπέρ ἐστιν ὁ οὐρανός. καὶ γὰρ δὴ καὶ τοῦτο ὑπάρχει τῷ θαυμαστῷ λόγῳ τόπον τόπου μέρος ποιεῖν, καθάπερ καὶ διάστημα διαστήματος. καὶ τοῦτο μὲν ἔξωθεν αὐτοῖς ἐπισυμβαίνει.

Ἐκεῖνο δὲ ὅρα. ἢ γὰρ καθ' αὑτὸν κινεῖσθαι τὸν οἶνον ἐν τοῖς κεραμείοις ἐροῦσιν, ὅταν ἐκεῖνα μετακομίζηται, καὶ εἴρηται ὅσα ἄτοπα ἀναδέξονται, ἢ παντάπασιν ἀκίνητον εἶναι· καὶ ὅσος ὁ γέλως ἀκίνητον Ἀθήναζε τὸν Θάσιον μετακομίζεσθαι. οὐ γὰρ ἕξουσιν ἀποδιδόναι, πῶς κινουμένου τοῦ σκεύους ὁ οἶνος δύναται καθ' ἑαυτὸν μὲν ἀκίνητος μένειν, κατὰ

1 αὐτοῦ] αὐτῇ A  11 τότε] ποτὲ libri  12 τὰ ἐν] τὸ ἐν libri

*συμβεβηκὸς δὲ κινεῖσθαι οἱ τόπον τὸ διάστημα λέγοντες. ὅτι μὲν τοίνυν οὐκ ἔστι τὸ διάστημα ὁ τόπος, ἱκανῶς εἴρηται· ἀποδέδεικται δὲ ὡς οὐδὲ ἡ μορφὴ οὐδὲ ἡ ὕλη· χωρὶς γὰρ ὧν εἴπομεν πολλῶν ὄντων, ὅτι ἐνηρεμεῖν δεῖ τοῖς τόποις τὰ σώματα· ἐνηρεμεῖ γὰρ τῇ ὕλῃ, καὶ μὴ χωρίζεσθαι, οὐδὲ ἡ παραβολὴ τῆς ὕλης ἡ πρὸς τὸν τόπον ἔχει τινὰ ὁμοιότητα· ἐπ' ἐκείνης μὲν λέγομεν ὃ πρότερον ὕδωρ ἦν, νῦν ἐστὶν ἀήρ, ἐπὶ τοῦ τόπου δὲ οὗ πρότερον ὕδωρ, νῦν ἀήρ. ἀλλ' ἐκεῖνο ὁμολογούμενόν γε ἤδη ὡς εἴγε μηδέν ἐστι τῶν τριῶν ὁ τόπος, μήτε ὕλη μήτε εἶδος μήτε διάστημα, ἀνάγκη τὸ λοιπὸν τῶν τεσσάρων εἶναι, τουτέστι τὸ πέρας τοῦ περιέχοντος καθὸ συνάπτει τῷ περιεχομένῳ σώματι.*

*Ἐν τόπῳ δέ ἐστι πᾶν σῶμα ὃ κατὰ φορὰν οἷόν τε κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν· οὐ ταὐτὸν δέ ἐστιν περιφορά τε καὶ φορά. δοκεῖ δέ τι μέγα εἶναι καὶ χαλεπὸν γνωσθῆναι ὁ τόπος· πολλὰ γὰρ παρεμφαινόμενα ἐπιθολοῖ τὴν περὶ αὐτοῦ θεωρίαν, καὶ μάλιστα τὸ διάστημα· ὁμοιότητα γὰρ ἔχει τούτου πολλήν· μένειν γὰρ ἀκίνητον, καὶ τοῦτο δοκεῖ καθάπερ ὁ πρῶτος τόπος, καὶ δέχεσθαι ἕτερα καὶ ἕτερα τῶν σωμάτων. εἴρηται δὲ τὸ αἴτιον τῆς ἀπάτης, ὅτι τοῖς σώμασιν συνεισιόν τε καὶ ἐξιὸν τῷ ταῖς μὲν ἄλλαις ποιότησιν αὐτὰ διαφέρειν, τῷ διαστήματι δὲ ἴσα εἶναι, τὰ δὲ τὸν ἴσον ἐκπληροῦντα τόπον ταὐτὸν εἶναι δοκεῖ κλεπτομένης αὐτοῦ τῆς ἐναλλαγῆς διὰ τὴν ὀξύτητα τῆς ἀντιμεταστάσεως τῶν σωμάτων. συμβάλλεται δέ τι καὶ ὁ ἀὴρ δοκῶν ἀσώματον εἶναι·*

---

5 *ἐνηρεμεῖν* A  16 *οὐ ταὐτὸν*] vid. Alexander ap. Simplic. fol. 137 b.  26 *ἐμπληροῦντα* V

διὰ τοῦτο γὰρ οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου τόπος εἶναι δοκεῖ, ἀλλ' ἤδη καὶ πᾶν τὸ μεταξύ· κενὸν γὰρ εἶναι φαντάζεται οὐχ ὁμοίως κινοῦντος τὴν αἴσθησιν τοῦ ἀέρος τοῖς ἄλλοις στοιχείοις. ἔστι δὲ οὐχ ἅπαν τὸ ἀγγεῖον ὁ τόπος, ἀλλὰ τὰ ἔσχατα αὐτοῦ τῆς κοίλης ἐπιφανείας, ὃς καὶ μεταφορητὸς ἂν εἴη· μεταφορητὸς δὲ οὐχ ἁπλῶς ἀλλὰ κατὰ συμβεβηκός· τὸ γὰρ σῶμα μεταφέρεται, λέγω δὲ τὸ κεράμιον ἢ ὁ κάδος οὗ πέρας ἐστίν. ἔστι δὲ ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητός, οὕτως ὁ τόπος ἀγγεῖον ἀμετακίνητον· διόπερ ἐπειδὰν ἐν κινουμένῳ τι κινῆται ὡς πλοῖον ἐν ποταμῷ, τῷ περιέχοντι ὡς ἀγγείῳ χρῆται μεταφορητῷ μᾶλλον ἢ ὡς τόπῳ. βούλεται δὲ ἀκίνητος εἶναι ὁ τόπος καθ' αὑτόν, εἰκότως· πέρας γάρ ἐστιν καὶ ἅμα τῷ πράγματι· ἅμα γὰρ τὰ πέρατα, ὥστε ἐξ ἁπάντων τούτων τὸ τοῦ περιέχοντος πέρας ἀκίνητόν τε καὶ πρῶτον ὁ τόπος ἐστίν.

Διὰ τοῦτο δὲ τὸ μέσον τοῦ κόσμου καὶ τὸ ἔσχατον 5
τοῦ οὐρανοῦ καὶ τῆς τῶν ὅλων φορᾶς δοκεῖ εἶναι μάλι- fol. 40.
στα πᾶσι κυρίως τὸ μὲν ἄνω, τὸ δὲ κάτω, ἐπεὶ ἑκάτερον αὐτῶν ἀκίνητον τὸ μέν ἐστιν τὸ δὲ φαίνεται, καὶ ἐπὶ ταῦτα ἡ κίνησις κατὰ φύσιν τοῖς τε κούφοις καὶ τοῖς βάρος ἔχουσιν τῶν σωμάτων. κοῦφον μὲν γάρ ἐστι τὸ ἄνω φερόμενον βαρὺ δὲ τὸ κάτω. τὸν μὲν οὖν κάτω ποιεῖ τόπον αὐτό τε τὸ μέσον, καὶ περὶ τὸ μέσον ἡ γῆ καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ· ἕκαστον γὰρ τῶν βαρέων σωμάτων ὑπὸ τούτων περιέχεται τῶν στοιχείων ἢ πάντων, ὡς οἱ τῶν ποταμῶν ἀνέχοντες λίθοι, ἢ τοῖν δυοῖν, ὡς οἱ βαδίζοντες ἢ νηχόμενοι. τὸν δὲ ἄνω τόπον τό τε ἔσχατον τῆς κύκλῳ φορᾶς καὶ εἴ τι πρὸς ἐκεῖνό ἐστιν.

---

11 κινεῖται libri

*ᾧ μὲν οὖν σώματί ἐστι σῶμα ἐκτὸς περιέχον αὐτό, τοῦτό ἐστιν ἐν τόπῳ· ᾧ δὲ μή, οὔ· διόπερ ἡ μὲν γῆ καίτοι μένουσά ἐστιν ἐν τόπῳ· ἔχει γὰρ ἔξωθεν ἄλλο σῶμα οὗ τὸ πέρας ταύτην περιέχει, οὐκέτι δὲ τὸ κύκλῳ κινούμενόν ἐστιν ἐν τόπῳ. πῶς οὖν κινεῖται ὁ οὐρανὸς μὴ ὢν ἐν τόπῳ; ἢ ἔστι μὲν ὡς κινεῖται, ἔστι δὲ ὡς οὔ; ὅλος μὲν γὰρ οὐ κινεῖται· οὐδὲ γὰρ ἀμείβει τὸν ὅλον τόπον· αὕτη γὰρ κίνησις τῶν ὅλων ὥσπερ τῶν ἐπ' εὐθείας μεθισταμένων, κύκλῳ δὲ κινεῖται. αὕτη δὲ ἡ κίνησις τῶν μορίων ἐστίν, καὶ τούτοις ἐστὶ τόπος· ἑκάστη γὰρ σφαῖρα τῶν ἐν κύκλῳ φερομένων ἀμείβει τῆς ἐφεξῆς σφαίρας ἐκείνης τὴν ἐπιφάνειαν. ταύτης οὖν καὶ τόπος ἐστίν· περιέχονται γὰρ ὑπ' ἀλλήλων. ὁμοίως δὲ καὶ τὸ πᾶν καὶ τὸ ὅλον, αὐτὸ μὲν οὐκ ἐν τόπῳ, τὰ μόρια δέ. τὰ μὲν γὰρ αὐτῶν κύκλῳ κινεῖται, τὰ δὲ ἄνω καὶ κάτω, ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν. ταῦτα δὲ Εὔδημος ἐν τῷ τρίτῳ τῶν ἑαυτοῦ Φυσικῶν παρίστησιν, λέγει δὲ οὕτως· αὐτὸ δὲ πότερόν ἐστιν ἐν τόπῳ ἢ οὐκ ἔστιν; ἢ πῶς ἑκάτερον; ὅλον μὲν γὰρ οὐκ ἔστιν ἐν τόπῳ, εἰ μὴ ἔστι τι ἐκτός· τούτῳ γὰρ ἂν περιέχοιτο, τοῦτο δὲ ἐπισκεψόμεθα. τὰ δὲ ἄστρα καὶ ὅσα ἐντὸς τοῦ ἐξωτάτω σώματος ἐν τῷ ἐκείνου πέρατί ἐστιν, ᾗ περιέχον ἐστίν. τὰ δὲ οὕτως ἔν τινι ἐν τόπῳ λέγεται, ἐν ᾧ δὲ τὰ μόρια καὶ τὸ ὅλον λέγομεν εἶναι. οὕτω μὲν οὖν εἴη ἂν ἐν τόπῳ, ἔστι δὲ καὶ ἄλλως πού· ἐν τοῖς μορίοις γάρ ἐστι τὸ ὅλον, πολλαχῶς δὲ τὸ πού.*

---

9 *ἡ* aut hic delendum aut superiori quoque *κίνησις* praeponendum. 13 *ὑπ'*] Simplicius fol. 137 b. *ἀπ'* A. *ἐπ'* V 18 *αὐτὸ*] immo *αὐτὸς* scil. *οὐρανὸς* ut ap. Simplic. et paulo post *ὅλος* *πότερον*] *πρότερον* V 20 *τούτῳ*] *τοῦ* V 22 *ἐξωτάτω*] Simplicius fol. 139. *ἐξωτάτου* libri 24 *δὲ* ante *τὰ* om V 25 *ἐν* om A

Ἵνα δὲ σαφέστερον γένηται, πῶς λέγομεν ἐν τόπῳ εἶναι τὸν οὐρανὸν καὶ πῶς οὔ, μικρὸν ἄνωθεν εἴπωμεν ἀναλαβόντες. ὥσπερ γὰρ ἐλέχθη, τὰ μὲν κατὰ δύναμίν ἐστιν ἐν τόπῳ, τὰ δὲ κατ' ἐνέργειαν· κατὰ δύναμιν μὲν τὰ μόρια τοῦ συνεχοῦς τοῦ ἐν τόπῳ ὄντος, ἃ καὶ οἷά τε διαιρεθῆναι· ταῦτα γάρ ἐστι κατὰ δύναμιν ἐν τόπῳ, ὅτε γένοιτο ἂν κατ' ἐνέργειαν διαιρεθέντα, καὶ ἀντὶ τοῦ συνεχῆ εἶναι ἅψαιτο ἂν ἀλλήλων ὥσπερ σωρός· κατ' ἐνέργειαν δὲ αὐτά τε τὰ συνεχῆ, ὅταν ὑπό τινος περιέχηται, καὶ τὰ μόρια τούτων ὅταν διαιρεθῇ. πάλιν τὰ μὲν καθ' αὑτά ἐστιν ἐν τόπῳ, ὡς τὰ σώματα ὅσα κατὰ φοράν ἐστιν κινητὰ ἢ κατ' αὔξησιν καὶ μείωσιν, τὰ δὲ κατὰ συμβεβηκός, ὡς τὰ χρώματα, ὡς ἡ ψυχή, ἅπερ οὐκ ἂν γένοιτό ποτε ἐν τόπῳ καθ' αὑτά, ὥσπερ τὰ κατὰ δύναμιν· οὐδὲ γὰρ χωριστὰ τῶν ὑποκειμένων ἐστί. πῶς οὖν ὁ οὐρανὸς ἐν τόπῳ; ἆρα κατ' ἐνέργειαν; ἀλλ' ὑπ' οὐδενὸς ἔξωθεν περιέχεται. ἀλλὰ κατὰ δύναμιν; ἀλλ' οὐδ' ἂν περισχεθείη ποτέ. ἀλλὰ καθ' ἑαυτόν; ἀλλ' οὐκ ἔστι κινητὸς κατὰ φοράν. οὐ γὰρ ταὐτὸν τὸ φέρεσθαι τῷ περιφέρεσθαι. ἀλλὰ τὸ μὲν ὅλον ἀμείβει τόπον, τὸ δὲ ἐν ταὐτῷ μένον ἐν ταὐτῷ κινεῖται. ἆρα οὖν κατὰ συμβεβηκός; Ἀριστοτέλης μὲν οὕτω βούλεται καὶ οἱ ἐξηγηταὶ συγχωροῦσιν· φησὶ γὰρ τὰ δὲ κατὰ συμβεβηκὸς οἷον ἡ ψυχὴ καὶ ὁ οὐρανός. ἐγὼ δὲ ἀπορῶ πῶς οὐ μάχοιτο ἂν πρὸς αὐτόν, νῦν μὲν κατὰ συμβεβηκὸς ταὐτὸν ἡγούμενος τῷ κατὰ μόρια, πρὸ τοῦ δὲ ἐν οἷς ἐπεδείκνυε μηδὲν εἶναι ἐν ἑαυτῷ ὡς τόπῳ, τὸ μὲν κατὰ μόρια συγχωρῶν, τὸ δὲ κατὰ συμβεβηκὸς οὐ διδούς. ἴσως οὖν ἐνταῦθα κοι-

3 εἴπωμεν] εἴπομεν libri 9 ὁ σωρὸς V 29 μὲν] τῷ A δὲ om libri 30 κοινότερον libri

*νότερον κέχρηται τῷ κατὰ συμβεβηκὸς ἀντὶ τοῦ κατ' ἄλλο. ἔθος δὲ αὐτῷ πολλάκις τοῖς εἴδεσιν ἀντὶ τῶν γενῶν κεχρῆσθαι, ἄλλως μὲν ἐκεῖ κατὰ μόρια, ἄλλως δὲ ἐνθάδε· ἐκεῖ μὲν ἐπειδὴ τὸ μέρος ἐν τῷ μέρει, ἐνταῦθα δὲ ἐπειδὴ τὸ ὅλον ἐν τοῖς μορίοις. πῶς οὖν ἐν τόπῳ κατὰ συμβεβηκός; ὅτι μὴ πᾶσι συνεχής, ἀλλὰ ἅπτεται ἀλλήλων αὐτοῦ τὰ μόρια καὶ ἄλληλα περιέχει, οἷον αἱ σφαῖραι, καὶ κίνησιν ἑκάστη ἰδίαν κινεῖται. ἐν τόπῳ οὖν τὰ μόρια διὰ τοῦτο. ἐν τόπῳ δὲ καὶ ὁ ὅλος κατὰ συμβεβηκός· ἐν γὰρ τοῖς μορίοις ὅλος καὶ οὐκ ἂν αὐτῶν χωρισθῇ. οὐ πάντα δὲ ἐν τόπῳ τὰ μόρια· οὐδὲ γὰρ ἅπαντα περιέχεται, οὐδὲ ἡ ἔξω σφαῖρα, ἀλλ' αὕτη κατὰ μὲν τὸ ἐντὸς εἴη ἂν ἐν τόπῳ· ἅπτεται γὰρ τῆς τοῦ κρόνου, καὶ οἷον περιέχεταί πως, κατὰ δὲ τὸ ἔξω παντελῶς ἀμοιρεῖ τοῦ τόπου. καὶ τὰ μόρια δὲ ταύτης τὰ συνεχῆ ὁμοίως ἔχει· οὔτε γὰρ κατ' ἐνέργειαν ἐν τόπῳ, οὔτε δυνάμει· πῶς γὰρ ἀχώριστα ὄντα τῆς ὅλης; οὔτε μὴν καθ' αὑτό, μόνον δὲ εἴπερ ἄρα, κατὰ συμβεβηκός, καὶ οὐδὲ τοῦτο ἁπλῶς· οὐδὲ γὰρ ἁπλῶς ἡ ἐξωτάτω σφαῖρα ἐν τόπῳ, ἀλλ' ὡς ὅλη ἐν τόπῳ, οὕτως ἐκεῖνα κατὰ συμβεβηκὸς ἐν τόπῳ· ἐκείνη δὲ ἐπὶ τὰ ἔσω. καὶ τὰ μόρια δὴ τοῦτον τὸν τρόπον, ἐπεὶ κυρίως γε καὶ ἁπλῶς πῶς ἂν εἴη ἐν τόπῳ τὸ πᾶν; τοῦ γὰρ ἐν τόπῳ ἔξωθέν τι, τοῦ δὲ παντὸς οὐδὲν ἔξωθεν· πῶς γὰρ ἔσται τι πᾶν, εἴγε πᾶν ἀληθῶς, εἰ καὶ ἄλλο εἴη*

---

11 scrib. *χωρισθείη* 14 *χρόνου* A. Simplicius fol. 138. *ὁ δὲ Θεμίστιος τὸ πῶς ἤκουσεν ὡς εἴρηται, διότι ἡ ἐξωτάτω σφαῖρα κατὰ μὲν τὸ ἐντὸς εἴη ἂν ἐν τόπῳ. ἅπτεται γὰρ τῆς τοῦ κρόνου καὶ περιέχεταί πως, κατὰ δὲ τὸ δεξιὸν* (scrib. *ἔξω*) *παντελῶς ἀμοιρεῖ τόπου. δῆλον δὲ ὅτι ὁ οὕτως ἐκδεχόμενος πανταχοῦ καὶ τὸν τόπον ἐν τόπῳ ἐρεῖ, ὅτι κατὰ τὴν ἔνδοθεν ἐπιφάνειαν ἅπτεται τοῦ ἐν τόπῳ, καὶ τόπος ἔσται ἐν τόπῳ.*

παρὰ τοῦτο, ἐν ᾧ ἐστι. τί δὲ καὶ τὸ ἔξω τοῦ παντός; κενὸν μὲν γὰρ οὐκ ἔστιν, σῶμα δὲ εἰ μὲν πεπερασμένον, ἄρα κἀκεῖνο ἐν τόπῳ, καὶ πῶς; εἰς ἄπειρον γὰρ ἡ πρόοδος. εἰ δὲ ἄπειρον, οἱ πρότερον λόγοι διαμαχοῦνται. εἰ δὲ ἀληθὴς ἡ παλαιὰ δόξα, ὅτι πάντα ἐν τῷ οὐρανῷ καὶ πᾶν ὁ οὐρανός, ἴσως δὲ οὐδὲ θεμιτὸν ἔξωθέν τι αὐτοῦ περιβλέπειν· αὐτὸς μὲν γὰρ οὐ δεῖται τόπου, ἐν ἐκείνῳ δὲ ὡς ἐν τόπῳ τὰ ἄλλα πάντα, fol. 40b. οὐκ ἐν ἅπαντι δὲ ἀλλ' ἐν τῷ ἐσχάτῳ αὐτοῦ τῷ πρὸς ἡμᾶς καὶ ἁπτομένῳ τοῦ παθητικοῦ σώματος, καὶ διὰ τοῦτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τοῦτο δὲ ἐν τῷ ἀέρι, οὗτος δὲ ἐν τῷ αἰθέρι, ὁ δὲ αἰθὴρ ἐν τῷ οὐρανῷ, ὁ δ' οὐρανὸς οὐκέτι ἐν ἄλλῳ.

Ὃ τοίνυν ὑπεσχόμεθα, δείξομεν, ὅτι πᾶσαι λύονται αἱ ἀπορίαι, τί ἐστιν ὁ τόπος, καλῶς διαποροῦσιν. οὔτε γὰρ οὖν ἀνάγκη αὔξεσθαι τὸν τόπον· οὐδὲν γὰρ αὔξεται πέρας καθ' αὑτό, ἀλλ' ὑποχωροῦντος τοῦ περιέχοντος σώματος ἤτοι κατὰ ἀντιπερίστασιν ἢ κατὰ πύκνωσιν καὶ πίλησιν, καὶ τὰ πέρατα ὑπείκει, ὥστε καὶ τὰ αὐξανόμενα ἐν μείζονι γίγνεσθαι τόπῳ. εἰ μέντοι διάστημα ἦν ὁ τόπος, ηὐξάνετο ἂν ὁ τόπος καθ' ἑαυτὸν καὶ ἐπελάμβανεν ἂν μείζονα τόπον, οὕτως δὲ ἦν ἂν ἐν τόπῳ τόπος. ἀλλ' οὐδὲ στιγμῆς τόπος· οὐδὲ γὰρ χωριστὸν ἡ στιγμὴ οὔτε ὑπό τινος περιέχεται. ἀλλ' οὐδὲ δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ· οὐ γάρ ἐστι διάστημα σωματικὸν ὁ τόπος, μᾶλλον δὲ οὐδὲ ὅλως διάστημα, ἀλλὰ πέρας ἐν ᾧ διάστημα μὲν πάντως ἐστίν, ἀλλ' οὐ καθ' αὑτό, ἀλλὰ μετὰ τοῦ σώματος τοῦ τυχόντος. ὅ τε τόπος ποῦ μὲν οὐχ ὡς ἐν τόπῳ δέ, ἀλλ' ὡς τὸ πέρας ἐν τῷ

1 παρὰ] περὶ A 5 ἀληθὲς libri 6 fort. δὲ delendum
16 conf. Simplicius fol. 139.

πεπερασμένῳ· οὐ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα κατὰ φοράν. καὶ φέρεται δὲ εἰς τὸν ἑαυτοῦ τόπον ἕκαστον, εὐλόγως· τὰ γὰρ μὴ βίᾳ ἁπτόμενά τε ἀλλήλων καὶ περιέχοντα ἄλληλα συγγενῆ, οἷον ὕδωρ μὲν γῇ, ἀὴρ δὲ ὕδατι, πῦρ δὲ ἀέρι, συγγενῆ δὲ ὅτι ῥᾷστα εἰς ἄλληλα τὰ ἐφεξῆς μεταβάλλει· ἔχει γάρ τι κοινόν. φερόμενα οὖν ἐπὶ τὰ συγγενῆ σώματα φέρεται ἐπὶ τοὺς οἰκείους τόπους· ὑπὸ γὰρ τῶν συγγενῶν περιέχεται· τὸ γὰρ ἅπτεσθαι ἀλλήλων καὶ ἔστιν ἐν τόπῳ καὶ ποιεῖ καὶ πάσχει εἰς ἄλληλα, ἐπεὶ τῶν γε συμπεφυκότων καὶ ἡνωμένων τὰ μόρια οὔτε ἐν τόπῳ καθ' αὑτά, οὔτε πάσχει τι ὑπ' ἀλλήλων. καὶ μένει δὲ ἐν τῷ οἰκείῳ τόπῳ ἕκαστον, εἰκότως· εἰ γὰρ εὐλόγως φέρεται πρὸς τὸ συγγενές, καὶ μένοι ἂν εὐλόγως ἐν τῷ συγγενεῖ· σχεδὸν γὰρ μέρος γίνεται τοῦ περιέχοντος ὥσπερ ὁ ἀὴρ τοῦ ὕδατος, μόριον δὲ οὐχ ὡς συνεχὲς ὡς ὕδατος ὕδωρ, ἀλλ' ὡς ἁπτόμενον καὶ διῃρημένον· ὕλη γὰρ γίνεται ἀλλήλων· μεταβάλλει γὰρ εἰς ἄλληλα, εἰ καὶ μὴ τὸν αὐτὸν τρόπον. ἀλλ' ὕστερον περὶ τούτων· οὐ γὰρ οἷόν τε νῦν σαφῶς εἰπεῖν, ἀλλ' ἐκεῖνό γε ἐξαρκεῖ. εἰ γὰρ ὕλη, πῶς ἀλλήλων; ὥσπερ τοίνυν τὰ συμπεφυκότα μόρια μένει ἐν τοῖς ὅλοις, οὕτως καὶ τὰ ἁπτόμενα. τῷ δὲ διάστημα λέγοντι τὸν τόπον πῶς οἰσθήσεται τὰ σώματα ἐπὶ τοὺς οἰκείους τόπους· τὸ μὲν γὰρ πέρας οὐ παντὸς σώματος οἰκεῖον αὐτοῖς, ἀλλὰ τοῦ συγγενοῦς πρὸς ὃ φέρεται, εὐλόγως· τὸ δὲ διάστημα ἀδιάφορον καὶ οὐδὲν μᾶλλον ἕτερον ἑτέρου προσήκει τῷ φερομένῳ. περὶ μὲν οὖν τόπου ὅτι τέ ἐστι καὶ τί ἐστιν, εἴρηται.

---

2 δὲ] scrib. δὴ ex Arist. 13 δὲ] δὴ Arist. 29 ἐστι καὶ τί om A

Ἔχεται δὲ ἐφεξῆς ὁ περὶ κενοῦ λόγος τῷ φυσικῷ. 6
καὶ γὰρ ὅσοι διάστημα τὸν τόπον ὑπολαμβάνουσι, τῷ μὲν ὑποκειμένῳ ταὐτά φασιν εἶναι κενόν τε καὶ τόπον, τῷ λόγῳ δὲ διαφέρειν· τὸ γὰρ αὐτὸ τοῦτο διάστημα, ὅταν μὲν ἔχῃ σῶμα, τόπος αὐτοῖς ἐστίν· ὅταν δὲ μὴ ἔχῃ, κενόν. βούλονται γὰρ εἶναι τὸ κενὸν διάστημα ἐν ᾧ μηδέν ἐστι σῶμα. οὕτω μὲν οὖν ἐφεξῆς ἡμῖν ἐστὶν ὁ λόγος, θεωρητέον δὲ τὸν αὐτὸν τρόπον εἰ ἔστιν ἢ μή, καὶ πῶς ἐστὶ καὶ τί ἐστί. πρῶτον δὲ θετέον ἐξ ὧν τε δοκεῖ εἶναι καὶ ἐξ ὧν οὔ, καὶ τάς γε κοινὰς δόξας προτέρας ἐξεταστέον. νῦν μὲν οὖν οἱ δεικνύναι πειρώμενοι ὅτι τὸ κενὸν οὐκ ἔστιν, οὐ κατὰ θύρας ἀπαντῶσι τῷ πράγματι· οὐ γὰρ πρὸς τὴν τοῦ κενοῦ φύσιν ἀντιλέγουσιν, ἣν ὀνειροπολοῦσιν οἱ προϊστάμενοι τῆς δόξης· ἀλλ' ὃ πλανώμενοι κενὸν ὑπολαμβάνουσιν, τοῦτο ὅτι μὲν κενὸν οὐκ ἔστιν, ἐπιχειροῦσι δεικνύναι. ἡ γὰρ νόησις τοῦ κενοῦ γίνεται τοῖς ὑπάρχειν αὐτὸ τιθεμένοις διάστημα εἶναι τὸ κενὸν ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητόν, τὸ πλῆρες ἀέρος κενὸν νομίζουσιν. δεῖ δὴ τὸν ὀρθῶς πρὸς τὴν δόξαν ταύτην ἐνιστάμενον οὐ τὸν ἀέρα μὴ ὄντα κενὸν ἐπιδεικνύναι, ὥσπερ Ἀναξαγόρας ἐποίει στρεβλῶν τοὺς πεφυσημένους ἀσκοὺς καὶ δεικνὺς ὡς ἰσχυρὸς ὁ ἀήρ, καὶ τὰς κλεψύδρας οὐκ εἰσδεχομένας τὸ ὕδωρ, εἰ μή τις ἔξοδον τῷ ἀέρι συγχωρήσειεν· ἀλλὰ πῶς χρὴ τὸ κενὸν ἀναιρεῖν; ὃ βούλεται σημαίνεσθαι διελέγχοντας, οὐχ ὃ λέγουσιν. ὅτι τοίνυν οὐχ οἷόν τε εἶναι διάστημα ἕτερον τῶν σωμάτων καὶ χωριστὸν ἐνεργείᾳ, τοῦτο δεικτέον. ὅπερ ἢ διαλαμβάνει τὸ πᾶν σῶμα καὶ οὐκ ἐᾷ συνεχὲς εἶναι,

---

2 ὑπολαμβάνωσι A 13 οὐ κατὰ] οὔτε κατὰ V 15 ὃ] οἱ V

ἢ τοῦ παντὸς οὐρανοῦ συνεχοῦς ὄντος ἔξωθέν ἐστιν περιέχον αὐτόν· δύο γὰρ οὗτοι τῆς θέσεως τοῦ κενοῦ τρόποι, ἢ παρεσπάρθαι τοῖς σώμασιν αὐτό, καθάπερ λέγουσιν Δημόκριτός τε καὶ Λεύκιππος καὶ ἄλλοι πολλοὶ καὶ Ἐπίκουρος ὕστερον· οὗτοι γὰρ πάντες τὴν τοῦ κενοῦ παρεμπλοκὴν αἰτιῶνται τῆς διαιρέσεως τῶν σωμάτων, ἐπεὶ τό γε ἀληθῶς συνεχὲς ἀδιαίρετον κατ' αὐτούς· ἢ κεχωρισμένον καὶ ἀθρόον εἶναι, καθ' αὑτὸ περιέχον τὸν οὐρανόν, ὡς πρότερον μὲν ᾤοντο τῶν ἀρχαίων τινές, μετὰ δὲ ταῦτα οἱ περὶ Ζήνωνα τὸν Κιττιέα.

Ἐπισκεπτέον τοίνυν ἃ λέγουσιν οἱ συνιστάμενοι τῷ κενῷ, λέγουσι δὲ ἓν μέν, ὅτι κίνησις ἡ κατὰ τόπον οὐκ ἂν εἴη μὴ συγχωρουμένου τοῦ κενοῦ, κίνησις δὲ κατὰ τόπον φορὰ μὲν αὔξησις καὶ φθίσις, καὶ πρότερον πῶς οὐκ ἔστι φορά; τὸ γὰρ κινούμενον εἰ μὴ διὰ τοῦ κενοῦ, ἀνάγκη διὰ τοῦ πλήρους κινεῖσθαι· ἀλλ' εἰ διὰ πλήρους, σῶμα διὰ σώματος κινηθήσεται, καὶ σῶμα ἐν σώματι ἔσται, ὅλον ἐν ὅλῳ, καὶ δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ ἔσται εἰ δὲ δύο, διὰ τί μὴ καὶ πλείω; οὐ γὰρ δὴ μᾶλλον νῦν ἐστὶ πλῆρες, ὅτι διπλοῦν γέγονεν ἢ πρότερον ἦν, ἡνίκα μόνον ὑπῆρχεν· ὁμοίως γὰρ ἦν συνεχὲς καὶ ὁμοίως μεστὸν καὶ πρὸ τοῦ, ἀλλ' ὅμως ἐδέξατο καὶ ἄλλο. διὰ τί οὖν οὐ πάλιν καὶ ἄλλο, καὶ αὖθις ἄλλο, καὶ οὕτως ἔσται ἐν τῷ σμικροτάτῳ τὸ μέγιστον· πολλὰ γὰρ μικρὰ
fol. 41 τὸ μέγα ἐστίν. οὐ μόνον τοίνυν τὰ ἴσα σώματα ἑαυτῷ, ἀλλ' ἤδη καὶ ἄνισα δέξεται· πλείω γὰρ ἴσα, πλείω καὶ ἄνισα ἑτέρως καὶ ἑτέρως διαιρούμενα γίνεται,

---

3 τόποι A  15 μὲν] καὶ deest  καὶ φθίσις om Arist. p. 213 b. 5 conf. 211, 15.  16 πρότερον] πρῶτον?  28 πλείω γάρ] γὰρ πλείω V

ὥστε ἀνάγκη κενὸν εἶναι, εἰ κίνησιν διασώζομεν. τούτῳ καὶ Μέλισσος εἶξε τῷ λόγῳ, ἐπειδὴ κενὸν οὐκ ᾤετο, μηδὲ κινεῖσθαι τὸ πᾶν ἀπεφαίνετο. ὅτι δὲ μᾶλλον αὔξησις οὐκ ἔστι μὴ ὄντος κενοῦ, φανερόν. τὴν μὲν γὰρ αὔξησιν δεῖ γίνεσθαι πάντῃ προσκρινομένης τῷ αὐξανομένῳ σώματι τῆς τροφῆς, τοῦτο δὲ οὐκ ἂν γένοιτο μὴ πάντῃ διιούσης αὐτῆς, ἀδύνατον δέ ἐστι σῶμα οὖσαν δι᾽ ὅλου χωρεῖν τοῦ σώματος, πλὴν εἰ μὴ κενόν τι παρενείροιμεν τοῖς σώμασιν. οὕτω μὲν οὖν ἐκ τῆς κινήσεως ἐπιχειροῦσιν, ἄλλον δὲ τρόπον, ὅτι φαίνεται ἔνια συνιόντα καὶ πιλούμενα εἰς ἐλάττονα ὄγκον μένοντα ἐπὶ τῆς αὐτῆς οὐσίας· οἱ γὰρ πίθοι τὸν ἴσον δέχονται οἶνον καθ᾽ αὑτόν τε καὶ εἰς ἀσκοὺς ἐμβληθέντα μετὰ τῶν ἀσκῶν, δῆλον ὡς κενῶν τινῶν ὄντων ἐν τῷ οἴνῳ εἰς ἃ σύνεισι καὶ πυκνοῦται ἐκθλιβόμενος ὑπὸ τῆς βίας. μαρτύριον δὲ ποιοῦνται καὶ τὸ περὶ τῆς τέφρας, ἣ δέχεται ἴσον ὕδωρ ὅσον τὸ ἀγγεῖον κενόν. ὅλως τε οὔτ᾽ ἂν διαιρεῖσθαι τὰ σώματα, οὔτ᾽ ἂν ἀπ᾽ ἀλλήλων διακεκρίσθαι, εἰ μὴ παρενέπιπτεν τὸ κενόν, καὶ ἐκώλυεν αὐτὰ πάντα ἀλλήλοις ἡνῶσθαι· ταύτην γὰρ καὶ οἱ Πυθαγόρειοι αἰτίαν τῷ κενῷ προστιθέασιν, οὐκ οἶδ᾽ ὅπως αὐτὸ καὶ εἰσπνεῖσθαι λέγοντες ὑπὸ τοῦ παντὸς ἔξωθεν περικεχυμένου, ἐπεὶ καὶ τῶν ἀριθμῶν τὴν φύσιν μίαν εἶναι διωρισμένην, μᾶλλον δὲ μηδ᾽ ἂν ἀριθμοὺς εἶναι μὴ τοῦ κενοῦ διακρίνοντος τὰς μονάδας.

Ἃ μὲν οὖν εἶναι λέγουσιν οἱ τὸ κενὸν εἶναί τι- 7

---

1 εἰ] ἢ εἰ A 2 τούτῳ Victorius, τοῦτο libri 5 παντὶ προκρινομένης A

*θέντες, ταῦτά ἐστιν, εἴρηται δὲ καὶ ὅτι μὴ πρὸς ἔπος ἀντιλέγουσιν οἱ πρὸς τὸ δόγμα ἱστάμενοι. λέγωμεν τοίνυν ἡμεῖς, πότερον ἔχει τἀληθές, ἀρχὴ δὲ πάσης ζητήσεως τοιαύτης, τί σημαίνει τὸ προκείμενον, ἐξετάσαι καὶ εἰ μὲν ἓν σημαίνει, τοῦτο ἰδεῖν εἴτε δυνατὸν εἴτε μή, εἰ δὲ πλείω, τίνα μὲν οἷόν τε, τίνα δὲ οὔ· καὶ εἰ μηθὲν ὅλως τῶν σημαίνεσθαι φαινομένων, τότε ἀνυπόστατον τὴν φωνὴν ἐπιδεικνύναι. αὐτῶν οὖν πυθώμεθα τῶν τὸ κενὸν τιθεμένων, ὅ τι δοκεῖ τοὔνομα αὐτοῖς τοῦτο σημαίνειν. ἐροῦσι δὲ οἱ μὲν ἁπλῶς τόπον, ἐν ᾧ μηδέν ἐστιν· πᾶν γὰρ τὸ ὂν σῶμα ὑπολαμβάνουσιν εἶναι. εἰ δὴ τοῦτο κενὸν λέγουσιν ἐν ᾧ μηδέν ἐστι σῶμα, πᾶν δὲ σῶμα ἁπτὸν κατ' αὐτούς, ἅπαν δὲ ἁπτὸν βάρος ἢ κουφότητα ἔχει, εὑρίσκεται συλλογιζομένοις τὸ κενὸν ἐν ᾧ μηδέν ἐστι κοῦφον ἢ βαρύ. τούτοις μὲν οὖν οὕτως ἐκλαμβάνουσιν ἕπεται καὶ τὴν στιγμὴν κενὸν λέγειν· οὐδὲν γὰρ ἐν αὐτῇ οὔτε βαρὺ οὔτε κοῦφόν ἐστιν· εἰ γὰρ καὶ τὸν τόπον προστιθέασι, πλέον ἀνύσουσιν οὐδέν, ἕως ἂν μὴ διορίζωσιν, εἰ τοιοῦτον λέγουσιν τόπον ἐν ᾧ διάστημά ἐστιν δεκτικὸν σώματος ἁπτοῦ. ἄλλοι δὲ διὰ τοῦτο προσθήσουσι τὸ διάστημα, καὶ φήσουσιν εἶναι τὸ κενὸν διάστημα οὐ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν. τὴν μὲν οὖν στιγμὴν οὗτοί γε ἀποφεύξονται, θέα δὲ ἕτερον ἀπορώτερον, εἰ τὸ διάστημα τοῦτο ἢ χρῶμα ἢ ψόφον προσλάβοι ἤ τινα ἄλλην ποιότητα χωρὶς βάρους ἢ κουφότητος, πότερον ἔτι κενὸν ἐροῦσι τὸ διάστημα καὶ ἔσται τὸ κενὸν αἰσθητόν, ἢ οὐκέτι; καὶ πῶς ἐπιδέξεται τὸ σημαινό-*

---

2 *λέγωμεν* Victorius, *λέγομεν* libri 8 *τότε*] *τόγε* A 9 *πυθόμεθα* libri 11 *ἐστιν*] *ἐστιν σῶμα* V 19 *ἀνύσουσιν*] *ἀγνύσουσιν* libri 20 *διορίζουσιν* A

*μενον τοῦ κενοῦ; οὐ γὰρ ὂν κενόν. ὅμως οὐ πλῆρές ἐστιν αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν. οὐκ ἔστι δὲ ἀδύνατος ἡ ὑπόθεσις εἶναι σῶμα οὔτε κοῦφον οὔτε βαρὺ οὔτε ἁπτὸν ὅλως; τοιοῦτον γὰρ τὸ θεῖον ἐπιδειχθήσεται. εἴπερ οὖν εἴη τι τοιοῦτον ἐν τόπῳ, κενὸς ὁ τόπος ὑπάρξει καίτοι σῶμα ἔχων ὁρατόν. ἕτεροι τοίνυν ἵνα μηδὲ τούτῳ περιπίπτωσιν, ἄλλον τρόπον ἐξηγήσονται τὸ κενὸν διάστημα, ἐν ᾧ μὴ τόδε ἔστιν ἐνεργείᾳ, τουτέστιν ἐν ᾧ μηδὲν ὅλως σῶμά ἐστιν, μηδὲ φύσις σωματικὴ μήτε ἁπτὴ μήτε κατ' ἄλλην τινὰ αἴσθησιν αἰσθητή. τούτοις δὲ ἀκολουθεῖ, καὶ μέντοι καὶ λέγουσι, τὴν ὕλην εἶναι τὸ κενόν· αὕτη γὰρ οὐδέν ἐστιν ἐνεργείᾳ σῶμα. οἱ δὲ αὐτοὶ καὶ τόπον τὴν ὕλην ποιοῦσιν. ἄμεινον μὲν οὖν τῶν ἄλλων συνίασιν οὗτοί γε τοῦ σώματος. τὸ μέντοι καὶ τὴν ὕλην κενὸν ποιεῖν πάνυ μέμψαιτο ἄν τις αὐτῶν· ἡ γὰρ ὕλη οὐ χωριστὴ τῶν πραγμάτων εἰ μὴ τῷ λόγῳ, τὸ κενὸν δὲ ζητοῦσιν εἶναι χωριστὸν κατ' ἐνέργειαν, καὶ τοῦτο δὲ αὐτῶν παριᾶσιν. ὅμως οὐδὲ κατ' αὐτὴν τὴν δόξαν οἷόν τε εἶναι κενόν. ἤδη μὲν οὖν ἐξήτασται ἡμῖν ὁ λόγος. ὅτε γὰρ τὸν τόπον ἐδείκνυμεν οὐκ ὄντα διάστημα τῶν σωμάτων κεχωρισμένον, τότε ὅτι μηδὲ τὸ κενὸν οἷόν τε εἶναι συναπεδείκνυμεν. εἰ γὰρ ἀδύνατον εἶναι διάστημα δίχα σώματος, οὔτε τόπος ἐστὶ διάστημα ὃ οἷόν τε χωρίζεσθαι τῶν σωμάτων, οὔτε μὴν διάστημα ἤδη κατ' ἐνέργειαν τῶν σωμάτων κεχωρισμένον· τὸ γὰρ κενὸν καὶ ὁ τόπος τοῖς οὕτως αὐτὸν τιθεμένοις ἐπινοίᾳ μόνον ἀλλήλων διοίσουσιν, ὥσπερ εἰρήκαμεν, καὶ τὸν μὲν τόπον ὅταν ἤδη δέξηται σῶμα, νοοῦμεν· τινὸς γὰρ ὁ*

---

3 *ἡ* om A 6 *ἔχον* libri 11 *αἰσθητὴν* V

*τόπος, τὸ δὲ κενὸν ὅταν μήπω δέξηται σῶμα, ἐπεὶ τό γε εἶναι διαστήμασιν τῶν σωμάτων τῇ φύσει κεχωρισμένοις ἀμφοῖν κατ' αὐτοὺς ὁμοίως ὑπάρχει. ἐξήρκει μὲν οὖν ἴσως κἀκεῖνα, δεικτέον δ' ὅμως καὶ νῦν, ὅτι μηδὲν τοιοῦτον κενὸν οἷόν τε ὑπάρχειν μήτε ἀθρόον μήτε ἐγκεκραμένον τοῖς σώμασιν, ὥσπερ τὰ λεπτομερέστερα σώματα παχυτέροις, καθάπερ τὸν ἀέρα ἐπιδεικνύουσιν οἱ κενὸν αὐτὸν ὑπολαμβάνοντες, οἳ μηδὲ τοῦτο ἴσασιν, ὅτι τὸ κενὸν οὐ σῶμα ἀλλὰ διάστημα σώματος βούλεται εἶναι. διὰ τοῦτο γὰρ ἔδοξε καὶ τὸ κενὸν ἀναγκαῖον, ὡς καὶ ὁ τόπος, τοῖς διάστημα αὐτὸν τιθεμένοις, ὅτι ἀεὶ δεῖ χώραν τινὰ εἶναι τῶν σωμάτων δεκτικόν. ἄμφω παράγουσιν καὶ ἄμφω κατασκευάζουσιν ἐκ τῶν αὐτῶν ὁρμώμενοι· ἀπὸ γὰρ* fol. 41b *τῆς κινήσεως τῶν σωμάτων καὶ οἱ τὸν τόπον φάσκοντες εἶναι διάστημα παρὰ τὰ ἐμπίπτοντα σώματα, καὶ οἱ τὸ κενὸν τοιοῦτον· αἴτιον γὰρ τῆς κινήσεως τίθενται τὸ κενὸν οὐχ ἁπλῶς ἀλλ' οὕτως αἴτιον, ὡς χώραν τινὰ ἐν ᾗ κινεῖται τὰ σώματα. τοῦτο δὲ ἂν εἴη ταὐτὸν τῷ λέγειν ὡς τόπον αἴτιον εἶναι τὸ κενόν. εἰ γὰρ μή, σῶμά φασι διὰ σώματος, καὶ ὅσα εἴρηται πρότερον.*

*Ἐπειδὴ τοίνυν ἐκ τῆς κινήσεως μάλιστα οἴονται κατασκευάζεσθαι τὸ κενόν, τοῦτον αὐτῶν πρῶτον ἐξετάζωμεν τὸν λόγον. ὅλως μὲν οὖν ἁπάσης κινήσεως αἴτιον οἴεσθαι τὸ κενὸν οὔτε πιθανόν, οὔτε λέγουσιν· οὐ γὰρ καὶ ἀλλοίωσις τόπου προσδεῖται, ἀλλὰ τοῦτο καὶ Μέλισσον ἔλαθεν. ἀλλ' οὐδὲ τῆς κατὰ τόπον κινήσεως· δύναται γὰρ ἀντιμεθίστασθαι ἀλλή-*

---

17 *τίθεται* A   23 *οἴονται* Victorius, *οἷόν τε* libri   25 *ἐξετάζομεν* libri, fort. rectius *ἐξετάσομεν*

λοις τὰ σώματα καὶ κινεῖσθαι κατὰ τόπον, ἀμείβοντα τοὺς ἀλλήλων τόπους καὶ μὴ προσδεόμενα κενοῦ διαστήματος κεχωρισμένου· ὁρῶμεν γὰρ καὶ τὸ ὕδωρ μὴ προσεπιλαμβανόμενον μήτε διάστημα μήτε τόπον, ὅμως οὐ κωλύεται κινεῖσθαι τῶν μορίων ἀλλήλοις ἀντιμεθισταμένων ὥσπερ ἐν ταῖς δίναις. τίς οὖν ἐνταῦθα τοῦ κενοῦ χρεία, ἵνα μὴ σῶμα διὰ σώματος χωρήσῃ; ὃν γὰρ εἶχεν τόπον τουτὶ τὸ μόριον ἐν τῷ ὕδατι, τοῦτον ἔχει τὸ ἕτερον νῦν.

Δεύτερον τοίνυν ἔλεγον, εἰ πυκνοῦται τὰ σώματα, ἔστι κενόν· συνίεται γὰρ εἰς τοῦτο. καὶ τοῦτο δὲ ψεῦδος· πυκνοῦται γὰρ ἐκθλιβομένου τοῦ λεπτοῦ σώματος καὶ οἷον ἐκπυρηνίζοντος, οἷον ὕδωρ μὲν πιλοῦται ἀέρος ἐκπυρηνιζομένου, καὶ ἀὴρ δὲ πυρός, γῆ δὲ ὕδατος· ἐγκέκραται γὰρ ἀεὶ λεπτότερόν τι τῷ παχυτέρῳ, διὸ πυρὸς πίλησις οὐκ ἔστι.

Τρίτον φασὶν εἰ αὔξησίς ἐστιν, καὶ διάστημα· σῶμα γὰρ οὐ χωρεῖ διὰ σώματος. εἰ μὲν οὖν αὔξησιν λέγουσιν πᾶσαν μεγέθους ἐπίδοσιν, ἀπιθάνως ψεύδονται· πάνυ πολλὰ γὰρ αὔξεται εἰς πλείονα ὄγκον μηδὲ προσθήκης τινὸς αὐτοῖς γινομένης, ὡς καὶ τὸ ὕδωρ, ἡνίκα ἂν εἰς ἀέρα μεταβληθῇ. ἐνταῦθα ὁ μὲν ὄγκος αὔξεται, σῶμα δὲ οὐ προστίθεται. εἰ δὲ τὴν κυρίως τὴν ἐκ τῆς τροφῆς, οὐκέτι ὑπ' ἄλλων ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλίσκονται τοῦ λόγου· ὅλως γὰρ ὁ περὶ τῆς αὐξήσεως λόγος αὐτὸς ἑαυτὸν ἐπιλυμαίνεται. ἵνα γὰρ λύσῃ κοινὴν ἀπορίαν, τὸ κενὸν εἰσάγειν ἐπιχειρῶν, ὅταν φαίνηται καὶ εἰσαχθέντος μηδὲν περαίνων, τὴν χρείαν αὐτοῦ διαβάλλει· βούλεται

9 τοῦτο A  11 συνίεται] συνίε A  16 πίλησις] πίλασις libri  17 φησὶν A

γὰρ σώζειν τὴν αὔξησιν τὰς ἐπιφερομένας ἀπορίας διαφυγγάνων, φυλάττει δὲ αὐτὰς μᾶλλον ἢ φυλάττεται. εἰ γὰρ διιούσης διὰ τοῦ κενοῦ τῆς τροφῆς πρόσκρισις γένηται τῷ λοιπῷ σώματι, ὅρα δή, πῶς ταῦτα ἀπορεῖν ἔνεστιν. ἢ γὰρ οὐ πάντῃ γίνεται ἡ προσθήκη τῷ σώματι, ἀλλὰ κατὰ μόνα τὰ κενά, καὶ οὐκ ἔστιν αὔξησις τοῦτο· ἢ εἰ πάντῃ, τῶν δυοῖν θάτερον ἀναγκαῖον, ἢ πάντῃ κενὸν εἶναι τὸ σῶμα, ἢ σῶμα χωρεῖν διὰ σώματος, ἢ εἴπερ ἄτοπα ταῦτα, πάλιν θάτερον τοῖν δυοῖν, ἢ τὴν τροφὴν εἶναι κενόν, ἢ μηδαμῶς αὔξησιν εἶναι. ἆρά σοι προὔργου τι πεποιηκέναι δοκοῦσιν οἱ τὸ κενὸν εἰσάγοντες πρὸς τὴν ἀπορίαν, ἀλλ' οὐχ ἑαυτοὺς καταβάλλειν; φάσκοντες μὲν γὰρ ἀναγκαῖον εἶναι διὰ τὴν αὔξησιν τὸ κενόν, μὴ σώζοντες δὲ αὐτήν, εἰ καὶ τοῦτο παραδεξαίμεθα. ταὐτὰ δὲ καὶ περὶ τῆς τέφρας ὑπομένει ὁ λόγος· ἢ γὰρ ἔλαττον ἐχρῆν εἶναι τὸ ὕδωρ τὸ μετὰ τὴν τέφραν ἐμβαλλόμενον τῇ κύλικι, ἐπειδὴ καὶ τὰ κενὰ ἐλάττω τὰ μετὰ τῆς τέφρας τῷ πρὸ τοῦ· ἢ εἴπερ ἴσον· τοῦτο γὰρ ὡς ἄπορον λέγεται, ἀνάγκη διὰ τῆς τέφρας χωρεῖν τὸ ὕδωρ ὅλον δι' ὅλης, ὃ πάνυ καλῶς ποιοῦντες οὐ παραδέχονται. ὅλως δὲ οὐδ' ἀπόδειξις τοῦτο· οὐ γὰρ πῶς ἐστιν κενόν, ἐπιδεικνύουσιν, ἀλλὰ πρὸς ἄπορον ἵστανται ὃ μηδὲ αὐτοὶ διορθοῦνται.

8

Ταῦτα μὲν οὖν ὅπως δεῖ λύειν, εἰρήσεται καὶ τοῦ κενοῦ χωρίς. νῦν δὲ ἐπειδὴ μάλιστα κινήσεως αἴτιον τὸ κενὸν ὑπολαμβάνουσιν, αὖθις τοῦτο ἐπισκεψόμεθα, καὶ ἐπειδή τινες μὲν αὐτὸ ἐν τοῖς σώμασι καταμι-

---

2 διαφυγγάνων] διαθιγγάνων V   4 δή] δὲ A   7 τοῖν?
11 προὐργόν libri   16 ὑπομενεῖ V   18 κενὰ] κοινὰ V

γνύουσιν, τινὲς δὲ ἀθρόον κεχωρισμένον ποιοῦσιν, πρῶτον τοῦτο ἐξετάσομεν, εἰ τὸ τοιοῦτον κενόν, λέγω δὲ τὸ κεχωρισμένον, δύναται κινήσεως αἴτιον εἶναι. ἄτοπον δὴ τὸ λέγειν κενὸν αἴτιον εἶναι κινήσεως ὁρῶντα ἑκάστου τῶν ἁπλῶν σωμάτων τὴν οἰκείαν φύσιν τῆς κινήσεως αἰτίαν οὖσαν· ἑκάστου γάρ ἐστι φύσει φορά τις ἰδία· πυρὸς μὲν γὰρ ἐπὶ τὸ ἄνω, γῆς δὲ ἐπὶ τὸ κάτω, τὸ κενὸν δὲ πῶς αἴτιον τοῦ ἄνω ἢ κάτω κινεῖσθαι· ἀδιάφορον γὰρ πανταχῇ τὸ κενόν, ὥστε ἡνίκα ἂν ἐν αὐτῷ τεθῇ τὰ σώματα, ἢ πανταχοῦ δεῖ αὐτὰ φέρεσθαι ἢ πανταχοῦ μένειν, καὶ μονῆς αἴτιον μᾶλλον εἶναι τὸ κενὸν ἢ κινήσεως. οὗτος ὁ λόγος ἁρμόζει καὶ πρὸς τοὺς ποιοῦντας διάστημα τὸν τόπον κεχωρισμένον. πῶς γὰρ ἐπὶ τὸν οἰκεῖον τόπον οἰσθήσεται ἕκαστον τῶν φυσικῶν σωμάτων ἢ πῶς ἐν αὐτῷ μενεῖ, δεικτέον αὐτοῖς· ἡμεῖς μὲν γὰρ τὸ πέρας τοῦ περιέχοντος λέγοντες ἐφελκόμεθα τῇ συγγενείᾳ καθὰ προείρηται, τὸ δὲ διάστημα ἀδιάφορον πανταχοῦ. τί γὰρ διοίσει τὸ ἄνω τοῦ κάτω; νῦν μὲν γὰρ ἐπειδὴ τὰ σώματα διαφέρει τὰ ἄνω ὄντα τῶν κάτω, καὶ τὰ πέρατα αὐτῶν διαφέρει οἷς περιέχει τὰ συγγενῆ· οὐ γὰρ καθ᾽ αὑτὰ τὰ πέρατα ποιοῦμεν τοὺς τόπους ὡς τὴν μαθηματικὴν ἐπιφάνειαν, ἀλλὰ τὴν ἐν φυσικῷ σώματι καὶ ἀχώριστον· οἱ δὲ τὸ διάστημα λέγοντες εὐθὺς χωριστὸν αὐτὸ βούλονται εἶναι τῶν φυσικῶν καὶ ἁπλῶν σωμάτων. οὐδὲν οὖν διοίσει τὸ ἐν πυρὶ τοῦ ἐν ὕδατι· οὐδὲ γὰρ ἀπολαύει τι τοῦ σώματος, ἀλλ᾽ ἔστι καθ᾽ αὑτό, καθάπερ δὴ καὶ τὸ κενὸν εἴπερ ἐστίν· εἴρηται γὰρ ὅτι τὸ κενὸν οὐδὲν

4 δὴ] δὲ δὴ A 15 ἑκάστων A 16 μένει libri 28 καὶ] γὰρ A

ἄλλο ἢ τόπον ἡγοῦνται οἱ τὸ διάστημα παράγοντες εἰς τὸν τόπον. εἰ οὖν τοῦτο μὴ αἴτιον κινήσεως τὸ fol. 42. διάστημα, ἀναίτιον ὁμοίως καὶ τὸ κενόν· καθάπερ γὰρ ἄλληλα συνεισάγει, οὕτως ἀλλήλοις καὶ συναπόλλυται. προστίθησι δὲ Ἀριστοτέλης, ὅτι τῷ διάστημά τι λέγοντι τὸν τόπον ἕπεται καὶ τὰ μέρη καθ' αὑτὰ ποιεῖν ἐν τόπῳ. τοῦτο δὲ προλαβόντες ἡμεῖς ἐν τοῖς περὶ τοῦ τόπου τί ἂν πάλιν λέγωμεν.

Συμβαίνει δὲ τοῖς λέγουσιν ἀναγκαῖον εἶναι κενόν, εἴπερ ἔστι κίνησις, τοὐναντίον μᾶλλον, ἐάν τις ἐπισκοπῇ μὴ ἐνδέχεσθαι κινεῖσθαι μηδέν, ἂν ᾖ κενόν. ὥσπερ γὰρ λέγουσίν τινες διὰ τὸ ὅμοιον τοῦ περιέχοντος τὴν γῆν ἠρεμεῖν, τοῦτο ἀκολουθεῖ καὶ τοῖς τὸ κενὸν τιθεμένοις· οὐ γάρ ἐστιν οὗ μᾶλλον ἢ ἧττον κινήσεται· ᾗ γὰρ κενόν, οὐκ ἔχει διαφοράν. ἔπειτα ὅτι πᾶσα κίνησις ἢ βίᾳ ἢ κατὰ φύσιν, ἀνάγκη δὲ ἄνπερ ᾖ βιαία, πρώτην εἶναι τὴν κατὰ φύσιν· ὑστέρα γὰρ αὕτη ἐκείνης καὶ ἐκτροπή. οὐδὲ γὰρ ἂν βίαιος εἴη καὶ παρὰ φύσιν μὴ τῆς κατὰ φύσιν ἀντικειμένης. ἂν τοίνυν ἐπιδείξωμεν μὴ σωζομένην τὴν κατὰ φύσιν ἐν τῷ κενῷ, δῆλον ὡς οὐδὲ ἄλλη τις τῶν παρὰ φύσιν σωθήσεται. ἀλλὰ μὴν φύσει πῶς ἔσται μηδεμιᾶς οὔσης διαφορᾶς ἐν τῷ κενῷ καὶ ἀπείρῳ. καθὸ μὲν γὰρ ἄπειρον λέγουσιν, ἀναιροῦσι τὸ ἄνω καὶ κάτω, καὶ ὅλως τὸ μέσον καὶ ἔσχατον ἐφ' ἃ κατὰ φύσιν ἡ κίνησις τοῖς σώμασιν τοῖς φυσικοῖς· καθὸ δὲ κενόν, πᾶσαν αὐτοῦ διαφορὰν ἀφαιροῦσιν· ὥσπερ γὰρ τοῦ μηδενὸς οὐδεμία ἐστὶ διαφορά, οὕτω καὶ τοῦ κενοῦ· τὸ γὰρ κενὸν μὴ ὄν τι καὶ στέρησιν

2 μὴ om V 8 scrib. λέγοιμεν 17 βιαία] βίᾳ V, scribend. βίαιος 18 ἐκείνης] ἐκείνη libri 19 τῆς — ἀντικειμένης] τὴν — ἀντικειμένη libri

λέγει Δημόκριτος, ὥστε εἰ ἡ κατὰ φύσιν κίνησις διαφορᾶς δεῖται τοῦ περιέχοντος, αὕτη δὲ οὐκ ἔστιν ἐν τῷ κενῷ, οὐδ' ἂν ἡ παρὰ φύσιν κίνησις εἴη· μὴ οὔσης δὲ ταύτης οὐδ' ἂν ἄλλη τις τῶν μετὰ ταύτην ὑπάρχοι. οἴχεται οὖν ἡ κίνησις εἰ τὸ κενὸν εἴη, καὶ ἀληθὲς ἄρα τὸ εἰρημένον, ὡς εἴπερ ἔσται κίνησις, ἀναιρετέον τὸ κενόν, οὐκ εἰσακτέον. ἐξήρκει μὲν οὖν καὶ οὕτως ἀποδεῖξαι τὴν παρὰ φύσιν κίνησιν μὴ σωζομένην ἐκ τοῦ μὴ σώζεσθαι τὴν κατὰ φύσιν. τυγχανέτω δὲ καὶ καθ' αὑτὸ λόγου τινός· πᾶσα γὰρ ἡ παρὰ φύσιν κίνησις ἢ παρόντος καὶ βιαζομένου τοῦ κινοῦντος γίνεται, ἢ ἀφισταμένου καὶ οὐχ ἁπτομένου τοῦ τὴν ἀρχὴν ἐνδόντος, ὡς ἐπὶ τῶν ῥιπτοκύτων καὶ τοξευόντων, σώζεται δὲ αὐτῶν οὐδετέρα. οὐδὲ γὰρ ῥίψις ἔχοι ἂν εὔλογον αἰτίαν· νῦν μὲν γὰρ κινεῖται τοῦ ῥίψαντος καὶ ὤσαντος οὐχ ἁπτομένου ἢ τῷ ἀντιπεριίστασθαι τὸν ἀέρα τὸν πρὸ τοῦ ῥιπτομένου σώματος ὑπὸ τῆς ῥύμης καὶ γίνεσθαι κατόπιν ἐπωθοῦντα μέχρι τοσούτου, μέχρις ἂν ἡ ῥύμη χαλασθῇ εἴτε κατακλυσθῇ, ἢ τῷ τὸν ἀέρα αὐτὸν ὠθεῖν οἷον συνωθούμενον τῷ βληθέντι ἐπισυρρυέντος αὐτῷ τοῦ μετ' αὐτὸν ἀέρος ἀθρόου. εὐκίνητος γὰρ ὢν εἰ μόνον ἀρχῆς λάβοιτο, πρόεισιν ἐπὶ πλεῖστον τὴν ἐνδοθεῖσαν κίνησιν διαφυλάττων, καὶ θάττω κινούμενος κίνησιν τῆς τοῦ ὠσθέντος φορᾶς, ἣν φέρεται κατὰ φύσιν ἐπὶ τὸν οἰκεῖον τόπον. τούτων δὲ οὐδὲν ὑπάρχει λέγειν ἐν τῷ κενῷ. ἀλλὰ μὴν οὐδ' ὡς παρόντος τοῦ βιαζομένου καὶ οἷον ὠθοῦντος ἢ ἕλκοντος· αὐτὸ γὰρ ἐκεῖνο τὸ βιαζόμενον πῶς κινεῖται; πότερον κατὰ φύσιν ἢ

---

1 ὥστε] ὥσπερ A  εἰ ἡ] εἰ libri  13 ῥυπτοκύτων V
20 κατακλυθῇ V

παρὰ φύσιν; ἕξει γὰρ πάλιν τὸ αὐτὸ ἄτοπον. ἔτι οὐδεὶς ἂν ἔχοι εἰπεῖν διὰ τί τὸ κινηθὲν στήσεταί που; τί γὰρ μᾶλλον ἐνταῦθα ἢ ἐνταῦθα; εἰ δὲ ἐνταῦθα, διὰ τί οὐ πανταχοῦ ὥς τε ἠρεμήσει; ἢ γὰρ ἀεὶ ἑστάναι ἀναγκαῖον ἢ ἀεὶ φέρεσθαι. ἀλλ' ἴσως ἐμποδιεῖ τι τῇ κινήσει τὸ κρεῖττον καὶ ἰσχυρότερον, μεταβήσεται δὲ πάλιν ἐπὶ τοῦτο ὁ λόγος. τοῦτο γὰρ τὸ κρεῖττον πότερον ἕστηκεν καὶ διὰ τί ἐνθάδε, καὶ οὐκ ἀλλαχοῦ; ἢ κινεῖται, καὶ πῶς κινεῖται ἢ πῶς ἐμποδιεῖ; ἔτι φασὶν αὐτοὶ διὰ μὲν τοῦ πλήρους μηδὲν κινεῖσθαι· μὴ γὰρ ὑπείκειν, διὰ τοῦ κενοῦ δέ, ὡς οὐκ ἔχοντος ἀντιτυπίαν οὐδὲ κωλύοντος· οὕτω γὰρ καὶ δι' ἀέρος μὲν μᾶλλον κινεῖσθαι, ἐπειδὴ μᾶλλον ἐγγὺς τοῦ κενοῦ, ἧττον δι' ὕδατος, διὰ γῆς δὲ οὐκέτι. ἐν κενῷ δὲ ἀπείρῳ οὐκ ἔστιν εἰκτικώτερον οὐδὲν ἄλλο ἄλλου, ὥστε πάντῃ ὁμοίως οἰσθήσεται. τοῦτο καὶ πρὸς τοὺς περὶ Χρύσιππον ῥητέον, διὰ τί ὁ κόσμος οὐκ εἰς ἄπειρον οἰσθήσεται φερόμενος ἐπὶ πᾶν τοῦ κενοῦ μέρος ὁμοίως, ἢ διὰ τί ἐνταῦθα μὲν βούλονται στηρίζειν αὐτόν; πρὸς μὲν γὰρ τὸ μὴ διασπᾶσθαι ἀρκείτω ἡ συνέχουσα ἕξις, πρὸς δὲ τὸ ὅλον μετὰ τῆς συνεχούσης ἕξεως ἐνταῦθα μένειν τί ἂν ποιοῖ.

Ἔτι δὲ καὶ ἐκ τῶνδε φανερόν, ὅτι οὐκ ἔστιν κίνησις ἐν κενῷ. ἀναιρεῖται γὰρ τὸ θᾶττον καὶ βραδύτερον ἐν κινήσει, πρᾶγμα ἐναργὲς καὶ οὐδὲ λόγου δεόμενον. ὁρῶμεν γὰρ τῆς ἀντιταχοῦς κινήσεως τοῖς ὁμογενέσι σώμασιν καὶ ὁμοίαν ἔχουσιν τὴν ῥοπὴν ἐπὶ τὸ κάτω ἢ ἐπὶ τὸ ἄνω δύο οὔσας αἰτίας, εἰ καὶ τὰ σχήματα

---

2 τὸ κινηθὲν] τὸ om A 4 ἠρεμήσει] fort. ἠρεμήσει ἢ εἰς ἄπειρον ἀνάγκη φέρεσθαι· ἢ γὰρ 6 fort. τὴν κίνησιν 7 τοῦτο] fort. ταὐτὸν 14 fort. ἧττον δὲ δι'

ταὐτὰ εἴη· ἢ γὰρ τῷ διαφέρειν τὸ δι᾽ οὗ κινεῖται, οἷον εἰ τὸ μὲν δι᾽ ὕδατος φέροιτο τὸ δὲ διὰ βορβόρου, ἢ τὸ μὲν δι᾽ ὕδατος τὸ δὲ δι᾽ ἀέρος, ἢ τὸ μὲν διὰ μένοντος τὸ δὲ δι᾽ ἀντικινουμένου· ἀνακρουόμενον γὰρ ὑπὸ τούτου βράδιον κινεῖται· ἢ τῷ τὸ βάρος αὐτὸ μὴ ἴσον εἶναι τῶν φερομένων. καὶ γὰρ ἂν τἆλλα πάντα ταὐτὰ ὑπάρχῃ, θᾶττον τὸ βαρύτερον κινηθήσεται, οἷον εἰ σφαῖρα χρυσοῦ τε καὶ ἀργύρου δι᾽ ἀέρος ἄμφω κινοῖντο. ἀλλ᾽ αὕτη μὲν ἡ διαφορὰ ἀναβεβλήσθω· λόγου γὰρ τεύξεται κατ᾽ ἰδίαν. ἀλλ᾽ ὅταν γε τὸ μὲν παχύτερον ᾖ τὸ δὲ λεπτότερον τῶν σωμάτων, δι᾽ ὧν φέρεται τὸ κινούμενον, σκεπτέον τὸ συμβαῖνον. τὸ γὰρ ἴσον βάρος εἰ καὶ τὸ σχῆμα ταὐτὸ ἔχοι, διὰ τοῦ λεπτοτέρου θᾶττον δίεισιν ἢ παχυτέρου, λέγω δὲ τὸ ἴσον διάστημα· οὐ γὰρ ὁμοίως εὐδιαίρετον ὕδωρ ἀέρι, οἷον ἔστω σφαῖρα χρυσοῦ καὶ κινείσθω δι᾽ ἀέρος τε καὶ ὕδατος σταδιαίαν γραμμήν, ᾧ θᾶττον δὴ κινηθήσεται διὰ τοῦ ἀέρος ἡ σφαῖρα, καὶ τοσούτῳ θᾶττον ὅσῳπερ ἀὴρ λεπτότερος τοῦ ὕδατος ᾖ. ἔσται fol. 42b. δὲ καὶ τῶν χρόνων ἀναλογία, οὓς κινεῖται ἡ σφαῖρα, πρὸς τὰ σώματα δι᾽ ὧν κινεῖται. ὡς γὰρ ὕδωρ πρὸς ἀέρα ἔχει, οὕτως ὁ χρόνος ἐν ᾧ δι᾽ ὕδατος κινεῖται, πρὸς τὸν χρόνον, ἐν ᾧ δι᾽ ἀέρος. ὅσῳ γὰρ μανώτερον καὶ λεπτότερον ἀὴρ ὕδατος, τοσοῦτον ὁ χρόνος ἐλάττων τοῦ χρόνου, καὶ ἀνάπαλιν ἀρχόμενος τῆς ἀναλογίας ὁμοίως ἔχει. ὡς γὰρ ὁ χρόνος πρὸς τὸν χρόνον, οὕτως πρὸς τὸ σῶμα τὸ σῶμα. τούτων οὖν κειμένων φανερόν, ὅτι τὸ κενὸν οὐδένα λόγον ἔχει πρὸς τὸ πλῆρες, ᾧ ὑπερέχει αὐτοῦ κατὰ τὴν λεπτότητα· οὐδὲ γὰρ

---

1 γὰρ τῷ Victorius, γὰρ τὸ libri 4 ἀντικειμένου V 7 ὑπάρχει libri 19 ὅσῳπερ] scrib. ὅσῳπερ ἂν

ἔστι σῶμα ὅλως, εἰ δέ, ὡς τὸ σῶμα πρὸς τὸ κενὸν ἔχει, οὕτω καὶ ὁ χρόνος. ἐν ᾧ διὰ σώματος κινεῖται, ταὐτὸ διάστημα πρὸς τὸν χρόνον, ἐν ᾧ διὰ τοῦ κενοῦ, τὸ δὲ σῶμα πρὸς τὸ κενὸν οὐκ ἔχει λόγον, οὐδὲ ὁ χρόνος ἕξει πρὸς τὸν χρόνον. ἀλλὰ παντὸς χρόνου πεπερασμένου πρὸς πάντα χρόνον ἐστὶ λόγος· πρὸς ὃν ἄρα οὐκ ἔσται λόγος, οὐδὲ χρόνος ἐστίν· οὐκ ἄρα ἐν χρόνῳ διὰ τοῦ κενοῦ κινηθήσεται· οὐδὲ κινηθήσεται ἄρα. πᾶσα γὰρ κίνησις ἐν χρόνῳ. ἵνα γὰρ μᾶλλον δῆλον γένηται τὸ λεγόμενον, ὑποκείσθω τὸ αὐτὸ βάρος ἐν ὥρᾳ μιᾷ δι' ἀέρος λεπτοτάτου σταδιαῖον κινεῖσθαι διάστημα. διὰ τοίνυν τοῦ κενοῦ τὸ στάδιον τοῦτο ἐν πόσῳ κινηθήσεται χρόνῳ; εἰ γὰρ ἐν ἡμίσει καὶ διπλασίων ὁ χρόνος τοῦ χρόνου, καὶ ὁ ἀὴρ ἔσται διπλασίων παχύτερος τοῦ κενοῦ καὶ εἰ ἐν τριτημορίῳ τῆς ὥρας καὶ εἰ δεκατημορίῳ καὶ εἰ μυριοστῷ, παραπλήσιον τὸ ἄτοπον· οὐδένα γὰρ ἔσται λόγον εὑρεῖν τοῦ σώματος πρὸς τὸ κενόν, ἀλλὰ παντὸς ὑπερβάλλει τοῦ λαμβανομένου. εἰ γὰρ δή τις βιάζοιτο διὰ τοῦ κενοῦ κινεῖσθαι ἐν χρόνῳ τὸ βάρος, ὅρα καὶ ἄλλο τι ἄτοπον. κινείσθω γὰρ διὰ τοῦ κενοῦ τὸ σταδιαῖον μέγεθος ἐν ὥρᾳ μιᾷ. κινηθήσεται τοίνυν αὐτὸ δι' ἀέρος ἐν πλείονι χρόνῳ, κινείσθω λόγου χάριν ἐν δυσὶν ὥραις. δῆλον οὖν ὡς ἐν ὥρᾳ μιᾷ μόριόν τι κινηθήσεται, κινείσθω τὸ ἡμιστάδιον τοῦ ἀέρος ἐν ὥρᾳ μιᾷ. ἐν ἴσῳ ἄρα χρόνῳ διά τε πλήρους καὶ διὰ κενοῦ κινηθήσεται. εὐθὺς μὲν δὴ καὶ τοῦτο ἄτοπον, ἔσται δὲ καὶ ἕτερον ἀτοπώτερον. τὸν γὰρ αὐτὸν ἕξει λόγον τὸ πλῆρες πρὸς τὸ πλῆρες, τὸ ἡμιστάδιον τοῦ

15 **διπλασίων**] scribendum *διπλασίως* **ἐν**] **ἐν τῇ** A 16 **εἰ** ante **μυριοστῷ** om V 18 **εὑρεῖν**] **ἐρεῖν** A 18 fort. scrib. **ὑπερβαλεῖ**

ἀέρος πρὸς τὸ στάδιον, καὶ τὸ κενὸν στάδιον πρὸς τὸ πλῆρες στάδιον τοῦ ἀέρος, εἴπερ καὶ ὁ χρόνος ἐν ἀμφοῖν τῆς κινήσεως ἔν τε τῷ σταδιαίῳ κενῷ καὶ ἡμισταδίῳ ἀέρι, τουτέστιν ἡ ὥρα πρὸς τὸν χρόνον τῆς κινήσεως τὸν ἐν τῷ σταδιαίῳ ἀέρι, λέγω δὲ τὰς δύο ὥρας. ταῦτα μὲν οὖν σφόδρα ἀποδεικτικῶς προσηπόρησεν Ἀριστοτέλης τοῖς κινεῖσθαί τι διὰ τοῦ κενοῦ τιθεμένοις, ὃ δὲ προστίθησι τούτοις, οὔτε πάντη ἀληθὲς καὶ ὄχλον ἂν παράσχοι πάνυ ἀσαφῶς εἰρημένον. τοῦτο μὲν οὖν ὅτῳ σχολὴ περίεστιν, ἐκ τῶν ἐξηγήσεων ἀναλέξεται. ὄντων δὲ οὕτως ἀτόπων τῶν ἀκολουθούντων τῇ τοῦ κενοῦ θέσει τὴν ὑπόθεσιν ἀναιρετέον ᾗ ταῦτα ἕπεται, ἡ δὲ αἰτία φανερὰ τῆς ἑπομένης ἀτοπίας ἐστίν. ἐπειδὴ γὰρ πᾶσα κίνησις ἐν χρόνῳ, ἀνάγκη καὶ τῆς ἐν τῷ κενῷ κινήσεως εἶναί τινα χρόνον, ἀλλὰ παντὸς χρόνου πρὸς πάντα χρόνον, ἂν ὦσιν πεπερασμένοι, λόγος ἐστίν. ὁ αὐτὸς ἄρα ἔσται καὶ τοῦ κενοῦ πρὸς τὸ πλῆρες, ὃν οἱ χρόνοι πρὸς ἀλλήλους ἔχουσιν, ἐν οἷς τι διὰ τοῦ κενοῦ καὶ διὰ τοῦ πλήρους κεκίνηται ἴσον διάστημα. αὕτη μὲν οὖν οὕτω τῆς ἀνισοταχοῦς κινήσεως ἡ αἰτία παραπόλλυται τοῖς τὸ κενὸν τιθεμένοις, καὶ ἑτέρα δὲ ὁμοίως ἡ περὶ τὴν διαφορὰν τῶν δι᾽ ὧν φέρεται· οὐ γὰρ οἷόν τε τὸ μὲν τοῦ κενοῦ μένειν τὸ δὲ ἀντικινεῖσθαι. τίς γὰρ κενοῦ κίνησις γένοιτο ἄν; ἴδωμεν δὲ καὶ τήν γε τοῖς βαναύσοις γνώριμον διασώζουσιν. καὶ γὰρ χαλκοτύποι καὶ σιδηρεῖς καὶ χρυσοχόοι καὶ μάγειροι καὶ ναῦται καὶ ἁλιεῖς καὶ ἁπλῶς οἱ τὴν θάλασσαν ἐργαζόμενοι, ὅταν ἢ τρυτάνην ἕλκωσιν ἢ δίκτυα χαλῶσιν ἢ βυθίζωσιν τὰς ἀγκύρας καὶ συμ-

30 βυθίζουσιν — συμβαίνει libri

βαίνῃ τοῖς μὲν θᾶττον, τοῖς δὲ σχολαιότερον φέρεσθαι κάτω, οὐκ ἀποροῦσιν ἀποκρίσεως, εἰ πύθοιο παρ' αὐτῶν, πῶς διὰ τῆς αὐτῆς θαλάσσης τὸ ἴσον βάθος ὅμοιον ἔχουσα τὸ σχῆμα ἥ τε δεκατάλαντος ἄγκυρα καὶ ἡ τριτάλαντος οὐ κατὰ τὸν ἴσον φέρονται χρόνον, ἀλλὰ τῆς μὲν θᾶττον αἰσθάνονται προσερεισαμένης τῷ βυθῷ, τῆς δὲ βράδιον. ἐροῦσι γὰρ ἐπιγελάσαντες, οἶμαι, ὅτι τὰ δέκα τῶν τριῶν ἐστι βαρύτερα. ταύτην τοίνυν οὐχ ἕξουσιν ἡμῖν οἱ πάνσοφοι οὗτοι τὴν αἰτίαν ἀποδιδόναι, ἀλλ' ὅταν ἐν τῷ κενῷ κινῶνται μολίβδου τε σφαῖρα καὶ κισσήρεως, ἢ κινεῖσθαι ἰσοταχῶς ἐροῦσιν αὐτὰς ἢ τοῦ γε θᾶττον τὴν μολιβδίνην κινεῖσθαι τίνα ἕξουσιν λόγον; ἐν μὲν γὰρ τοῖς πλήρεσιν ἐξ ἀνάγκης θᾶττον φέρεσθαι τὸ βαρύτερον· μᾶλλον γὰρ διαιρεῖ τὴν ὑποκειμένην οὐσίαν τῇ δυνάμει, ἄν τε ὕδωρ ἄν τε ἀὴρ ᾖ δι' οὗ φέρεται. ἐν δὲ τῷ κενῷ τί πλέον ἕξει τάχους μόλιβδος τοῦ φελλοῦ; εἴκει γὰρ ἀμφοτέροις ὁμοίως, μᾶλλον δὲ οὐδὲ εἴκει· καὶ γὰρ τοῦτο τῶν ματαίων ἐστίν. ἀνῄρηται οὖν τὸ βαρύτερον καὶ κουφότερον, καὶ πάντα ἰσοταχῶς κινηθήσεται, ὥστ' εἰ ταῦτα ἀδύνατα τὴν ὑπόθεσιν, παραιτητέον δι' ἣν ταῦτα συμβαίνει. ἀλλὰ τὴν περὶ τὰ σχήματα τῶν κινουμένων τῆς κινήσεως διαφορὰν φυλάττουσιν μόνην· ζητεῖται γὰρ διὰ τί πλατὺς σίδηρος ἢ μόλιβδος ἐπιπολάζει τῷ ὕδατι, στρογγύλος δ' οὐκέτι, οὐδὲ μακρὸς κἂν πάνυ σμικρότατος ᾖ. ἡμῖν μὲν γὰρ ὑπάρχει λέγειν, ὅτι τὰ πλατέα μὲν διὰ τὸ πολὺν ἐπιλαμβάνειν ἀέρα ἢ ὕδωρ οἷς ἐποχεῖται, οὐ ταχέως φέρεται κάτω· οὐδὲ γὰρ διασπᾶται ῥᾳδίως τὸ ὑποκείμενον ὑπὸ τῆς ἀμβλύτητος τοῦ σχήματος· τὰ

---

11 κισήρεως libri

δ' ἄλλως ἐσχηματισμένα ὀλίγον ἐπιλαμβάνει τόπον, διὸ τάχιστα ὅπῃ ἂν ῥέψῃ, ῥήγνυται ὁ ἀήρ· μαλακώτερος γὰρ ὢν μᾶλλον δὲ διίσταται. τούτοις δὲ εἰ τὰ αὐτὰ δυνατὸν λέγειν, οὐκ οἶδα. ταῦτα γὰρ καὶ ὑπὲρ τῶν ἀτόμων ἐρωτητέον· εἴτε γὰρ ἀνισοταχῶς ἐν τῷ fol. 43. κενῷ φέρονται, τὴν αἰτίαν λεγέτωσαν ἡμῖν, εἴτε ἰσοταχῶς, δεικνύτωσαν, πῶς ἀλλήλας καταλήγονται ἢ πῶς συμπλακήσονται καὶ γεννήσουσιν ἕτερον; ὅτι μὲν οὖν ἀναιρεῖ κίνησιν μᾶλλον τὸ κενὸν ἢ κατασκευάζει, δῆλόν ἐστιν.

Καὶ τῆς κινήσεως δὲ ἀφισταμένοις καὶ καθ' αὑτὸ τὸ κενὸν ἐξετάζουσιν φανείη ἂν τὸ λεγόμενον κενὸν ὡς ἀληθῶς κενόν. ἐπεὶ γὰρ δέδεικται σῶμα διὰ σώματος μὴ χωρεῖν, ὅταν τιθῆται ἄλλο σῶμα ἐν ἄλλῳ σώματι, ἀναγκαῖον ἐκστῆναι τῷ ἐπιόντι τὸ προϋπάρχον, καὶ τοσοῦτόν γε ὅσον ὁ ὄγκος τοῦ τιθεμένου, καὶ τοῦτο ἐπ' ἐνίων μὲν δῆλον εὐθύς, ὥσπερ εἴ τις εἰς ὕδωρ ἐμβάλλοι λίθινον κύβον. τοσοῦτος γὰρ ὁ ὄγκος τοῦ ὕδατος ὑπεκστήσεται, ὅσοσπερ ἐστὶ τοῦ κύβου. ἐπ' ἐνίων δὲ οὐ πρόδηλος μὲν τῇ αἰσθήσει, συμβαίνει δὲ ὁμοίως καὶ φωρᾶται ἔκ τινων κατασκευασμάτων. ἐν γὰρ ταῖς κλεψύδραις ὅταν μεσταῖς οὔσαις ἀέρος ἐγχέηται ὕδωρ, δίοδον τοῦ ἀέρος γλῶσσαι αὐλητῶν ἢ σαλπίγγων προστιθέμεναι ταῖς ὀπαῖς διελέγχουσιν· ψοφεῖ γὰρ ἐπειγόμενος πρὸς τὰ ὄργανα. εἰ δὲ μηδεμίαν ἔχειν δοίης, βιάζοιο δὲ ἕτερον σῶμα ἐπεμβάλλειν, ἢ πιλοῦται εἰς αὐτὸν μεταβάλλων εἰς ὄγκον ἐλάττω καὶ παχύνεται συστελλόμενος, ὥστε δέξασθαι τὸ ἀγγεῖον τοῦ ἐπεισαγομένου τοσοῦτον, ὅσον ἡ πίλησις τοῦ πρώτου ὄγκου συνέστειλεν, ἢ

3 μᾶλλον δὲ] dele δὲ 14 τιθῆται] τίθεται libri 20 πρόςδηλος A

θᾶττον ἂν διαρρήξειε τὸ ἀγγεῖον, εἰ σῶμα ἕτερον ἐκβιάσαιο. ταῦτα τοίνυν οὕτως ἐναργῶς φαινόμενα καὶ δεικνύμενα ὑπὸ τῶν δημιουργῶν ὁσημέραι ὁ περὶ τοῦ κενοῦ λόγος οὐ προσποιεῖται ἢ ἀγνοεῖ. καίτοι τί ποτε ἐροῦσιν, ὅταν ἐν κενῷ τιθῆται σῶμα; πότερον ὑπεξίστασθαι τὸν ἴσον ὄγκον τοῦ κενοῦ; καὶ πῶς οὐ γελοῖον; ἀλλὰ μένειν; καὶ πῶς οὐ θαυμαστὸν διεξιέναι διὰ τοῦ κύβου τὸ ἴσον διάστημα τοῦ κενοῦ; εἰ μὲν γὰρ μηδὲν παντάπασίν ἐστι τὸ κενόν, οὐδὲ ἡμεῖς ἄλλο τι λέγομεν· εἰ δέ τινα ἔχει φύσιν καὶ ἔστι διάστημα ἐπὶ τρία, πῶς διὰ τοῦ τοιούτου διαστήματος δίεισι; τοῦτο γὰρ ὁμοίως ἄτοπον ὡς εἰ μηδὲ τὸ ὕδωρ μεθίστατο τῷ λιθίνῳ κύβῳ, μηδὲ ἀήρ, ἀλλὰ πάντη διῄεσαν δι' αὐτοῦ. οὐ γὰρ ταῦτα μὲν κωλυθήσεται δι' ἀλλήλων χωρεῖν καὶ ἐν ταὐτῷ γίνεσθαι τόπῳ, ὅτι θερμὰ καὶ ψυχρά, καὶ κοῦφα δὴ καὶ βαρέα καὶ μετὰ τῶν ἄλλων παθῶν, τὸ κενὸν δὲ ἁπάντων τῶν τοιούτων ἐστερημένον οὐκέτι· εἴρηται γὰρ καὶ πρότερον ἤδη, ὅτι τοῖς σώμασιν τὸ εἶναι ἐν τόπῳ κατὰ μόνα ὑπάρχει τὰ διαστήματα, ἅπερ εἰ καὶ ἀχώριστα τῶν ἄλλων συμβεβηκότων ἐστίν, ἀλλὰ τό γε εἶναι αὐτοῖς διαστήμασιν ἕτερον, καὶ ὁ λίθος οὐκ, ἐπειδὴ λευκὸς ἢ μέλας ἢ θερμὸς ἢ ψυχρὸς ἢ κοῦφος ἢ βαρύς, τοσόνδε δεῖ κατέχειν τόπον, ἀλλ' ἐπειδὴ τοσοῦτον αὐτὸ τὸ διάστημα. καίτοι φέρεται μὲν διὰ τὴν βαρύτητα εἰς τοῦτον τὸν τόπον, ὅταν δὲ ἐν τόπῳ ᾖ, κατὰ τὸν ὄγκον ἐστὶν ἐν τόπῳ· καὶ γὰρ τούτῳ μόνῳ τῶν ὑπαρχόντων τῷ κύβῳ καὶ τὸ τοῦ τόπου μέγεθος ἔσται, οὐ τῇ βαρύτητι ἢ κουφότητι ἤ τισιν

3 ὅσαι ἡμέραι A 5 τίθεται libri 9 μὲν γὰρ] μὴ γὰρ libri 14 διῄεσαν] διείεσαν V διώεσαν A 25 αὐτὸ τὸ] scrib. αὐτοῦ τὸ

*ἄλλοις τῶν παθῶν. εἰ τοίνυν καὶ ὑπόθοιο λόγου χάριν τὸν λίθινον κύβον ἁπάντων κεχωρίσθαι τῶν ἄλλων συμβεβηκότων, ἐν μόνῳ δὲ εἶναι τῷ διαστήματι, οὐδὲν ἧττον καθέξει τὴν ἴσην χώραν ὅσην κατεῖχε καὶ μετὰ τῶν ἄλλων παθῶν, ὥστε καὶ ἐν τῷ κενῷ τὸ ἴσον καθέξει κενόν, ὅταν τε μετὰ τῶν συμβεβηκότων, ὅταν τε χωρὶς τούτων νοῆται. τί οὖν τηνικαῦτα διοίσει τὸ τοῦ κύβου σῶμα τοῦ ἴσου κενοῦ καὶ τόπου, καὶ εἰ δύο τοιαῦτα ἐν τῷ αὐτῷ, διὰ τί μὴ καὶ πλείω καὶ ἄπειρα; ὅρα τοίνυν ἀναλαβὼν καὶ τὴν ἀνάγκην τῆς ἀποδείξεως· εἰ σῶμά ἐστιν ἐν ἐκείνῳ, διάστημά ἐστιν ἐν διαστήματι· οὔτε γὰρ ὑπεξίσταται τὸ κενόν, καὶ τῷ σώματι τὸ εἶναι ἐν τόπῳ κατὰ διάστημα μόνον ὑπάρχει· εἰ δὲ διάστημα ἐν διαστήματι, καὶ σῶμα ἐν σώματι ἔσται· ἐπεὶ γὰρ κατὰ μόνους τοὺς ὄγκους τὰ σώματά ἐστιν ἐν τόπῳ, καὶ κατ' οὐδὲν ἄλλο τῶν ὑπαρχόντων, εἰ δυνατὸν τὸν ὄγκον ἐν ὄγκῳ εἶναι, τά γε ἄλλα συμβεβηκότα οὐδὲν κωλύσει τὸ σῶμα ἐν σώματι εἶναι. ἀλλὰ μὴν ἄτοπον σῶμα ἐν σώματι εἶναι· ἀδύνατον ἄρα καὶ σῶμα ἐν κενῷ εἶναι· ὄγκον μὲν γὰρ ἐν ὄγκῳ ποιεῖ τὸ σῶμα ἐν κενῷ, ποῖον δὲ σῶμα ἐν σώματι ὄγκον ἐν ὄγκῳ; καὶ οὕτως μὲν οὖν ἐξήλεγκται μάταιον τὸ κενόν, εἴγε παράγεται μὲν ὑπὲρ τοῦ τὰ σώματα δέχεσθαι, δέχεσθαι δὲ αὐτὸ σῶμα οὐχ οἷόν τε. φανερώτερον δὲ ἐντεῦθεν· εἰ γὰρ τὸ ἐν ἑκάστῳ διάστημα χωριζόμενον τῷ λόγῳ τῶν παθῶν οὐδὲν διαφέρει τοῦ κενοῦ, κινούμενα δὲ καὶ μεταφερόμενα τὰ σώματα σὺν τοῖς ἰδίοις κινεῖται διαστήμασιν, τί δεῖ τοῖς σώμασιν ἄλλων τοιούτων διαστημάτων; εἰ γὰρ καθὸ διάστημα ἕκαστον ἔχει,*

---

7 *νοεῖται* libri  23 *ἐξήλεκται* libri; tum malim *μάταιον ὂν*

*ἑτέρου διαστήματος δεῖται, πῶς οὐ τὸ κενὸν ἄλλου δεήσεται, κἀκεῖνο ἄλλου, καὶ ἐπ' ἄπειρον οὕτω προελευσόμεθα; ὅτι μὲν τοίνυν οὐκ ἔστι κεχωρισμένον κενόν, ἐκ τούτων δῆλον.*

9

*Εἰσὶ δέ τινες οἳ ἀπὸ τοῦ μανοῦ καὶ πυκνοῦ φανερὸν οἴονται εἶναι, ὡς ἔστι κενόν. εἴπερ ἐστὶ πύκνωσις ἡ εἰς ἐλάττονα ὄγκον τοῦ αὐτοῦ σώματος συστολή, καὶ μάνωσις ἡ εἰς πλείονα καὶ μείζονα ὄγκον τοῦ αὐτοῦ σώματος ἄνεσις, ἀνάγκη κενὸν ἐν τοῖς σώμασι παρεσπάρθαι εἰς ὃ τὰ πιλούμενα συστέλλεται καὶ διαχεῖται τὰ ἀραιούμενα. οὐ μόνον δὲ πύκνωσιν καὶ μάνωσιν ἀναιροῦσι τὸ κενὸν ἀναιροῦντες, ἀλλ' ἤδη καὶ πᾶσαν κίνησιν. καὶ γὰρ ὅταν τι κατὰ τόπον κινῆται, συστελλόμενα τὰ παρακείμενα σώματα δι' ὧν δίεισι, παρέχει χώραν τοῖς δι' αὐτῶν κινουμένοις, ὥσπερ τοῖς διὰ πλήθους βαδίζουσιν. εἰ δὲ μὴ τὸ κενὸν ἐν τοῖς σώμασιν ὑπάρχει, ἀνάγκη κινουμένου τινὸς τὸ πᾶν κυμαίνειν, προωθοῦντος ἀεὶ τοῦ πλήθους τὸ ἐφεξῆς καὶ οἷον ὑπερχεῖσθαι τὸν οὐρανὸν εἰς τὸ ἔξω, ὅπερ καὶ ἐν* fol. 43b. *ταῖς κολυμβήθραις συμβαίνει, ὅταν τι κινῆται ἐν αὐταῖς σῶμα. τοῦτο δὲ καὶ Ξοῦθος ἔλεγε, τὴν ἀντιπερίστασιν τῶν σωμάτων οὐ προσποιούμενος, ἣ γίνεται οὐκ ἐπὶ μόνων τῶν κύκλῳ μεθισταμένων. φανερώτερον μὲν γὰρ ἐπὶ τούτων· ὅσον ἔμπροσθεν προωθεῖται, τοσοῦτον ὄπισθεν ἕπεται. γίνεται δ' οὖν καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. οὕτως δὲ καὶ ὁ Ξοῦθος, καὶ τοῦτο ἐπελάμβανεν ὡς εἰ μὴ τὸ κενὸν παρα-*

---

11 *διακεῖται* A 14 *κινεῖται* libri 19 *πλήθους*] *πλήσειεν* A 21 *κινεῖται* libri 24 *ἐπὶ μόνων*] *ἐκ μέσου* V

δεξαίμεθα, ἀνάγκη τὰς μεταβολὰς τῶν σωμάτων κατ' ἴσον γενέσθαι ὄγκον, οἷον εἰ ἐξ ὕδατος κυαθιαίου κυαθιαῖον ἀέρα γενέσθαι, ἐπεὶ πῶς ἂν γένοιτο μείζων, οὐκ ἔχων τόπον καὶ χώραν, εἰς ἣν διαχεθήσεται, εἰ μή τις φησὶ κυμαίνειν τὸ πᾶν συγχωρῇ, καὶ τοὔλαττον φεύγων κενὸν πλεῖον ἔροιτο. ποῦ γὰρ δὴ τὸ πᾶν κυμαίνει; εἰς σώματα γὰρ οὐκ ἐνδέχεται, ἀνάγκη δὲ εἰς κενὸν ἀθρόον ἔξωθεν περικεχυμένον. ὅτι δὲ τὰ μανούμενα σώματα εἰς ὄγκον πλείονα μεταβάλλει, δῆλον καὶ ἐκ τῶν ῥηγνυμένων ἀγγείων ἐξαερουμένου τοῦ ὕδατος ἢ τοῦ ὑγροῦ, ὡς καὶ οἱ τοῦ γλεύκους πίθοι μεταβάλλοντος εἰς ἀέρα. ποῦ δὴ χώρα ἔσται τῷ μείζονι ὄγκῳ, εἰ μὴ τὸ περιέχον ἐνδιδοίη συνθλιβόμενον εἰς τὰ κενά; εἰ μὲν οὖν οὕτω λέγουσιν ἐν τοῖς σώμασιν τὸ κενὸν παρεσπάρθαι, ὡς εἶναι ἐν τῷ μανῷ διαστήματα κεχωρισμένα δεκτικὰ σώματος, ἐκ τῶν αὐτῶν ἂν καὶ τοῦτο ἀναιροῦμεν, ἐξ ὧν καὶ τὸν τόπον καὶ τὸ κεχωρισμένον κενόν· οὐδὲν γὰρ ποιεῖ τὸ κατακερματίζειν αὐτοὺς τὸ κενὸν πρὸς τὸ διαφεύγειν ἐκείνας τὰς ἀπορείας αἷς περιέπιπτον οἱ τὸ ἀθρόον λέγοντες· διάστημα γὰρ ποιοῦσι κεχωρισμένον καὶ οὗτοι. εἰ δὲ μὴ χωριστόν, ἐγκεκραμένον δέ, καὶ ὡς ἂν εἴποι τις, συγκεχυμένον τοῖς μανωτέροις τῶν σωμάτων λέγοιεν ἄν τι πιθανώτερον, ὅμως δὲ οὐδὲ τοῦτο ἀληθές· συμβαίνει γὰρ αὐτοῖς πρῶτον μὲν οὐ πάσης τῆς κατὰ τόπον κινήσεως αἴτιον τὸ κενόν, ἀλλὰ μόνης τῆς ἄνω. εἰ γὰρ ὅπου ἂν πλέον ἐνῇ, τοῦτο μανώτερον ποιεῖ καὶ κουφότερον, τὰ δὲ

2 οἷον εἰ — γενέσθαι] om A. vid. Simplicium fol. 161. 5 scrib. συγχωροῖ 11 καὶ οἱ] οἱ καὶ A 16 κεχωρισμένα om A 17 ἀναιροῦμεν] scrib. ἀναιροῖμεν 20 αἷς Victorius, ὡς libri 24 λέγοιεν] λέγει A

μᾶλλον τοιαῦτα μᾶλλον ἐπὶ τὰ ἄνω κινεῖται, τὸ κενὸν αἴτιον γίνεται τῆς ἐπὶ τὰ ἄνω κινήσεως μόνης. διὰ τοῦτο καὶ τὸ πῦρ μάλιστα μανὸν εἶναί φασιν, ὅτι μάλιστα ἐπὶ τὰ ἄνω κινεῖται. ἔπειτα οὐχ ὡς τόπον λέγουσιν αἴτιον κινήσεως τὸ κενόν, ἀλλ' ὥσπερ οἱ ἀσκοὶ τῷ φέρεσθαι αὐτοὶ ἄνω καὶ δίκτυα μετεωρίζουσιν, οὕτω καὶ τὸ κενὸν τῷ φέρεσθαι αὐτὸ ἄνω ἀνέχει καὶ κουφίζει τὰ μανὰ σώματα. καίτοι πῶς οἷόν τε φορὰν εἶναι κενοῦ ἢ τόπον κενοῦ; δεῖ γὰρ ἄλλο κενὸν εἶναι πάλιν ἐν ᾧ γίνεται τὸ κενόν. ἔτι δὲ ἐπὶ τῶν βαρέων τίνα αἰτίαν ἀποδώσουσιν τοῦ φέρεσθαι κάτω; οὐ γὰρ δὴ καὶ τὸ ἐν τούτοις κενὸν κάτω ῥέπον αὐτὰ συγκαθέλκει. τί ποτ' οὖν ἐρεῖς αἴτιον; εἰ γὰρ τὴν φύσιν τῶν σωμάτων, ἐξαρκέσει σοι καὶ πρὸς τὴν ἑτέραν κίνησιν ἡ αὐτή. ἔτι πρὸς τούτοις, εἰ ὅσῳ μανώτερον καὶ κενώτερον, τοσούτῳ θᾶττον κινεῖται, δῆλον ὡς αὐτὸ τὸ κενὸν τάχιστα ἂν φέροιτο τῶν ἄλλων. ἀλλὰ τὸ τάχιστα ἐπ' αὐτοῦ λαβεῖν οὐχ οἷόν τε· οὐδὲ γὰρ χρόνον ὅλως τῆς κινήσεως· εἰ γὰρ ἔσται τις χρόνος, λόγον ἕξει καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες. εἰ δὲ φήσουσιν μὴ κινεῖσθαι καθ' αὐτὸ τὸ κενόν· διὰ τοῦτο γὰρ αὐτὸ καὶ ἐγκιρνάναι τῷ σώματι, ἵνα ἀχώριστον ᾖ, διδαξάτωσαν ἡμᾶς, ἡνίκα ἂν συστέλλωσι τὰ πυκνούμενα σώματα εἰς τὰ κενά, ἆρ' ἐκθλίβουσι τὰ κενὰ ἢ καταλιμπάνουσιν ἐν τοῖς σώμασιν; ἐκθλιβόμενα μὲν γὰρ δῆλον ὅτι κινεῖται καθ' αὐτά, μένοντα δὲ τί συμβάλλεται πρὸς τὴν πίλησιν, εἴγε καὶ πιλουμένων τῶν σωμάτων οὐκ ἐκχωρεῖ, ἀλλ' ἔστιν ὁμοίως ἐν αὐτοῖς. καίτοι τὸ κενὸν μάλιστα ἐν ταῖς πιλήσε-

---

18 αὐτὸ V 27 πίλησιν] πιλοῦσιν A πιλουμένων] περιειλουμένων V

σιν ἀναγκαῖον ὑπολαμβάνουσιν, ὅπως εἰς ἐκεῖνο τὰ σώματα συστέλληται καὶ συνθλίβηται. πῶς οὖν ἐνδέχεται τὸ ἴσον ἐγκεκρᾶσθαι κενὸν πρὸ τῆς πιλήσεως καὶ μετὰ τὴν πίλησιν αὖθις; πῶς δὲ εἰ τοῦτο δυνατόν, οὐ τὸν ἴσον ὄγκον ἀεὶ φυλάττει τὰ πιλούμενα μηδενός γε ἐξ αὐτῶν ἀπιόντος μήτε κενοῦ μήτε σώματος; πῶς δὲ οὐκ εἰς ἄπειρον ἔνεστι πιλοῦσθαι τὰ σώματα ἀεὶ τῶν ἴσων κενῶν ἐνυπαρχόντων; εἰ οὖν ἐξίσταται τὸ κενόν, πῇ χωρεῖ; πῶς δὲ κινεῖται; τίς δὲ ἡ κατὰ φύσιν κίνησις τοῦ κενοῦ; λέγουσι μὲν γὰρ τὴν ἄνω. πῶς οὖν ἐν χρόνῳ· ἀσύμβλητα γὰρ τὰ τάχη;

Ἐπειδὴ δὲ μάλιστα πιθανῶς δοκοῦσιν εἰσάγειν τὸ κενόν, ἵνα πύκνωσιν διασώζωσι καὶ τὴν εἰς ἀνίσους ὄγκους τῶν σωμάτων μεταβολήν, πῶς ἔνεστι καὶ ταῦτα φυλάττειν καὶ μὴ προσδεῖσθαι τοῦ κενοῦ, λέγομεν ἤδη. ἐνῆν μὲν τοίνυν καὶ οὕτω μὴ νομίζειν τὸ κενὸν ἀναγκαῖον, ὅταν ἐξ ὕδατος ἀὴρ γένηται καὶ ἐξ ἐλάττονος μείζων ὄγκος, ἐννοοῦντας ὡς οὐδὲν κωλύει κατὰ ταὐτὸν ἄλλοθί που μεταβάλλειν ἀέρα εἰς ὕδωρ καὶ ἀντανισοῦσθαι τὸν σύμπαντα ὄγκον, ἀλλ' ὅμως κἀκ τῶν κειμένων ἡμῖν ἐπιδείξομεν, ὡς ἐνδέχεται πυκνοῦσθαι καὶ μανοῦσθαι τὰ σώματα μὴ ὄντος κενοῦ. εἴρηται τοίνυν ἡμῖν, ὅτι τῶν ἐναντίων μία ἐστὶν ἡ ὕλη θερμοῦ καὶ ψυχροῦ, σκληροῦ καὶ μαλακοῦ, πικροῦ γλυκέος, ὑγροῦ ξηροῦ, πάσης ἐναντιώσεως φυσικῆς ἀγένητος καὶ ἄφθαρτος καθ' αὑτήν, ἐκ δυνάμει ὄντος ἐνεργείᾳ γινομένη, καὶ αὐτὴ οὐ χωριστὴ μέν, τὸ δὲ εἶναι ἄλλο καὶ ἄλλο, ἐπι

ὁμιλήσασα τῇ κατὰ λόγον οὐσίᾳ καὶ συνδυασθεῖσα, καὶ μία μὲν οὖσα τῷ ἀριθμῷ, μυρίας δὲ μεταμ-

3 καὶ om V  16 fort. λέγωμεν  26 αὐτήν] αὐτὸν V
28 τὸ δὲ] scrib. τῷ δὲ

*πισχομένη μορφάς, χεομένη καὶ πιλουμένη καὶ παντοίως σχηματιζομένη τε καὶ ἀλλοιουμένη. πιληθεῖσα μὲν γὰρ πυκνόν τε καὶ βαρὺ ἀπειργάσατο, ἀραιωθεῖσα δὲ μανόν τε καὶ κοῦφον. ὥσπερ δὲ ὅταν μεταβάλλῃ εἰς τὸ θερμὸν ἢ ψυχρόν, οὐ μίξει τῶν διαφόρων φύσεων θερμὴ γίνεται καὶ ψυχρά· καίτοι τὸ θερμὸν καὶ τὸ ψυχρὸν παντελῶς ἕτερα, ἀλλ' ἡ αὐτὴ ὕλη μένουσα κατὰ τὴν ἑαυτῆς φύσιν παρὰ μέρος γίνεται τἀναντία* (fol. 44.) *μεταβάλλουσα ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, οὕτω δὲ καὶ ἐπὶ πασῶν ὁμοίως τῶν ἐναντιώσεων χροιᾶς εἰ τύχοι καὶ χυμοῦ καὶ τῶν λοιπῶν ποιοτήτων. ὥσπερ δὲ μία κατ' ἀριθμὸν οὖσα θερμὴ γίνεται καὶ ψυχρά, καὶ οὐκ ἄλλη μὲν ἡ θερμή, ἄλλη δὲ ἡ ψυχρά, οὕτω καὶ μεγάλη καὶ μικρὰ γίνεται μία οὖσα καὶ ἡ αὐτή. δῆλον δέ· τὸ γὰρ αὐτὸ μόριον τῆς πάσης ὕλης ποτὲ μὲν ὕδωρ γίνεται, ποτὲ δὲ ἀήρ, καὶ ποτὲ μὲν ἐπ' ἐλάττονος ὄγκου, ποτὲ δὲ ἐπὶ μείζονος· οὐ γὰρ ἄλλο μέν ἐστιν τὸ γενόμενον ἀήρ, ἄλλο δὲ τὸ γινόμενον ὕδωρ, ἀλλ' ἡ αὐτὴ φύσις ἀμφότερα. καὶ ὅταν μὲν οὖν αὐτὴ ἡ ὕλη ἐξ ὕδατος ἀὴρ γένηται, μείζων μὲν γίνεται, οὐ μὴν καὶ ἔξωθέν τι προσλαβοῦσα, ἢ κενοῦ μιχθέντος· καὶ ὅταν ὕδωρ ἐξ ἀέρος, ἔλαττον μὲν οὖν, οὐ μὴν ἀφαιρεθέντος τινός. τούτῳ γὰρ μάλιστα τῶν συγκρίσει καὶ διακρίσει ποιούντων τὰς γενέσεις διενηνόχαμεν, ὅτι οἱ μὲν προσθέσει καὶ ἀφαιρέσει τὰς γενέσεις καὶ τὰς φθορὰς μηχανῶνται, καὶ οὐ ποιοῦσι τὸ αὐτὸ ὑποκείμενον πᾶσι τοῖς στοιχείοις· ἡμεῖς δὲ μίαν εἶναι τὴν ὕλην ὅλην δι' ὅλης ἀλλοιουμένην καὶ τρεπομένην. ὥσπερ τοίνυν ἡ αὐτὴ οὖσα κατ' ἀριθμὸν θερμὴ γίνεται καὶ ψυχρά, οὐ διότι μίγνυται αὐτῇ τι ἕτερον ἢ προστίθεται, ἀλλ' ὅτι δυνάμει ταὐτά ἐστιν, οὕτω καὶ μικρὰ γίνεται καὶ μεγάλη τῷ δύνασθαι ἄμφω, οὐχὶ τῷ προς-*

λαμβάνειν μέγεθος ἢ ἀπολλύναι. κἂν τοίνυν ὁ ἀὴρ μένων ἀὴρ εἰς πλείονα ὄγκον χέηται λεπτυνόμενος, ἢ εἰς ἐλάττονα συστέλληται παχυνόμενος, τὴν ὑποκειμένην ὕλην αἰτιατέον, ὅτι δυνάμει οὖσα σμικρὰ καὶ μεγάλη μεταλαμβάνει ποτὲ μὲν ἐνεργείᾳ, ποτὲ δὲ τὸ δυνάμει τούτων ἑκάτερον εἶναι. ὥσπερ γὰρ ὅταν ἐκ θερμοῦ εἰς θερμότερόν τι μεταβάλλῃ, οὐχ οὕτω μεταβάλλει ταῦτα πρότερον οὐκ ὄντα τῆς ὕλης θερμὰ νῦν γέγονε θερμά· θερμὸν γὰρ ὁμοίως πᾶν ἦν τοιοῦτον τὸ ὑποκείμενον καὶ οὐχὶ μίξει τινῶν οὐ θερμῶν, καὶ νῦν ὅτε ἐπιδίδωσιν εἰς θερμότητα, πᾶσα ὁμοίως εἰς τοῦτο πᾶν ἐπιδίδωσιν· ἂν γὰρ ἄλλα μένῃ τῆς ὕλης θερμά τε ὅτε ἧττόν ἐστι θερμή, ἄλλα δὲ ὅταν μᾶλλον, οὐκέθ' ἡ αὐτὴ γίνεται κατ' ἀριθμὸν δεχομένη τὸ μᾶλλον καὶ ἧττον, ἀλλ' ὅτι θερμὸν τῷ προϋπάρχοντι προσγίνεταί τε καὶ προσμίγνυται. ὡς οὖν ἐπὶ τούτων, οὕτως ἔχει καὶ ἐπὶ τοῦ μανουμένου καὶ πηγνυμένου· ἡ αὐτή ἐστιν ὕλη ταὐτὰ δεχομένη καὶ οὐκ ἔξωθέν τι εἰσιὸν ἢ ἐξιόν, ὡς οἱ τὸ κενὸν εἰσάγοντες· ἀγνοοῦσι γὰρ οὗτοι τὴν τῆς ὕλης φύσιν, καθάπερ δὴ καὶ οἱ λέγοντες ἐπὶ τοῦ πεπυρωμένου σιδήρου, ὅτι σίδηρος ὢν τὸ πῦρ ἐδέξατο, καὶ οὐχὶ ἡ ὕλη καὶ ὁ σίδηρος εἰς πῦρ μετέβαλλεν. χρῆσθαι δέ ἐστιν καὶ ἑτέρῳ παραδείγματι, ᾧ ὁμολογεῖ καὶ ὅτι τὰ μέρη τῆς περιφερείας τοῦ κύκλου πάντα ὁμοίως ἐστὶ κυρτά, ὅταν δὲ εἰς ἐλάττονα ὄγκον συνάγηται ἐκ μείζονος ὁ αὐτὸς κύκλος ὁμοίως τῆς περιφερείας συνιούσης ἁπανταχόθεν, γίνεται μὲν τὰ μόρια κυρτότερα τηνικαῦτα, ἀλλ' οὐχὶ τῷ γενέσθαι κυρτὰ ἐν αὐτοῖς ἃ οὐκ ἦν ἐν τῷ μείζονι κύκλῳ κυρτά, ἀλλ' εὐθέα, ἀλλὰ τῷ κυρτότερα

---

8 ταῦτα πρότερον] τῷ τὰ προτέρα A; malim ὡς ταῦτα πρότερον 17 πηγνουμένον A 18 καὶ οὐκ] καὶ ὡς V

γενέσθαι αὐτὰ τὰ πρότερον ὄντα κυρτά. ὅλως γὰρ τὸ μᾶλλον καὶ ἧττον λέγεται οὐκ ἐν τῷ διαλείπειν τι, καὶ αὖθις μὴ διαλείπειν ἄλλα τὸ δι' ὅλου ἐπιτείνεσθαι ἢ ἀνίεσθαι, ὡς τὸ θερμότερον, ὡς τὸ γλυκύτερον, ὡς τὸ λευκότερον· οὕτως δὲ καὶ ἐπὶ σμικρότητος καὶ μεγέθους οὐ προσλαβοῦσα ἡ ὕλη ἕτερον μέγεθος ἐπεκτείνεται, ἢ ἀποβαλοῦσα συστέλλεται, ὡς λέγουσιν οἱ τὸ κενὸν αἰτιώμενοι, ἀλλ' ἔστι τὸ αὐτὸ ὑποκείμενον ὃ τέως ἦν ἐπ' ἐλάττονος διαστήματος, εἰς πλεῖον ὕστερον ἐκτεινόμενον, καὶ ἀνάπαλιν ἐπὶ τῆς πιλήσεως καὶ συστολῆς, καθάπερ ἐπὶ τῆς περιφερείας ἐδείχθη τοῦ κύκλου. τὸ αὐτὸ τοίνυν ἐστὶ τὸ γενόμενον πυκνὸν καὶ μανόν, καὶ μία ἀμφοτέρων ἡ ὕλη καὶ οὐ προσλήψει καὶ στερήσει κενοῦ τὸ μανὸν καὶ πυκνόν. ἔστι δὲ τὸ μὲν πυκνὸν βαρύ, τὸ δὲ μανὸν κοῦφον, καὶ τὸ μὲν ἐπὶ τὸ ἄνω, τὸ δὲ ἐπὶ τὸ κάτω κινεῖται. εἰ οὖν πρὸς τὸ μανὸν εἶναι μὴ προσδεῖται κενοῦ, οὐδὲ πρὸς τὸ ἄνω κινεῖσθαι, καὶ εἰ μὴ πρὸς τὸ πυκνόν, οὐδὲ πρὸς τὸ κάτω. ἔστι δὲ τὸ μὲν πυκνὸν πρὸς τὸ βαρὺ εἶναι καὶ σκληρόν, τὸ δὲ μανὸν πρὸς τὸ κοῦφον εἶναι καὶ μαλακόν, ἀλλ' οὐκ ἐπὶ πάντων· οὐ γὰρ ἅπαντα τὰ βαρύτερα καὶ σκληρότερα· διαφωνεῖ γὰρ ἐπὶ σιδήρου καὶ μολίβδου. ἐκ δὴ τῶν εἰρημένων φανερόν, ὡς οὔτε ἀποκεκριμένως κενόν ἐστιν, οὔτε ἀθρόον, οὔτε ἐν τοῖς σώμασιν τοῖς μανοῖς, οὔτε μὴν ὡς ἐγκεκραμένον καὶ οἷον δυνάμει. εἰ δέ τις βούλεται πάντως καλεῖν κενὸν τὸ τοῖς σώμασιν τῆς κινήσεως αἴτιον καὶ τοῦ βαρύ τι εἶναι ἢ κοῦφον, τὴν ὕλην ἂν οὗτος λέγοι τὸ κενόν· αὕτη γάρ ἐστιν ἡ μανότητος καὶ πυκνότητος δεκτική,

---

1 πρότερα A    29 λέγοι] λέγῃ libri

οἷς ἕπεται τὸ βαρὺ καὶ κοῦφον καὶ τὸ σκληρὸν καὶ τὸ μαλακόν· τούτων δὲ τὰ μὲν φορᾶς αἴτια καὶ κινήσεως, τὰ δὲ πάθους τε καὶ ἀπαθείας καὶ ἀλλοιώσεως μᾶλλον. περὶ μὲν οὖν κενοῦ διωρίσθω τοῦτον τὸν τρόπον.

10

Ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶ διασκέψασθαι περὶ χρόνου. πρῶτον δὲ καλῶς ἔχει διαπορῆσαι περὶ αὐτοῦ καὶ διὰ τῶν ἔξωθεν λόγων, πρότερον εἰ ἔστιν, εἶτα τί ἐστιν ἐφεξῆς. ὅτι μὲν οὖν ἢ ὅλως οὐκ ἔστιν ἢ μόλις ἐστὶ καὶ ἀμυδρῶς, ἐκ τῶνδε ἄν τις ὑποπτεύσειεν. σύγκειται ἐκ μὴ ὄντων· τὸ μὲν γὰρ αὐτοῦ γέγονε καὶ οὐκ ἔστιν, τὸ δὲ μέλλει καὶ οὔπω ἐστίν, ἐκ δὲ τούτων καὶ μὴν καὶ ἐνιαυτὸς καὶ ὁ ἄπειρος καὶ ὁ ἀτελεύτητος χρόνος· τὸ δὲ ἐξ οὐκ ὄντων συγκείμενον οὐκ ὂν ἐξ ἀνάγκης ἀναγκαίως· οὐδὲ γὰρ τὸ νῦν μέρος τοῦ χρόνου ἀλλὰ πέρας ἐστίν. ἔτι πᾶν μεριστόν, ἔστ' ἂν ὑφεστήκῃ, πάντως αὐτοῦ καὶ τῶν μερῶν ἢ τινα ὑφέστηκεν ἢ καὶ σύμπαντα· σύμπαντα μὲν ὡς ἐπὶ τῆς πηχυαίας γραμμῆς, ἔνια δὲ ὡς ἐπὶ πολέμου καὶ πομπῆς καὶ ἀγῶνος. μεριστοῦ δὲ ὄντος τοῦ χρόνου καὶ συνεχοῦς μόριον οὐδέν ἐστιν ὅλως, fol. ἀλλὰ τὰ μὲν γέγονε τὰ δὲ μέλλει, τὸ δὲ νῦν προέφην 44b. εἶναι μὴ μέρος· ἦν γὰρ ἂν καὶ αὐτὸ μεριστόν, καὶ κατεμέτρει τὸ ὅλον καὶ εἶχεν ἄν τι διάστημα· τοιαῦτα γὰρ τὰ μέρη τῶν μεριστῶν, ἀλλ' οὐδὲ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν, ἀλλ' ἐκ τοῦ παρελθόντος καὶ μέλλοντος. οὐκ ἄρα μέρος τὸ νῦν τοῦ χρόνου. ὅλως γὰρ καὶ καθ' αὑτὸ ζητητέον περὶ τοῦ νῦν, ὃ διορίζει τὸ παρελθὸν καὶ τὸ μέλλον, πῶς ποτε ὑφέστηκεν, πότερον διαμένει τὸ νῦν ἓν καὶ ταὐτὸν γίνεται, ἢ ἄλλο

---

14 ἀναγκαίως] delendum. 21 δὲ ante νῦν om V

*καὶ ἄλλο, ἢ τὸ μὲν φθείρεσθαι τὸ δὲ γίνεσθαι· ἅμα γὰρ εἶναι πλείω τὰ νῦν παντελῶς ἀμηχανώτατον, οὐδὲ ἄλλα μέρη τινὰ τοῦ χρόνου δυνατὸν ἅμα πλείω συνυπάρχειν ἀλλήλοις, εἰ μὴ τὸ μὲν αὐτοῦ ὡς περιέχον τὸ δὲ περιεχόμενον ὑπολαμβάνοιμεν, ὡς φαμὲν ἐνεστάναι τὸν μῆνα καὶ τὴν νουμηνίαν. ἐπὶ δὲ τοῦ ἀκριβῶς νῦν κυρίως τοῦθ' ὑπονοεῖν οὐκ ἔστιν· οὐ γάρ ἐστι τὸ μὲν περιεχόμενον νῦν, τὸ δὲ περιέχον νῦν, οὐδὲ τὸ μὲν πλέον τὸ δὲ ἔλαττον, ὥστε ἀνάγκη φθείρεσθαι τὸ πρότερον νῦν, ἵνα γένηται τὸ ἐφεξῆς. ἐπεὶ τοίνυν πᾶν τὸ φθειρόμενον ἐν χρόνῳ φθείρεται, καὶ τὸ νῦν ἢ ἐν αὐτῷ φθείροιτ' ἂν ἢ ἐν ἄλλῳ χρόνῳ. ἀλλ' εἰ μὲν ἐν ἑαυτῷ, ἅμα ταὐτὸν εἶναί τε καὶ μὴ εἶναι, καὶ γίνεσθαί τε καὶ φθείρεσθαι συμβήσεται, ὥσπερ εἰ καὶ τοῦτο τὸ ξύλον ἐν αὐτῷ τις φθείρεσθαι λέγοι καὶ εἰς ἑαυτὸ μεταβάλλειν. εἰ δὲ ἐν ἄλλῳ χρόνῳ, πότερον κἀκεῖνό ἐστιν νῦν ἢ ἕτερον τοῦ νῦν; εἴτε γάρ, δύο ἅμα γίνεται νῦν, τὸ φθειρόμενον νῦν καὶ ἐν ᾧ φθείρεται· εἰ δ' ἕτερον, ἢ τὸ παρελθὸν ἔσται ἢ τὸ μέλλον, ἐν οὐδετέρῳ δὲ τούτων φθείρεσθαι δυνατόν, τῷ μὲν ὅτι προλαμβάνει τὴν γένεσιν τοῦ νῦν· ἔσται οὖν ἐφθαρμένον πρὶν γενέσθαι, τῷ μέλλοντι δὲ ὅτι οὐδέποτ' ἂν φθείροιτο τὸ νῦν, ἀλλὰ μέλλει [ἂν] ἀεὶ φθαρήσεσθαι· ἀεὶ γὰρ ἐν ᾧ φθείρεται μέλλει. ἢ τοίνυν οὕτως, ἢ μᾶλλον ὅτι χρόνος ὁ παρελθὼν καὶ ὁ μέλλων, ἐν χρόνῳ δὲ φθείρεσθαι τὸ νῦν ἀδύνατον· συμπαρεκτείνοιτο γὰρ ἂν τὸ ἀμερὲς καὶ ἐλάχιστον αὐτοῦ ἔχοντι ποσόν τι διάστημα. καὶ τοιαῦτα μὲν ἁπλούστερον ἔτι λέγεται. εἰ δὲ μὴ ἔχε–*

---

1 scrib. *φθείρεται, τὸ δὲ γίνεται* 24 dele *ἂν*. conf. Simpl. fol. 165.

ται τὰ νῦν ἐξ ἀλλήλων μηδὲ σύγκειται ὁ χρόνος ἐκ τῶν νῦν, ὥσπερ οὐδὲ ἐκ τῶν στιγμῶν ἡ γραμμή, καὶ ἄλλο ἀτοπώτερον ἀπαντᾷ. εἰ γὰρ ἐν ἄλλῳ νῦν φθείρεται τὸ νῦν, πάντως μεταξὺ ἑαυτοῦ καὶ ἐν ᾧ φθείρεται, χρόνος ἐστίν, ὥσπερ ἐν τῷ μεταξὺ τῶν σημείων γραμμή. τοῦτον δὴ πάντα τὸν χρόνον ὑπάρξει τὸ νῦν. ἀλλ' ἄπειρα ἐν τῷ μεταξὺ χρόνῳ τὰ νῦν, εἴγε διότι συνεχὴς ὁ χρόνος καὶ εἰς ἄπειρα διαιρετέος. ἔσται ἄρα νῦν πλείω καὶ ἄπειρα. εἰ μὲν τοίνυν ἄλλο καὶ ἄλλο εἴη τὸ νῦν, τοσαῦτα ἄτοπα φαίνεται· εἰ δὲ ταὐτὸν ἀεὶ διαμένει, πρῶτον μὲν πῶς συνεχὴς ὢν καὶ διὰ παντὸς ὁ χρόνος οὐκ εἰς δύο πέρατα διαστίξει ἀλλ' εἰς ἕν; καὶ μάλιστα ὅταν πεπερασμένος νοῆται ὡς ὁ μὴν καὶ ἐνιαυτός· πῶς γὰρ ἓν ἔσται καὶ ταὐτὸν τὸ νῦν, ἀφ' οὗ τε ἤρξατο ὁ μὴν καὶ εἰς ὃ ἐτελεύτησεν; οὐδενός τε ὅλως διαιρετοῦ πεπερασμένου ἐπὶ θάτερον μέρος πέρας ἐστίν, οὐ γραμμῆς, οὐκ ἐπιφανείας, οὐ σώματος. δεύτερον δὲ εἰ ταὐτὸν καὶ ἓν διαμένει τὸ νῦν, ἅμα δὲ λέγεται καὶ εἶναι καὶ γεγονέναι τὰ κατὰ τὸν αὐτὸν χρόνον ἢ ὄντα ἢ γεγονότα, τὰ παλαιὰ τοῖς ἄρτι καὶ τὰ νεώτατα τοῖς πρεσβυτάτοις εἴη ἂν ἅμα, οἷον ἡ Νηλέως καὶ ἡ Καίσαρος βασιλεία· οὐδὲ γὰρ ὅλως ἔσται τι παρῳχημένον, εἰ διαμένει τὸ νῦν ἓν ἀκριβῶς. ἐξ ὧν μὲν οὖν ἔστιν κατασκευάσαι, ὅτι μή ἐστιν ὁ χρόνος, εἰρήσθω τοσαῦτα.

Τὰ δὲ πρότερον παραδεδομένα περὶ τοῦ χρόνου τοσοῦτον ἀπέχει τοῦ δῆλόν τι ποιεῖν ὑπὲρ αὐτοῦ, ὥστε ἐπιχειροῦντας τὴν οὐσίαν τοῦ χρόνου διδάσκειν ἀμ-

---

3 εἰ γὰρ] εἰ γὰρ εἰ libri  10 ἀναφαίνεται A  16 πεπερασμένον A  28 τι Victorius, ὅτι libri

φισβητήσιμον αὐτοῦ ποιεῖν καὶ τὴν ὕπαρξιν ἐξ ἴσου τοῖς ἀρτίως ὑφ' ἡμῶν εἰρημένοις. πῶς γὰρ οὐκ ἀσαφῆ καὶ ἀλλόκοτα τὰ λεγόμενα; ὅπου γέ τισιν ἔδοξεν ἡ τοῦ ὅλου σφαῖρα χρόνος εἶναι, διότι ἐν χρόνῳ τὰ πάντα, καὶ ἐν τῷ οὐρανῷ τὰ πάντα, οὓς πρῶτον μὲν αἰτιάσαιτο ἄν τις ἀγνοήσαντας τὴν ὁμωνυμίαν τοῦ ἔν τινι, εἶθ' οὕτως ἀπείρως ἔχοντας τῶν ἀναλυτικῶν, ὥστε μὴ καταμαθεῖν τὴν μοχθηρίαν τοῦ σχήματος, δι' ὃ ταὐτὸν ὑπελάμβανον τὸν χρόνον τε εἶναι καὶ τὴν σφαῖραν τοῦ οὐρανοῦ, καὶ ἄλλα πολλὰ καὶ ἀδύνατα. τοῦ χρόνου μὲν γὰρ μέρη τὸ παρελθὸν καὶ τὸ μέλλον, τῆς σφαίρας δὲ οὔ, καὶ ὁ μὲν γίνεται ἡ δὲ ἔστι, καὶ ἡ μὲν οὐσία ὁ δὲ οὔ, ἀλλὰ ταύτην εὐηθέστερον ἴσως ἐπὶ πλέον ἐξετάζειν τὴν δόξαν λίαν οὖσαν ἁπλῆν καὶ ἀρχαίαν. ἕτεροι δὲ οὐ καθ' αὐτὸν διὰ ταῦτα τὸν οὐρανόν, ἀλλὰ τὴν περιφορὰν τοῦ παντὸς οὐρανοῦ τὸν χρόνον ποιοῦσιν, καθ' οὓς πρῶτον μὲν ἡμέρα χρόνος οὐκ ἔσται οὐδὲ νὺξ καθ' αὐτήν· οὐδὲν γὰρ τούτων περιφορὰ τοῦ παντὸς οὐρανοῦ, ἀλλὰ τῶν ἡμισφαιρίων καὶ μέρος τῆς ὅλης περιφορᾶς, πρὸς τούτοις δὲ ἡ μὲν περιφορὰ τοῦ παντὸς οὐχ ἁπλῆ ἀλλὰ ἐκ πλειόνων κινήσεων καί τινων ἐναντίων, ὁ χρόνος δὲ εἷς καὶ ἁπλοῦς, καὶ κίνησις μὲν οὐχ ὁμοία τοῦ παντὸς οὐρανοῦ, ἀλλὰ καὶ θάττων ἐν αὐτῇ καὶ βραδυτέρα, θάττων μὲν περὶ τὸν ἰσημερινόν, βραδυτέρα δὲ περὶ τοὺς πόλους, ὁ χρόνος δὲ ἁπασῶν ὁ αὐτός. πῶς δὲ ἐν γῇ ὁ χρόνος; πῶς δὲ ἐν θαλάσσῃ; οὐ γὰρ δὴ καὶ ταῦτα συμπεριφέρεται τῷ παντί. εἰ δ' ὥσπερ αὐτὰς Πλάτων ποιεῖ δεσμώ-

4 χρόνος] χρόνον A χρόνου V 13 ὁ δὲ] ἡ δὲ A 17 οὓς] ἃς A 26 πόλους] τόπους A 29 αὐτὰς abundat Πλάτων] Polit. VII, initio.

τας τινὰς ἐκ παίδων ἐν ὑπογείαις οἰκήσεσιν διασώζοντας ὑποθοίμεθα, τούτοις πῶς ἐστιν αἴσθησις χρόνου οἷς οὐκ ἔστιν αἴσθησις τῆς περιφορᾶς τοῦ παντός; ἔτι εἰ πλείους ἦσαν οἱ οὐρανοὶ καθάπερ Δημόκριτος λέγει, πλείους ἂν ἦσαν καὶ χρόνοι ἅμα καὶ ἐν τῷ αὐτῷ, ἀλλ᾽ ἄλογον· κινήσεις μὲν γὰρ ἅμα δύνανται εἶναι πλείους ἐν τῷ αὐτῷ χρόνῳ, πλείους δὲ οὐρανοὶ οὐ δυνατόν· πλὴν δὲ καὶ πρὸ τοῦ γενέσθαι τὸν οὐρανὸν ὁ κίνησιν ἄτακτον ὑποτιθέμενος οὐ συμ- fol. 45. παράγει καὶ χρόνον καὶ πρὸ τῆς περιφορᾶς τοῦ παντός· πᾶσα γὰρ κίνησις ἐν χρόνῳ, κἂν τεταγμένη κἂν ἄτακτος ᾖ. ἀλλὰ ταῦτα οὐ πολλοῦ λόγου προσδεῖται.

Τὸ δὲ καθόλου μᾶλλον ἐπισκεπτέον, εἰ δύναται κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος. ἡ μὲν οὖν ἑκάστου κίνησις ἐν τῷ κινουμένῳ μόνον ἐστὶν καὶ ὅπου ἂν ᾖ τὸ κινούμενον· οὐ περιγράφεται γὰρ τῇ οὐσίᾳ τοῦ κινουμένου, ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν. ἔτι δὲ κίνησις μὲν θάττων ἐστὶν καὶ βραδυτέρα, χρόνος δὲ οὔ, καὶ πῶς, οὐ χαλεπὸν ἐπιδεῖξαι· τὸ μὲν γὰρ θᾶττον καὶ βραδύτερον ὁρίζεται χρόνῳ· θᾶττον μὲν γάρ ἐστι τὸ ἐν ἐλάσσονι χρόνῳ πλεῖον διάστημα κινηθέν, βραδύτερον δὲ τὸ ἐν πλείονι ἔλαττον. ὁ χρόνος δὲ οὐχ ὁρίζεται χρόνῳ· οὐ γάρ οἷόν τε ἐν ὀλίγῳ χρόνῳ πολὺν γεγονέναι χρόνον, ἢ τοὔμπαλιν. οὐ μόνον δὲ κατὰ τὸ ποιόν, τουτέστι κατὰ τὸ ταχὺ καὶ βραδὺ διαφέρουσιν ἡ κίνησις καὶ ὁ χρόνος, ὅτι τῇ μὲν ὑπάρχει τῷ δ᾽ οὔ, ἀλλὰ καὶ κατὰ τὸ ποσὸν τὸν αὐτὸν τρόπον· τῆς μὲν γὰρ κινήσεως καὶ τὸ ποσὸν ὁρίζεται χρόνῳ· μακρὰ γὰρ

---

1 ὑπογείοις? διασώζοντας] διαζῶντας? 8 aut οὐρανοὺς aut δύνανται 15 ἑκάστη A 18 παρὰ] περὶ A 21 ἐν ante ἐλάσσονι om libri

καὶ πολλὴ κίνησις ἡ ἐν πολλῷ χρόνῳ καὶ ὀλίγη ἡ ἐν ὀλίγῳ χρόνῳ· τοῦ χρόνου δὲ οὐδὲ τὸ ποσὸν ὁρίζεται χρόνῳ· λέγεται μὲν γὰρ καὶ πολὺς καὶ ὀλίγος χρόνος, ἀλλ' οὐχὶ κατὰ τὴν ἐπὶ τὸν χρόνον ἀναφορὰν ὥσπερ ἡ κίνησις, ἀλλ' ἕτερον τρόπον ὡς ἐφεξῆς μαθησόμεθα. ὅτι μὲν τοίνυν οὐκ ἔστιν ἡ κίνησις ἢ μεταβολή τις ὁ χρόνος φανερὸν ἐκ τῶν εἰρημένων.

11 Ἆρ' οὖν οὐδὲ ὅλως κινήσει προσήκων, οὐδὲ ἐγγύς που κινήσεως αὐτὸν ζητητέον, ἀλλὰ μᾶλλον στάσις καὶ ἠρεμία; πῶς οὖν τοῦτο ἄν τις ἐξεύροι, ἐννοήσομεν εἰ δοκεῖ, πότε καὶ πῶς ἔχοντες αἰσθανόμεθα τοῦ χρόνου. τάχα δὲ ἂν οὕτω γένοιτο φανερόν. ἀναμνήσθητι γὰρ εἴ ποτε ἐκ χρόνου πολλοῦ καὶ συνεχοῦς ἀγρυπνίας βαθὺν ὕπνον ἐκάθευδες, οἷον ὁ ποιητὴς ἐπ' Ὀδυσσέως φησίν, νήγρετον ἥδιστον θανάτῳ προσεοικότα· τηνικαῦτα οἶσθ' ὅτι κἂν νύκτα ἡμέρᾳ συνάψῃς καθεύδων, ὅπως ἐξεγειρόμενος οἴει μηδένα μεταξὺ γεγονέναι χρόνον. τοιοῦτον δέ τοι καὶ ἐν Σαρδοῖ μυθολογεῖται συμβαίνειν τοῖς λεγομένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν ὅταν ἐγερθῶσιν· οὔτε γὰρ οὗτοι τοῦ χρόνου λαμβάνουσιν αἴσθησιν ὃν ἀνάλωσαν ἐν τῷ ὕπνῳ, ἀλλὰ συνάπτουσι τὸ πρότερον νῦν τῷ ὑστέρῳ νῦν, καὶ ἓν ποιοῦσιν ἐξαιροῦντες τὸ μεταξὺ διὰ τὴν ἀναισθησίαν. ὥσπερ τοίνυν ὅταν κατ' ἀλήθειαν ᾖ ταὐτὸν καὶ ἓν τὸ νῦν οὐκ ἔστι χρόνος, οὕτως καὶ οἷς οὐκ ἔστι μὲν ἓν δοκεῖ δέ, οὐδὲ χρόνος εἶναι δοκεῖ· ὅλως γὰρ ὅταν ἢ μηδὲν αὐτοὶ μεταβάλλωμεν καὶ κινώμεθα, ἢ λανθάνωμεν ἑαυτοὺς μεταβάλ-

1 τῷ πολλῷ A   καὶ ὀλίγη — ὁρίζεται χρόνῳ om A   15 ποιητὴς] Od. XIII, 80.   20 παρὰ] περὶ A   28 λανθάνομεν ἑαυτοὶ A

λόντες καὶ κινούμενοι, οὐδεμίαν αἴσθησιν ἔχομεν χρόνου, οὕτω καὶ ἔλαθε νὺξ ἐπελθοῦσα πολλάκις καὶ ἄσιτοι διηγάγομεν, ὅταν ἐνεργοῦντές τι μεθ' ἡδονῆς καὶ προσκείμενοι πρὸς τὸ ἔργον διὰ μὲν τὴν ἡδονὴν μὴ κάμνωμεν ὑπὸ τῆς κινήσεως, διὰ δὲ τὸ μὴ κάμνειν μηδὲ αἰσθανώμεθα τῆς κινήσεως, ἐπεὶ ὅσοις γε ἡ ἐνέργεια σὺν πόνῳ καὶ ἀλγηδόνι, οὗτοι διὰ τὸ σφόδρα αἰσθάνεσθαι τῆς κινήσεως σφόδρα αἰσθάνονται καὶ τοῦ χρόνου. διὰ τοῦτο καὶ οἱ νοσοῦντες μείξους ὑπολαμβάνουσιν τὰς ἡμέρας καὶ φροντίζοντες ἀναβοῶσιν· ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν νυκτῶν ὅσον. ἐκ δὴ πάντων τῶν εἰρημένων δῆλόν ἐστιν, ὡς τῇ τῆς κινήσεως αἰσθήσει συνυφίσταται καὶ ἡ τοῦ χρόνου καὶ συνέζευκται ἐκείνῃ καὶ συνήρτηται ἀκριβῶς. δῆλον οὖν ὡς οὐκ ἔστιν ὁ χρόνος ἄνευ κινήσεως, ἄνευ κινήσεως δὲ οὐχ ὃν τρόπον οἴεται Γαληνός, ἐπειδὴ κινούμενοι νοοῦμεν τὸν χρόνον· οὕτω γὰρ ὑπολαμβάνει λέγειν Ἀριστοτέλην, ἀλλ' ἐπειδὴ τῇ τῆς κινήσεως ἐννοίᾳ συνήρτηται ἡ τοῦ χρόνου. τί οὖν μάτην ἤθλει πρὸς τὸ δῆθεν ἀντιλέγειν ἐπιχειρῶν; καὶ γὰρ τὰ ἀκίνητα φησὶ κινούμενοι νοοῦμεν, οἷον τοὺς πόλους τοῦ κόσμου καὶ τὸ κέντρον τῆς γῆς, καὶ ὅμως οὐκ ἔστι ταῦτα μετὰ κινήσεως· ἐχρῆν γὰρ καὶ ἀκοῦσαι διαρρήδην λέγοντος Ἀριστοτέλους· ἅμα γὰρ κινήσεως αἰσθανόμεθα καὶ χρόνου, πλεῖστον δὲ δήπου διαφέρει, ἢ διὰ τοῦτο κινήσεώς τι τὸν χρόνον ὑπολαμβάνειν, διότι τῇ τῆς κινήσεως ἐπινοίᾳ συνήρτηται, ἢ διὰ τοῦτο ὅτι κινούμενοι νοοῦμεν τὸν χρόνον. ἀλλ' οὗτος μὲν ἐν πολλοῖς τοιοῦτος.

Ἡμεῖς δὲ ἀναλαβόντες λέγομεν, ὡς εἴπερ τότε

---

11 ὦ Ζεῦ] Aristoph. Nub. 1. 16 δὲ om V

*μὲν οὐκ αἰσθανόμεθα χρόνου, ὅταν μηδεμιᾶς αἰσθανώμεθα μεταβολῆς ἀλλ' ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ·φαίνηται ἡ ψυχὴ μένειν καταστήματι, ὅταν δὲ αἰσθανώμεθα καὶ ὁρίσωμεν τὴν μεταβολὴν ὅτι τοσήδε, τότε ὑπολαμβάνομεν γεγονέναι τὸν χρόνον, φανερὸν ὡς οὐκ ἔστιν ἄνευ μεταβολῆς καὶ κινήσεως ὁ χρόνος, ἐπεὶ κἂν ἠρεμῶμεν αὐτοὶ καὶ μηδ' ὁτιοῦν μεταβάλλωμεν, ἐννοῶμεν δὲ μόνον κίνησίν τινα, συνεννοοῦμεν εὐθὺς καὶ χρόνον. καὶ γὰρ ἂν σκότος ᾖ καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, φανταζώμεθα δὲ ἄλλους ἢ καὶ αὐτοὺς ὁδοιποροῦντας ἢ πλέοντας ἢ γυμναζομένους ἢ πολεμοῦντας, εὐθὺς ἡμῖν καὶ χρόνος δοκεῖ γεγονέναι. οὐ μόνον δὲ ὁ χρόνος ἀκολουθεῖ τῇ κινήσει, ἀλλὰ καὶ ἡ κίνησις τῷ χρόνῳ. πάλιν γὰρ ὅταν χρόνος τις δοκῇ γεγονέναι, ἅμα καὶ κίνησίς τις γεγονέναι δοκεῖ, οἷον δύο ὧραι παρεληλύθασιν, πόθεν τοῦτο δῆλον; ἐβαδίσαμεν τοσονδί, γεγράφαμεν τοσονδί. ἀχώριστον ἄρα ἑκατέρου. ὁ μὲν οὖν πρότερος λόγος οὐκ εἶναι ταὐτὸν κίνησιν ἔφη καὶ χρόνον, ὁ δ' ἐφεξῆς οὐκ εἶναι τὸν χρόνον δίχα κινήσεως. ἆρ οὖν συμβεβηκὸς ἢ πάθος ἢ ὑπάρχον ὅλως τι τῇ κινήσει οἰητέον τὸν χρόνον; καὶ γὰρ ταῦτ' ἀχώριστα μὲν τῶν ὑποκειμένων, οὐ τὰ αὐτὰ δέ; λέγωμεν οὖν ἄνωθεν ἀναλαβόντες· πᾶν τὸ κινούμενον κατὰ τόπον, ὥσπερ ἔκ τινος εἴς τι κινεῖται, οὕτω καὶ ἐπί τινος διαστήματος, πᾶν δὲ διάστημα συνεχές, πᾶν ἄρα κινούμενον κατὰ τόπον ἐπὶ συνεχοῦς κινεῖται διαστήματος. τοῦτο τοίνυν αἴτιον λέγω τοῦ καὶ τὴν κί-*
fol. 45b. *νησιν εἶναι συνεχῆ· συμπαρεκτείνεται γὰρ τῷ μεγέ-*

---

2 *φαίνεται* libri  5 *γεγονέναι* om A  18 fort. *ἀχώριστος*  *πρότερον λόγον* A  22 *ταῦτα χωριστὰ* V

θει καὶ συμπαρισοῦται τῷ διαστήματι, καὶ ταῦθ' ὑπομένοντι μὴ ὑπομένουσα. ὥσπερ δὲ ἡ κίνησις διὰ μέγεθος συνεχής, οὕτως ὁ χρόνος διὰ τὴν κίνησιν. τὸ μὲν δὴ συνεχὲς οὕτως ὑπάρχει τῇ κινήσει τε καὶ τῷ χρόνῳ διὰ τὸ μέγεθος πρῶτον ἐφ' οὗ γίνεται ἡ κίνησις, λέγεται δέ τι καὶ πρότερον καὶ ὕστερον ἐν τῷ μεγέθει, πρότερον μὲν τοδὶ τὸ σημεῖον, ὕστερον δὲ τοδὶ κατὰ τὴν θέσιν, οἷον ἀπὸ τῶν ἀθλοθετῶν ἐπὶ τὸ πέρας τοῦ σταδίου. ἐπειδὴ δὲ ἐν τῷ μεγέθει τὸ πρότερόν ἐστι καὶ τὸ ὕστερον, ἀνάγκη ἐν κινήσει εἶναι τὸ πρότερον καὶ τὸ ὕστερον· προτέρα γὰρ ἡ κίνησις ἡ κατὰ τὸ πρότερον σημεῖον, ὑστέρα δὲ κατὰ τὸ ὕστερον. ἀλλ' ἐπὶ μὲν τοῦ μεγέθους τὸ πρότερον καὶ τὸ ὕστερον ἅμα τέ ἐστιν καὶ συνυπάρχει· ἅμα γὰρ τοδὶ τὸ σημεῖον καὶ τοδί, ἐπὶ δὲ τῆς κινήσεως ἀεὶ τὸ πρότερον ἀπόλλυται καὶ οὐκ ἀναμένει τὸ ἐν κινήσει πρότερον, εἰ μὴ ἐν τῷ μεγέθει πρότερον ἦν, οὐ μὴν ὑπομένει γε ὥσπερ ἐκεῖνο· ὥσπερ γε καὶ τὸ συνεχὲς ὑπάρχει μὲν τῇ κινήσει διὰ τὸ πρότερον ὑπάρχειν τῷ διαστήματι, οὐ μὴν τὸν αὐτὸν τρόπον· ἐκείνῳ μὲν γὰρ ἅπαντι συνεφεστῶτι, τῇ κινήσει δὲ οὔ. ὅτι μὲν τοίνυν ὑπάρχει τὸ πρότερόν τε καὶ ὕστερον ἐν κινήσει καὶ διὰ τί, φανερὸν ἐκ τῶν εἰρημένων. πότερον δὲ κίνησις ταῦτα ἢ διαφέρει τῆς κινήσεως, ἐπισκεπτέον· ἢ τῷ μὲν ὑποκειμένῳ κίνησις ἄμφω, τὸ πρότερον καὶ ὕστερον, τῷ λόγῳ δὲ διαφέρει τῆς κινήσεως; οὐ γὰρ ταὐτὸν κινήσει τε εἶναι καὶ προτέρῳ τε καὶ ὑστέρῳ, ὥσπερ καὶ τὸ τῇ θέσει πρότερόν τε καὶ ὕστερον τῷ μὲν ὑποκειμένῳ μεγέθει, τὸ δὲ εἶναι προτέρῳ καὶ μεγέθει εἶναι οὐ ταὐτόν· τὸ μὲν γὰρ πρότερον ἀποδιδοὺς τὴν κατὰ τόπον θέσιν συμπαραλήψει, τὸ μέγεθος δὲ ὁριζόμενος οὐ συνεφάψῃ τοῦ

τόπου. ὁμοίως τοίνυν διαφέροντες οἱ λόγοι κινήσεώς τε καὶ τοῦ ἐν αὐτῇ πρότερον καὶ ὕστερον· κίνησιν μὲν γὰρ ὁριζόμενοί φαμεν ἐντελέχειαν τοῦ κινητοῦ, τοῦ δὲ ἐν αὐτῇ πρότερόν τε καὶ ὕστερον ζητητέον ἕτερον λόγον. ὥσπερ οὖν ὁ πατὴρ τῷ μὲν ὑποκειμένῳ Σωκράτης ἐστίν, οὐ ταὐτὸν δὲ τῷ πατρὶ εἶναι καὶ τῷ Σωκράτει, καὶ ὥσπερ τὰ πέντε τῷ μὲν ὑποκειμένῳ ξύλα, τὸ μέντοι πέντε αὐτοῖς εἶναι καὶ ἄλλο τί ἐστι παρὰ τὰ ξύλα· ἀριθμὸς γὰρ τὰ πέντε καθὸ πέντε, ἀλλ' οὐχὶ ξύλα, οὕτω καὶ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν κινήσει τῷ μὲν ὑποκειμένῳ κίνησις ἄμφω, τὸ μέντοι γε εἶναι αὐτοῖς προτέρῳ τε καὶ ὑστέρῳ ἄλλο τί ἐστιν καὶ οὐ κίνησις. τί οὖν τὸ εἶναι αὐτῶν ζητητέον, καθὸ διαφέρουσιν τῆς κινήσεως, ἐπισκεπτέον δὲ πῶς νοοῦμεν τὸ πρότερόν τε καὶ ὕστερον ἐν κινήσει. ὥσπερ τοίνυν ἐπὶ τῆς γραμμῆς, ἕως μὲν ἂν μίαν αὐτὴν καὶ συνεχῆ πᾶσαν νοῶμεν, οὐ νοοῦμεν αὐτῆς τὸ μέντοι πρότερον τῇ θέσει μέρος, τὸ δὲ ὕστερον· ὅταν δὲ διελώμεθα καὶ ὁρίσωμεν τοῖς σημείοις, εὐθέως τὸ μέντοι πρότερον τῇ θέσει μέρος ποιοῦμεν τὸ δὲ ὕστερον, οὕτως καὶ ἐπὶ τῆς κινήσεως οὐκ ἄλλως νοοῦμεν τὸ πρότερον ἐν αὐτῇ καὶ τὸ ὕστερον, εἰ μὴ διελοίμεθα αὐτὴν καὶ διορίσαιμεν εἰς μέρη καὶ λάβοιμεν αἴσθησιν ὡς ἄλλου καὶ ἄλλου. πότερον οὖν στιγμαῖς αὐτὴν διαιρούμεθα καὶ πῶς; οὐ γὰρ ἔχει θέσιν, ἀλλά τινα θέσιν· οἷον γράφω νῦν ἐγὼ συνεχῶς, καὶ ὑποκείσθω κινεῖσθαι τὴν χεῖρα μὴ διαλείπουσαν ὅλως. λέγω τοίνυν προτέραν εἶναι κίνησιν ἣν κεκίνηται, ἧς κινήσεται. τί δήποτε; ὅτι

---

2 et 4 ἐν αὐτῷ V 6 Σωκράτης] Σωκράτη A 17 νοῶμεν] νοοῦμεν libri 18 μέντοι πρότερον] fort. hic et infra μὲν πρότερον

*τοίνυν τὴν μὲν ἐπλήρωσε, τῆς δὲ ἄρχεται. εὕρηται τοίνυν τὸ τὴν κίνησιν δυνατὸν διαιρεῖν, καί τι λάβοις ἂν ἐπ' αὐτῆς οἷον σημεῖον ἐπὶ γραμμῆς, ὃ τοῦ μὲν αὐτῆς μέρους ἔσται πέρας, τοῦ δὲ ἀρχή. εἶεν. εἰ δὴ πάλιν καὶ δὶς βουληθείη τὴν κίνησιν τῆς χειρὸς διελεῖν, πότερον ταὐτῷ χρήσομαι νῦν ᾧ καὶ πρότερον ἐχρησάμην, ἢ τῷ παρόντι νῦν ὃ νῦν λέγω, μᾶλλον δὲ ὃ μὴ δύναταί τις εἰπεῖν; δῆλον οὖν ὡς ἑτέρῳ καὶ τῷ παρόντι. τούτων δὴ τῶν νῦν τὶ μὲν πρότερον εἴποις ἄν, τὶ δὲ ὕστερον, ἢ πρίν σε ἀποκρίνασθαι γέγραπται, ὅτι πρότερον μὲν ᾧ πρότερον ἐχρησάμην εἰς τὴν τομὴν τῆς κινήσεως, ὕστερον δὲ ᾧ μετὰ ταῦτα. διὰ τί οὖν πρότερον ἐκεῖνο τοῦδε; ἆρ' ὅτι τῆς σελίδος ἐνθάδε γέγραπται, τὸ δὲ ἐνθάδε; εἰ οὖν μὴ γέγραπται ὅλως, οὐκ ἂν ἦν τὸ μὲν πρότερον τὸ δὲ ὕστερον, ἀλλὰ γελοῖον. ἀλλὰ διὰ τί; φανερὸν οὖν ὅτι τὸ μὲν πρότερον παρελήλυθεν, τὸ δὲ ἐφεξῆς. ὅταν τοίνυν διαιρῶμεν τὴν κίνησιν καὶ τοῖς νῦν τέμνωμεν εἰς πολλά, τί ποιοῦμεν ἄλλο ἢ χρόνον ἐροῦμεν καὶ χρόνου μέρη; τὸ γὰρ παρελθὸν καὶ τὸ μέλλον ἐξ ὧν ὁ χρόνος, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ πρότερόν τε καὶ τὸ ὕστερον τῆς κινήσεως ἃ τοῖς νῦν ἀεὶ διορίζεται καὶ ἀριθμεῖται ὡς ἄλλα καὶ ἄλλα. ταὐτὸν ἄρα χρόνος τε καὶ τὸ πρότερόν τε καὶ ὕστερον ἐν κινήσει, ὅταν διορίζηται καὶ ἀριθμῆται, διορίζεται δὲ οὐκ ἄλλως ἢ ὅταν δύο προσπέσῃ τῇ ψυχῇ τὰ νῦν, τὸ μὲν ὡς πρότερον καὶ προτέρας κινήσεως πέρας, τὸ δὲ ὡς ὕστερον καὶ ὡς ὑστέρας, καὶ ὥσπερ ὅταν ἄκρα αὐτὰ καὶ ἕτερα τοῦ μέσου νοήσωμεν· ὅταν γὰρ ὁ νοῦς ἀνα-*

---

5 *δὶς*] *διὸ* V fort. *βουληθείην* 15 fort. *γέγραπτο* *τὸ μὲν* om V 29 *νοήσομεν* libri

*μνησθεὶς τοῦ νῦν ὃ χθὲς εἶπεν, ἕτερον πάλιν εἴπῃ τὸ τήμερον, τότε καὶ χρόνον εὐθὺς ἐνενόησεν ὑπὸ τῶν δύο νῦν ὁριζόμενον, οἷον ὑπὸ περάτων δυοῖν, καὶ οὕτω λέγειν ἔχει, ὅτι ποσόν ἐστι πεντεκαίδεκα ὡρῶν ἢ ἑκκαίδεκα, οἷον ἐξ ἀπείρου γραμμῆς πηχυαίαν δύο σημείοις ἀποτεμνόμενος. ἐξαρκεῖ μέντοι γε πολλάκις καὶ ἓν τὸ νῦν προσπεσεῖν τῇ ψυχῇ πρὸς τὸ γνωρίσαι χρόνον, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ὅταν ὡς πέρας καὶ ἀρχή· γίνεται γὰρ καὶ τηνικαῦτα προτέρου τε καὶ ὑστέρου συναίσθησις· οὗ μὲν γὰρ πέρας, τοῦτο πρότερον· οὗ δὲ ἀρχή, τοῦτο ὕστερον, ὥστε δῆλόν ἐστιν, ὅτι πανταχόθεν ἡ τοῦ χρόνου φύσις ἀναφαίνεται τὸ εἶναι ἔχουσα ἐν τῷ διαλαμβάνεσθαι τὸ πρότερόν τε καὶ ὕστερον τῆς κινήσεως. τὸ πρότερον ἄρα καὶ τὸ ὕστερον ἐν κινήσει χρόνος ἐστίν, ὅταν*
fol. 46. *διαλαμβάνηται ὡς ἄλλου καὶ ἄλλου, τουτέστιν ὅταν ἀριθμῆται· ὁ γὰρ ἀριθμὸς οὐχ ἑνὸς οὐδὲ ταὐτοῦ παντάπασίν ἐστιν, ἀλλὰ τοῦ ἔχοντος τὸ ἄλλο καὶ ἄλλο. οὐκ ἄρα ἡ κίνησις χρόνος ἐστίν, ἀλλὰ τὸ ἀριθμούμενον τῆς κινήσεως κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. συνάγοντι δὴ τὰ εἰρημένα τὸν χρόνον ἀφοριστέον, ὅτι ἐστὶν ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. ὅτι μὲν οὖν ἀριθμός, τοῦτο σημεῖον. πᾶν πλέον ἢ ἔλαττον ἀριθμῷ κρίνεται, ἀριθμὸς ἄρα τις ὁ χρόνος. ὅτι δὲ κατὰ τὸ πρότερον καὶ ὕστερον ἀναγκαίως προστεθείκαμεν, ἐκεῖθεν δῆλον· ἀριθμοῦνται γὰρ κινήσεις καὶ πλείους ἅμα ὡς ἐπὶ σοῦ, φέρε, ὅτι καὶ αὔξεις καὶ θερμαίνῃ καὶ προβαίνεις τόπον ἐκ τόπου, καὶ ὅτι τρεῖς ἅμα κινήσεις κινεῖς, ἀλλ' οὐχ ὁ τοιοῦτος ἀριθμὸς τῆς κινήσεως χρόνος ἐστίν, ἀλλ' ὁ κατὰ*

---

4 leg. *ποσός*    19 *ὁ χρόνος* A    22 *τὸ* om A

*τὸ πρότερόν τε καὶ ὕστερον. οὐ δεῖ δὲ θαυμάζειν, εἰ τὸ ἀριθμούμενον τῆς κινήσεως χρόνον εἰπόντες ἐν τῷ ὁρισμῷ τὸν ἀριθμὸν μετελάβομεν· λέγεται γὰρ καὶ τὸ ἀριθμούμενον ἀριθμὸς ὡς καὶ τὸ μετρούμενον μέτρον· διχῶς γὰρ καὶ τὸ μέτρον, ᾧ μετροῦμεν οἷον ἡ χοῖνιξ ἡ ξυλίνη καὶ ὁ χοεὺς ὁ κεραμεύς, καὶ τὸ μετρούμενον ἀπ' αὐτῶν, ὁ σῖτος ὁ ἐν τῇ χοίνικι καὶ ὁ οἶνος ὁ ἐν τῇ χοΐ· ἐσθίομεν γὰρ χοίνικα οὐ τὴν ξυλίνην, καὶ χόα πίνομεν οὐ τὸν χαλκοῦν. οὕτως δὲ καὶ ἀριθμὸς οὐχ ὁ ἐκ τῶν μονάδων μόνον, ἀλλὰ καὶ ὁ ἀριθμούμενος· ἐκεῖνος μὲν γὰρ διωρισμένος καὶ οὐ συνεχής, καὶ οὐδ' ἂν τὴν οὐσίαν ἐσήμαινεν ἡμῖν τοῦ χρόνου, ἀλλὰ μᾶλλον ἔργον καὶ τὶ ἐποίει, τὸ δὲ ἀριθμούμενον οὐδὲν κωλύει καὶ συνεχὲς εἶναι ὡς τὸ ἑνδεκάπηχυ δόρυ.*

*Γαληνῷ δὲ οὐ προσεκτέον οἰομένῳ τὸν χρόνον ἀφορίζεσθαι δι' αὑτοῦ· πολλὰ γὰρ ἐξαριθμησάμενος σημαινόμενα τοῦ προτέρου τε καὶ ὑστέρου τὰ μὲν ἄλλα οὐκ ἐφαρμόζειν φησὶ τῷ ὁρισμῷ, τὸ κατὰ χρόνον δὲ μόνον, ὥστε εἶναι τὸν χρόνον ἀριθμὸν τῆς κινήσεως κατὰ χρόνον. ἀλλ' ἰστέον, ὅτι τὸ πρότερον καὶ τὸ ὕστερον ἐν κινήσει οὐ διὰ τὸν χρόνον τὸ μὲν πρότερόν ἐστιν, τὸ δὲ ὕστερον, ἀλλὰ αὐτὰ μᾶλλον ποιεῖ τὸ ἐν χρόνῳ πρότερον καὶ ὕστερον, γίνεται δὲ ἐκ τοῦ κατὰ μέγεθος καὶ τὴν θέσιν παρ' οὗ καὶ τὸ συνεχὲς ἔχει, καὶ τοῦτο διαρρήδην φησὶν Ἀριστοτέλης· τὸ δὴ πρότερόν τε καὶ ὕστερον ἐν τόπῳ πρῶτόν ἐστιν, ἐνταῦθα μὲν δὴ τῇ θέσει· ἐπειδὴ δὲ ἐν τῷ μεγέθει,*

---

6 *κεραμεύς*] scrib. *κεραμοῦς*. Simplic. fol. 168 b. *κεραμεοῦς* ex nostro dedit. 13 *καὶ τὶ*] fort. *καὶ* delendum 21 *ἰστέον ὅτι — ἀποδέχεσθαι*] Simplicius fol. 169 b. 23 *αὐτὰ* Simplicins 26 *Ἀριστοτέλης*] p. 219, 14. 28 *δὴ* om libri *ἐπειδὴ*] scrib. *ἐπεὶ*

ἀνάγκη καὶ ἐν κινήσει. ἀλλὰ καὶ δεδόσθω μηδὲν ἄλλο σημαίνειν τὸ πρότερόν τε καὶ ὕστερον ἐν κινήσει, ἢ τὸ κατὰ χρόνον, ὡς οἴεται, τί δὲ ἄτοπον ἐκ τοῦδε συμβαίνει; οὐδὲ γὰρ ἡμεῖς ἄλλο τι λέγομεν εἶναι τὸν χρόνον ἢ τὸ πρότερόν τε καὶ ὕστερον ἐν κινήσει, πᾶσα δὲ ἀνάγκη ταὐτὸν σημαίνειν τοὺς ὁρισμοὺς τοῖς ὀνόμασιν, ὥστε λανθάνει τοῦτο μεμφόμενος τοῦ λόγου δι' ὃ μᾶλλον ἐχρῆν αὐτὸν ἀποδέχεσθαι.

Καὶ τὸ γίνεσθαι δὲ ἄλλον καὶ ἄλλον ἀεὶ τὸν χρόνον ὑπάρχει διὰ τὴν κίνησιν· ἀεὶ γὰρ ἡ κίνησις ἄλλη καὶ ἄλλη. ἀλλ' ὅταν γε πλείους ἅμα γίνωνται κινήσεις, οἷον Ἀθήνησί τε καὶ Μέγαρα καὶ Κορίνθῳ, πῶς οὐκ ἔτι πλείους γίνονται χρόνοι; ὅτι τὸ νῦν τὸ αὐτὸ πανταχοῦ. κατὰ τοῦτο δὲ καὶ τὸ ἕτερον καὶ ταὐτὸν νοεῖται τοῦ χρόνου, καὶ εἷς μὲν χρόνος, ὅταν ἓν τὸ νῦν, πλείω δὲ ὅταν πλείω καὶ διαφέροντα, πλείω δὲ καὶ διαφέροντα γίνεται τὰ νῦν, ὅταν τὸ μὲν ὡς πρότερον, τὸ δὲ ὡς ὕστερον λαμβάνηται ὃ καὶ ἀπορήσειεν ἄν τις, πῶς ποτὲ διαφέροντα γίνεται τὰ τοιαῦτα νῦν· μία γὰρ ἡ φύσις ἐν ἀμφοῖν ὑποφαίνεται, κἂν τὸ μὲν ὡς πρότερον νοῆται, τὸ δὲ ὡς ὕστερον, εἰ μὴ καὶ Σωκράτης ἕτερος, ὅταν ἐν λυκείῳ, καὶ ὅταν ἐν ἀγορᾷ, καθάπερ οἱ σοφισταὶ λαμβάνουσιν. ἢ ὥσπερ Σωκράτης τῷ μὲν ὑποκειμένῳ ταὐτόν, ἄν τε ἐνθάδε ἄν τε ἐκεῖσε μετακινῆται, τῷ λόγῳ δὲ ἕτερον· οὐ γὰρ ταὐτὸν τὸ ἐν λυκείῳ τε εἶναι καὶ τὸ ἐν ἀγορᾷ, οὕτως καὶ τὸ νῦν; ἓν μὲν γὰρ τῇ φύσει καὶ τῇ οὐσίᾳ κατὰ τὸ ὑποκείμενον, διαφέρει δὲ τῷ λόγῳ· ἄλλος γὰρ ὁ λό-

---

1 μηδὲν Simplicius, μὴ δὲ libri 3 τὸ κατὰ] κατὰ τὸν Simplicius δὲ] οὖν Simplicius; fort. δὴ 13 Μεγαροῖ? 22 νοεῖται libri 24 ὑπολαμβάνουσιν V 26 μετακινεῖται libri

γος τοῦ νῦν, ὃ πρὸς τοὺς ἵππους λέγει ὁ Ἕκτωρ· νῦν μοι τὴν κομιδὴν ἀποτίνετε, καὶ ἄλλος τούτου τοῦ νῦν γραφομένου. ἵνα γὰρ μᾶλλον μάθῃς ὃ λέγω, μικρὸν ἄνωθεν ἀναληπτέον.

Ἐλέχθη τῷ μὲν μεγέθει τὴν κίνησιν ἀκολουθεῖν, τῇ κινήσει δὲ τὸν χρόνον. εὔλογον τοίνυν καὶ τὰς ἀρχὰς τούτων καὶ οἷον τὰ ποιητικὰ καὶ τὰ γενητικὰ ἀλλήλοις ἕπεσθαι· ποιητικὸν δὲ μεγέθους μὲν στιγμή, κινήσεως δὲ τὸ φερόμενον, χρόνου δὲ τὸ νῦν. ὥσπερ τοίνυν μία στιγμὴ καὶ ὁ λίθος εἷς, ἄν τε ἐνθάδε ἄν τε ἀλλαχοῦ φέρηται, τῷ λόγῳ δὲ διαφέρει, οὕτω δὲ καὶ τὸ νῦν. τῷ γὰρ φερομένῳ ἀκολουθεῖ τὸ νῦν, ὥσπερ ὁ χρόνος τῇ φορᾷ, καὶ γνωρίζεται τὸ νῦν οὐκ ἄλλῳ τινὶ ἢ τῷ φερομένῳ· ἀριθμεῖται γὰρ τὸ πρότερόν τε καὶ ὕστερον τῆς κινήσεως κατὰ τὴν τοῦ φερομένου μετάβασιν· οὐ γὰρ ἂν διεκρίθη ταῦτα μένοντος τοῦ φερομένου, ἀλλ' ἐπειδὴ τὸ φερόμενον ποτὲ μὲν κατὰ τὸν πρότερον γίνεται τόπον, ποτὲ δὲ κατὰ τὸν ὕστερον, διὰ τοῦτο καὶ τῆς κινήσεως γίνεται τὸ μὲν πρότερον τὸ δὲ ὕστερον, τὸ δὲ ἀριθμούμενον πρότερόν τε καὶ ὕστερον τὸ νῦν ἐστίν, ὥστε καὶ ἐν τούτοις τῷ μὲν ὑποκειμένῳ ταὐτὸν τὸ πρότερον νῦν καὶ τὸ ὕστερον, τῷ λόγῳ δὲ ἕτερα· αὐτὸ γὰρ τὸ ἀριθμητὸν αὐτὸ εἶναι καὶ ὡς ἄλλο καὶ ἄλλο διαλαμβάνεσθαι δίδωσιν αὐτῷ τὴν κατὰ τὸν λόγον διαφοράν. ὥσπερ δὲ τῆς φορᾶς τὸ φερόμενον γνωριμώτερον τόδε γάρ τί ἐστι καὶ οὐσία, οὕτως καὶ τοῦ χρόνου τὸ νῦν· ἐν ὑπάρξει γὰρ τοῦτο μόνον καὶ οἷον τόδε. φανερὸν δὲ ὅτι καὶ ἀλλήλοις

1 ὃ] ὃν A Ἕκτωρ] ῥίκτωρ V. Iliad. VIII, 186. 2 ἀποτίνετε] ἀποτίνεται A, ἀποτείνεται V, sp. Hom. ἀποτίνετον 11 μεταφέρηται V 15 τε] libri γε 24 ἕτερα] fort. ἕτερον

ἀντακολουθεῖ τὰ νῦν καὶ ὁ χρόνος, καὶ ὅτι θατέρου μὴ ὄντος οὐδὲ θάτερόν ἐστιν· ὁ χρόνος γὰρ ἔσται τῷ νῦν ἀριθμῷ· οἷον γὰρ μονὰς τοῦ χρόνου τὸ νῦν, καὶ ὥσπερ ἡ μονὰς τῷ πάλιν καὶ πάλιν λαμβάνεσθαι ποιεῖ τὸν ἀριθμόν, οὕτω καὶ τὸ νῦν τὸν χρόνον, καὶ
fol. 46b. ὥσπερ ἡ μονὰς αὐτὴ μὲν ἀδιαίρετος, διαιρετὸν δὲ ποιεῖ τὸν ἀριθμόν, οὕτω καὶ τὸ νῦν πάλιν τὸν χρόνον· ἡ διαφορὰ δὲ ἐν τῷ τὴν μὲν συνεχὲς τὴν δὲ διωρισμένην ποιεῖν. καὶ συνέχει δὲ τὸ νῦν χρόνον καὶ διαιρεῖ καθάπερ τὸ φερόμενον τὴν φοράν· καὶ γὰρ ἡ φορὰ μία καὶ συνεχὴς τῷ τὸ φερόμενον ἓν εἶναι, ἓν δὲ οὐχ ἁπλῶς· δύναται γὰρ ὡς μὲν τόδε τι καὶ σῶμα ἓν εἶναι οἷον λίθος ἢ ξύλον, ὡς φερόμενον δὲ μή, ἐὰν διαλιμπάνῃ κινούμενον· οὐκέτι γὰρ τότε μία καὶ συνεχὴς ἡ κίνησις καίτοι τοῦ φερομένου ἑνὸς ὄντος, ἀλλ' ὅταν ὡς φερόμενον ἓν ὑπάρχῃ, τοῦτο δὲ ὅταν μὴ ἠρεμῇ μεταξύ· τότε γὰρ καὶ διορίζει τὴν προτέραν τε καὶ ὑστέραν κίνησιν καὶ πάλιν συνέχει, καθάπερ γε ἡ στιγμὴ τὴν γραμμήν· διαφέρει δὲ ὅτι τὴν μὲν στιγμὴν ἔστι τὴν αὐτὴν δὶς λαβεῖν ποτὲ μὲν ὡς πέρας, ποτὲ δὲ ὡς ἀρχήν· ὑπομένει γὰρ καὶ ἐν θέσει τὸ εἶναι αὐτῇ, τὸ δὲ φερόμενον οὐκ ἔστι δὶς λαβεῖν ὡς φερόμενον· ἀεὶ γὰρ ἄλλο καὶ ἄλλο. καὶ ἄλλο δὲ οὐχ ὅτι ἕτερον ἑαυτοῦ, ἀλλ' ὅτι ἐν ἄλλῳ καὶ ἄλλῳ· εἰ γὰρ ἐν ταὐτῷ δίς, ἀνάγκη στῆναι, κινεῖσθαι δὲ ὑπόκειται συνεχῶς. οὕτω δὴ καὶ τὸ νῦν οὐκ ἔσται δὶς λαβεῖν. εἰ οὖν μὴ ἔστι δὶς λαβεῖν τὸ νῦν, πῶς ἐν τῷ ἀριθμεῖσθαι τὸ

---

8 τὴν μὲν] leg. τὸ μὲν. Simplicius fol. 171 b. διαφέρει δὲ ἡ μονὰς τοῦ τε φερομένου καὶ τοῦ νῦν καθ' ὅσον ἡ μὲν διωρισμένον ποιεῖ τὸν ἀριθμόν, ἐκεῖνα δὲ συνεχῆ τήν τε κίνησιν καὶ τὸν χρόνον. 24 ταὐτῷ] αὐτῷ libri. vid. Simplicius fol. 171 b. 27 Simplicius πῶς οὖν τῷ ἀριθμεῖσθαι τῷ νῦν ὁ χρόνος; ἢ οὐχ ὡς τὸ αὐτὸ σημεῖον δὶς ὡς ἀρχὴν — ἀμήχανον

νῦν οὐχ ὡς τὸ αὐτὸ σημεῖον δὶς ἀρχήν τε καὶ τελευτήν, ἀλλ' εἴπερ ἄρα, ὡς τὰ δύο πέρατα τῆς αὐτῆς γραμμῆς τοδὶ τοδί; ταῦτα δ' ὁρίζει τὸ μεταξὺ διάστημα τῆς γραμμῆς ἕτερον καὶ ἕτερον ὄντα. οὕτω δὴ καὶ τὰ νῦν ἀριθμεῖται ὡς ἄλλο καὶ ἄλλο, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, δὶς δὲ ταὐτὸν λαβεῖν ἀμήχανον, ὥσπερ ἀμήχανον στῆσαι τὸν χρόνον. καὶ ἔτι φανερόν, ὅτι οὐδὲ μόριον τὸ νῦν τοῦ χρόνου· οὐδὲ γὰρ τὸ φερόμενον τῆς φορᾶς, οὐδὲ ἡ στιγμὴ τῆς γραμμῆς· γραμμῆς γὰρ μέρη γραμμαί, καὶ κινήσεως κινήσεις καὶ χρόνου χρόνος. τίνος οὖν πέρας τὸ νῦν; πότερον τῆς κινήσεως ἢ τοῦ χρόνου; ἐλέγετο γὰρ ἐν τοῖς ἔμπροσθεν τὸ νῦν διαιρεῖσθαι τὴν κίνησιν· ἢ καθ' αὑτὸ μέν ἐστιν τοῦ χρόνου πέρας, τῷ δὲ τὸν χρόνον εἶναι ἄλλο μηδὲν ἢ τὸ ἀριθμούμενον τῆς κινήσεως κατὰ τὸ πρότερόν τε καὶ ὕστερον, ὅταν ὡς ἀριθμούμενον λαμβάνηται τὸ νῦν, τότε καὶ τῆς κινήσεως γίνεται πέρας; διὰ τοῦτο ἄρα αὐτῷ συμβέβηκε καὶ πέρατι εἶναι καὶ πανταχοῦ ἅμα εἶναι, αἴτιον δὲ ὅτι οὐχὶ κινήσεώς ἐστιν καθ' αὑτὸ πέρας· ἦν γὰρ ἐν ἐκείνῃ τῇ κινήσει μόνῃ ἧς πέρας ἦν, ἀλλὰ χρόνου ὃς ἀριθμός ἐστιν τῆς κινήσεως, ἀριθμὸν δὲ ταὐτὸν ἅμα πλειόνων εἶναι ἐνδέχεται, οἷον τὴν δέκα ἵππων καὶ ξύλων. καίτοι ὁ χρόνος ἀριθμὸς οὐχ ὡς ἀριθμῶν, ἀλλ' ὡς ἀριθμούμενος ἢ ὁ χρόνος πρὸς μοναδικὸν ἀριθμὸν ἀλλ' ὅμως ἀναδέχεται μόνος τὸ τοῦ ἀριθμοῦντος ἰδίωμα· πανταχοῦ γὰρ ἅμα καὶ τῶν πολλῶν κινήσεων ἓν καὶ ταὐτὸν τὸ ἀριθμούμενον αὐξήσεως φορᾶς ἀλλοιώσεως. ταύτῃ μὲν οὖν ἱκανῶς ἐπιδέδεικται, ὅτι καὶ ἀριθμὸς

---

3 Simplicius τοδὶ καὶ τοδὶ  4 οὕτω δὲ καὶ Simplicius
7 conf. Simplicius fol. 172.  23 τὴν δέκα] scrib. τὴν δεκάδα

ὁ χρόνος καὶ κινήσεως ἀριθμὸς κατὰ τὸ πρότερον καὶ ὕστερον, δῆλον καὶ ὅτι καὶ συνεχής· ἡ γὰρ κίνησις ἡ σύμπασα γίνεται συνεχής.

12 Πῶς δὲ αὐτὸν ἀριθμὸν λέγοντες οὐκ ἀναγκαῖον θησόμεθα καὶ ἐλάχιστόν τινα χρόνον ποιεῖν; τὸ γὰρ ἐλάχιστον ἐν ἀριθμῷ οἷον ἡ δυάς· οὐ γὰρ εἰς ἄπειρον ἡ καθαίρεσις τοῦ ἀριθμοῦ· διώρισται γάρ. ἢ διττὸς ὁ ἀριθμός, ὁ μὲν ἐκ μονάδων, αὐτὸς δὲ καὶ ὁ ἐλάχιστος, ὁ δὲ οὐχ ἁπλῶς ἐκ μονάδων, ἀλλ' ἐκ τῶν τοιῶνδε μονάδων, οἷον ἵππων ἢ γραμμῶν; λέγεται γὰρ ἀριθμὸς καὶ αἱ πέντε γραμμαί, καὶ τὰ πέντε τρίγωνα. τὰ τοιαῦτα δὲ κατὰ μὲν τὸ πλῆθος ἕξει καὶ αὐτὰ τὸ ἐλάχιστον· ἐλάχιστον γὰρ δύο γραμμαί. κατὰ τοῦτο δὲ καὶ ἀριθμητά ἐστι τὰ τοιαῦτα, κατὰ μέγεθος δὲ οὐχ ἕξει· ἕκαστον γὰρ αὐτῶν εἰς ἀεὶ διαιρετόν. καὶ ὁ χρόνος τοίνυν αἱ δύο ὧραι καθὸ μὲν συνεχής τίς ἐστιν, οὐχ ἕξει τὸ ἐλάχιστον· οὐ γὰρ ἀριθμεῖται κατὰ τοῦτο· καθὸ δὲ ὁρίζεται καὶ οἷον τέμνεται τῷ νῦν τῷ τε πρότερον καὶ τῷ ὕστερον, κατὰ τοῦτο δὲ ἀριθμητὸς καὶ τὸ ἐλάχιστον ἔχει. καὶ γὰρ δύο ὧραι τῷ μὲν ἀριθμῷ τὸ ἐλάχιστον ἕξουσιν, τῷ μεγέθει δὲ οὔ. εἰκότως τοίνυν ὁ χρόνος καὶ πολὺς καὶ ὀλίγος καὶ μακρὸς καὶ βραχὺς λέγεται· ἄμφω γὰρ ἀναδέχεται καὶ τὰ τῶν συνεχῶν καὶ τὰ τῶν διωρισμένων. καθὸ μὲν οὖν συνεχής, μακρὸς καὶ βραχύς· καθὸ δὲ ἀριθμητός, καὶ οὕτως ἀριθμὸς πολὺς καὶ ὀλίγος, οὐκέτι μέντοι ταχὺς καὶ βραδύς· οὐδεὶς γὰρ ἀριθμὸς ταχὺς καὶ βραδύς. εὐλόγως δὲ καὶ ἅμα

---

2 fort. δῆλον δὲ ὅτι καὶ    23 μακρὸς] μικρὸς A    28 εὐλόγως Victorius, εὔλογος libri

μὲν ὁ αὐτὸς πανταχοῦ, ὁ δὲ πρότερος καὶ ὕστερος χρόνος οὐκέτι οἱ αὐτοὶ πρὸς ἀλλήλους· καὶ γὰρ ἡ κίνησις ἡ μὲν παροῦσα μία, ἡ δὲ γεγενημένη καὶ ἡ μέλλουσα ἕτεραι. ἔπειτα ἀριθμὸς ὁ χρόνος οὐχ ᾧ ἀριθμοῦμεν, ἀλλ' ὁ ἀριθμούμενος ὁ αὐτὸς ἐν πᾶσιν οἷον ἡ δεκάς, ἄν τε ἵππων ἄν τε ἀνθρώπων λαμβάνηται, τὰ δὲ ἀριθμούμενα οὐ τὰ αὐτὰ οἱ δέκα ἄνθρωποι καὶ οἱ δέκα ἵπποι. ἀριθμεῖται δὴ καὶ ὁ χρόνος κατὰ τὸ πρότερόν τε καὶ ὕστερον, ὥστε εἰκότως ἕτερα ταῦτα. ἔτι ὡς ἐνδέχεται κίνησιν εἶναι τὴν αὐτὴν καὶ μίαν εἶναι, πάλιν οὕτω καὶ χρόνον ἐνδέχεται οἷον ἔαρ ἢ μετόπωρον. ἡ μὲν οὖν οὐσία τοῦ χρόνου τοιαύτη· τὸ γὰρ τῆς κινήσεως πρότερόν τε καὶ ὕστερον ἀριθμούμενα χρόνος ἐστίν, ἔχοντι δὲ αὐτῷ τὸ εἶναι ἐν τούτῳ συμβέβηκε προηγουμένως μὲν τὴν κίνησιν μετρεῖν, κατὰ συμβεβηκὸς δὲ καὶ ὑπ' αὐτῆς ἀντιμετρεῖσθαι· οὐ γὰρ μόνον λέγομεν πολλὴν τὴν κίνησιν τὴν ἐν τῷ πολλῷ χρόνῳ, ἀλλὰ καὶ χρόνον πολὺν ἐν ᾧ ἡ πολλὴ κίνησις. ὥσπερ οὖν καὶ ἐπὶ τῶν ἄλλων μέτρων ἁπάντων· ἀντιμετρεῖται γὰρ ὑπὸ τῶν μετρουμένων τὰ μέτρα· τῷ γὰρ τῶν πυρῶν μεδίμνῳ κρίνομεν τὸ ξύλινον μέδιμνον, εἰ μὴ μεῖζον ἢ ἔλασσόν ἐστιν, καὶ τῇ κοτύλῃ τοῦ οἴνου τὴν χαλκῆν μετροῦμεν κοτύλην καὶ τί θαυμαστὸν ἐπὶ τῶν συνεχῶν μέτρων τοῦτο συμβαίνειν, ὁπότε καὶ αὐτὸς ὁ μοναδικὸς ἀριθμὸς τρόπον τινὰ fol. 47. ὑπὸ τῶν ἀριθμουμένων ἀνταριθμεῖται; ὥσπερ γὰρ τὰ δέκα δέκα ἵππους φαμέν, οὕτως καὶ τὰς μονάδας λέγομεν δέκα ὅτι δέκα ἵπποις ἰσώθησαν. μήποτε γὰρ οὐδ' ἂν εἰς ἔννοιαν ἤλθομεν τῶν δέκα μὴ τὸν ἕνα ἵππον καὶ τὸν ἕνα ἄνθρωπον τοσαυτάκις λαμβά-

21 τὸ] τὸν — μείζων ἢ ἐλάσσων? 28 λέγομεν δέκα] λέγομεν δὲ καὶ libri. conf. Simplic. fol. 173 b.

*νοντες. καὶ τοῦτο εὐλόγως συμβέβηκεν τὸ μετρεῖν τε καὶ ἀντιμετρεῖσθαι τὸν χρόνον· ἀκολουθεῖ γὰρ ὥσπερ ἐλέχθη, τῷ μὲν μεγέθει ἡ κίνησις, τῇ κινήσει δὲ ὁ χρόνος. ὥσπερ οὖν ἡ κίνησις ἔχει πρὸς μέγεθος, οὕτως καὶ ὁ χρόνος πρὸς τὴν κίνησιν, καὶ ὥσπερ ἡ κίνησις μετρεῖ τὸ μέγεθος, καὶ ἀντιμετρεῖται ὑπ' αὐτοῦ. πολλὴν γάρ φαμεν τὴν ὁδόν, ἐὰν ἡ πορεία πολλή, καὶ πολλὴν τὴν πορείαν, ἐὰν ἡ ὁδὸς πολλή. ὁμοίως δὲ καὶ τὴν κίνησιν πολλήν, ἐὰν ὁ χρόνος, καὶ τὸν χρόνον, ἐὰν ἡ κίνησις. πῶς οὖν μετρεῖ τὴν κίνησιν ὁ χρόνος; ἢ τῷ μέρος αὐτῆς ἀφορίσαι ὃ καταμετρήσει τὴν ὅλην, ὥσπερ ὁ πῆχυς τὸ μῆκος τῷ λαβεῖν τι μῆκος ὃ καταμετρήσει τὸ ὅλον. ἡ γὰρ ὥρα τί ἐστιν ἄλλο ἢ τοσήδε κίνησις τοῦ ἡλίου; καὶ ὁ μὴν καὶ τὸ ἔτος.*

*Ἐπειδὴ δέ ἐστιν ἡ κίνησις ἐν χρόνῳ τῷ καταμετρεῖσθαι τὸ εἶναι αὐτῆς ὑπὸ τοῦ χρόνου· οὐ γὰρ ἄλλο τὸ εἶναι τῆς κινήσεως, ἢ τὸ γίγνεσθαι ᾧ συμπαρεκτείνεται ὁ χρόνος καὶ ὃ καταμετρεῖ, δῆλον ὅτι καὶ τοῖς ἄλλοις τὸ εἶναι ἐν χρόνῳ ἐστὶν τὸ καταμετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου. τὸ γὰρ ἐν χρόνῳ διττόν ἐστιν, ἓν μὲν τὸ εἶναι τότε ὅτε ὁ χρόνος ἐστίν, ἕτερον δὲ ὥσπερ ἔνια λέγομεν, ὅτι ἐν ἀριθμῷ ἐστίν. ἀλλὰ καὶ οὗτος ὁ τρόπος διπλοῦς· ἢ γὰρ οὕτως ἐν ἀριθμῷ ὅτι μέρος ἢ πάθος ἀριθμοῦ, ὡς τὸ ἄρτιον τὰ δύο καὶ τὸ περιττόν· ἢ ὅτι ἐστὶν αὐτῶν ἀριθμός, ὡς οἱ δέκα ἵπποι καὶ οἱ δέκα βόες ἐν ἀριθμῷ. εἰ οὖν ἀριθμὸς ὁ χρόνος, δῆλον ὡς καὶ τὰ ἐν χρόνῳ ὄντα ἐν ἀριθμῷ ἐστί. τὸ μὲν οὖν νῦν καὶ τὸ πρότερον οὕτως ἐν χρόνῳ καὶ ἀριθμῷ, ὡς ἐν τῷ μοναδικῷ ἢ*

---

20 fort. *ἐστὶ τῷ* 30 *καὶ ἀριθμῷ*] immo sic: *ὡς καὶ ἐν μοναδικῷ ἀριθμῷ*, ut Simplicius fol. 174 b.

μονὰς καὶ τὸ περιττόν· τὰ μὲν γὰρ τοῦ ἀριθμοῦ, τὰ δὲ τοῦ χρόνου συμβεβηκότα· τὰ δὲ πράγματα οὕτως ἐν χρόνῳ ἐστίν, ὡς ἐν τῷ ἀριθμῷ οἱ δέκα ἵπποι. ὥσπερ τοίνυν ἀεὶ τῶν οὕτως ἐν ἀριθμῷ λεγομένων πλείων τίς ἐστιν ἀριθμός· ὡρισμένος γὰρ ὁ ὁρισμός· οὕτως καὶ τῶν ἐν χρόνῳ ὄντων τοῦτον τὸν τρόπον ἀεὶ πλείων ἐστὶν ὁ χρόνος· καὶ γὰρ ὁ χρόνος ἀριθμός τις. εἰ δὲ τοῦτο, τὰ ἐν χρόνῳ ὄντα περιέχεται ὑπὸ τοῦ χρόνου, ὥσπερ καὶ τὰ ἐν ἀριθμῷ ὄντα περιέχεται ὑπὸ τοῦ ἀριθμοῦ, καὶ τὰ ἐν τόπῳ ὄντα περιέχεται ὑπὸ τοῦ τόπου, καὶ τοῦτό ἐστι τὸ κυρίως σημαινόμενον ὑπὸ τοῦ ἐν χρόνῳ. τὸ δὲ λέγειν ἐν χρόνῳ εἶναι, ἐπειδὴ τότε ἐστὶν ὅτε ὁ χρόνος ἐστίν, καὶ τὸ ἐν κινήσει εἶναι, ἐπειδὴ τότε ἐστὶν ὅτε κίνησίς ἐστιν, οὐδὲν διαφέρει τοῦ λέγειν καὶ τὸν οὐρανὸν ἐν κέγχρῳ εἶναι, ἐπειδὴ τότε ἐστὶν ὅτε καὶ ἡ κέγχρος ἐστίν. ἀλλὰ τὸ μὲν ἅμα εἶναι πολλοῖς συμβέβηκεν, τὸ δὲ εἶναι θάτερον ἐν θατέρῳ τὸ περιέχεσθαί ἐστιν ὑπὸ τοῦ ἑτέρου τὸ ἕτερον. τούτοις μέντοι γε ἀκολουθεῖ καὶ τὸ ἅμα εἶναι, ἀλλ' οὐκ ἐπειδὴ ἅμα, διὰ τοῦτο ἐν ἀλλήλοις· ἀλλ' ἐπειδὴ καὶ ἐν ἀλλήλοις, διὰ τοῦτο καὶ ἅμα. τοῦτό τε δὴ συμβέβηκεν τοῖς ἐν χρόνῳ, καὶ τὸ λέγεσθαι ὅτι πάσχει τι ὑπὸ τοῦ χρόνου· εἰώθαμεν γὰρ λέγειν ὅτι κατατήκει ὁ χρόνος, καὶ γηράσκει πάντα ὑπὸ τοῦ χρόνου, καὶ ἐπιλανθάνεται διὰ τὸν χρόνον· οὐ γὰρ ὁμοίως λέγομεν γίνεσθαι ὑπὸ τοῦ χρόνου τὴν οἰκίαν καὶ φθείρεσθαι, ἀλλὰ γίνεσθαι μὲν ὑπὸ τοῦ οἰκοδόμου ἐν χρόνῳ, φθείρεσθαι δὲ καὶ ἐν χρόνῳ καὶ ὑπὸ χρόνου· καὶ μανθάνειν μὲν ὑπὸ τοῦ διδάσκοντος ἐν χρόνῳ, ἐκλανθάνεσθαι δὲ

---

5 ὁρισμὸς] fortasse ἀριθμὸς Victorius. 6 τοῦτον τὸν τρόπον] fort. delenda. 9 ὑπὸ τοῦ ἀριθμοῦ — περιέχεται om A

ὑπὸ τοῦ χρόνου μόνον· οὐδὲν γὰρ ἕτερον ἐπὶ τούτων αἴτιον θεωρεῖται. εὐλόγως δὲ καθ' αὑτὸν ὁ χρόνος φθορᾶς αἴτιος λέγεται· ἀριθμὸς γὰρ κινήσεως, ἡ δὲ κίνησις ἐξίστησι τὸ προϋπάρχον. εἰ δὴ ταῦτα λέγεται καλῶς, φανερὸν ὅτι τὰ ἀεὶ ὄντα ᾗ ἀεὶ ὄντα οὐκ ἔστιν ἐν χρόνῳ· οὐ γὰρ περιέχεται ὑπὸ χρόνου, οὐδὲ πάσχει τι ὑπὸ χρόνου· οὔτε γὰρ συναλλοιοῦται αὐτῷ οὔτε συμπάρεισιν, οὐκοῦν οὐδὲ μετρεῖται τῶν τοιούτων τὸ εἶναι ὑπὸ τοῦ χρόνου, οὐδὲ ὁρίζεται, οὔτε περιττεύει τις τῆς οὐσίας αὐτῶν χρόνος, ἀλλὰ τοὐναντίον παντὸς τοῦ ληφθέντος χρόνου τὸ εἶναι αὐτῶν περιττεύει. πῶς οὖν ἡ κίνησις ἐν χρόνῳ; καίτοι δέδεικται ἀΐδιος καὶ δειχθήσεται. ἢ ὅτι ἀεὶ ἄλλη καὶ ἄλλη καὶ οὐδέποτε κατ' ἀριθμὸν ἡ αὐτή, ἀλλὰ συμπάρεισιν καὶ συνετεροιοῦται τῷ χρόνῳ, μᾶλλον δὲ ὁ χρόνος ταύτῃ καὶ δεῖται ἀλλήλων πρὸς τὴν ὕπαρξιν, ὥστε εἰ καὶ μὴ περιττεύει τῆς κινήσεως ὁ χρόνος, μηδὲ οὕτως αὐτὴν περιέχει, ἀλλ' ὅτι γε ἀλλήλοις συνήρμοσται, διὰ τοῦτό ἐστιν ἡ κίνησις ἐν τῷ χρόνῳ.

Ἐπειδὴ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον· στέρησις γὰρ ἡ ἠρεμία κινήσεως, τοῖς δὲ αὐτοῖς κρίνομεν τάς τε ἕξεις καὶ τὰς στερήσεις, οἷον ὄμμασι φῶς καὶ σκότος, καὶ ἀκοῇ φωνήν τε καὶ ἡσυχίαν, ὥστε καὶ ἠρεμία ἐν χρόνῳ· οὐ πάντως δέ, ἐπειδὴ ἐν χρόνῳ, διὰ τοῦτο καὶ ἐν κινήσει· οὐ γὰρ κίνησις ὁ χρόνος, ἀλλ' ἀριθμὸς κινήσεως. καὶ συμβεβηκός τι, οὐκ εἴ τι δὲ ἐν τῷ εἶναι συμβε-

---

16 εἰ καὶ μὴ] Simplicius fol. 175 ὁ δὲ Θεμίστιος, κἂν μὴ περιττεύῃ φησὶ τῆς κινήσεως ὁ χρόνος μηδὲ οὕτως αὐτὴν περιέχῃ, ἀλλ' ὅτι γε ἀλλήλοις συνήρμοσται συμπαρεκτεινόμενα καὶ συνετεροιούμενα καὶ δεῖται ἀλλήλων, διὰ τοῦτό ἐστιν ἡ κίνησις ἐν χρόνῳ.

βηκότι, ἤδη καὶ ἐν ᾧ τοῦτο συμβέβηκεν· οὐ γὰρ εἴ τι ἐν ἡμέρᾳ, ἤδη ἐν τῇ φορᾷ τοῦ ἡλίου. τὸ τοίνυν ἠρεμοῦν ἐν κινήσει μὲν οὐκ ἐνδέχεται εἶναι, ἐν ἀριθμῷ δὲ κινήσεως· λέγομεν γὰρ ὅτι ὁ κάμνων ἐν τοσῷδε ἠρέμησεν χρόνῳ· οὐχ ὥσπερ δὲ τὴν κίνησιν μετρεῖ καθ' αὑτὴν ὁ χρόνος, οὕτω καὶ τὴν ἠρεμίαν, ἀλλὰ κατὰ συμβεβηκός· τῷ γὰρ κίνησιν ἄλλην μετρεῖν. ἡ γὰρ νὺξ μέτρον μὲν καθ' αὑτὴν τῆς φορᾶς τοῦ ἡλίου τῆς ὑπὸ γῆν, κατὰ συμβεβηκὸς δὲ καὶ τῆς ἡσυχίας τῶν ζώων, ἠρεμεῖν δὲ λέγεται οὐ τὰ πάντῃ ἀκίνητα, ἀλλὰ τὰ πεφυκότα μὲν κινεῖσθαι ἐστερημένα δὲ νῦν τῆς κινήσεως· τῶν γὰρ οὕτως ἀκινήτων ὡς ἠρεμούντων πλείων ἐστὶν ὁ χρόνος, καὶ διὰ τοῦτο εἰκότως τὰ ἠρεμοῦντα ἐν χρόνῳ λέγεται ἠρεμεῖν, ὅτι χρόνος αὐτῶν ἐστὶν τῆς ἠρεμίας, μετρήσει δὲ ὁ χρόνος τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν ᾗ τὸ μὲν κινεῖται τὸ δὲ fol. 47b. ἠρεμεῖ· τὴν γὰρ κίνησιν αὐτῶν καὶ τὴν ἠρεμίαν μετρήσει πόση τίς ἐστιν. οὐχ ἁπλῶς οὖν μετρητὸν τὸ κινούμενον ὑπὸ τοῦ χρόνου· οὐδὲ γὰρ ὁ ἥλιος ἁπλῶς μετρητὸς ὑπὸ χρόνου· τὸ γὰρ εἶναι αὐτοῦ οὐ μετρητὸν ὑπὸ χρόνου, ἀλλ' ἡ κίνησις αὐτοῦ, καθὸ ποσή τίς ἐστιν. δεῖ δὲ μὴ λανθάνειν ὅτι μέτρον μὲν κινήσεως καὶ ἠρεμίας λέγεσθαι δύναιτ' ἂν ὁ χρόνος, ἀριθμὸς δὲ κινήσεως μόνης· τὸ γὰρ πρότερον καὶ τὸ ὕστερον ὧν ἀριθμός ἐστιν ὁ χρόνος, ἐν κινήσει μέν ἐστιν ἐν ἠρεμίᾳ δὲ οὔ· οὐ γὰρ καὶ ταύτῃ ἐν μεταστάσει τὸ εἶναι ἀπὸ προτέρου τινὸς ἐπί τι ὕστερον, ὥστε φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ, ταῦτα οὐ μετρεῖται ὑπὸ χρόνου· ὁ γὰρ χρόνος κινήσεως μόνης καὶ ἠρεμίας μέτρον ἐστίν.

---

7 *κίνησιν ἄλλην*] vid. Simplicius fol. 175 b. 10 *πάντῃ*] *πάντα* A

ἕπεται δὲ τούτοις τὸ μήτε τὰ ἀεὶ μὴ ὄντα εἶναι ἐν χρόνῳ, οἷον ὅσα μὴ ἐνδέχεται ἄλλως, ὥσπερ καὶ τὴν διάμετρον σύμμετρον εἶναι τῇ πλευρᾷ· οὐδὲ γὰρ κινεῖται ταῦτα οὐδὲ ἠρεμεῖ· κινήσεως δὲ μόνης καὶ ἠρεμίας μέτρον ὁ χρόνος τῆς μὲν καθ' αὑτήν, τῆς δὲ κατὰ συμβεβηκός. ὅσα μὲν οὖν φθαρτὰ καὶ γενητά, καὶ ἁπλῶς ὅσα ὅτε μὲν ὄντα ὅτε δὲ μή, ἀνάγκη ταῦτα ἐν χρόνῳ εἶναι· ἔστι γὰρ ὁ χρόνος τις πλείων, ὃς ὑπερέχει τοῦ εἶναι αὐτῶν καὶ τοῦ μετροῦντος τὴν οὐσίαν αὐτῶν. τῶν δὲ μὴ ὄντων ὅσα μὲν περιέχει ὁ χρόνος, ταῦτα ἐν χρόνῳ· περιέχει δὲ ἢ ὁ παρελθὼν ἢ ὁ μέλλων ἢ καὶ ἀμφότεροι. ἃ μὲν οὖν ὁ παρελθών, ταῦτ' ἦν οἷον Ὅμηρος, ἃ δὲ ὁ μέλλων, ταῦτ' ἔσται οἷον ἔκλειψις, ἃ δὲ ἄμφω, ταῦτα καὶ ἦν καὶ ἔσται οἷον ὁ πόλεμος ὁ Περσικός· ὅσα δὲ μὴ περιέχει, ταῦτα δὲ οὔτε ἦν οὔτε ἔστιν οὔτε ἔσται, ἔτι δὲ τὰ τοιαῦτα τῶν μὴ ὄντων, ὅσων τὰ ἀντικείμενα ἀεί ἐστιν, οἷον τὸ ἀσύμμετρον εἶναι τὴν διάμετρον ἀεί ἐστιν, καὶ οὐκ ἔσται τοῦτο ἐν χρόνῳ, οὐ τοίνυν οὐδὲ τὸ σύμμετρον, διότι ἐναντίον ἐστὶν τῷ ἀεὶ ὄντι· ὧν δὲ τὰ ἀντικείμενα μὴ ἀεί, ταῦτα δὲ δύναται καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ἔστι γένεσις καὶ φθορὰ αὐτῶν.

13 Τὸ δὲ νῦν λέγεται διχῶς κυρίως τε καὶ ἐν πλάτει. περὶ δὲ τοῦ κυρίως λεγομένου πρῶτον λεκτέον. ἔσται δὴ τοῦτο καθάπερ καὶ τὸ πρότερον εἴρηται, ᾧ καὶ συνέχεται ὁ χρόνος καὶ διαιρεῖται· καὶ γὰρ συνέχει τὸν χρόνον τὸν παρεληλυθότα καὶ τὸν ἐσόμενον· συνάπτουσι γὰρ πρὸς κοινὸν τοῦτον ὅρον ἀμφότεροι, καὶ αὖθις διαιρεῖ καθάπερ καὶ τὸ σημεῖον τὴν γραμ-

---

1 μήτε] scrib. μηδὲ 16 οὔτε ἔστιν om A

μήν. διαφέρει δὲ ὅτι τὸ μὲν σημεῖον ὑπομένει, τὸ δὲ νῦν οὔ, ἀλλ' ἀεὶ ἄλλο καὶ ἄλλο, καὶ τὸ μὲν ἐνεργείᾳ διαιρεῖ τὴν γραμμήν, τὸ δὲ δυνάμει τὸν χρόνον· οὐδὲ γὰρ ὅλως ἐνεργείᾳ ληφθῆναι δύναται· προλαμβάνει γὰρ ἀεὶ τὸν βουληθέντα αὐτὸ λαβεῖν ἀλλὰ μόνῃ τῇ ἐπινοίᾳ. καθὸ μέντοι νῦν διαιροῦν λαμβάνεται, καὶ ὡς τοῦ μὲν πέρας, τοῦ δὲ ἀρχή, δύο γίνεται τῷ λόγῳ· οὐ γὰρ ταὐτὸν τὸ πέρατι καὶ τὸ ἀρχῇ εἶναι, εἰ καὶ ἄμφω περὶ ἓν ὑποκείμενον. καθὸ δὲ ὡς συνέχον, κατὰ τοῦτο ἓν κατά τε τὸ ὑποκείμενον καὶ τὸν λόγον, καθάπερ ἐπὶ τῶν μαθηματικῶν γραμμῶν ἡ στιγμή, εἰ μὲν διαιροῦσαν αὐτὴν λαμβάνομεν, ἄλλη καὶ ἄλλη τῷ λόγῳ καὶ τῇ νοήσει· εἰ δὲ ὡς συνέχουσαν, μίαν καὶ τὴν αὐτήν· οὕτως δὴ καὶ τὸ νῦν τῷ μὲν ὑποκειμένῳ πάντως ἕν, τῷ λόγῳ δὲ ἓν καὶ οὐχ ἕν, ἓν μὲν ὅταν ὡς συνέχον λαμβάνηται, οὐχ ἓν δὲ ὅταν ὡς διαιροῦν, δυνάμει δὲ ταὐτά. καὶ αὕτη πρὸς τὴν στιγμὴν διαφορά, ἄμφω γὰρ περὶ ταύτην καὶ τὸ διαιρεῖν καὶ τὸ συνέχειν, τὸ δ' εἶναι οὐ ταὐτὸν τῷ τε διαιροῦντι καὶ τῷ συνέχοντι. τὸ μὲν οὖν κυρίως νῦν τοῦτό ἐστιν.

Λέγεται δὲ καὶ ἄλλως τὸ νῦν. ὁ γὰρ ἐφ' ἑκάτερα παρακείμενος τῷ τοιούτῳ χρόνος ὅ τε παρελθὼν καὶ ὁ μέλλων καὶ ἐγγὺς ὢν καὶ αὐτὸς λέγεται νῦν κατὰ τὴν γειτνίασιν πρὸς τὸ ἀκριβῶς νῦν. ἥξει γὰρ ὁ δεῖνα νῦν ὅτι τήμερον, καὶ ἦλθε νῦν ὅτι τήμερον· τὰ δὲ ἐν Ἰλίῳ οὐ γέγονε νῦν, οὐδὲ ὁ κατακλυσμὸς νῦν, καίτοι συνεχὴς ὁ χρόνος εἰς ταῦτα ἀλλ' ὅτι πόρρω τοῦ παρόντος νῦν.

---

8 τῷ πέρατι καὶ τῷ V 10 ἓν κατὰ] in medio inane spatium in V relictum 12 λαμβάνομεν] λαμβάνοι μὲν A

Τὸ δὲ ποτὲ χρόνος ὡρισμένος ὑπὸ τοῦ παρόντος νῦν καὶ τοῦ προτέρου καὶ τοῦ ὑστέρου οἷον ποτὲ ἐλήφθη Τροία, καὶ ποτὲ ἔσται κατακλυσμός· δεῖ γὰρ πεπεράνθαι καὶ ὡρίσθαι πρὸς τὸ νῦν τὸ πρότερον νῦν καὶ τὸ ὕστερον, ἐφ' ὧν τὸ ποτὲ λέγεται. σημεῖον δέ· ἐφ' ὧν γὰρ ὁρίσαι οὐ δυνάμεθα, οὐ λέγομεν εἰδέναι πότε· εἰ δὲ πᾶς ὁ λαμβανόμενος χρόνος τὸ ποτὲ κατηγορούμενον ἔχει, πᾶς ὁ λαμβανόμενος ὥρισται. ἆρ' οὖν ὑπολείψει ποτὲ ἢ οὔ, ὡς εἴπερ οὐδὲ ἡ κίνησις; ἄλλος οὖν ἢ ὁ αὐτὸς πολλάκις; ἢ δῆλον ὅτι ὡς ἂν ἡ κίνησις, οὕτως καὶ ὁ χρόνος; εἰ μὲν γὰρ ἡ αὐτὴ καὶ μία γίνεταί ποτε, ἔσται καὶ ὁ χρόνος εἷς καὶ ὁ αὐτός· εἰ δὲ μή, οὐκ ἔσται. δῆλον δὲ ἐκ τοῦ νῦν, ὅτι ἄλλος καὶ ἄλλος· ἐπεὶ γὰρ τὸ νῦν ἅμα ἀρχὴ καὶ τελευτή, δῆλον ὅτι ἄλλου καὶ ἄλλου· οὐ γὰρ δὴ τοῦ αὐτοῦ· ἅμα γὰρ εἴη περὶ ταὐτὸ τὰ ἀντικείμενα. καὶ οὐχ ὑπολείψει δὴ ὁ χρόνος· ἀεὶ γὰρ ἐν ἀρχῇ, ἀεὶ δὲ ἐν ἀρχῇ ὃ καὶ ἀεὶ ἐν τῷ νῦν.

Τὸ δὲ ἤδη ἐγγύς ἐστι τοῦ παρόντος νῦν ἀτόμου, μέρος τοῦ μέλλοντος χρόνου. πότε βαδίζει; ἤδη, ὅτι ἐγγὺς ὁ χρόνος ἐν ᾧ μέλλει καὶ τοῦ παρελθόντος χρόνου· [οὐ] τὸ μὴ πόρρω τοῦ νῦν. πότε βεβάδικας; ἤδη, ὅτι τήμερον ἢ χθές. τὸ δὲ Ἴλιον φάναι ἤδη ἑαλωκέναι οὐ λέγομεν, ὅτι λίαν πόρρω τοῦ νῦν.

Καὶ τὸ ἄρτι τὸ ἐγγὺς τοῦ παρόντος νῦν μόριον τοῦ παρελθόντος· πότε ἦλθες; ἄρτι, ἐὰν ᾖ ὁ χρόνος ἐγγὺς τοῦ ἐνεστῶτος νῦν. πάλαι δὲ τὸ πόρρω. τὸ δὲ ἐξαίφνης λέγεται μὲν καὶ ἐπὶ τῶν ἀπροσδοκή-

---

10 fort. ὡς delendum   16 scrib. γὰρ ἂν εἴη   23 delendum οὐ

τως γινομένων, λέγεται δὲ μάλιστα ἐπὶ τῶν ἐν ὀλίγῳ χρόνῳ καὶ διὰ σμικρότητα σχεδὸν ἀναισθήτως ἐξισταμένων.

Ἐπειδὴ δὲ ἐν τῷ χρόνῳ πάντα καὶ τὰ γινόμενα γίνεται καὶ τὰ φθειρόμενα φθείρεται, εἰκότως οἱ μὲν σοφώτατον, οἱ δὲ ἀμαθέστατον λέγουσιν εἶναι τὸν χρόνον· Σιμωνίδης μὲν γὰρ σοφώτατον ὅτι γίνονται ἐπιστήμονες ὑπὸ χρόνου, Πάρων δὲ ἀμαθέστατον ὅτι καὶ ἐπιλανθάνονται ὑπὸ χρόνου, πολὺ λέγων οὗτος fol. 48. ὀρθότερον· μεταβολὴ γὰρ πᾶσα φύσει ἐκστατικόν. δῆλον οὖν ὅτι φθορᾶς μᾶλλον αἴτιος καθ' αὑτόν ἐστιν ἢ γενέσεως, καθάπερ ἐλέχθη καὶ πρότερον· καὶ γὰρ ἡ κίνησις καὶ ἡ μεταβολὴ καθ' αὑτὴν μὲν ἐξίστησι τοῦ προϋπάρχοντος, ἐπειδὴ δ' ἐνίοτε συμβαίνει τοῖς ἐξισταμένοις τῆς προτέρας αὐτῶν οὐσίας μεταβάλλειν εἰς ἑτέραν, τούτοις ἂν καὶ γενέσεως αἰτία γένοιτο κατὰ συμβεβηκὸς ἥ τε κίνησις καὶ ὁ ταύτης ἀριθμός, λέγω δὲ ὅτι τοῖς μὲν γιγνομένοις οὐ μόνον ὁ χρόνος ἀρκεῖ πρὸς τὴν γένεσιν, ἀλλὰ προσδεῖταί τινος ἐνεργείας ὑφ' ἧς γίνεται, οἷον τέχνης ἢ φύσεως ἢ διδασκαλίας ἢ πράξεως, τοῖς δὲ φθειρομένοις αὐτὸς ἀρκεῖ μόνος πρὸς τὴν φθοράν, κἂν ἔξωθεν αἰτία μηδεμία προσῇ ὡς τοῖς ἐν χρόνῳ σηπομένοις τε καὶ τηκομένοις, καὶ ταύτην μάλιστα λέγειν εἰώθαμεν ὑπὸ τοῦ χρόνου γίνεσθαι τὴν φθοράν. οὐ μὴν οὐδὲ ταύτην ὁ χρόνος ποιεῖ, ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίγνεσθαι καὶ τὴν τοιαύτην μεταβολήν· ἡ δὲ ἑκάστου φύσις καὶ ἡ ὑποκειμένη ὕλη καὶ τούτοις τῆς φθορᾶς αἰτία· μέτρα γὰρ ἑκάστου τῶν γενέσει ὑπὸ τῆς φύσεώς ἐστιν

8 ὑπὸ] ὑπὸ τοῦ V  παρῶν A  10 μεταβολαὶ γὰρ πᾶσαι V  14 τοῖς] τί ἂν libri  18 λέγω δὲ] vid. Simplicius fol. 178 b.

ὡρισμένα καὶ αὐξήσεως καὶ ἀκμῆς καὶ παρακμῆς. ὅτι μὲν οὖν ἔστι χρόνος, καὶ τί καὶ ποσαχῶς λέγεται τὸ νῦν καὶ πότε καὶ τὸ ἄρτι καὶ τὸ ἤδη καὶ τὸ πάλαι καὶ τὸ ἐξαίφνης εἴρηται.

14

Τούτων δὲ ἡμῖν οὕτω διωρισμένων φανερόν, ὅτι πᾶσα μεταβολὴ καὶ πᾶν τὸ κινούμενον ἀνάγκη κινεῖσθαι ἐν χρόνῳ· τὸ γὰρ θᾶττον καὶ τὸ βραδύτερον κατὰ πᾶσάν ἐστι μεταβολήν, τὸ δὲ θᾶττον οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ πρότερον μεταβάλλον εἰς τὸ ὑποκείμενον, λέγω δὲ ὑποκείμενον εἰς ὃ ἡ κίνησις γίνεται, οἷον τόπον ἢ σχῆμα ἢ πάθος. ἵνα γὰρ σαφέστερον εἴπωμεν, ἐπὶ τῆς κατὰ τόπον φορᾶς, ὅταν τὸ ἴσον διάστημα δύο τινὰ κινῆται κίνησιν ὁμαλήν, θᾶττον λέγεται κινεῖσθαι τοῦτο ὃ πρότερον διέξεισι τὸ διάστημα. δεῖ δὲ καὶ τὸ διάστημα τοῦτο ὑποκεῖσθαι τοῖς κινουμένοις, οἷον εὐθεῖαν ἢ περιφερῆ γραμμὴν ἀμφοτέροις καὶ ὁμαλὴν τὴν κίνησιν ἄμφω κινεῖσθαι. οὕτως γὰρ ἂν τὸ θᾶττον γνωρίζοιτο τῷ πρότερον ἐφικέσθαι τοῦ πέρατος, ἐπεὶ περὶ τὴν θατέραν τούτων διαφορὰν συμβαίη ποτ' ἂν καὶ τὸ βραδύτερον κινούμενον πρότερον μεταβάλλειν, καὶ τὸ θᾶττον ὕστερον. ἀλλὰ τούτων μὲν ἔξωθεν ἠκριβολογείσθω. ὅτι δ' οὖν ἡ πᾶσα κίνησις τὸ θᾶττον ἔχει καὶ τὸ βραδύτερον, ὃ τὸ πρότερόν ἐστιν καὶ τὸ ὕστερον ἐν χρόνῳ ἐστίν· πρότερον γὰρ καὶ ὕστερον λέγεται κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν· τὸ γὰρ νῦν ὅρος τοῦ παρελθόντος καὶ τοῦ μέλλοντος, ὥστε ἐπεὶ τὸ νῦν ἐν χρόνῳ ἔσται· ἐν ᾧ γὰρ τὸ νῦν, καὶ ἡ τοῦ νῦν

---

4 ἐξαίφνης] ἐφεξῆς A 12 φθορᾶς A 13 κινεῖται libri 18 ἂν om V 20 συμβαίη] συμβαίνει V

ἀπόστασις. δῆλον ὡς ὅπερ λέγομεν, ἀληθές· εἰ γὰρ πᾶσα κίνησις τὸ πρότερον καὶ τὸ ὕστερον ἔχει, ταῦτα δὲ ἐν χρόνῳ, καὶ πᾶσα κίνησις ἐν χρόνῳ.

Διὰ τί δὲ ὁ χρόνος ἐν παντὶ δοκεῖ εἶναι καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ ἐν οὐρανῷ; ὅτι κινήσεώς τι πάθος ἢ ἕξις ἐστίν· τὸ γὰρ ἀριθμούμενον αὐτῆς ὁ χρόνος, τὰ δὲ προειρημένα πάντα κινητά· ἐν τόπῳ γὰρ ἅπαντα ἢ καθ' ὅλα ἢ κατὰ μόρια, καὶ συνέζευκται ἀλλήλοις ἥ τε κίνησις καὶ ὁ χρόνος, ὥστε ἐν οἷς ἐκείνη, καὶ οὗτος. τὸ δὲ ὅπερ λέγω δυνάμει καὶ ἐνεργείᾳ. ὅσα μὲν γὰρ δυνάμει κινητά, δυνάμει καὶ ἐν χρόνῳ ἐστίν, ὡς τὰ ἠρεμοῦντα· ὅσα δὲ ἐνεργείᾳ, ἐνεργείᾳ ἐν τῷ χρόνῳ. ἀλλ' εἰ τὸ ἀριθμούμενον τῆς κινήσεως χρόνος ἐστίν, ἆρα εἰ τὸ ἀριθμοῦν μὴ εἴη, δυνατὸν εἶναι τὸ ἀριθμούμενον; εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἀριθμεῖν ἢ ψυχὴ καὶ ψυχῆς ὁ νοῦς, ἆρα μὴ οὔσης ψυχῆς δυνατὸν εἶναι τὸν χρόνον; εἰ τοίνυν διχῶς λέγεται ὁ ἀριθμός, τό τε ἀριθμητὸν καὶ τὸ ἀριθμούμενον, τὸ μέν, τὸ ἀριθμητόν, δηλαδὴ δυνάμει, τὸ δὲ ἐνεργείᾳ, ταῦτα δὲ οὐκ ἂν ὑποσταίη μὴ ὄντος τοῦ ἀριθμήσοντος μήτε δυνάμει μήτε ἐνεργείᾳ, φανερὸν ὡς οὐκ ἂν ὁ χρόνος εἴη μὴ οὔσης ψυχῆς. καίτοι φησί γε ὁ Βοηθὸς οὐδὲν κωλύει τὸν ἀριθμὸν εἶναι καὶ δίχα τοῦ ἀριθμοῦντος, ὥσπερ οἶμαι τὸ αἰσθητὸν καὶ δίχα τοῦ αἰσθανομένου. σφάλλεται δέ· ἅμα γὰρ τὰ πρός τι καὶ τὰ δυνάμει πρὸς τὰ δυνάμει, ὥστε εἰ μὴ καὶ ἀριθμητικόν, οὐδὲ τὸ ἀριθμητόν, ἀλλ' ᾧ συμβέβηκεν ἀριθμητῷ εἶναι, τοῦτο εἶναι ἐνδέχεται καὶ χωρὶς τοῦ ἀριθμοῦντος, οὐ μὴν ἀριθμη-

8 ὅλα] immo ὅλον, in Simplicio fol. 179 b. ὅλον editum est. 23 fort. κωλύειν τὸν] τὸ τὸν V

τόν, οὐδ᾿ ὡς ἀριθμητόν, ὥστε κίνησις μὲν ἐνδέχεται εἶναι καὶ χωρὶς τοῦ ἀριθμεῖσθαι, τὸ δὲ πρότερον αὐτῆς καὶ τὸ ὕστερον διαλαμβάνεσθαί τε καὶ διακρίνεσθαι, ὧν ἡ διάληψις καὶ διάκρισις καὶ ἀριθμὸς τὸν χρόνον ποιεῖ, πῶς δυνατὸν μὴ οὔσης ψυχῆς; μᾶλλον δὲ οὐδὲ κίνησιν εἶναι δυνατὸν ἄνευ ψυχῆς· ἀρχὴ μὲν γὰρ πάσης κινήσεως ἡ κυκλοφορία· ὑπὸ γὰρ ταύτης ἀλλοιοῦται τὰ πάθη τὰ σωματικὰ καὶ αὔξει καὶ φθίνει, αὕτη δὲ ὑπὸ νοῦ καὶ κατ᾿ ὄρεξιν. καὶ τῶν ζώων δὲ ἡ κίνησις ψυχῆς ἔργον ἐστίν, πάσης δὲ κινήσεως ἀριθμὸς ὁ χρόνος· πᾶσα γὰρ κίνησις ἔχει καὶ τὸ πρότερον καὶ τὸ ὕστερον, εἴγε συνεχὴς καὶ μία οὐ μόνον ἡ κατὰ τόπον φορά, ἀλλὰ καὶ αὔξησις καὶ φθίσις καὶ γένεσις καὶ ἀλλοίωσις. πῶς οὖν οὐχ ἅμα πλείους οἱ χρόνοι ὅταν ἅμα πλείους κινήσεις; εἴγε πάσης κινήσεως ἀριθμὸς ὁ χρόνος ἢ τὸ νῦν ταὐτὸν ἐν πάσαις καὶ ἓν κατ᾿ ἀριθμόν, ἐὰν ᾖ μὲν φορά, ἡ δὲ ἀλλοίωσις ᾖ. τὸ δὲ νῦν ἐστιν ἐν πάσαις τὸ ἀριθμούμενον καὶ τὸ πρότερόν τε καὶ τὸ ὕστερον λαμβανόμενον, ὥστε εἰ τοῦτο ταὐτὸν ἐν πάσαις, εἰκότως ὁ αὐτὸς ἐν πάσαις ὁ χρόνος. εἰ μὲν γὰρ ἄλλως συμβεβηκὸς ἦν ταῖς κινήσεσιν ὁ χρόνος, εὐλόγως ἂν ἐκείναις συνδιῃρεῖτο· ὥσπερ γὰρ τὸ λευκὸν ἢ μέλαν τοῖς σώμασιν· ἐπειδὴ δὲ εἰς τὸ ἀριθμούμενον αὐτῶν ἐστιν καὶ τὸ ποσόν, οὐδὲν κωλύει τοῦτο ταὐτὸν εἶναι καὶ ἓν ἐν τοῖς πλείοσιν. ὥσπερ δὲ καὶ ἐπὶ τοῦ μοναδικοῦ ἀριθμοῦ ταὐτόν ἐστιν οἶμαι τὸ ἀριθμούμενον, κἂν πλείω τὰ ἀριθμητὰ καὶ διαφέ-
fol. 48b ροντα ἀλλήλων ὑπάρχωσιν· οἱ μὲν γὰρ κύνες, οἱ δὲ ἵπποι, ἑκάτεροι δὲ ἑπτά, ταὐτὸν τὸ ἀριθμούμενον·

17 ἐὰν] κἂν V 19 τὸ ante ὕστερον om A 26 ταὐτὸν] ταὐτὸν ἓν V ἓν fort. del.

οὕτως δὲ καὶ τῶν κινήσεων τῶν ἅμα ὁ αὐτὸς χρόνος, ἀλλ' οὐχ ἡ αὐτὴ ταχυτής, οὐδὲ ὁ αὐτὸς τόπος· οὐ γὰρ δὴ κατὰ ταὐτὰ ἀριθμούμενοι τὸν χρόνον ποιοῦσι, λέγω δὲ τάχος ἢ βραδυτῆτα ἢ διαφοράν τινα ἑτέραν, οἷον εἰ ἡ μὲν ἀλλοίωσις, ἡ δὲ φθορά, ἡ δὲ αὔξησις εἴη, ἀλλὰ κατὰ μόνον τὸ πρότερον καὶ ὕστερον ὅπερ ταὐτὸν ἐν πάσαις ταῖς ἅμα. ἃ μὲν οὖν Ἀριστοτέλης φησί, ταῦτά ἐστιν· ἃ δ' ἄν τις ἀπορήσειε πρὸς τὰ εἰρημένα, εἰς κοινὸν προκείσθω σκοπεῖν.

Εἰ τὸ πρότερόν τε καὶ ὕστερον πρῶτόν ἐστιν ἐν τῷ μεγέθει καὶ τῷ διαστήματι, ἐφ' οὗ ἡ κίνησις, εἶθ' οὕτως ἐν τῷ χρόνῳ, πῶς ἐπὶ τῆς αὐξήσεως καὶ τῆς ἀλλοιώσεως τὸ πρότερόν τε καὶ ὕστερον; οὐ γὰρ ἐν διαστήματί γε αὗται, οὐδὲ πόθεν ποι [ἄλλο], ἀλλὰ ὁλόκληρον τὸ σῶμα θερμαίνεται κατ' ὀλίγον, καὶ ὁλόκληρον αὐξάνεται. πόθεν οὖν ἐπὶ τούτων ἕξει τὸ πρότερόν τε καὶ ὕστερον ὁ χρόνος, ὥσπερ ἐπὶ τῆς φορᾶς ἐκ τοῦ διαστήματος καὶ τῆς θέσεως; πῶς δὲ μὴ ἔχων παρ' αὐτῶν τὸ πρότερόν τε καὶ ὕστερον τὸν ἀριθμὸν αὐτῶν ἕξει; ἀλλ' ἴσως ἐπὶ μὲν τῆς αὐξήσεως εἴποι τις ἂν εἶναι τὸ πόθεν ποι· ἀπὸ γὰρ τοῦ ἐλάττονος εἰς τὸν μείζονα τόπον ἡ μεταβολή· ἐπ' ἀλλοιώσεως δὲ καὶ γενέσεως καὶ φθορᾶς τί ἐροῦμεν; ἀντι-

5 φθορὰ] fort. φορὰ  10 εἰ τὸ — πρότερον τε καὶ ὕστερον Simplicius fol. 180 b.  τε καὶ ὕστερον Simplicius, om libri  11 καὶ] τε καὶ Simplicius  12 ἐν τῷ χρόνῳ] ἐν τῇ κινήσει καὶ τῷ χρόνῳ Simpl.  καὶ τῆς] τε καὶ Simpl.  14 ἄλλο om Simplicius  16 αὐξάνεται] αὔξεται καὶ πήγνυται Simpl.  17 ἐπὶ] ἐκ Simpl.  18 καὶ] τε καὶ Simpl.  19 παρ' αὐτῶν om Simpl.  20 ἀριθμὸν αὐτῶν] κατ' αὐτὰ ἀριθμὸν Simpl.  ἀλλ' ἴσως] ἢ Simpl.  21 εἴποι Simpl. ἐξείποι libri  23 ἐροῦμεν; πόθεν γὰρ ἔτι τὸ πρότερόν τε καὶ ὕστερον ἕξει ἡ κίνησις ἢ ὁ χρόνος. ἢ οὖν μόνην τὴν κατὰ τόπον κίνησιν προηγουμένως μετρεῖ ὁ χρόνος, ἢ εἰ καὶ τὰς ἄλλας προηγουμένως, οὐδὲν προσδεῖται τοῦ τῇ θέσει προτέρου καὶ ὑστέρου, ἵνα καὶ αὐτὸς σχῇ τὸ πρό-

*κρυς γὰρ ἐπὶ τούτων ἐξ αὐτοῦ τὸ πρότερόν τε καὶ ὕστερον ὁ χρόνος οἴσει. ἢ τοίνυν μόνην μετρεῖ προηγουμένως τὴν κατὰ τόπον κίνησιν, ἢ εἰ καὶ τὰς ἄλλας προηγουμένως, οὐδὲν προσδεῖται τοῦ τῇ θέσει προτέρου καὶ ὑστέρου, ἵνα καὶ αὐτὸς σχῇ τὸ πρότερόν τε καὶ ὕστερον. ἔπειτα εἰ κοινὸς πάσης κινήσεως ἀριθμός, ὁ χρόνος φαίνεται οὐ παρὰ τῆς κινήσεως τὸ εἶναι ἔχων· εἰ γὰρ μὴ παρὰ τῆσδε ἢ τῆσδε, οὐδὲ παρὰ κινήσεως ὅλως· ἄτοπον γὰρ τὸ λέγειν, ὅτι τὸ πρότερόν τε καὶ ὕστερον ταὐτὸν ἐν πάσαις κινήσεσιν· αὐτὸ γὰρ τοῦτο ζητητέον ἐστί, πῶς ταὐτὸν τὸ νῦν, πότερον γένει ἢ εἴδει ἢ ἀριθμῷ. εἰ μὲν γὰρ γένει ἢ εἴδει, πλείω δήπου κατ' ἀριθμόν· εἰ δὲ ἓν ἀριθμῷ, πῶς τῶν κατ' ἀριθμὸν διαφερόντων ἓν κατ' ἀριθμὸν πάθος ἢ ἕξις; οὕτως δὲ καὶ αὐτὸς ὀνομάζει τὸν χρόνον τῆς κινήσεως· ἀμήχανον γὰρ ταὐτὸν καὶ ἓν κατ' ἀριθμὸν ὑπάρχειν πλείοσιν· οὕτως γὰρ ἓν ἅμα καὶ οὐχ ἓν γενήσεται, ὥστε εἰ πλείω τὰ νῦν ἐπὶ τῶν πλειόνων κινήσεων ἐπὶ τῶν ἅμα οὐσῶν ἅμα πλείω ἔσται νῦν, πρᾶγμα οὐδ' εἰς ἐπίνοιαν ἐλθεῖν δυνάμενον. εἰ δὲ μὴ πλείω, ἀλλ' ἓν καὶ ταὐτόν, ἐξῃρημένον ἔσται καὶ οὐδὲν τῆς κινήσεως ὁ χρόνος· οὐδὲ γὰρ ἐκεῖνο ἔχοι ἂν τινα λόγον, ὅτι ὥσπερ τὸ ἀριθμούμενον ταὐτὸν ἐν τοῖς δέκα ἵπποις καὶ τοῖς δέκα προβάτοις, οὕτως καὶ ἐν ταῖς κινήσεσιν· οὐδὲ γὰρ ἐκεῖ ταὐτὸν τὸ ἀριθμούμενον, εἰ μὴ τῷ λόγῳ*

---

*τερόν τε καὶ ὕστερον* Simplicius, unde postrema verba *προτέρου καὶ — σχῇ τὸ* quae in Themistii libro propter *ὁμοιοτέλευτον* exciderant, restituimus. 6 *εἰ κοινὸς — ἔργον ἐστίν* Simplicius fol. 181 b. 7 *ἀριθμός ἐστιν* Simplic. 15 *δὲ καὶ*] *γὰρ* Simplic. 17 *πλείοσιν* om Simpl. 18 *ὥστε* Simpl. *ὡς* libri 20 *πρᾶγμα — δυνάμενον*] *ὅπερ — δυνατὸν* Simplic. 23 *ἔχοι ἂν*] *ἔχει* Simplic. 24 *ταὐτὸν* om Simplic.

μόνον, ὅτι ἄμφω δέκα, ὅπερ ἡμετέρα ἐπίνοια καὶ θεωρία τοῦ ἐν τοῖς διαφέρουσιν ὁμοίως· ὑπόστασις δὲ οὐδεμία καθ' αὑτήν. τοῦτο δὲ ἐπὶ τοῦ χρόνου πῶς εὔλογον ἔννοιαν εἶναι τῆς ἡμετέρας ψυχῆς τὸν χρόνον, φύσιν δὲ οἰκείαν μὴ ἔχειν, ᾧπερ ἔοικεν ἐνδώσειν Ἀριστοτέλης, ὅταν συγχωρῇ μὴ οὔσης ψυχῆς μηδὲ τὸν χρόνον ὑπάρχειν, ἐπεὶ καὶ τὸ μέτρον καὶ τὸ ἀριθμὸν λέγειν τὸν χρόνον τοιαύτην ἐστὶν ἐπίνοιαν ἐνδιδόντος. ὥσπερ γάρ φησι Βοηθὸς οὐδὲ μέτρον ἐπὶ τῆς φύσεως γίνεται, ἀλλ' ἡμέτερον ἤδη καὶ τὸ μετρεῖν καὶ τὸ ἀριθμεῖν ἔργον ἐστίν. ταῦτα μὲν οὖν ἐξετάζειν πολλάκις τε χρὴν καὶ ἀβασανίστως μὴ παραδέχεσθαι, ἀλλ' ἐπειδὴ μετρεῖται ἕκαστον τῶν μετρητῶν ἑνὶ συγγενεῖ, μονάδες μονάδι, γραμμαὶ γραμμῇ, μετρητόν τε καὶ ὁ χρόνος, δῆλον ὡς καὶ ὁ χρόνος ἂν ὑπό τινος ὡρισμένου χρόνου μετροῖτο. τίς οὖν οὗτος, ἐπισκεπτέον. φανερὸν τοίνυν, ὅτι καὶ οὗτος κινήσεώς τινος ἔσται μέτρον. πῶς γὰρ χρόνος κινήσεως; εἰ δὴ λάβοιμέν τινα κίνησιν ἣ τῶν ἄλλων κινήσεων ἔσται μέτρον, δῆλον ὅτι καὶ ὁ ταύτης χρόνος τοῦ χρόνου μέτρον φανήσεται. τίς οὖν αὕτη ἡ κίνησις; ἀλλοίωσις μὲν οὖν ἢ αὔξησις ἢ γένεσις οὐ πάντη εἰσὶν ὁμαλεῖς, φορὰ δέ ἐστι καὶ φορᾶς ἡ τοῦ παντὸς κυκλοφορία, ἅμα δὲ καὶ γνωριμώτατος ὁ ταύτης ἀριθμός. αὕτη ἄρα μέτρον ἐστὶν τῶν κινήσεων, μέτρον δὲ γίνεται ἀριθμηθεῖσα ὑπό τινος χρόνου καὶ γενομένη τοσήδε· ὁ γὰρ ἐνιαυτὸς καὶ ὁ μὴν καὶ ἡ ἡμέρα χρόνου τε ὀνόματα καὶ ὅροι τοσῆσδε κινήσεως,

1 ὅτι] ὅτι ὅπερ V ἡ ἡμετέρα Simpl. 4 εἶναι] μόνον εἶναι Simpl. 5 ὥσπερ ἔοικε δώσειν ap. Simpl. 8 ὑπόνοιαν Simplic. 9 ὥσπερ καὶ Βοηθός φησιν ὅτι οὐδὲν μέτρον ὑπὸ τῆς φύσεως γίνεται, ἀλλ' ἡμέτερον ἔργον ἐστὶ τὸ μετρεῖν καὶ ἀριθμεῖν Simplicius 24 γνωριμώτατα A

*οἷον ἡ ὥρα [χρόνος] χρόνος μέν ἐστιν, ὁρίζεται δὲ τοσήνδε κίνησιν τῆς περιφορᾶς τοῦ παντὸς καὶ τοῦ ἡλίου, ὁρίσας δὲ μέτρον αὐτὴν εἶναι πασῶν ἐποίησε τῶν κινήσεων καὶ οὐ μόνον τῶν κινήσεων ἀλλὰ καὶ τοῦ χρόνου τοῦ πλείονος. αὐτὸς μὲν γὰρ μετρεῖ τὸν χρόνον· μέτρον γὰρ ἡ μὲν ὥρα τῆς ἡμέρας, ἡ δὲ ἡμέρα τοῦ μηνός, ὁ δὲ μὴν τοῦ ἐνιαυτοῦ, αὐτὸν δὲ ἀντιμετρεῖ πάλιν ἡ τοσήδε περιφορά. τοῦτο δὲ καὶ ἐκ τῆς ἐναργείας δῆλόν ἐστιν. χρόνου μὲν γὰρ μέτρα ἐνιαυτοὶ μῆνες ἡμέραι ὧραι, ταύτῃ δὲ τοσαίδε κινήσεις τῆς τοῦ ἡλίου περιφορᾶς. οὐκ ἀλόγως οὖν ἔδοξέ τισι χρόνον εἶναι τὴν κίνησιν τῆς περιφορᾶς τοῦ οὐρανοῦ, ὅτι ταύτῃ μετροῦνται αἱ ἄλλαι κινήσεις καὶ τῷ αὐτῆς χρόνῳ. πόσου χρόνου τὸ Ἴλιον ἑάλω; δέκα ἔτεσιν, τοῦτο δέ ἐστιν, τοσαίδε περιφοραὶ τοῦ ἡλίου. διὰ τοῦτο δὲ καὶ τὸ εἰωθὸς λέγεσθαι οὐ φαύλως λελέξεται κύκλον εἶναι τἀνθρώπεια πράγματα, τοῦτο δὲ ὅτι πάντα χρόνῳ κρίνεται καὶ λαμβάνει ἀρχὴν καὶ τελευτήν, ὥσπερ κατά τινα περίοδον τοῦ χρόνου, ὁ δὲ χρόνος κύκλος εἶναι δοκεῖ διότι τοιαύτης φορᾶς ἐστὶ μέτρον καὶ ἀντιμετρεῖται ὑπ᾽ αὐτῆς, οὐδὲν δὲ ἄλλο δοκεῖ εἶναι τὸ μετρούμενον ἢ πολλὰ μέτρα, οἷον πολλοὶ πήχεις τὸ στάδιον.*

---

1 *χρόνος* delendum    *ὁρίζεται*] scrib. *ὁρίζει*, conf. Simplicius fol. 182.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ fol. 49.

# ΕΙΣ ΤΟ ΠΕΜΠΤΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

*Ἐπεὶ δὲ τὰ μὲν καθ' αὑτὰ μεταβάλλει, τὰ δὲ* 1
*κατὰ συμβεβηκός, τὰ δὲ κατὰ μόριον, ἀνάγκη ταῦτα προδιελέσθαι. τὰ μὲν οὖν κατὰ συμβεβηκὸς μεταβάλλοντα τοιαῦτά ἐστιν οἷον ὅταν λέγωμεν τὸ μουσικὸν βαδίζειν ἢ ψύχεσθαι ἢ θερμαίνεσθαι· οὐ γὰρ ᾗ μουσικός, ἀλλ' ᾧ συμβέβηκεν εἶναι μουσικῷ, οὗτος βαδίζει· πάλιν ὁ τόπον ἐκ τόπου, κατὰ συμβεβηκὸς δὲ καὶ οὗτος· ἐν ᾧ γάρ ἐστιν τοῦτο καθ' αὑτὸ μεταβάλλει, κατὰ μόριον δὲ ταῦτα κινεῖσθαι λέγεται καὶ μεταβάλλειν· ὑγιάζεται γὰρ τὸ σῶμα ὅτι ὁ ὀφθαλμὸς ἢ ὁ θώραξ, καθ' αὑτὰ δὲ ἐκεῖνα μόνα κινεῖται ἃ μήτε κατὰ συμβεβηκός, μήτε κατὰ μόριον μεταβάλλει, ὡς ὁ ἵππος τρέχει καὶ ἅπτεται τὸ ἱμάτιον καὶ θερμαίνεται ὅλον τὸ ξύλον καὶ ὁ ὀφθαλμὸς ὑγιάζεται· οὐ γὰρ πάντα πᾶσαν κίνησιν καθ' αὑτὸ κινητά, ἀλλὰ τὰ μὲν μεταβαίνει μόνον ὡς τὰ οὐράνια, τὰ δὲ ἀλλοιοῦται μόνον ὡς ὁ θώραξ, ὡς ὁ ὀφθαλμός· εἶπον δ' ἂν καὶ τῶν*

---

4 *ἐπειδὴ τὰ* V  7 *τὸ*] *τὸν*?  18 immo *καθ' αὑτὰ*  20 *ὁ* bis om A

*κινούντων τὰ μὲν κατὰ συμβεβηκὸς κινεῖν ὡς τὸν μουσικὸν οἰκοδομεῖν, τὰ δὲ κατὰ μέρος ὡς τὸν ἀλοῦντα κινεῖν τὴν μύλην, τὰ δὲ καθ' αὑτὰ ὅσα κατὰ μηδένα τούτων τῶν τρόπων. πέντε δὴ τούτων περὶ τὰ καθ' αὑτὰ κινούμενα θεωρουμένων, τοῦ κινοῦντος, τοῦ κινουμένου, τοῦ χρόνου ἐν ᾧ ἡ κίνησις, ἐξ οὗ μεταβάλλει, εἰς ὅ, ἐν τίνι τούτων ἡ κίνησις; ὅτι μὲν οὖν οὐκ ἐν τῷ κινοῦντι, προαπεδείξαμεν, καὶ ὅτι μηδὲ ἐν τῷ χρόνῳ, ἀλλ' οὐδ' ἐξ οὗ γίνεται ἡ μεταβολή, οἷον ὅταν ἐκ λευκοῦ μελαίνηται· οὐδὲ γὰρ ὀνομάζεται ἡ κίνησις ἐξ ἐκείνου, ἀλλ' ἐκ θατέρου μᾶλλον εἰς ὃ πρόεισι καὶ μεταβάλλει· οὕτω γὰρ μελαίνεσθαι λέγεται ὅτι εἰς μέλαν μεταβάλλει, καὶ οὐ λευκαίνεσθαι καίτοι ἐκ λευκοῦ· διὰ τοῦτο γὰρ ἡ φθορὰ οὕτως ὀνομάζεται, ὅτι εἰς τὸ μὴ ὂν καίτοι ἐξ ὄντος, καὶ ἡ γένεσις εἰς ὂν καίτοι ἐκ μὴ ὄντος. λείπεται τοίνυν ἐπιζητεῖν, ἐν ποτέρῳ τοῖν δυοῖν ἡ κίνησις εἴτε ἐν τῷ κινουμένῳ καθ' αὑτό, εἴτε ἐν τοῖς εἴδεσιν καὶ τοῖς πάθεσιν εἰς ἃ γίνεται ἡ μεταβολή. ἱκανῶς μὲν οὖν καὶ πρότερον ἐπεδείξαμεν, ὡς ἡ κίνησις ἐν μόνῳ τῷ κινουμένῳ, ἐξήρκει δὲ καὶ τοῦ ὁρισμοῦ τῆς κινήσεως ὑπομνήσαντας ἀπηλλάχθαι· ἔφαμεν γὰρ τὴν κίνησιν ἐντελέχειαν εἶναι τοῦ κινητοῦ, ὅμως δὲ ἄξιον ἐπισκέψασθαι, εἰ ἔστιν ὅλως κίνησις ἐν τοῖς εἴδεσιν καὶ τοῖς πάθεσιν, ἢ τοῖς τόποις εἰς ἃ τὰ κινούμενα ἅπαντα κινεῖται. ἀλλὰ περὶ μὲν τῶν τόπων ὅτι ἀκίνητοι, δῆλόν ἐστιν· μεμνήμεθα γὰρ αὐτῶν τῆς πρὸς τὰ ἀγγεῖα διαφορᾶς. δόξειε δ' ἂν τὰ πάθη κίνησιν εἶναι οἷον λευκότης, μελανία, θερμότης, ψυχρότης· εἰ δὲ*

---

2 ἀλοῦντα libri 7 ὅ] ὂν libri ἔν τινι A. ἔν τι V
15 ἐξ ὄντος] ἐκ μὴ ὄντος V

τοῦτο ἀληθὲς ἐπὶ τῶν τοιούτων, ἡ κίνησις εἰς κίνησιν ἂν εἴη μεταβολή. οὕτω δὲ ἔσται τὶ καὶ ὅτε μεταβέβληκεν, ἔτι κινούμενον, εἴγε εἰς κίνησιν μεταβέβληκεν, ἢ ὅτε γέγονεν ἐν κινήσει, μηκέτι εἶναι κινούμενον. ἀλλὰ δῆλον ὡς οὐ κατ' αὐτὰ τὰ πάθη κίνησις, ἀλλὰ τὸ πάσχειν καὶ ἡ κατ' αὐτὰ μεταβολή, καὶ οὐχ ἡ λευκότης ἀλλ' ἡ λεύκανσις. ὅτι μὲν οὖν οὐ κινεῖται οὐδὲ ἔχει κίνησιν οὐδὲ εἶδος οὐδὲν οὔτε πάθος, δῆλον ἐκ τούτων, κινεῖν δὲ λέγεται ἔνια τῶν εἰδῶν οἷον ἡ ψυχὴ τὸ ζῶον, ἡ βαρύτης τὸν λίθον, ἀλλ' ὅμως οὐδὲ ταῦτα κινεῖται καθ' αὑτά, ἡνίκα ἂν εἰς αὐτὰ γένηται ἡ μεταβολή· οὐ γὰρ ἡ βαρύτης πήγνυσιν τὴν λιθουμένην ἀναθυμίασιν. εἰ δ' ἄρα κἀκεῖνοι ἢ τινὰ ἐξ ἀνάγκης, ἀλλ' ὅτι γε ἡ κίνησις ἐν τοῖς κινουμένοις οὐκ ἐν τοῖς κινοῦσίν ἐστιν, ὁ λόγος ἐξεύρετο. τοῦτο μὲν οὕτως ἡμῖν διωρίσθω· προσθετέον δὲ ἔτι καὶ ταῦτα τοῖς ἄλλως φιλομαθέσιν. ὡς τὸ κατὰ συμβεβηκὸς καὶ τὸ κατὰ μέρος καὶ τὸ καθ' αὑτὸ καὶ περὶ τούτων λέγεται εἰς ἃ γίνεται ἡ μεταβολή, οἷον τὸ λευκαινόμενον εἰς τὸ νοούμενον μεταβάλλειν κατὰ συμβεβηκός· τῷ γὰρ χρώματι συμβέβηκεν τὸ νοεῖσθαι, εἰς δὲ χρῶμα κατὰ μέρος· μέρος γὰρ τοῦ χρώματος τὸ λευκόν, καὶ εἰς τὴν Εὐρώπην κατὰ μέρος ὅτι εἰς Ἀθήνας, εἰς μέντοι τὸ λευκὸν χρῶμα ἢ εἰς Ἀθήνας καθ' αὑτό. πῶς μὲν οὖν καθ' αὑτὸ κινεῖται καὶ πῶς κατὰ συμβεβηκὸς καὶ πῶς κατὰ μόριον, καὶ ὅτι ἡ κίνησις οὐκ ἐν τῷ εἴδει ἀλλ' ἐν τῷ κινουμένῳ, φανερὸν ἐκ τῶν εἰρημένων. τὴν μὲν οὖν fol. 49b. κατὰ συμβεβηκὸς μεταβολὴν καταλειπτέον· οὐ γὰρ

3 ἔτι τὸ A 5 immo οὐκ αὐτὰ 11 καθ' αὑτὰ Victorius. κατ' αὐτὰ libri 14 fort. κἀκεῖ κινοίη τινὰ 18 primum τὸ om libri. vid. C: Prantl symb. crit. p. 34. 20 μεταβάλλει V

ἐν ὡρισμένοις ἐστίν, ἀλλὰ πάντα εἰς ἅπαντα μεταβάλλειν δύναται καὶ πάντῃ, οἷον καὶ τὸ χρῶμα εἰς μέγεθος, καὶ τὸ μουσικὸν εἰς μέλαν, ἀεί τε δύναται περὶ ἕκαστον θεωρεῖσθαι τῷ πολλὴ καὶ ἄπειρος εἶναι· εἴποις γὰρ ἂν ἀεὶ τὴν λευκότητα μεταβάλλειν καὶ ὅταν μεταβαίνῃ τὸ σῶμα, καὶ ὅταν ψύχηται, καὶ ὅταν ὑγραίνηται, καὶ ὅταν καίηται· διὰ ταῦτ᾽ οὖν ἀφείσθω, λέγομεν δὲ περὶ τῆς καθ᾽ αὑτὸ μεταβολῆς. αὕτη τοίνυν ἐν ὡρισμένοις· ἀεὶ γὰρ εἰς ἐναντία καὶ ἐξ ἐναντίων καὶ ἀντιφάσεως ὅλως· τὸ γὰρ λευκὸν ἐκ μέλανος ἢ ξανθοῦ ἢ ὅλως ἐκ τοῦ οὐ λευκοῦ. τοῦτο μὲν ἐκ τῆς ἐπαγωγῆς ἂν βεβαιώσαιο. μὴ θορυβείτω δὲ ἡμᾶς, εἰ πρότερον τὰς μεταβολὰς διορίσαντες ἐξ ἀντικειμένου εἰς ἀντικείμενα γίνεσθαι, νῦν καὶ μεταξὺ παρειλήφαμεν· χρῆται γὰρ καὶ τούτοις ὡς ἐναντίοις τὰ ἐξ αὐτῶν μεταβάλλοντα· ἐπεὶ γὰρ τὰ μεταξὺ κατὰ μίξιν τε καὶ κρᾶσιν πως τῶν ἐναντίων ὅταν εἰς θάτερόν τι τῶν ἐναντίων ἐκ τοῦ μεταξὺ μεταβάλλῃ, οὐ καθὸ τούτου μετέχει, γίγνοιτο ἂν ἡ μεταβολή· οὐδὲ γὰρ εἰς αὐτὸ μεταβάλλει, ἀλλὰ καθὸ τοὐναντίου· ψύχεται γὰρ τὸ χλιαρὸν οὐ καθόσον μετέχει ψυχρότητος, ἀλλὰ καθόσον ἔνεστιν ἐν αὐτῷ θερμότητος. διὸ καὶ τὸ μέσον πρὸς τὰ ἄκρα, κἀκεῖνα πρὸς τοῦτο λέγεταί πως ἐναντία, ὡς ἡ μέση βαρεῖα πρὸς τὴν νήτην καὶ ὀξεῖα πρὸς τὴν ὑπάτην, καὶ τὸ φαιὸν λευκὸν πρὸς τὸ μέλαν καὶ μέλαν πρὸς τὸ λευκόν. τούτων τοίνυν οὕτως διωρισμένων καὶ πάσης μεταβολῆς ἔκ τινος εἴς τι γιγνομένης ὡς καὶ τοὔνομα ἐμφαίνει σαφῶς, τετραχῶς ἂν μεταβάλλοι τὸ μεταβάλλον· ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον ἢ ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκεί-

---

11 οὐ om A    14 immo τὰ μεταξὺ    22 καὶ θερμότης A

μενον ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. λέγω δὲ ὑποκείμενον μὲν τὸ καταφάσει δηλούμενον, κατάφασιν δὲ τὸ θερμόν, τὸ ψυχρόν, τὸ μέλαν, τὸ λευκόν, τὸ ὑπάρχον ὅλως. εἰ δὲ τὸ ὑποκείμενον ἡμῖν κατάφασιν σημαίνει, δῆλον ὡς τὸ μὴ ὑποκείμενον ἀπόφασιν ἂν σημαίνοι, ὥστε ἀναγκαῖον τῶν εἰρημένων τρεῖς εἶναι τὰς πάσας μεταβολάς, τὴν μὲν ἐκ καταφάσεως ἀρχομένην εἰς ἀπόφασιν δὲ τελευτῶσαν, τὴν δὲ ἀνάπαλιν, τὴν δὲ ἐκ καταφάσεως εἰς κατάφασιν· ὁ γὰρ λοιπὸς τρόπος ἀδύνατος διὰ τὸ μὴ εἶναι κατ' ἀντίθεσιν· οὔτε γὰρ ἀντίθεσις τοῦτο· ἀποφάσεις γάρ εἰσι ἄμφω, οὔτε ἐναντία· καταφάσει γὰρ δηλοῦται τὰ ἐναντία. λέγεται τοίνυν ἐκ μὴ λευκοῦ γίνεσθαι τὸ λευκόν, λέγεται καὶ μὴ ἐξ ὕδατος ὕδωρ. ἄμφω μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον καὶ ἐξ ἀποφάσεως εἰς κατάφασιν, ἀλλ' ὅρα τὴν διαφοράν· φημὶ γὰρ ἐν τῷ τὸ μὲν λευκὸν οὐχ ἁπλῶς γίνεσθαι καὶ τὸ μουσικόν, ἀλλὰ τὸν ἄνθρωπον γίνεσθαι λευκὸν καὶ μουσικόν, τὸ δὲ ὕδωρ ἁπλῶς γίνεσθαι· οὐκ ἔχω γὰρ εἰπεῖν τί γίγνεται ὕδωρ, ὡς εἶχον ἐπὶ τοῦ λευκοῦ καὶ τοῦ μουσικοῦ ὅτι ἄνθρωπος ἢ ὅτι Καλλίας, εἰ μή τι ἄρα τὴν ὑποκειμένην ὕλην τοῖς σώμασιν· ταύτην γὰρ ἂν φαίημεν γίγνεσθαι ὕδωρ, ἀλλ' οὐκ ἔστιν αὕτη τόδε, ὡς Καλλίας ὁ γινόμενος μουσικὸς καὶ λευκός. ἆρ' οὖν σοι δοκοῦσιν μηδὲν ἀλλήλων διαφέρειν αἱ δύο γενέσεις ἥ τε τοῦ λευκοῦ καὶ ἡ τοῦ ὕδατος; ἢ διοριζόμενος ἀκριβῶς τὴν μὲν οὐδὲ γένεσιν ἁπλῶς ἂν εἴποις, ἀλλά τινα γένεσιν καὶ τοιάνδε· οὐ γὰρ ὁλόκληρον ποιεῖ τὴν οὐσίαν, τὴν δὲ γένεσιν ἁπλῶς καὶ κυρίως·

1 εἰς μὴ] εἰς τὸ V 15 τὸ ὕδωρ V

*ὅλον γὰρ γίνεται τὸ ὕδωρ καὶ οὐ γίνεται αὐτὸ ὕδατος ὄντος οἷον τὸ θερμὸν ἢ τὸ ψυχρὸν ἢ τὸ λευκὸν ἢ τὸ μέλαν. ἐπεὶ τοίνυν ἅπαν τὸ γινόμενον ἐκ μὴ ὄντος, γίνεται μὲν καὶ τὸ μουσικὸν ἐκ μὴ ὄντος, γίνεται δὲ καὶ τὸ ὕδωρ ἀλλὰ τὸ μὲν οὐχ ἁπλῶς ἐκ μὴ ὄντος ἀλλ' ἐκ τοῦδε μὴ ὄντος οἷον Καλλίου μουσικοῦ μὴ ὄντος, τὸ δὲ ἁπλῶς ἐκ μὴ ὄντος. καίτοι φαίης ἄν, ὅτι καὶ τὸ ὕδωρ ἐκ τοῦ ἀέρος ὕδατος μὴ ὄντος, ἐκφεύγει δέ σε πάλιν ἣν πρόσθεν εἶπον διαφοράν· οὐ γὰρ ὑπομένων ὁ ἀὴρ καὶ ὕδωρ γίνεται, ὡς ὑπομένων ὁ Καλλίας καὶ λευκὸς γίνεται. θέα τοίνυν ἄμφω τὰ συμβαίνοντα ἐκ τοῦ λόγου, ἵνα μᾶλλον μάθῃς τὴν διαφοράν· γίνεται Καλλίας ἐκ μὴ λευκοῦ λευκός, ἀλλ' ὅταν λέγῃς ἐκ μὴ λευκοῦ, ἐξ ἐρυθροῦ λέγεις ἢ μέλανος ἢ ξανθοῦ, ταῦτα δὲ ἅπαντα ἀντίκειται πρὸς τὸ λευκόν, ἀλλὰ κατάφασις καταφάσει, καὶ ὡς ὄντα πρὸς ὄντα, καὶ ὡς ὑπάρχοντα πρὸς ὑπάρχοντα, γίνεται δὲ καὶ τὸ ὕδωρ ἐκ τοῦ μὴ ὕδατος. ὥσπερ οὖν ἐκεῖ τὸ μὴ λευκὸν ἔδειξα μέλαν ὑπάρχον ἢ φαιὸν ἢ ξανθόν, οὕτω ἐνταῦθα τὸ μὴ ὕδωρ σὺ δήλωσον ἡμῖν κατάφασιν. νὴ Δί' εἴποις ἂν ὅτι ἀήρ· ἐξ ἀέρος γὰρ ὕδωρ. ἆρ' οὖν ὥσπερ τὸ λευκὸν ἢ τὸ ξανθὸν ἦν ἐναντίον τῷ μέλανι, οὕτως ἐπιδείξαις ἂν σὺ τὸν ἀέρα ἐναντίον τῷ ὕδατι; καὶ πῶς; οὐσία γὰρ οὐκ ἀντίκειται πρὸς οὐσίαν. ἐπεὶ τοίνυν ἔμπροσθεν εἰρήκαμεν, ὡς ὅταν ἐξ ὑποκειμένου λέγωμέν τι μεταβάλλειν εἰς ὑποκείμενον, ἢ ἐξ ἀποφάσεως λέγομεν ἢ ἐκ καταφάσεως καὶ τοῦ ἐναντίου· τὸ δὲ ἐκ μὴ ὕδατος οὐ σημαίνει κατάφασιν καὶ ἐναντίον, ἁπλῶς ἂν σημαίνοι τὴν ἀπόφασιν. ἁπλῶς οὖν ἐκ μὴ ὄντος ἡ τοιαύτη γένεσίς ἐστιν,*

---

18 δὲ om A

λέγω δὲ ἁπλῶς μὴ ὄντος οὐ τοῦ παντελῶς μὴ ὄντος, ἀλλὰ τοῦ δυνάμει μὲν ὄντος ὥσπερ λέγομεν ἔχειν τὴν ὕλην, τὸ αὐτὸ δὲ ὁμοίως καὶ ἐπὶ τῆς φθορᾶς ἐπιδείκνυμεν, ὅτι καὶ αὕτη παραπλησίως εἰς τὸ μὴ ὂν ἁπλῶς. εἰ δὲ τοῦθ' οὕτως ἔχει, δηλονότι πλεοναχῶς τὸ μὴ ὄν· καὶ γὰρ τὸ οὐ λευκὸν μὴ ὂν καὶ τὸ οὐκ ἄνθρωπος μὴ ὄν· λέγεται δὲ καὶ τὸ ψεῦδος μὴ fol. 50. ὄν, ἀλλὰ τοῦτο μὲν ἀφείσθω· περὶ λόγου γάρ ἐστι σύνθεσις ἢ διαίρεσις, τῶν δὲ προειρημένων δυοῖν ποῖον ἂν κινεῖσθαι λέγοιτο; ἐγὼ δέ φημι τὸ οὕτως μὴ ὂν ὡς τὸ μὴ λευκόν, ὡς τὸ μὴ ἀγαθόν, οὐχ ὅτι αὐτὸ τὸ μὴ λευκὸν κινεῖται καὶ αὐτὸ τὸ μὴ ἀγαθόν· πῶς γὰρ ἂν ὃ οὐκ ἔστιν ὅλως κινεῖσθαι δύναται; ἀλλὰ Καλλίας ὁ μὴ λευκὸς καὶ Καλλίας ὁ μὴ ἀγαθὸς κινεῖται. οὐκοῦν οὐδὲ ἁπλῶς τὰ τοιαῦτα κινεῖσθαι λέγω, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι τοῖς κινουμένοις συμβέβηκεν, τὸ δὲ μὴ ὕδωρ καὶ τὸ μὴ πῦρ καὶ τὰ οὕτω μὴ ὄντα πῶς ἂν κινοῖτο; ἆρα καθ' αὑτά, καὶ πῶς ἃ μὴ τάδε ἐστὶν ἀλλὰ κατὰ συμβεβηκός; τοῖς οὖν κινουμένοις συμβέβηκεν. ἀδύνατον τοίνυν τὰ οὕτω μὴ ὄντα κινεῖσθαι, εἰ δὲ τοῦτο, ἀδύνατον καὶ τὴν γένεσιν κίνησιν εἶναι. οὐκοῦν οὐδὲ κινεῖται οὐδὲ ἠρεμεῖ τὸ μὴ ὄν· οὐδὲ γὰρ ἐν τόπῳ. οὐ μόνον δὲ ἡ γένεσις οὐκ ἔστι κίνησις, ἀλλ' οὐδὲ ἡ φθορά· κινήσει γὰρ ἢ κίνησίς ἐστιν ἐναντίον ἢ ἠρεμία, εἰ δὲ κίνησις ἡ φθορά, ἡ γένεσις εἴη ἂν ἢ κίνησις ἢ ἠρεμία. συλλογίσασθαι δὴ λοιπὸν ἅπαντα χρὴ τὰ εἰρημένα· πᾶσα κίνησις μεταβολή, πᾶσα μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον ἢ κατ' ἀντίφασιν,

9 συνθέσεις καὶ διαιρέσεις A. fort. σύνθεσιν ἢ διαίρεσιν 10 κεκινεῖσθαι A nec Victorius mutavit ex V 19 τοῖς οὖν] τίσιν οὖν libri 25 φορὰ V

*πᾶσα ἄρα κίνησις ἐξ ἐναντίου εἰς ἐναντίον ἢ κατὰ ἀντίφασιν. ἀλλὰ μὴν οὐ κατ᾽ ἀντίφασιν, εἰς ἐναντίον ἄρα ἐξ ἐναντίου. ἐναντία δὲ λέγω τὰ καταφάσει δηλούμενα, οὕτω δὲ ἐπὶ τῶν κινήσεων δηλοῦται καὶ τὰ λεγόμενα κατὰ στέρησιν, τὸ γυμνόν, τὸ ἀγράμματον.*

2 *Ἐπισκεπτέον τοίνυν τὰς κατηγορίας ἡμῖν, ἐν ὁπόσαις ἐστὶν ἐναντίωσις· κατ᾽ ἐκείνας γὰρ μόνας γίνεσθαι τὴν κίνησιν ἀναγκαῖον. πρῶτον τοίνυν κατ᾽ οὐσίαν οὐκ ἔστι κίνησις· οὐδὲν γάρ ἐστιν ἐναντίον οὐσίᾳ· οὐδὲ γὰρ ἡ στέρησις τῷ εἴδει, τοῦτο γὰρ ἐν τοῖς πρώτοις ἁπλούστερον συνεχωρεῖτο· ἀπουσία γάρ τις ἡ στέρησις καὶ μὴ ὄν, οὐκ ὂν ἐναντίον τῷ ὄντι· τὸ γὰρ ἐκ σπέρματος τὸ ζῷον γίνεσθαι λέγοντας οἴεσθαι τὴν τοιαύτην μεταβολὴν ἐξ οὐσίας εἰς οὐσίαν κίνησιν ἐπιδεικνύναι, πάλιν ἐπὶ τὴν γένεσιν καταφερομένων ἐστίν, ἣν οὐκ οὖσαν κίνησιν ἀπεδείξαμεν· τί γάρ ἐστι καὶ τὸ κινούμενον ἐν τῇ τοιαύτῃ μεταβολῇ· οὐκ ἔσται γὰρ τὸ ζῷον, οὐ γάρ ἐστιν, γίνεται γάρ, οὔτε τὸ σπέρμα· οὐ γὰρ ὑπομένει· διαφθείρεται γάρ· πῶς γὰρ ἐναντίον τὸ σπέρμα τῶν ζώων; ἐξ ἐναντίων δὲ ἡ κίνησις εἰς ἐναντία ἀλλὰ φήσαι τις ἂν ἴσως, ὅταν ὕδωρ εἰς πῦρ μεταβάλλῃ, κίνησις ἂν γένοιτο κατ᾽ οὐσίαν· ἐξ ἐναντίων γὰρ εἰς ἐναντία. πρὸς τοῦτο δὲ ὁ μὲν Ἀλέξανδρος ἀντιλέγει ἐνίας μὲν ποιότητας τοῦ πυρὸς ἐνίαις ποιότησιν τοῦ ὕδατος ἐναντίας εἶναι διδούς, οἷον τὴν ψυχρότητα καὶ ὑγρότητα τῇ ξηρότητι καὶ θερμότητι, οὐ μὴν αὐτό γε τὸ πῦρ ὅλον τῷ ὕδατι· καὶ γὰρ ἐν ἄλλαις ποιότησιν ἑκατέρου τούτων τὸ εἶναι. ἐγὼ δὲ καὶ τὴν ὑπόθεσιν οἶμαι ψευδῆ· πῦρ γὰρ εἰς ὕδωρ μεταβάλλειν ἀμήχανον, μὴ πρῶτον εἰς ἀέρα με-*

ταβάλλον, ἅπερ φανερῶς οὐδὲ ἐναντία. τί δὲ ὅλως τὸ κινούμενον ἐν ταῖς τοιαύταις μεταβολαῖς; οὔτε γὰρ τὸ ὕδωρ ὃ φθείρεται, οὔτε τὸ πῦρ ὃ μήπω ἐστίν, ὃ δέ ἐστιν μετὰ τὴν κίνησιν κεκινημένον, τοῦτ' ἦν πρότερον τὸ κινούμενον. ὅτι μὲν οὖν κατ' οὐσίαν οὐκ ἔστι κίνησις, καὶ ἐκ τούτων δῆλον.

Ἀλλ' οὐδὲ κατὰ τὸ πρός τι· μεταπίπτει γὰρ ἄνευ τοῦ γενέσθαι περὶ αὐτὸ καὶ τὴν τυχοῦσαν μεταβολήν· γίνεται γὰρ ὁ κίων δεξιὸς οὐδὲν αὐτὸς μεταβάλλων ἐμοῦ μεταστάντος, καὶ τὰ δεκαπλάσια μηδεμίαν λαβόντα προσθήκην τῶν πέντε αὐτοῖς ἀντιτεθέντων, καὶ ἡ πρότασις ποτὲ ἀληθής, ποτὲ δὲ ψευδὴς τῶν πραγμάτων μεταπιπτόντων, ἃ σημαίνεται ὑπ' αὐτῆς· τὸ γὰρ ἡ μ έ ρ α ἐ σ τ ὶ ν ἀξίωμα τὸ αὐτὸ μὲν καὶ ὡσαύτως ἔχον ἀληθὲς μὲν οὔσης ἡμέρας, ψεῦδος δὲ ἐπιγενομένης νυκτός. εἰ δὲ κίνησις μὲν πᾶσα διά τινος μεταβολῆς καὶ τροπῆς αὐτοῦ τοῦ κινουμένου, τὰ πρός τι δὲ οὐχ οὕτως καὶ προσγίνεται καὶ ἀπογίνεται, οὐκ ἂν δήπου κίνησις εἴη κατὰ τὸ πρός τι.

Ἀλλ' οὐδὲ κατὰ τὸ ποιεῖν ἢ τὸ πάσχειν. τί δήποτε; ὅτι τὸ ποιεῖν ὑπὸ τὸ κινεῖν ἐστίν, καὶ τὸ πάσχειν ὑπὸ τὸ κινεῖσθαι, οὔτε δὲ κινεῖν ἐστὶν κατὰ τὸ κινεῖν, οὔτ' ἔτι μᾶλλον κατὰ τὸ κινεῖσθαι· καὶ γὰρ εἰπεῖν τοῦτο γελοῖον, καὶ νοῆσαι πολλῷ γελοιώτερον· Ἀριστοτέλης δὲ καὶ πλείω προσάγει τῇδε τῇ ὑποθέσει τὰ δυσχερῆ· μεταβολῆς γὰρ μεταβολὴν καὶ κινήσεως κίνησιν παραδέχεσθαι, πρᾶγμα ἀνεπινόητον παντελῶς. πρῶτον μὲν γὰρ εἰς ἄπειρον βαδιεῖται καὶ ἔσται ἀεὶ ἄλλη πρὸ ἄλλης, ἔπειτα καὶ ἠρε-

---

4 μετὰ] κατὰ V  10 δεκαπλάσια] fort. δεκαπλάσια διπλάσια

*μεῖν οἷόν τε ἔσται τὴν κίνησιν καὶ κινεῖσθαι, ἔπειθ' ὑποκείμενόν τι καὶ τόδε εἶναι, ὥσπερ τὸ σῶμα κινούμενον ἢ τὴν ψυχήν. ἔτι εἰ ἄλλο τὸ κινούμενον καὶ ἡ κίνησις· ἄλλο γὰρ ὁ ἄνθρωπος καὶ ἡ κίνησις, καὶ ἄλλο ἵππος καὶ δρόμος, ἄλλο ἂν καὶ ἡ κινουμένη κίνησις εἴη κινήσεως, ὥσθ' ἅμα τε κίνησις καὶ οὐ κίνησις. ἔτι γελοῖον φέρεσθαι τὴν ἀλλοίωσιν ἢ τὴν φορὰν ἀλλοιοῦσθαι ἢ τὴν αὔξησιν τούτων θάτερον ὑπομένειν· ταῦτα γὰρ πάντα ἐν ὑποκειμένοις ἑτέροις καὶ οὐδ' ἐστὶν ὅλως καθ' ἑαυτά, κατὰ συμβεβηκὸς μέντοι μεταβάλλειν τὴν μεταβολὴν καὶ κινεῖσθαι τὴν κίνησιν λέγειν ἐνδέχεται, οἷον εἰ συμβαίη τινὶ τρέχοντι ὑγιάζεσθαι, λέγοιμεν ἂν τὸν δρόμον ὑγιάσθαι τινὰ μεταβολήν, οὐχ ὅτι ὁ δρόμος αὐτός, ἀλλ' ὅτι ἄνθρωπος ᾧ συμβέβηκεν ὁ δρόμος. ἀλλὰ τὰς κατὰ συμβεβηκὸς κινήσεις ἀφεῖμεν πάλαι. φανερὸν τοίνυν, ὅτι κατὰ τρεῖς κατηγορίας μόνας εἰσὶ κινήσεις, κατὰ τὸ*
fol. 50b. *ποιόν, κατὰ τὸ ποσόν, καὶ τὸ ποῦ· καὶ γὰρ ἐναντίωσις ἐν τούτων ἑκάστῃ. τὴν μὲν οὖν κατὰ τὸ ποιὸν κίνησιν ἀλλοίωσιν ὀνομάζομεν· λέγω δὲ ποιὸν οὐχ ὡς λέγομεν ποιὸν τὴν ἐν τῇ οὐσίᾳ διαφοράν, τὸ λογικὸν ἢ τὸ πεζὸν ἢ τὸ ἔνυδρον, ἀλλὰ τὸ κατὰ παθητικὴν ποιότητα μόνην, οἷον ψυχρότητα, θερμότητα, λευκότητα, μελανίαν, τὴν δὲ κατὰ τὸ ποσὸν κίνησιν ἑνὶ μὲν οὐκ ἔχομεν ὀνόματι προσαγορεῦσαι, καθ' ἑκάτερον δὲ αὔξησις καὶ φθίσις, ἡ μὲν εἰς τὸ πλεῖον μέγεθος αὔξησις, ἡ δὲ ἐκ τούτων φθίσις· ἡ δὲ κατὰ τόπον κίνησις καὶ τὸ κοινὸν καὶ τὸ ἴδιον ἀνώνυμος, ἔσται δὲ καλουμένη φορὰ τό γε κοινόν, καίτοι οὐκ ἀγνοοῦμεν ὅτι φερε-*

---

3 *εἰ* om libri. conf. Simplic. fol. 200 b. 7 *κίνησίς ἐστι* libri 13 vid. Simplic. fol. 201. 19 *ἐν*] *ἑνὶ* libri

σθαι ταῦτα μόνα κυρίως φαμὲν ὅσα μὴ ἐφ' ἑαυτοῖς ἔχει τὸ στῆναι καὶ ὅσα μὴ αὐτὰ ἑαυτὰ κινεῖ κατὰ τόπον ὥσπερ τὰ ἄψυχα. ἀλλὰ πέρί γε τῆς ἀλλοιώσεως καὶ τοῦτο μᾶλλον ἐπισκεπτέον ὅταν εἰς τὸ λευκότερον ἐκ λευκοῦ μεταβάλλῃ τὸ σῶμα, ἢ τοὔμπαλιν ἐκ τοῦ μᾶλλον εἰς τὸ ἧττον λευκόν, πῶς ἂν γίνοιτο τηνικαῦτα ἐξ ἐναντίων εἰς ἐναντία ἢ καὶ τὸ μᾶλλον λευκὸν καὶ τὸ ἧττον μίξει τῶν ἐναντίων ἐστίν· μᾶλλον γὰρ λευκὸν τὸ ἐλάττονος μετέχον μέλανος καὶ ἧττον λευκὸν τὸ πλείονος. ὅταν μὲν οὖν ἁπλῶς εἰς τὸ λευκὸν ἐκ τοῦ μέλανος μεταβάλλῃ, ἐκ τοῦ ἁπλῶς ἐναντίου κινεῖται εἰς τὸ ἐναντίον, ὅταν δὲ ἐπὶ τὸ λευκότερον ἐκ τοῦ λευκοῦ, ἐκ τοῦ πὼς ἐνυπάρχοντος ἐναντίου· τῷ γὰρ ἧττον λευκῷ τὸ μέλαν πὼς ἐνυπάρχει. ὅτι μὲν οὖν αὗται τρεῖς μόναι κινήσεις εἰσὶν κατὰ τρεῖς μόνας κατηγορίας, φανερὸν ἐκ τῶν εἰρημένων· ἀκίνητον δὲ λέγεται τό τε ὅλως ἀδύνατον κινηθῆναι ὥσπερ ὁ ψόφος ἀόρατος, καὶ τὸ ἐν πολλῷ χρόνῳ μόλις κινούμενον ὃ καὶ δυσκίνητον ἄν τις εἴποι, καὶ ὃ βραδέως ἄρχεται τῆς κινήσεως, ὡς λέγομεν ἀοργήτους τοὺς βραδέως ἀρχομένους ὀργίζεσθαι, λέγεται δὲ ἀκίνητον καὶ τὸ πεφυκὸς μὲν κινεῖσθαι καὶ δυνάμενον, μὴ κινούμενον δέ, ὅτε πέφυκεν ὅπερ ἠρεμεῖν καλῶ τῶν ἀκινήτων μόνον· στέρησις γὰρ ἠρεμία κινήσεως· ἡ στέρησις γὰρ τῶν πεφυκότων καὶ ὡς πεφύκασιν.

Ἐπειδὴ πᾶσα μεταβολὴ ἐν ἀντικειμένοις, ὡς 3
ἐπεδείξαμεν, τὰ δὲ ἀντικείμενα τά τε ἐναντία καὶ ἡ ἀντίφασις, ἀντιφάσεως δὲ οὐδὲν μέσον, φανερόν, ὅτι ἐν τοῖς ἐναντίοις τὸ μεταξύ. μεταξὺ δέ ἐστιν εἰς ὃ πέφυκε πρότερον ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς

ὃ ἔσχατον μεταβάλλει, ὅταν μεταβάλλῃ συνεχῶς καὶ κατὰ φύσιν. ἐν ἐλαχίστοις δέ ἐστι τὸ μεταξὺ τρισίν· δυοῖν γάρ τινων τὸ μεταξύ· μεταβάλλειν γὰρ λέγεται συνεχῶς τὸ μηδὲν μήτε τοῦ χρόνου διαλεῖπον, μήτε τοῦ πράγματος ἐν ᾧ κινεῖται, οἷον μελῳδῶν τις μετὰ τὴν ὑπάτην φθέγξαιτο τὴν νήτην εὐθύς· οὗτος μὲν γὰρ τοῦ χρόνου οὐδὲν διέλιπε, τοῦ πράγματος δὲ ἐν ᾧ κινεῖται. μᾶλλον δὲ τοῦτο δῆλον ἐν ταῖς κατὰ τόπον μεταβολαῖς· οὐδὲ γὰρ οἱ πηδῶντες πένταθλον κινοῦνται συνεχῶς, ὅτι τοῦ διαστήματός τι διαλιμπάνουσιν ἐν ᾧ κινοῦνται, ἢ τοῦτο οὐχ ἁπλῶς θετέον; οὕτως γὰρ ἂν οὐδὲ τοὺς ἁμιλλωμένους ἵππους εἴποιμεν ἂν κινεῖσθαι συνεχῶς, ἀλλὰ χρόνῳ μᾶλλον ἀφοριστέον τὴν κίνησιν τὴν συνεχῆ καὶ τῷ μηδὲν αὐτοῦ διαλείπεσθαι, ἐπεὶ τοῦ γε πράγματος ἐν ᾧ κινεῖται, τάχ' οἷόν τε καὶ διαλείπειν καὶ συνεχῶς οὐδὲν ἧττον φαίνεσθαι μεταβάλλοντα, αὐτὸ δὲ καθ' αὑτὸ τὸ συνεχὲς ἀκριβέστερον ἀφοριστέον.

Ἐπεὶ τοίνυν τοῦ συνεχοῦς κοινότερον τὸ ἐχόμενον, τοῦ δὲ ἐχομένου τὸ ἐφεξῆς, πρῶτον τὸ ἐφεξῆς διδακτέον. ἐφεξῆς τοίνυν ἐστὶ ταῦτα ἀλλήλοις ὧν μεταξὺ μηδὲν ἕτερον ὁμογενές. ἄλλο μὲν γάρ τι τῶν ἐφεξῆς οὐδὲν κωλύεται εἶναι μέσον, ὁμοειδὲς δὲ οὐχ οἷόν τε, οἷον οἰκίαι ἐφεξῆς, ὧν μή ἐστιν οἰκία μεταξύ, γραμμαὶ ὧν μὴ γραμμή, ἄνθρωποι ὧν μὴ ἄνθρωπος. τὸ δὲ ἐφεξῆς ἀεὶ δεύτερόν τι καὶ οὗ ἄλλο πρῶτόν ἐστιν, πρῶτον δὲ ἢ τῇ θέσει, ὡς ἐπὶ τῶν γραμμῶν ἢ τῶν οἰκιῶν, ἢ τῇ φύσει καθάπερ ἐπὶ μονάδος καὶ δυάδος ἐφεξῆς δυὰς μονάδι· οὐδεὶς γὰρ ἄλλος ἀριθμὸς με-

---

3 γὰρ λέγεται] δὲ λέγεται V 4 aliud legisse videtur in Arist. p. 226 b. 28. 5 fort. οἷον εἰ 16 διαλειπεῖν A 17 τὸ καθ' αὑτὸ συν. A

ταξύ, ἢ τῇ τάξει πρῶτον τῇ τάξει τὸ προοίμιον τῆς διηγήσεως καὶ ἐφεξῆς ἡ διήγησις τῷ προοιμίῳ· οὐδὲν γὰρ αὐτῶν ὁμοειδὲς μεταξύ. τὸ μὲν οὖν κυρίως ἐφεξῆς τοιοῦτον, ἤδη δὲ λέγεται ἐφεξῆς καὶ ὁμογενῆ μέν, οὐχ ὁμοειδῆ δὲ πολλάκις· ἐφεξῆς γὰρ ὁ ἀγὼν τῇ πομπῇ καὶ τὸ νυμφαῖον τῷ γυμνασίῳ.

Ἐχόμενον δέ ἐστιν ὃ πρὸς τῷ ἐφεξῆς τινὸς εἶναι κατά τινα τῶν εἰρημένων τρόπον καὶ ἅμα τὸ πέρας ἔχει τῷ ἐκείνου πέρατι. τούτων δὲ τὰ μὲν λέγεται μόνον, ὡς ὁ παρελθὼν χρόνος τοῦ μέλλοντος, τὰ δὲ καὶ ἅπτεται ὡς τὰ σώματα. ἅπτεται δὲ ὧν τὰ ἄκρα ἅμα, ἄκρα δὲ λέγω τὰ πέρατα. ὅταν μὲν οὖν δύο ᾖ ταῦτα τὰ πέρατα, τότε ἔχεσθαι μὲν ἀλλήλων λέγεται καὶ εἶναι ἐφεξῆς, οὐκέτι δὲ εἶναι συνεχῆ· ὅταν δὲ ἓν γένηται τὰ δύο πέρατα αὐτοῦ τε καὶ τοῦ ἐφεξῆς, τότε γίνεται συνεχὲς καὶ ἓν τὸ ὅλον. γίνεται δὲ οὐ πάντα τὰ ἐχόμενα συνεχῆ, ἀλλ' ὅσα ἓν γίνεσθαι πέφυκεν· ἅπτεται γὰρ τὸ ξύλον τοῦ λίθου, ἀλλ' οὐκ ἂν γένηται συνεχές. οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι κυρίως γίνεται συνεχῆ ὧν ἡ ἁφὴ σύμφυσιν ἀπεργάζεται, ὡς ἐπὶ τῶν γραμμῶν καὶ τῶν ἐγκεντριζομένων φυτῶν καὶ τοῦ χρόνου, γίνεται δὲ καὶ ἐπὶ τεχνήσεώς τινα συνεχῆ οἷον ξύλα γόμφοις ἢ κόλλῃ, ἅπερ οὐδὲ συνεχῆ κυρίως. φανερὸν τοίνυν ὃ προειρήκαμεν, ὅτι πρῶτον τὸ ἐφεξῆς εἶναι τοῦ ἔχεσθαι· τὸ μὲν γὰρ ἐχόμενον ἀνάγκη ἐφεξῆς εἶναι, τὸ δὲ ἐφεξῆς οὐ πᾶν ἔχεσθαι· διὸ καὶ πρότερον τῷ λόγῳ τὸ ἐφεξῆς· ἐν πλείοσι γὰρ ὥσπερ γένος· καὶ γὰρ ἐν ἀριθμοῖς τὸ ἐφεξῆς, τὸ δὲ ἔχεσθαι fol. 51. ἀλλήλων οὐκ ἔστιν. πάλιν τὸ ἔχεσθαι πρότερον τοῦ

---

2—6 Simplicius fol. 205. 18 immo γένοιτο 24 ὅτι om A scrib. πρότερον

συνέχεσθαι· δεῖ γὰρ ἅψασθαι πρότερον εἰ συμφύσεται. δῆλον οὖν, ὅτι ἐν οἷς οὐκ ἔστιν ἁφή, οὐδὲ σύμφυσις ἐν τούτοις ἐστίν. οὐ μέντοι γε ἐν ἅπασιν ἐν οἷς ἐστὶν ἁφή, καὶ σύμφυσις ἤδη γενέσθαι δύναται· καὶ γὰρ τὸν Ἐπειὸν ἅψασθαί φησιν Ὅμηρος τῆς ἡμιόνου, ἀλλὰ συμφῦναί γε ἡμιόνῳ ἄνθρωπον οὐκ ἐνδέχεται. εἰ τοίνυν ταῦτα ἀληθῆ λέγομεν, καὶ οὐ ταὐτὸν τὸ ἐφεξῆς καὶ τὸ ἅπτεσθαι, οὐκ ἂν εἴη ταὐτὸν στιγμῇ μονάς. κατὰ μὲν γὰρ στιγμὴν ἅψασθαι δυνατόν, κατὰ μονάδα δὲ οὐκ ἐνδέχεται, ἀλλ' ἐν ταῖς μονάσιν τὸ ἐφεξῆς, τὸ δὲ ἅπτεσθαι οὐκ ἔστι· καὶ σημείων μέν ἐστι μεταξὺ γραμμή, μονάδων δὲ οὐδέν, ἀλλ' οὐδὲ δυάδος καὶ μονάδος. δῆλον οὖν ὅτι τὸ μὲν ἅπτεσθαι ἐν τοῖς θέσιν ἔχουσιν μόνοις, τὸ δὲ ἐφεξῆς καὶ ἐν τοῖς μὴ ἔχουσιν θέσιν, ὥσπερ καὶ τὸ ἐχόμενον.

4 Μία δὲ κίνησις λέγεται πολλαχῶς· τὸ γὰρ ἓν πολλαχῶς λέγομεν. γένει μὲν οὖν μία κίνησις καὶ τῇ αὐτῇ κατηγορίᾳ, οἷον φορὰ πᾶσα πρὸς φοράν· ἐν γὰρ τῷ ποῦ. ἀλλοίωσις πρὸς ἀλλοίωσιν· ἐν γὰρ ποιότητι. εἴδει δὲ μία ἐν ταὐτῷ τῆς κατηγορίας εἴδει, ὅταν ἄτομον ᾖ καὶ πρῶτον ἀπὸ τῶν αἰσθητῶν, ὡς λεύκανσις ἔχει πρὸς λεύκανσιν· ἡ γὰρ λευκότης ἓν εἶδος καὶ ἄτομον. εἰ δ' ἔστιν ἅττα ἃ καὶ γένη ἅμα καὶ εἴδη, δῆλον ὅτι ἔστι τῆς κινήσεως πὼς μὲν εἴδει μία, πὼς δὲ οὔ. ζητήσειε δ' ἄν τις, εἰ μία κίνησις αὕτη τῷ εἴδει, ὅταν εἰς ταὐτὸν ἐκ ταὐτοῦ μεταβάλλῃ ταὐτὸν κινούμενον· εἰ γὰρ ἁπλῶς τοῦτο συγχωρηθείη, καὶ τούτῳ τὴν αὐτὴν κίνησιν τῷ εἴδει ὁριζόμεθα,

---

5 Il. ψ, 666. 22 λευκότης] immo λεύκανσις, vid. Arist. 23 γένει ἅμα καὶ εἴδει libri

ἔσται ἡ κυκλοφορία τῇ εὐθυφορίᾳ ταὐτὸν κατ᾽ εἶδος· δύναται γὰρ ταὐτὸν ἐπὶ ταὐτὸν ἐκ ταὐτοῦ ποτὲ μὲν ἐπὶ εὐθείας κινεῖσθαι, ποτὲ δὲ ἐπὶ περιφεροῦς. ἢ καλῶς ἐθέμεθα μίαν τῷ εἴδει γίνεσθαι κίνησιν, ὅταν ἄτομον εἶδος ᾖ, καθὸ γίνεται; ἡ δὲ εὐθεῖα γραμμὴ καὶ ἡ περιφερὴς διαφέρουσι κατ᾽ εἶδος ἀλλήλων. γένει μὲν οὖν καὶ εἴδει κίνησις τοῦτον τὸν τρόπον γίνεται μία παρὰ τὴν διαφορὰν τῶν πραγμάτων, ἐν οἷς γίνονται, ἀριθμῷ δὲ μία καὶ κυρίως μία πῶς ἂν εἴη κίνησις, ἐπισκεπτέον.

Ἐπεὶ τοίνυν τρία λέγομεν εἶναι περὶ τὴν κίνησιν ἣν ὁριζόμεθα, τό τε κινούμενον, οἷον τὸν ἄνθρωπον ἢ τὸ ἄστρον, καὶ καθὸ κινεῖται, τοῦτο δὲ διττόν, ἢ πάθος ἢ τόπος, καὶ ὅτε κινεῖται, τοῦτο δέ ἐστιν ὁ χρόνος, δεῖ τὴν μίαν κίνησιν τῷ ἀριθμῷ ἕκαστον τούτων ἔχειν ἓν ἀριθμῷ, τό τε εἶδος καθ᾽ ὃ γίνεται, οἷον τὴν χρόαν ἢ τὴν γραμμήν, καὶ τὸ κινούμενον, οἷον τὸν Κορίσκον ἢ τὸν Καλλίαν, καὶ τὸν χρόνον ἕνα. εἷς δὲ ὁ συνεχὴς καὶ οὗ μηδὲν διαλείπει. εἰ δέ τι τούτων μὴ κατ᾽ ἀριθμὸν ἓν εἴη, οὐκέτ᾽ ἂν ἡ κίνησις μία φυλάττοιτο, οἷον εἰ Κορίσκος ἅμα βαδίζοι καὶ λευκαίνοιτο· τὸ μὲν γὰρ ὑποκείμενον ἓν καὶ ὁ χρόνος εἷς καὶ συνεχής, ἀλλὰ δύο καθ᾽ ἃ ἡ κίνησις, χρῶμά καὶ τόπος ὥστε οὐδὲ μία κίνησις ἡ τοιαύτη. πάλιν Καλλίας καὶ Σωκράτης ὑγιαζέσθωσαν τὴν αὐτὴν ὑγίειαν, οἷον ὀφθαλμίαν ἀλλ᾽ οὐδ᾽ αὕτη μία κίνησις· δύο γὰρ τὰ ὑποκείμενα. ἀλλὰ δὴ Σωκράτης ὑποκείσθω βαδίζειν μετὰ νουμηνίαν γε καὶ πάλιν ἑβδόμην. ταύτην τοίνυν ὁ χρόνος μόνος οὐκ ἐᾷ γίνεσθαι μίαν τὴν κίνησιν οὐχ εἷς ὢν οὐδὲ συνεχής,

2 ἐπὶ ταὐτὸν om A 28 τε καί?

*ἐπεὶ καὶ ἄλλο ἀτοπώτερον ὑπομείνειεν ἂν ὁ λόγος. εἰ γὰρ εἷς ὁ χθὲς μου περίπατος καὶ ὃν τήμερον βαδίζω, ταὐτὸν ἔσται τὸ ἐφθαρμένον τῷ ὄντι, ᾗ τοῦτο καὶ ἐφ' ὧν συνεχὴς ὁ χρόνος· ἀεὶ γὰρ ἡ προτέρα κίνησις φθείρεται. πῶς οὖν ἔσται μία; ἀλλ' ἴσως οὕτω μία τῷ συνεχεῖ καὶ τῷ πρὸς ἑαυτὴν οἰκειοῦσθαι καὶ τῷ μὴ διασπᾶσθαι τὸ φθειρόμενον τῷ γινομένῳ, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐκ διαλείμματος γινομένων. ἀλλ' εἴπερ μία κίνησις πάντως ἓν ἔχειν ὀφείλει κατ' ἀριθμὸν τὸ ὑποκείμενον, ῥέοντα δὲ φαίνεται πάντα τὰ σώματα, οὐδεμία κίνησις ἕξει ταὐτὸν ὑποκείμενον ἀκριβῶς. τοῦτο δὲ καὶ περὶ τῶν ἕξεων ἄν τις διαπορήσειε, πῶς μία ὑγίεια οὐχ ἑνὸς ὄντος τοῦ ὑγιαίνοντος; ἢ ταῦτα ἔξω τῆς σκέψεως τῆς προκειμένης; πῶς γὰρ αἱ αὐταὶ μένουσιν οὐσίαι, καίτοι συνεχῶς μεταβάλλουσαι, τοῦτο ἀποδοῦναι οὐκ ἔστιν οἰκεῖον τοῦ περὶ κινήσεως λόγου, πλὴν τοῦτό γε παρακείμενον μὴ παρέλθωμεν, ὡς τὴν ἕξιν μίαν καὶ τὴν αὐτὴν ποιεῖν τὴν χθὲς καὶ τὴν τήμερον, οἷον τὴν ὑγίειαν ἢ τὴν ἐπιστήμην, οὐδὲν ἄτοπον· συνεχὴς γάρ ἐστι πάσης ἕξεως ὁ χρόνος, τὴν ἐνέργειαν δὲ μίαν οὐκ ἐγχωρεῖ, εἰ μὴ συνεχὴς ἀποδοθῇ, τούτῳ δὲ ἀκολουθεῖ τὸ μιᾶς μὲν ἐνεργείας μίαν εἶναι πάντως καὶ ἕξιν, μιᾶς δὲ ἕξεως καὶ πλείους τὰς ἐνεργείας. ἐπεὶ δὲ πᾶσα κίνησις συνεχής, εἴπερ πᾶσα διαιρετή, τήν τε μίαν ἀνάγκη ἁπλῶς συνεχῆ εἶναι καὶ τὴν συνεχῆ μίαν· οὐ γὰρ ἂν γένοιτο συνεχὴς πάσῃ, ὥσπερ οὐδ' ἄλλο οὐδὲν τῷ τυχόντι τὸ τυχόν, οἷον γραμμὴ φωνῇ, ἀλλ' ὅσων ἓν τὰ ἔσχατα γενέσθαι δύναται. ἔσχατα δὲ τῶν μὲν οὐκ ἔστιν· οὐδὲν γὰρ*

3 immo ᾗ, nisi potius integrum comma ᾗ — *χρόνος*; locum commutavit. 21 *συνεχῶν ἀποδιδότω* V. fort. *ἀποδίδοται* 27 *ἄλλου* libri

τῆς μονάδος ἔσχατον οὔσης ἀδιαιρέτου. διόπερ οὐδὲ γίνεταί τι ἐξ αὐτῶν, τῶν δὲ ἔστι μέν, ἀνομοειδῆ δὲ καὶ διαφέροντα καὶ ὁμώνυμα κοινὸν ἔχοντα ὄνομα τὸ ἔσχατον ἢ τὸ πέρας. τὸ γοῦν γραμμῆς ἔσχατον καὶ βαδίσεως ὁμωνύμως ἀλλήλοις ἔσχατον, διὸ οὐδὲ γίνεται ἐκ τούτων ἕν τι καὶ συνεχές. ἐχόμεναι μὲν οὖν ἀλλήλων εἶεν ἂν καὶ αἱ μὴ αὐταὶ τῷ εἴδει, μήτε τῷ γένει· δραμὼν γὰρ ἄν τις πυρέξειεν εὐθύς, καὶ οἷον ἡ λαμπὰς ἡ ἐκ διαδοχῆς φερομένη ἐχομένας μὲν κινεῖται κινήσεις καὶ ἀλλήλαις ὁμοειδεῖς, συνεχεῖς δὲ οὔ· οὐ γὰρ γίνεται ἓν τὸ ἔσχατον τῶν δρόμων, ἀλλ' ἑκάστου τῶν τρεχόντων οἰκεῖόν τι τοῦ δρόμου πέρας ἐστίν, ὥστε δῆλον ὅτι ἔχεσθαι μὲν ἀλλήλων δύνανται κινήσεις καὶ διὰ μόνον τὸν χρόνον, ὅταν συνεχὴς ᾖ, κἂν αὐταὶ πάμπολυ διαφέρωσι, συνεχεῖς δὲ γίνεσθαι οὐ δύνανται διὰ μόνον τὸν χρόνον, ἀλλ' ἐὰν καὶ ταὐτὸν ἔχωσιν εἶδος. οὕτω γὰρ ἂν τὰ ἔσχατα ἀμφοῖν ἕνα θείη, διόπερ ἀνάγκη τὴν αὐτὴν τῷ εἴδει εἶναι καὶ ἑνὸς καὶ ἐν ἑνὶ τὴν ἁπλῶς συνεχῆ καὶ μίαν ὥσπερ καὶ πρόσθεν διωρισάμεθα. εἰ δὲ πρὸς πᾶσι τοῖς προειρημένοις καὶ τέλειος εἴη, μᾶλλον λέγεται μία τῆς ἐχούσης μὲν τἆλλα, ἀτελοῦς δέ· τέλειος δέ ἐστι κίνησις ἡ λαβοῦσα τὸ οἰκεῖον πέρας· τὸ γὰρ ἓν ἐπὶ τῶν τελείων μᾶλλον ἢ ἐνδεῶν κατηγοροῦμεν. μᾶλλον δὲ μία κίνησις καὶ ἡ ὁμαλὴ τῆς ἀνωμάλου· τὴν γὰρ ἀνώμαλον διαιρεῖν ἐοίκασιν αἱ ἐξαλλαγαί. ἔστι δὲ ἐν ἁπάσῃ κινήσει τὸ ὁμαλὸν καὶ τὸ ἀνώμαλον, καὶ ἐν ἀλλοιώσει καὶ ἐν αὐξήσει καὶ ἐν φορᾷ. γίνεται δὲ τὸ ἀνωμαλὲς ὁτὲ μὲν παρὰ τὴν

fol. 51b.

14 συνεχὴς] συνεχῆ libri 15 διαφέρουσι libri 18 immo ἓν 19 ἑνὶ] ἑνὶ χρόνῳ Arist. 21 μᾶλλον δὲ V 26 τὴν] τὸν libri

*φύσιν, ἐφ' οὗ κινεῖται, οἷον ἐπὶ τῆς κεκλασμένης γραμμῆς· ἀδύνατον γὰρ ὁμαλὴν γενέσθαι κίνησιν μὴ ἐφ' ὁμαλοῦ μεγέθους· ὁμαλὲς δὲ μέγεθος οὗ τὸ τυχὸν ἐφαρμόττει τῷ τυχόντι μέρει. ἢ παρὰ τὸν τρόπον τῆς κινήσεως, ὅτε ποτὲ μὲν ᾖ ταχυτέρα ποτὲ δὲ βραδίων· κἂν γὰρ τὰ ἄλλα πάντα συνδράμῃ, οἷον τὸ μέγεθος ὁμαλές, ὁ χρόνος συνεχής, τὸ εἶδος ταὐτὸν τῆς κινήσεως, τὸ τάχος δὲ μὴ ταὐτόν, ἀνώμαλος εὐθὺς ἡ κίνησις. διόπερ οὐδὲ εἴδη κινήσεως τάχος καὶ βραδύτης ἐστίν· ἐν πᾶσι γὰρ τοῖς εἴδεσίν ἐστι τῆς κινήσεως. καὶ γὰρ ἀλλοιοῦται ταχέως καὶ βραδέως καὶ αὔξεται καὶ μεταβαίνει τόπον ἐκ τόπου, οἷον τὴν ἐπὶ τὸ κάτω φορὰν θᾶττον μὲν τὸ βαρύτερον, βράδιον δὲ τὸ κουφότερον. διόπερ οὔτε βαρύτης καὶ κουφότης πρὸς τὴν ἐπὶ τὰ αὐτὰ ῥοπὴν κατ' εἶδος ἀλλήλων διοίσουσιν, ἐπεὶ μηδὲ κινήσεων διαφόρων κατ' εἶδός εἰσι ποιητικαί. καὶ κυρίως μὲν οὖν ἡ ὁμαλὸς μία, γένοιτο δ' ἂν καὶ ἡ ἀνώμαλος μία τῷ συνεχὴς εἶναι, ἧττον δέ, ὅπερ ἐπὶ τῆς κεκλασμένης εὐθείας συμβαίνει. τὸ δὲ ἧττον μίξει τοῦ ἐναντίου. εἰ τοίνυν τὴν μὲν συνεχῆ καὶ μίαν κίνησιν ἐνδέχεται καὶ ὁμαλὴν εἶναι, τὴν δὲ ἐκ τῶν εἴδει διαφερουσῶν κινήσεων συγκειμένην ἀδύνατον ὁμαλὴν εἶναι, οὐκ ἂν ποτε γένοιτο ἡ τοιαύτη μία συνεχής, ὅτι μηδ' ὁμαλής· τὸ γὰρ ὁμαλὲς ὑπεθέμεθα, οὗ τὰ μόρια πάντα ἐφαρμόττειν πᾶσιν ἐνδέχεται, λευκάνσεως δὲ καὶ δρόμου πῶς οἷόν τε ἐφαρμόσαι τὰ μόρια;*

5 *Διοριστέον δὲ καὶ τὰ περὶ τὰς ἀντιθέσεις. ἀντίκειται δὲ καὶ ἡ κίνησις κινήσει καὶ στάσις κινήσει,*

---

17 *καὶ* delendum    20 *μίξει*] *μῖξις ἀεὶ* Aristot.

ἀλλ' ἡ μὲν ὡς ἐναντίον, ἡ δὲ ὡς ἡ στέρησις. ποῖαι οὖν ἐναντίαι κινήσεις; ἐπεὶ τοίνυν πᾶσα κίνησις ἔκ τινος εἴς τι, καὶ ἐξ ἐναντίου εἰς ἐναντίον, αἱ ἐξ ἐναντίων ἀρχόμεναι καὶ εἰς ἐναντίον λήγουσαι εἶεν ἂν ἐναντίαι κινήσεις, οἷον ἡ ἐξ ὑγείας ἀρχομένη καὶ λήγουσα εἰς νόσον ἡ ἐκ νόσου μὲν ἀρχομένη, παυσαμένη δὲ εἰς ὑγείαν. δῆλον δὲ καὶ οὕτως ἐκ τῆς ἐπαγωγῆς· ἐναντίον γὰρ δοκεῖ τὸ ὑγιάζεσθαι τῷ νοσάζεσθαι, καὶ τὸ ἀνιέναι τῷ κατιέναι, καὶ τὸ εἰς δεξιὰ τῷ εἰς ἀριστερὰ βαδίζειν, καὶ τὸ ἔμπροσθεν τῷ ὄπισθεν· ἐναντία γὰρ ταῦτα περὶ τόπον ἐστίν. ὅσοις μέντοι γε οὐκ ἔστιν ἐναντία τῶν μεταβαλλόντων, ἡ ἐκ τοῦ αὐτοῦ μεταβολὴ τῇ εἰς τὸ αὐτό ἐστιν ἐναντία· ἐξ οὗ γὰρ ἡ φθορὰ μεταβάλλει, εἰς τοῦτο ἡ γένεσις ἔρχεται. ἐκ μὲν γὰρ ὄντος ἡ φθορὰ μεταβάλλει, εἰς τὸ ὂν δὲ ἡ γένεσις ἔρχεται, καὶ ἐξ οὗ ἡ γένεσις, εἰς τοῦτο πρόεισιν ἡ φθορά. ἡ μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἡ δὲ εἰς τὸ μὴ ὂν ἐκ τοῦ ὄντος. κινήσει μὲν οὖν κίνησις οὕτως ἐστὶν ἐναντία.

6

Κινήσει δὲ στάσις ὡς στέρησις, τὸ δ' ὡς στέρησις λέγω, διότι μὴ στέρησις ἀκριβῶς. ποία δὲ στάσις ποίᾳ κινήσει, διοριστέον· οὐ γὰρ ἡ τυχοῦσά γε τυχούσῃ. δῆλον δέ, ὅτι ἐπεὶ ἐν δυσὶν ἡ κίνησις, τῇ μὲν ἐκ τούτου εἰς τὸ ἐναντίον ἡ ἐν τούτῳ μονή, τῇ δὲ ἐκ τοῦ ἐναντίου εἰς τοῦτο ἡ ἐν τῷ ἐναντίῳ μονή, οἷον τῇ μὲν κάτωθεν ἄνω ἡ ἐν τῷ κάτω μονή, τῇ δὲ ἄνωθεν κάτω ἡ ἐν τῷ ἄνω μονή. ἄλογον δὲ ἐναντίαν ποιεῖν ἠρεμίαν τὴν ἐν ἐκείνῳ, εἰς ὃ σπεύ-

4 ἂν om libri 6 ἡ] scrib. τῇ — ἀρχομένῃ, παυσαμένῃ
13 ἐξ αὐτοῦ — εἰς αὐτὸ Arist. 23 scrib. τῇ τυχούσῃ

*δει μεταβάλλειν· τέλος γὰρ ἐκεῖνο καὶ ἔσχατον, οὐδὲν δὲ τέλος ἐναντίον τῇ ἐπ' αὐτῷ σπουδῇ, ἀλλὰ μᾶλλον οἰκεῖόν τε καὶ προσήγορον. ἔτι τὰ κατὰ φύσιν κινούμενα τέλος ἔχει τῆς κινήσεως τὴν ἐν ἐκείνοις ἠρεμίαν, ἐφ' ἃ κινεῖται, τὸ δὲ τέλος τινὸς πῶς ἂν αὐτοῦ στέρησις εἴη. λείπεται ἄρα τὴν ἐν ἐκείνῳ μονὴν ἐναντίαν εἶναι τῇ ἐξ ἐκείνου κινήσει.*

*Ἆρα δὲ καὶ οὕτως ἀντίκειται κίνησίς τε καὶ ἠρεμία, ὥστε τὴν μὲν κατὰ φύσιν, τὴν δὲ παρὰ φύσιν εἶναι τοῖς κινουμένοις; ἐπὶ μὲν οὖν τῆς κατὰ τόπον μεταβολῆς τὸ τοιοῦτον ἄν τις εὕροι λίαν ἐμφανῶς. τῇ γὰρ γῇ κατὰ φύσιν μὲν κίνησις ἡ εἰς τὸ κάτω, παρὰ φύσιν δὲ ἡ εἰς τὸ ἄνω, καὶ μονὴ μὲν κατὰ φύσιν ἡ εἰς τὸ κάτω, παρὰ φύσιν δὲ ἡ εἰς τὸ ἄνω. ἐπὶ δὲ ἀλλοιώσεώς τε καὶ αὐξήσεως οὐκέτ' ἂν δόξειεν εἶναι τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν· οὐδὲν γὰρ μᾶλλον τοῦ μελαίνεσθαι τὸ λευκαίνεσθαι κατὰ φύσιν ἢ παρὰ φύσιν, ἢ τὸ ὑγιάζεσθαι τοῦ νοσάζεσθαι· ὁμοίως γὰρ δοκεῖ τὸ σῶμα τῶν ζώων ἀμφοτέρων εἶναι δεκτικόν, ἀλλ' οὔτε ἡ μὲν ἡ αὔξησις κατὰ φύσιν, ἡ δὲ ἡ μείωσις παρὰ φύσιν, οὔτε ἀνάπαλιν. ἀλλ' οὔτε αὔξησις αὐξήσει τῇ κατὰ φύσιν ἡ παρὰ φύσιν ἀντίκειται, ὁμοίως ἐπὶ γενέσεως καὶ φθορᾶς ὁ αὐτὸς λόγος. οὐ γὰρ ἡ μὲν γένεσις κατὰ φύσιν, ἡ δὲ φθορὰ παρὰ φύσιν· τὸ γὰρ γηράσκειν κατὰ φύσιν, οὔτε γένεσιν ὁρῶμεν τὴν μὲν κατὰ φύσιν, τὴν δὲ παρὰ φύσιν. ταῦτα μὲν οὖν ἄν τις διαπορήσειεν.*

*Εἰ δέ ἐστι τὸ βίᾳ παρὰ φύσιν, καὶ φθορὰ φθορᾷ ἂν εἴη ἐναντία ἡ βίαιος ὡς παρὰ φύσιν οὖσα τῇ κατὰ*

---

14 *εἰς τὸ*] *ἐν τῷ* A 22 *κατὰ φύσει* libri. Aristot. p. 230, 25 *ὡς φύσει ἢ παρὰ φύσιν*, ut fort. *κατὰ* sit delendum 28 *φθορᾷ*] *φθορᾶς* libri

φύσιν. ἆρ' οὖν καὶ γενέσεις εἰσὶν ἔνιαι βίαιοι καὶ οὐχ εἱμαρμέναι· εἱμαρμένον δὲ λέγω τὸ κατὰ φύσιν. ἆρ' οὖν παρὰ φύσιν ἀντίκεινται καὶ αὐξήσεις βίαιοι fol. 52. καὶ φθίσεις; αὔξησις μὲν οἱ σῖτοι οἱ ταχὺ ἁδρυνόμενοι καὶ μὴ πιληθέντες, ἐπὶ δὲ ἀλλοιώσεως ὡσαύτως· εἶεν γὰρ ἄν τινες αἱ μὲν βίαιοι, αἱ δὲ φυσικαὶ ἀλλοιώσεις, εἰ τὸ ὑγιάζεσθαι μὴ ἐν κρισίμοις ἡμέραις ἀλλοιοῦσθαι παρὰ φύσιν ἐστίν, τὸ δὲ ἐν κρισίμοις ὑγιάζεσθαι κατὰ φύσιν. ἔσονται δὴ ἐναντίαι καὶ φθοραὶ ἀλλήλαις καὶ φθορὰ γενέσει, καὶ οὐδὲν κωλύει· οὐ γὰρ κατὰ ταὐτὸν ἡ φθορὰ γενέσει τε ἀντίκειται καὶ φθορᾷ, ἀλλὰ καθὸ μὲν φθορά, γενέσει μόνον ἐστὶν ἐναντία, καθὸ δὲ τοιαύτη φθορὰ καὶ κατὰ φύσιν τῇ παρὰ φύσιν· καὶ γὰρ εἰ τὴν μὲν ἡδεῖαν εἶναι, τὴν δὲ λυπηρὰν συμβέβηκεν, εἴη ἂν καὶ κατὰ τοῦτο αὐταῖς ἐναντίωσις. οὐ δεῖ δὲ ὑπολαμβάνειν ἕτερον τρόπον ἀντιθέσεως εἶναι τὸ νῦν εἰρημένον, ἀλλ' ἃς ἐθέμεθα ἤδη κινήσεις τε καὶ μονὰς ἐναντίας καὶ καθ' ὃν ἐθέμεθα τρόπον, αὗται διανέμονται τὸ κατὰ φύσιν καὶ παρὰ φύσιν, οἷον ἐναντίαν ἂν εἴποιμεν εἶναι φορὰν τὴν ἄνωθεν κάτω τῇ κάτωθεν ἄνω. τούτων τοίνυν ἡ μὲν κατὰ φύσιν τῷ πυρί, ἡ δὲ παρὰ φύσιν ἐστί, καὶ ἔμπαλιν τῇ γῇ, καὶ μονὴν δὲ ὡσαύτως. ἐπεὶ γὰρ τὴν ἄνω μονὴν τῇ ἄνωθεν κινήσει διωρισάμεθα ἀντικεῖσθαι, γίνεται καὶ τούτων τῇ γῇ ἡ μὲν ἄνω μονὴ παρὰ φύσιν, ἡ δὲ ἄνωθεν κίνησις κατὰ φύσιν, ὥστε καὶ κίνησις ἐναντία κινήσει ἐστίν, τουτέστιν ἡ κατὰ φύσιν τῇ παρὰ φύσιν, καὶ μονὴ ἐναντία κινήσει, ἡ τοῦ αὐτοῦ παρὰ φύσιν

---

3 *ἀντίκειται* libri 7 *εἰ*] *ἢ* libri. Arist. *οἷον* 9 *ἐναντία* A 12 *καὶ* om V 14 *τὴν φύσιν τὴν παρὰ* V 15 *εἴη* om libri 20 *ἂν* om libri

*τῇ κατὰ φύσιν· ἀλλ' οὐ τοῖς αὐτοῖς ἀλλ' ἄλλῳ καὶ ἄλλῳ, οἷον ἐναντίαι κινήσεις εἰσὶν ἡ ἄνωθεν κάτω τῇ κάτωθεν ἄνω, καὶ ἄμφω γε κατὰ φύσιν ἡ μὲν πυρί, ἡ δὲ γῇ. ἀλλ' εἰ τοῦ κινουμένου ποθὲν ποὶ τὸ μὲν ἐκεῖσέν ἐστιν ἐξ οὗ κινεῖται, τὸ δὲ εἰς ὃ κινεῖται, ἐναντία δὲ ἡ ἐν ἐκείνῳ μονὴ τῇ ἐξ ἐκείνου κινήσει, πῶς οὐχ ἅμα περὶ ταὐτὸν τἀναντία; λύειν γὰρ οὐ χαλεπόν· ἢ γὰρ ὅτι μὴ κατὰ ταὐτὸν τἀναντία, ἀλλὰ κατ' ἄλλο μὲν ἐν ἐκείνῳ μένει, κατ' ἄλλο δὲ ἐξ ἐκείνου κινεῖται· οὐ γὰρ ἀμερές ἐστιν τὸ κινούμενον ὡς δειχθήσεται, ἢ ὅτι μηδὲ ἐναντία κυρίως κίνησις καὶ μονή, ἀλλὰ κίνησις μᾶλλον κινήσει. καὶ περὶ μὲν τῶν ἀντιθέσεων τῶν ἐν ταῖς κινήσεσιν καὶ ταῖς ἠρεμίαις ἱκανῶς εἴρηται.*

---

9 *μένομεν* libri  10 *ἀμερόν* libri. conf. Simplic. fol. 214 b.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ ΕΚΤΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

*Εἰ δὲ συνεχῆ μὲν ὧν τὰ ἔσχατα ἕν ἐστιν, ἁπτόμενα δὲ ὧν ἄμεσα, ἀδύνατον ἐξ ἀδιαιρέτων εἶναί τι συνεχές, οἷον γραμμὴ ἐκ στιγμῶν, εἴπερ ἡ γραμμὴ μὲν συνεχής, ἡ στιγμὴ δὲ ἀδιαίρετος. δεῖ μὲν γὰρ τὰς στιγμὰς ἢ ὅλως ὁποῖ' ἄττα ἂν ὑπόθηταί τις τὰ ἀδιαίρετα, πρῶτον ἀλλήλων ἅπτεσθαι δύνασθαι, εἰ μέλλοι τότε καὶ συμφύεσθαι· αὕτη γὰρ ἦν ἡ γένεσις τῶν συνεχῶν. πῶς δὲ ἔσται ἅμα τὰ ἔσχατα ὧν οὐδὲν ἔσχατον; οὐ γὰρ οὐδὲν ἔσχατον τοῦ ἀμεροῦς· ἕτερον γὰρ τὸ ἔσχατον καὶ οὗ ἔσχατον, ὧν δὲ οὐχ οἷόν τε ἅμα γίνεσθαι τὰ ἔσχατα, πῶς οἷόν τε ἓν ἐξ αὐτῶν ἔσχατον γίνεσθαι; καὶ γάρ τινι περιττεύει μέρει τοῦ ἐσχάτου τούτου τὰ ἀμερῆ συντιθέμενα· ἡ γὰρ ἀφὴ τοὺς ὄγκους αὐτῶν ὅλους καταναλώσει· οὐ γὰρ δήπου μέρεσιν ἢ πέρασιν ἅπτεται ἀλλήλων τὰ ἀμερῆ, ἀλλ' ἅμα ὅλοις ἐνδύσεται καὶ ὅλα δι' ὅλων χωρήσει, εἴπερ ὅλα δεῖ καλεῖν ὧν μηδὲν μόριον. οὐκοῦν οὐδὲ ἡ σύνθε-*

---

5 ἄμεσα] ἅμα Aristot. 6 fort. γραμμὴν 10 τότε abundat, num ποτὲ?

*σις αὐτῶν ποιήσει τι μέγεθος περιττόν, ὥστε διαιρεῖσθαι εἰς ἄλλο καὶ ἄλλο μέρος· οὐ γὰρ ἂν τόπος ἔσται μείζων τῶν παμμυρίων συντιθέντων μὴ ἑνὸς κατ᾽ αὐτό· οὐδὲ γὰρ προσοίσει διάστημα τὸ προστιθέμενον τῷ προλαβόντι, καίτοι παντὸς μεγέθους συνεχοῦς μείζων ὁ τόπος τοῦ ὅλου ἢ τῶν μορίων ἑκάστου· ἔτι δὲ εἰ τὰ μόρια τῶν συνεχῶν κεχώρισται ἀλλήλων τῷ τόπῳ, καὶ τὸ μὲν ἐνθαδὶ ἀνάγκη εἶναι, τὸ δὲ ἐνθαδί, οἷον ἐπὶ γραμμῆς, ἡ δὲ σύνθεσις τῶν ἀμερῶν οὐδὲν ποιεῖ μέγεθος, πῶς ποιήσει μόρια κεχωρισμένα τῷ τόπῳ; ἀλλ᾽ ἴσως τὸ μὲν ἅπτεσθαι ἀλλήλων τὰ ἀμερῆ ἢ ἀλλήλοις γίνεσθαι συνεχῆ καὶ οὕτως ποιεῖν τι μέγεθος συνεχές, ἄτοπον ὑποτίθεσθαι δι᾽ ἃς εἴπομεν δυσχερείας, ἐφεξῆς δὲ ἀλλήλοις οὐδὲν κωλύει γίνεσθαι τὰ ἀδιαίρετα, οἷον στιγμὴ καὶ τὸ νῦν ἐφεξῆς εἶναι τῷ νῦν, ὥστε καὶ τὸ μέγεθος καὶ τὸν χρόνον συγκεῖσθαι μὲν ἐκ τῶν ἀμερῶν, οὔτε δὲ ἁπτομένων οὔτε συνεχομένων ἀλλήλοις, ἵνα μὴ τὰς ἐκ τῶν ἐσχάτων ἀπορίας ἀναδεχώμεθα. ὁ δὲ τοιοῦτος λόγος πρῶτον μὲν οὐδὲν ποιεῖ μέγεθος συνεχές, ἀλλὰ πάντα ἐκ διωρισμένων καθάπερ τὸν ἀριθμόν, ἔπειτα οὐδὲ αὐτὸ τοῦτο δυνατὸν ὑποτίθεσθαι. σκόπει δὲ οὕτως· ἤτοι γὰρ οὐδὲν παντελῶς ἔσται μεταξὺ τῶν ἐφεξῆς κειμένων σημείων, ἢ ἔσται μεταξύ. εἰ μὲν τοίνυν οὐδὲν παντελῶς, πάλιν ἅπτοιντο ἂν ἀλλήλων τὰ ἀμερῆ· οὐδὲν γὰρ αὐτὰ* fol. 52b. *παρεγκείμενον κωλύσει· εἰ δὲ ἔσται τι μεταξύ, τί τοῦτ᾽ ἂν εἴη, σκεψώμεθα· ἐπεὶ γὰρ τὸ κενὸν ἀνῃρή-*

---

2 nam neque is locus amplior fuerit in quo infinita indivisibilia coniungantur, quam is in quo sit unum. Hermolaus Barbarus. 4 *προτιθέμενον* libri 16 *στιγμὴ*] fort. *στιγμὴ στιγμῆς — τοῦ νῦν*, vid. Arist. p. 231 b. 7.

κασιν ἡμῖν οἱ πρότεροι λόγοι, δῆλον ὡς εἴπερ ἔσται τι μεταξὺ τῶν ἐφεξῆς ἀλλήλοις σημείων, ἢ σῶμα τοῦτο ἔσται ἢ ἐπιφάνεια ἢ γραμμή· καὶ δῆλον ὅτι γραμμή· γραμμὴ γὰρ ἀεὶ σημείων μεταξύ, ἀλλ' ἐπεὶ δυνατόν, μᾶλλον δὲ ἀναγκαῖόν ἐστιν ἐν ἁπάσῃ γραμμῇ σημεῖον λαβεῖν, λάβοις ἂν καὶ ἐπὶ τῆς μεταξὺ τῶν σημείων ἄλλο σημεῖον, ὃ αὐτὸ γίνεται μεταξύ. πῶς οὖν ἐκεῖνά ἐστιν ἐφεξῆς ὧν σημεῖον ἕτερον μεταξύ; ὥστε δυοῖν θάτερον, ἢ ἅπτεσθαι ἀλλήλων τὰ ἀμερῆ ἢ μηδὲ ἐφεξῆς εἶναι· εἰ δὲ ἀμήχανον ἅπτεσθαι, ἀμήχανον εἶναι καὶ ἐφεξῆς. οὐδὲ κατὰ τοῦτον οὖν τὸν τρόπον δυνατὸν συγκεῖσθαί τι μέγεθος ἐξ ἀμερῶν. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων κἀκεῖνο, ὅτι πᾶν μέγεθος συνεχὲς διαιρετὸν εἰς ἀεὶ διαιρετά. καὶ γὰρ τοῦτο ἐκ συλλογισμοῦ τις ἂν συνάγοι· πᾶν γὰρ μέγεθος συνεχὲς ἢ διαιρετὸν ἢ ἀδιαίρετον. οὐκ ἀδιαίρετον δέ, πῶς γὰρ ἂν ἔτι μέγεθος εἴη καὶ συνεχές; ὥστε διαιρετόν. πᾶν τοίνυν διαιρετὸν εἰς ἀεὶ διαιρετὰ ἢ εἰς ἀδιαίρετα. ἀλλ' οὐκ εἰς ἀδιαίρετα· καὶ γὰρ ἐξ ἀδιαιρέτων συγκέοιτο ἂν ὅπερ ἀδύνατον ἀπεδείχθη, εἰς ἀεὶ τοίνυν διαιρετά. ἔτι εἰ μέγεθος ἐξ ἀμερῶν, καὶ γραμμὴν μείζω σημείῳ γραμμῆς δυνατὸν γενέσθαι, ἀλλ' εἰ τοῦτο, δίχα διαιρεθήσεται τὸ σημεῖον. εἰ γὰρ πᾶσα γραμμὴ δίχα διαιρετή, καὶ ἡ μείζων σημείῳ καὶ ἡ ἐλάττων. ὅταν τοίνυν ἡ μείζων τέμνηται δίχα, καὶ τὸ σημεῖον δίχα τμηθήσεται, καὶ ὅλως ἡ ἐκ περισσῶν στιγμῶν συγκειμένη, καὶ κύκλος δ' ἂν εἴη τις ἐκ περισσῶν σημείων συγκείμενος. πῶς οὖν οὗτος διαιρεθήσεται

---

9 ὥστε — ἐφεξῆς εἶναι om A 21 ex Eudemo ap. Simpl. fol. 217 b.

δίχα; οἴχεται δὲ καὶ τὸ τῇ διαμέτρῳ δίχα τέμνεσθαι τὸν κύκλον, μᾶλλον δὲ οὐδὲ ὅλως ἔσται διάμετρος· τὸ γὰρ κέντρον ἀμερὲς ὑποκείμενον τὴν δι᾽ αὐτοῦ γραφομένην εὐθεῖαν οὐ παραδέχεται, ὥστε εἰς δύο γενέσθαι. οὐκοῦν οὐδ᾽ ἡμικύκλιον ἔσται, ἀλλὰ τὸ κέντρον ἀεὶ θατέρῳ μέρει τοῦ κύκλου προσνεμόμενον ἐν τῇ τομῇ μεῖζον ἐκεῖνο ποιήσει. πολλὰ ἕτερα ἂν τις προσεπιλάβοι τὰ Ἀριστοτέλους ἐξεργάσασθαι φιλοτιμούμενος. ἔτι πρὸς τούτοις εἰ συγκεῖσθαί τι μέγεθος δυνατὸν ἐξ ἀδιαιρέτων καὶ ἀμερῶν, ἀνάγκη καὶ τὴν ἐπὶ τούτοις κίνησιν ἐξ ἀμερῶν συγκεῖσθαι κινήσεων· ἀκολουθεῖ γὰρ ὥσπερ καὶ πρότερον ἀπεδείχθη, τῷ μεγέθει ἡ κίνησις ἐφ᾽ οὗ γίνεται, καὶ ὥσπερ εἰ τὸ μέγεθος συνεχές, καὶ αὕτη συνεχής, οὕτως εἰ τὸ μέγεθος ἐκ διωρισμένων καὶ ἀμερῶν, καὶ αὕτη τοιαύτη. ἵνα δὲ καὶ ἐκδηλοτέρα γένηται τῆς ἀκολουθίας ταύτης ἡ ἀνάγκη, ὑποκείσθω τὸ μέγεθος ἐκ τριῶν συγκείμενον ἀμερῶν α̅ β̅ γ̅, κινούμενον δὲ ἐπὶ τοῦ μεγέθους τούτου τὸ ω̅ κίνησιν ἧς σημεῖα τὸ δ̅ ε̅ ζ̅. ἔσται τοίνυν ἡ δ̅ ε̅ ζ̅ κίνησις ἐκ τριῶν ἀμερῶν καὶ αὐτὴ συγκειμένη κινήσεων· ἕκαστον γὰρ αὐτῆς μόριον ὁμοίως ἀμερὲς ἔσται τῷ ἐφ᾽ οὗ γίνεται. εἰ γὰρ τὴν ἐπὶ τοῦ α̅ κίνησιν διαιρετήν τις εἶναι βιάζοιτο, καὶ τὸ α̅ ποιήσει διαιρετόν· συνδιαιρεῖται γὰρ ἀεὶ τῇ κινήσει τὸ διάστημα. ἔσται τοίνυν καὶ τὸ ἥμισυ τῆς κινήσεως ἐφ᾽ ἥμισυ τοῦ α̅, ἀλλ᾽ ὑπόκειται ἀδιαίρετον εἶναι τὸ α̅. ὅτι μὲν οὖν ἐξ ἀνάγκης ἀκολουθεῖ τῷ τὸ μέγεθος ἐξ ἀμερῶν συντιθέντι τὸ ποιεῖν καὶ τὴν κίνησιν ἐξ ἀδιαιρέτων κι-

---

8 Ἀριστοτέλη A 12 ἐπεδείχθη libri 16 ἐκδηλότερον A 29 τὴν κίνησιν τινὰ A

νήσεων, ἀποδέδεικται· ὅτι δὲ ἀμήχανον κίνησίν τινα ἐξ ἀδιαιρέτων εἶναι κινήσεων, λέγομεν πάλιν. φανερὸν τοίνυν ὅτι τὸ κινεῖσθαι παρουσίᾳ κινήσεως γίνεται, καὶ ὅπως ἂν ἔχῃ ἡ κίνησις, οὕτως ἔχει καὶ τὸ κινεῖσθαι. εἰ τοίνυν ἡ κίνησις ἀδιαίρετος γινομένη ἐπὶ τοῦ $\overline{α}$, ἀδιαίρετον ἔσται καὶ τὸ κινεῖσθαι ἐπὶ τοῦ $\overline{α}$· τοῦτο δὲ ἀμήχανον, ὥστ' οὐδὲ ἡ κίνησις ἀδιαίρετος. πῶς οὖν ἀμήχανον ἀδιαίρετον εἶναι τὸ ἐπὶ τοῦ $\overline{α}$ κινεῖσθαι; ἀνάγκη τὸ κινούμενον ποθέν ποι μὴ ἅμα κινεῖσθαι καὶ κεκινῆσθαι οὗ ἐκινεῖτο, τουτέστιν ἅμα πορεύεσθαι Θήβαζε καὶ πεπορεῦσθαι καὶ εἶναι ἐν Θήβαις, καὶ ἅμα βαδίζειν εἰς Πειραιᾶ καὶ εἶναι καὶ βεβαδικέναι εἰς Πειραιᾶ. ἀλλὰ πρῶτον μὲν τὸ εἰς Θήβας πορεύεσθαι τοῦ ἐν Θήβαις εἶναι, τὸ δὲ εἰς τὸν Πειραιᾶ βαδίζειν τοῦ ἐν τῷ Πειραιεῖ γεγονέναι. τοῦτο τοίνυν ἐπὶ τοῦ αὐτοῦ ἀμεροῦς πῶς ὑπάρξει, ὅταν κινῆται ἐπ' αὐτοῦ τὸ $\overline{ω}$ τῆς $\overline{δ}$ αὐτῷ κινήσεως παρούσης ἣν ἀδιαίρετον ὑπεθέμεθα· ἀμήχανον γὰρ ἐπὶ τοῦ ἀμεροῦς πρότερον εἶναι τὸ κινεῖσθαι τοῦ κεκινῆσθαι καὶ τὸ πορεύεσθαι τοῦ πεπορεῦσθαι· διαιρετὴ γὰρ ἂν οὕτως ἡ κίνησις εἴη. πῶς δὲ ὅλως ὑπάρξει τὸ κινεῖσθαι, εἰ τὸ μὴ ἠρεμεῖν ἐστὶ μήτε κεκινῆσθαι καὶ μήτε ἐν ἐκείνῳ εἶναι ἐξ οὗ κινεῖται μήτε ἐν τούτῳ ἐφ' ὃ κινεῖται· εἴτε γὰρ ἐν ἐκείνῳ, ἠρεμοίη ἄν, εἴτε ἐν τούτῳ, οὐκέτ' ἂν ἐπ' αὐτοῦ κινοῖτο. ἐν τῷ μεταξὺ ἄρα τοῦ ἀφ' οὗ καὶ ἐφ' ὅ. διαιρετὴ ἄρα καὶ ἡ κίνησις καὶ τὸ μέγεθος, ὥστε δυοῖν θάτερον ἀναγκαῖον, ἢ τὰ ἀμερῆ ποιεῖν πάλιν διαιρετά, ἢ τὴν θέσιν ταύτην φυλάττοντας περι-

2 fort. λέγωμεν 10 ἐκινεῖτο] ἐκινεῖτο ὅτε ἐκινεῖτο Arist. 13 πρῶτον etiam Simpl. fol. 218. malim πρότερον τὸ μὲν 17 ω] β V

*πίπτειν ἐκείνῳ τῷ ἀδυνάτῳ τῷ τὸν βαδίζοντα εἰς τὸν Πειραιᾶ ἐν αὐτῷ τῷ βαδίζειν βεβαδικέναι εἰς Πειραιᾶ, καὶ τὸν ἀπιόντα εἰς Μέγαρα ἐν αὐτῷ τῷ ἀπιέναι ἀπεληλυθέναι εἰς Μέγαρα. ἀλλ' ὁ σοφώτατος ἡμῖν Ἐπίκουρος οὐκ αἰσχύνεται χρῆσθαι φαρμάκῳ τῆς νόσου χαλεπωτέρῳ, καὶ ταῦτα Ἀριστοτέλους τὴν μοχθηρίαν τοῦ λόγου προεπιδείξαντος. ἐπὶ μὲν γὰρ τῆς ὅλης τῆς α β γ κινεῖταί, φησιν, τὸ κινούμενον, ἐφ' ἑκάστου δὲ τῶν ἀμερῶν ἐξ ὧν σύγκειται, οὐ κινεῖται, ἀλλὰ κεκίνηται· εἶτ' οὐκ αἰσθάνεται περιπίπτων ἀναριθμήτοις τισὶν ἀτοπίαις, πρῶτον μὲν ὅτι τὴν κίνησιν τὴν ἐφ' ὅλης τῆς α β γ συντίθησιν οὐκ ἐκ κινήσεων, ἀλλ' ἐκ περάτων κινήσεως καὶ τοῦ κεκινῆσθαι· ἡ γὰρ ὅλη κίνησις δ ε ζ οὐχ ἕξει κίνησιν τὰ μόρια, τὸ δ καὶ τὸ ε καὶ τὸ ζ· κεῖται γὰρ οὐ κινεῖσθαι καθ' ἑκάστην τούτων, ἀλλὰ κεκινῆσθαι· ἔπειθ' ὅτι τὸ κεκινῆσθαί φησιν ἀληθὲς ἐφ'* fol. 53. *οὗ μηδέποτε τὸ κινεῖσθαι γέγονεν ἀληθές, καὶ τὸ διεληλυθέναι ὑπάρχειν ᾧ μὴ πρότερον τὸ διιέναι, καὶ τὸ βεβαδικέναι ᾧ μὴ πρότερον τὸ βαδίζειν, καὶ ὅλως τὸ παρῳχημένον ἀληθὲς οὗ τὸ ἐνεστὼς οὐδέποτ' ἂν ἀληθές· ἔτι δὲ εἰ πᾶν τὸ κινεῖσθαι πεφυκός, ὅτε πέφυκεν, ἤτοι κινεῖται ἐξ ἀνάγκης ἢ ἠρεμεῖ, μὴ κινεῖται τὸ ω κατὰ τὸ α, δῆλον ὅτι ἠρεμεῖ ἐν τῷ α, ὁμοίως δὲ καὶ ἐν τῷ β, ὁμοίως δὲ καὶ ἐν τῷ γ· ἀλλὰ καὶ κεῖται κινεῖσθαι ἐπὶ τῆς συγκειμένης ἐκ τῶν α β γ, ὥστε κατὰ πᾶν μέρος ἠρεμοῦν τῆς α β γ πᾶσαν οὐδὲν ἧττον διήξει. ὅλως δὲ εἰ μὲν ἐφ' ἑκάστου τῶν ἀμερῶν κίνησις ὑπάρξει τῷ ω, πῶς ἔχον*

---

5 *Ἐπίκουρος*] vid. Simplic. fol. 218 b. *αἰσχύνεσθαι* A
23 scrib. *μὴ κινεῖται δὲ*

κίνησιν οὐ κινήσεται; εἰ δ' οὐχ ὑπάρξει κίνησις ἀλλ' ἠρεμία, ἐξ ἠρεμίας ἡ κίνησις συντεθήσεται. ἔτι καὶ τὸν χρόνον ἀναγκαῖόν ἐστιν ἐξ ἀδιαιρέτων συγκεῖσθαι, εἰ τὸ μέγεθος ἐξ ἀμερῶν· εἰ γάρ τις μέγεθος μὲν ἀμερὲς ὑποτίθοιτο, μηκέτι δὲ χρόνον τινὰ ἀμερῆ, ἀλλὰ πάντα διαιρεῖσθαι δυνάμενον, οὗτος πάλιν προήσεται καὶ τὴν τοῦ μεγέθους ἀμέρειαν· ὁμολογεῖται γὰρ ὅτι πᾶν τὸ ἰσοταχὲς ἐν τῷ ἐλάττονι χρόνῳ ἔλαττον κινεῖται διάστημα. εἰ τοίνυν καὶ οὗτος ὁ χρόνος εἴη διαιρετὸς ἐν ᾧ κινεῖταί τι κατὰ ἀμεροῦς καὶ ἐλαχίστου, δῆλον ὡς ἐν τῷ μέρει τοῦ χρόνου τούτου μέρος τι τοῦ ἐλαχίστου διήξει. ἀνάγκη τοίνυν καὶ χρόνους ἀμερεῖς ὑποτίθεσθαι τῷ συντιθέντι τὸ μέγεθος ἐξ ἀμερῶν.

2

Ὁ δὲ ἀμερεῖς ὑποτιθέμενος χρόνους διαφθείρει τὸ θᾶττον καὶ βραδύτερον, πράγματα ἐν ὀφθαλμοῖς ὄντα καὶ πᾶσι γνώριμα. τίς γάρ ἐστιν ὃς οὐκ οἶδεν, ὅτι ταχύτερος ἵππος χελώνης, καὶ ἅρματος ἅμαξα βραδυτέρα; καὶ εἰ δέ τινα τῶν πολλῶν ἐπανέροιο, τί δήποτε ταχύτερον λέγεται τῆς ἁμάξης τὸ ἅρμα, ἀποκρίνοιτο ἂν οὐ δεηθεὶς τῆς Ἐπικούρου σοφίας, ὅτι τὸ μὲν ἅρμα ὥρᾳ μιᾷ σταδίους ἂν διέλθοι τριάκοντα, τὴν ἅρμαξαν δὲ ἐν τρισὶν ἢ τέτρασιν ὥραις τοὺς αὐτοὺς ἀνύσαι σταδίους. ἐν ᾧ γὰρ οἱ ἵπποι τοὺς λ̄ διαθέουσιν, οἱ βόες μόλις ἂν ἑπτὰ πορευθεῖεν· ποίας γὰρ ταῦτα σοφίας εἰδέναι, ὅτι τὸ μὲν θᾶττον ἐν ἐλάττονι χρόνῳ δίεισι τὸ ἴσον διάστημα, τὸ δὲ βραδύτερον ἐν τῷ ἴσῳ χρόνῳ ἔλαττον διαπορεύεται μῆκος, ὥσπερ ἐγὼ καὶ οἱ ἐμοὶ παῖδες τὴν αὐτὴν ὁδὸν τὴν

---

19 βραδύτερον V

ἐκ Νικαίας εἰς τὴν πατρίδα, ἐγὼ μὲν ἀπήνην δημοσίαν ἔχων, οἱ δὲ ἅμαξαν, οὐκ ἐν ἴσῳ διηνύσαμεν χρόνῳ, ἀλλ' ἐγὼ μὲν ἐν δύο νυχθημέροις, οἱ δὲ ἐν τέτρασιν. ταῦτα τοίνυν οὕτως ὄντα ἐναργῆ καὶ πρὸ ὀφθαλμῶν πᾶσιν ἀνθρώποις ἀπολλύουσι προϊόντα ἢ διαφθείρουσιν οἱ χρόνους ἀμερεῖς καὶ ἐλαχίστους ὑποτιθέμενοι. σκόπει δέ· εἰ γάρ ἐστιν ἐλάχιστος καὶ ἀμερής τις χρόνος, πότερον ἐν αὐτῷ κινεῖσθαι δυνατὸν ἢ ἀδύνατον; εἰ μὲν γὰρ ἀδύνατον, ἀδύνατον καὶ ἐν τῷ ἐξ αὐτοῦ συγκειμένῳ· οὗ γὰρ ἐν οὐδενὶ μορίῳ κινεῖσθαι δυνατόν, πῶς ἔσται δυνατὸν ἐν τῷ ὅλῳ; εἰ δὲ δυνατὸν ἐν ἀμερεῖ χρόνῳ κινεῖσθαι, δυνατὸν δήπου καὶ βραδύτερον ἐν αὐτῷ καὶ θᾶττον κινεῖσθαι, καὶ οὐ λέγω πάντως ταὐτὸ κινούμενον, ἀλλ' ἄλλο καὶ ἄλλο. εἰ τοίνυν προσπαίζων ἡμῖν ὁ λόγος ὑπόθοιτο χελώνην ἐν τῷ οὐρανῷ κινουμένην ἢ ἕτερον βραδὺ χελώνης παραπλησίως, τοῦτο δήπου καὶ αὐτὸ κινηθήσεται ἐν τῷ ἀμερεῖ χρόνῳ καὶ ἐλαχίστῳ, κινούμενον δὲ ἐξανύσει ποσόν τι πάντως διάστημα. ἆρ' οὖν τὸ διάστημα τοῦτο τὸ βραχύ, τὸ σμικρόν, τὸ ὁπόσον ἂν ἐθέλῃς, ὁ ταχύτατος ἥλιος ὁ τὸ πτηνὸν ἅρμα ἐλαύνων, καὶ οὗτος ἐν ἀμερεῖ χρόνῳ διάξει ἢ ἐν ἐλάττονι τοῦ ἀμεροῦς; εἰ μὲν τοίνυν ἐν ἀμερεῖ, τὴν χελώνην ποιοῦσιν ἰσοταχῆ τῷ ἡλίῳ· ἰσοταχὲς γὰρ τὸ ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἴσον ἀνύον διάστημα. εἰ δὲ ἐν ἐλάττονι τοῦ ἀμεροῦς, οὐκέτι φυλάττουσιν ἐλάχιστόν τινα χρόνον. πρὸς μὲν οὖν τὴν ὑπόθεσιν τὴν τοιαύτην καὶ ταῦτα ἐξήρκει, ἡμεῖς δὲ ἐπὶ πλέον ἐπεξέλθωμεν τῷ λόγῳ· γένοιτο γὰρ ἂν οὕτως φανερώτερον τὸ μήτε χρόνον ἐξ ἀμερῶν μήτε μέγεθός τι συγκεῖ-

24 τὸ ἐν om libri; tum ἀνύων legitur.

σθαι. ἐπεὶ γὰρ ἀναγκαῖον ἐν ἐλάττονι χρόνῳ τὸν ἵππον τῆς χελώνης ταὐτὸ ἀνύειν διάστημα, ὑποκείσθω ταχύτερόν τι καὶ βραδύτερον, ταχύτερον μὲν τὸ α̅, βραδύτερον δὲ τὸ β̅, καὶ κινείσθω τὸ βραδύτερον, τουτέστι τὸ β̅, τὴν γ̅δ̅ εὐθεῖαν τῷ ζ̅η̅ χρόνῳ. δῆλον τοίνυν ὅτι τὸ θᾶττον, λέγω δὲ τὸ α̅, ἐν ἐλάττονι χρόνῳ τοῦ ζ̅η̅ ταὐτὸν κινηθήσεται μῆκος, λέγω δὲ τὴν γ̅δ̅ εὐθεῖαν. κεκινήσθω τοίνυν ἐν τῷ ζθ. πάλιν δὲ ἐπειδὴ τὸ θᾶττον τὸ α̅ ἐν τῷ ζ̅θ̅ διελήλυθεν τὴν ὅλην, τὸ βραδύτερον τὸ β̅ ἐν τῷ αὐτῷ χρόνῳ τὴν ἐλάττω τῆς γ̅δ̅ διεξίτω τὴν γ̅κ̅. ἐπεὶ τοίνυν τὸ βραδύτερον ἐν τῷ ζ̅θ̅ χρόνῳ τὴν γ̅κ̅ διῄει, τὸ θᾶττον ἐν τῷ ἐλάττονι χρόνῳ τὴν γ̅κ̅ διεξῄει, ὥστε πάλιν τὸ ζ̅θ̅ ὁ χρόνος διαιρεθήσεται· τὸ γὰρ α̅ τὴν γ̅κ̅ ἐν τῷ ζ̅θ̅ χρόνῳ διαπορεύεται. τὸ β̅ τοίνυν ἐν τῷ αὐτῷ τούτῳ χρόνῳ οὐκέτι τὴν γ̅κ̅, ἀλλ' ἐλάττω τῆς γ̅κ̅, τὴν γ̅ μόνον. νοήσομεν τοίνυν ὡς ἀεὶ τὸ θᾶττον ἡμῖν καὶ βραδύτερον μεταλαμβάνουσι καὶ τῷ ὑποδεδειγμένῳ τρόπῳ χρωμένοις τῆς μεταλήψεως τὸ μὲν θᾶττον ἀεὶ διαιρήσει τὸν χρόνον, τὸ βραδύτερον δὲ ἀεὶ διαιρήσει τὸ μέγεθος. τὸ μὲν γὰρ θᾶττον ἀεὶ τὴν αὐτὴν εὐθεῖαν ἐν τῷ ἐλάττονι χρόνῳ, τὸ βραδύτερον δὲ ἐν τῷ αὐτῷ χρόνῳ τὴν ἐλάττονα εὐθεῖαν διήξει, ἀεὶ δὲ οὔσης δυνατῆς τῆς μεταλήψεως. ἀεὶ γὰρ δυνατὸν τὸ θᾶττον νοεῖν καὶ τὸ βραδύτερον, ἀεὶ καὶ τὸν χρόνον καὶ σὺν τῷ χρόνῳ τὸ μέγεθος διαιρεῖν δυνησόμεθα· ἀκολουθεῖ γὰρ ταῦτα ἀλλήλοις, λέγω δὲ ἥ τε τοῦ μεγέθους διαίρεσις καὶ ἡ τοῦ χρόνου, καὶ εἰ διαιρετὸς ὁ χρόνος καὶ ὁσάκις διαιρετός, διαιρετὸν καὶ τὸ μέγε-

---

7 τοῦ] libri τῷ 13 τὴν γ̅κ̅ διεξῄει — τούτῳ χρόνῳ om A. fort. ἐν τῷ ἐλάττονι τοῦ ζ̅θ̅ χρόνῳ διαπορεύεται.

θος καὶ τοσαυτάκις. καὶ τοῦτο μάλιστα ἐκ τῶν ἰσοταχῶς κινουμένων γνώριμον γίνεται· ἀεὶ γὰρ ἐν ἡμίσει χρόνῳ τὸ ἥμισυ δίεισι μέγεθος, καὶ ἐν τῷ τριτημορίῳ τὸ τριτημόριον, καὶ ἐν τῷ πολλοστημορίῳ τὸ πολλοστημόριον, ὥστ' εἰ τὸν χρόνον ἄπειρον καὶ τὸ μέγεθος· συμπαρεκτείνεται γὰρ ὁ τῆς κινήσεως χρόνος τῷ διαστήματι ἐφ' οὗ τὸ συνεχῶς κινούμενον fol. 53b. μεταβαίνει καὶ διὰ τοῦτο καθ' ὃν ἂν τρόπον ὁ χρόνος τὸ ἄπειρον ἔχῃ, κατὰ τὸν αὐτὸν ἕξει καὶ τὸ διάστημα, εἰ μὲν ἀδιεξίτητος καὶ ἀτελεύτητος καὶ μηδὲν ἔσχατον ἔχων, ὡς ἀδιεξίτητον καὶ τὸ μῆκος, εἰ δὲ τῷ διαιρεῖσθαι καὶ τέμνεσθαι, πάλιν καὶ τὸ μῆκος παραπλησίως, εἰ δὲ ἐν ἀμφοῖν, ἐν ἀμφοῖν καὶ τὸ μέγεθος.

Τοῦτο δὲ ἀγνοεῖ Ζήνων ἢ προσποιεῖται, ὅταν οἴηται τὴν κίνησιν ἀναιρεῖν ἐκ τοῦ μὴ δυνατὸν εἶναι λέγειν ἐν πεπερασμένῳ τῷ χρόνῳ τὰ ἄπειρα διελθεῖν τὸ κινούμενον καὶ ἅψασθαι τὸ α ἄπειρον καὶ καθ' ἕκαστον, εἰ τὸ μὲν μῆκος τὸ ποδιαῖον εἰς ἄπειρα διαιρετὸν καὶ ἐπ' ἄπειρον, ὁ δὲ χρόνος τῆς κινήσεως τῆς ἐπ' αὐτῷ πεπερασμένος. οἱ γὰρ ἐπὶ τοῦ σταδίου κυλιόμενοι τροχοὶ τῶν ἁρμάτων οὐδὲν δήπου φησὶ παραλείπουσιν τῆς διαιρέσεως τοῦ σταδίου, ἀπείρου δὲ οὔσης αὐτῆς καὶ τῶν ἐπ' αὐτῆς γιγνομένων μερῶν, πῶς ἄπειρα διαθέουσιν ἐν χρόνῳ πεπερασμένῳ; τοῦτο γὰρ αὐτῷ τὸ ἀδύνατον ἠκολούθησεν ἐκ τοῦ μὴ κατιδεῖν ἢ μὴ ἐθελῆσαι, ὅτι διχῶς λέγεται ἄπειρον καὶ μῆκος καὶ χρόνος καὶ πᾶν ὅλως τὸ συνεχὲς ἢ τῷ διαιρεῖσθαι ἐπ' ἄπειρον ἢ τῷ μηδὲν ἔσχατον ἔχειν μηδὲ πέρας τι τοῦ μεγέθους. τὸ μὲν οὖν τοιούτου

5 fort. ὥστε τὸν vel ὥστ' εἰ ὁ χρόνος ἄπειρος, ἄπειρον 9 ἔχει A 18 fort. τῶν ἀπείρων καθ' ἕκαστον

μήκους τοῦ κατὰ τὸ τηλίκον ἀπείρου φαίην ἂν ὡς οὔτε ἅψασθαι παντὸς δυνατόν, οὐδὲ πᾶν διελθεῖν ἐν χρόνῳ πεπερασμένῳ, τοῦ δὲ ὡρισμένου μὲν κατὰ τὸ τηλίκον, κατὰ δὲ τὴν τομὴν καὶ διαίρεσιν ἀπείρου καὶ δυνάμει ἀπείρου, οὐκ ἐνεργείᾳ, ἐνδέχοιτ᾽ ἂν ἐν πεπερασμένῳ χρόνῳ καὶ ἅπτεσθαι παντὸς καὶ διελθεῖν. καὶ γὰρ αὐτὸς οὗτος ὁ χρόνος πεπέρανται ἐν τῷ πηλίκῳ, ἄπειρος δέ ἐστιν τῇ διαιρέσει, καὶ οὕτως ἄπειρος ὡς τὸ μῆκος. δυνάμει γὰρ ἄμφω ὥστε ἐν ἀπείρῳ χρόνῳ τὸ ἄπειρον δίεισιν, ἐν τῷ δυνάμει τὸ δυνάμει, καὶ ἅπτεται τῶν κατ᾽ ἐπίνοιαν ἀπείρων μερῶν τοῖς κατ᾽ ἐπίνοιαν ἀπείροις τοῦ χρόνου μέρεσιν, ἐπεὶ καθ᾽ ἑκάτερόν γε σημαινόμενον τοῦ ἀπείρου καὶ ἡμεῖς συγχωροῦμεν, μᾶλλον δὲ ἀποδείκνυμεν, ὡς οὔτε ἄπειρον μέγεθος δυνατὸν παρελθεῖν ἐν χρόνῳ πεπερασμένῳ, οὔτε ἐν ἀπείρῳ χρόνῳ πεπερασμένον, ἀλλ᾽ ἐάν τε ὁ χρόνος ἄπειρος ᾖ, καὶ τὸ μέγεθος, ἐάν τε τὸ μέγεθος, καὶ ὁ χρόνος. ἔστω γὰρ μέγεθος μὲν πεπερασμένον τὸ αβ, χρόνος δὲ ἄπειρος τὸ γ, εἰλήφθω δέ τι τοῦ χρόνου πεπερασμένου οἷον τὸ γδ. ἐν τούτῳ τοίνυν διήξει τι τοῦ μεγέθους τὸ κινούμενον, καὶ ἔστω διεληλυθὸς τὴν βε. τοῦτο τοίνυν τὸ μέρος τοῦ μήκους, λέγω δὲ τὸ βε ὅλην καταμετρήσει τὴν αβ ἢ ὑπερβαλεῖ τοῦ μέρους τοῦ τελευταίου. διαφέρει γὰρ οὐδέν, εἴγε ἀεὶ τὸ ἴσον τῷ βε μέρει ἐν ἴσῳ διήξει, τοῦτο δὲ καταμετρεῖ τὸ ὅλον μέγεθος καὶ ὑπερβάλλει τοῦ μέρους τοῦ τελευταίου· πεπερασμένος γὰρ πᾶς ἔσται χρόνος ἐν ᾧ διῆλθεν τὸ ὅλον. εἰς ἴσα γὰρ μέρη διαιρεθήσεται εἰς ὅσαπερ καὶ τὸ μέγεθος. εἰ δέ σε ταράττει τὸ μὴ

26 διήξει] fort. διέξεισι

*πάντως ἀπαρτίζειν τὸ βε κατὰ τὸ μετροῦν τὴν αβ, ἔξεστί σοι τὸ βε τηλικοῦτον ποιεῖν, ἡλίκον καταμετρήσει τὴν βα. εἰ γὰρ καὶ κατὰ τὴν πᾶσαν ἐν ἀπείρῳ χρόνῳ διέξεισιν, ἀλλὰ τό γε βε πάντως ἐν πεπερασμένῳ, ὥστ' εἴπερ τὸ βε καταμετρεῖ τὴν βα καὶ ὁ χρόνος ἐν ᾧ φαίη τις ἄν, ὅτι καὶ τὸ βε μέρος ἐν ἀπείρῳ χρόνῳ διέξεισιν, ἀλλ' ἀδύνατον. εἰ γὰρ ὥρισται κατὰ θάτερον πέρας ὁ χρόνος καὶ ἄρχεταί ποτε τῆς κινήσεως τὸ κινούμενον ἀπὸ τοῦ β σημείου, ἀνάγκη τὴν βε διελθεῖν ἐν χρόνῳ πεπερασμένῳ. ἐπεὶ γὰρ ἐν ἐλάττονι χρόνῳ τὸ μέρος δίεισιν ἢ τὸ ὅλον, ἀνάγκη τὸν ἐλάττονα τοῦτον καὶ πεπεράνθαι. τὴν μὲν ἀρχὴν τὴν αὐτὴν ἕξει τῷ ὅλῳ, τὸ δὲ πέρας ἐκ τοῦ ἐλάττων εἶναι προσλήψεται. ἡ αὐτὴ δὲ ἀπόδειξις καὶ εἰ τὸ μὲν μῆκος ἄπειρον ὑποθοίμεθα, τὸν χρόνον δὲ πεπερασμένον. ἔσται γὰρ ἡμῖν πάλιν καὶ τὸ μῆκος πεπερασμένον τῇ παραπλησίᾳ μεθόδῳ χρωμένοις, ἡ δὲ αὐτὴ ἀπόδειξις ἡμῖν, κἂν μὴ ἰσοταχῆ τὴν κίνησιν ὑποθοίμεθα. εἰ γὰρ καὶ μὴ ἐν ἴσῳ χρόνῳ τὸ ἴσον κινεῖται διάστημα κατὰ τὴν ὑπόθεσιν ταύτην, ἀλλ' ἢ ἐν πλείονι τὸ ἴσον ἢ ἐλάττονι, δῆλον ὅτι διαιρεθέντος τοῦ πεπερασμένου διαστήματος εἰς τὰ ἴσα μέρη, συνδιαιρεθήσεται καὶ ὁ χρόνος εἰς τοσαῦτα μὲν μέρη, οὐκέτι δὲ ἴσα ἀλλήλοις. ἀλλὰ μὴν εἴς γε τὸ πεπερασμένον αὐτὸν ἐπιδεῖξαι ἐξαρκεῖ τὸ ἐκ μορίων ὡρισμένων τῷ ἀριθμῷ συγκείμενον αὐτὸν ἐπιδεῖξαι, κἂν ἄνισα ταῦτα τὰ μέρη τυγχάνῃ, καὶ ἀνάπαλιν εἰ ὁ χρόνος πεπερασμένος μέν, ἄπειρον δὲ ὑπάρχει τὸ διάστημα. μόνως τοίνυν ἐνδέχεται ἐν ἀπείρῳ χρόνῳ πεπερασμένον κινεῖσθαι διάστημα, εἰ τὸ αὐτὸ πάλιν*

---

17 vid. Simplicius fol. 222. 19 scrib. *ὑποθώμεθα*

*καὶ πάλιν κινεῖται, ὥσπερ ὁρῶμεν καὶ τὰ θεῖα σώματα. εἰ δὲ οὐ δίεισιν ἄπειρον διάστημα ἐν πεπερασμένῳ χρόνῳ τὸ πεπερασμένον σῶμα, φανερὸν ὡς οὐδὲ τὸ ἄπειρον σῶμα, εἰ κινούμενον ὑποθοίμεθα, διέλθοι ἂν πεπερασμένον διάστημα ἐν πεπερασμένῳ χρόνῳ. ἡνίκα γὰρ ἂν δίεισιν τὸ ἄπειρον σῶμα τὴν πεπερασμένην γραμμήν, δῆλον ὡς τηνικαῦτα καὶ ἡ πεπερασμένη γραμμὴ τὸ ἄπειρον σῶμα διέξεισιν, ἀλλ' ἀποδέδεικται τοῦτο ἀδύνατον. καὶ μὴν εἰ καὶ τὸ διάστημα ἄπειρον ὑποθοίμεθα καὶ τὸ κινούμενον σῶμα, μόνος δὲ ὁ χρόνος εἴη πεπερασμένος, ἀνάγκη καὶ τὰ λοιπὰ ἀναφανῆναι πεπερασμένα. ταῦτα μὲν οὖν ἔξωθεν τοῦ προκειμένου προσείληφεν ἡμῖν ὁ λόγος διὰ τὴν Ζήνωνος ἀπορίαν, ἐπανίωμεν δὲ ὅθεν ἐξέβημεν, ὡς οὔτε γραμμὴν οὔτε ἐπίπεδον οὔθ' ὅλως οὐδὲν τῶν συνεχῶν οὔτε ἄτομον ἐνδέχεται εἶναι, οὔτε ἐξ ἀτόμων συγκεῖσθαι, οὐ μόνον διὰ τὰ πρότερον εἰρημένα, ἀλλ' ὅτι καὶ διαιρεῖσθαι τὸ ἄτομον ἐξ ἀνάγκης συμβήσεται. ἐπεὶ γὰρ ἐν παντὶ χρόνῳ τὸ θᾶττόν ἐστιν καὶ τὸ βραδύτερον, τὸ δὲ θᾶττον πλέον διέρχεται μῆκος ἐν τῷ ἴσῳ χρόνῳ, ἐνδέχοιτ' ἂν τὸ πλέον τοῦτο ἢ διπλάσιον ἢ τριπλάσιον ἢ καὶ ἡμιόλιον εἶναι.* fol. 54. *ἐνηνέχθω τοίνυν ἡμιόλιόν τι διάστημα τὸ θᾶσσον ἐν τῷ ἴσῳ χρόνῳ, ἤπερ τὸ βραδύτερον, καὶ διῃρήσθω τὸ μέγεθος εἰς τρία μέρη ἐφ' οὗ τὸ μὲν ταχύτερον ὅλου διαπορεύεται, τὸ δὲ βραδύτερον οὐ καθόλου, ἀλλ' ἐπὶ τῶν δυοῖν ἀμερῶν ἐν τῷ ἴσῳ χρόνῳ. οὕτω γὰρ ἂν ἡμιόλιον εἴη τὸ μῆκος τοῦ μήκους, ἀλλ' εἴπερ τὸ μῆκος ἐξ ἀτόμων σύγκειται τριῶν ἐφ' οὗ κινεῖται τὸ θᾶσσον, καὶ ὁ χρόνος ἐκ τριῶν ἀμερῶν συντεθήσεται ἐν ᾧ κινεῖται, εἴπερ ἐξ ἀνάγκης ὁ χρόνος ἀκολουθεῖ τῷ διαστήματι, καθάπερ ἐδείχθη. ἀλλ' ἐπεὶ*

*τὸ βραδύτερον ἐν τῷ ἴσῳ χρόνῳ καὶ δύο πάρεισιν ἀμερῆ, ὅταν θάτερον διανύσῃ τῶν ἀμερῶν, τότε δήπου τὸν ἥμισυν ἀναλώσει χρόνον, ἣν δ᾽ οὗτος ἐκ τριῶν συγκείμενος ἀμερῶν, ὥστε δίχα τὸ ἓν τῶν ἀτόμων τοῦ χρόνου διαιρεθήσεται, εἴπερ ὁ πᾶς δίχα ἐκ τριῶν.*

3 *Περὶ δὲ τοῦ νῦν τοῦ κυρίως τε καὶ ἀληθῶς λεγομένου καὶ πρότερον μὲν ἱκανῶς ἀπεδείξαμεν, ὅτι ἐστὶν ἀμερὲς καὶ ἀδιαίρετον, καὶ ἐν παντὶ χρόνῳ ἓν ταὐτὸ νῦν, πέρας μὲν τοῦ γεγονότος, ἀρχὴ δέ ἐστι τοῦ μέλλοντος, οὐδὲν δὲ ἧττον καὶ νῦν ἐπισκέψασθαι, εἰ τοιοῦτον τὸ νῦν. οἶμαι τοίνυν ἅπαντας ἂν ὁμολογῆσαι, ὅτι τὸ νῦν ἔσχατόν ἐστι τοῦ γεγονότος καὶ πρὸ τοῦ νῦν οὐδέν ἐστιν ὅλως τοῦ μέλλοντος· πρὸ γὰρ τῆς τοῦ γεγονότος τελευτῆς πῶς δύναιτ᾽ ἂν εἶναι μέλλον· εἴη γὰρ ἂν οὐδὲν οὐκέτι μέλλον, ἀλλὰ γεγονὸς ἐμπεριεχόμενον τῷ πέρατι τοῦ γεγονότος. πάλιν τοίνυν τοῦτο παραπλήσιον ἅπασι γνώριμον, ὅτι τὸ νῦν ἐστὶν ἀρχὴ τοῦ μέλλοντος χρόνου καὶ ἀρχὴ πρώτη μεθ᾽ ἣν οὐδέν ἐστι παρεληλυθότος. πῶς γὰρ ἄν τι παρεληλυθὸς μετὰ τὴν ἀρχὴν τοῦ μέλλοντος; ἆρα γοῦν τὸ ἔσχατον τοῦ παρεληλυθότος καὶ ἡ τοῦ μέλλοντος ἀρχὴ δύο ἐστὶν ἀκριβῶς ἀλλήλων κεχωρισμένα, ἢ ἓν καὶ ταὐτόν, πέρας τε ἅμα τοῦ παρεληλυθότος καὶ ἀρχὴ τοῦ ἐσομένου, λέγω τοίνυν ἓν καὶ ταὐτόν; εἰ γάρ ἐστιν ἀλλήλων κεχωρισμένα, ἅπτεσθαι μὲν ἀλλήλων οὐκ ἂν δύναιντο· ἀμερῆ γὰρ ἄμφω καὶ οὐδὲν αὐτῶν ἔσχατον, ἀλλ᾽ αὐτὰ ἔσχατα. οὐκ ἐῶσι*

---

5 *δίχα* om A    10 *ἐστι* abundat    11 *ἧττόν*] *οἷον* A
18 *τοῦτο — τὸ νῦν* om A    20 *μεθ᾽*] *καθ᾽* V. scrib. *παρεληλυθὸς* aut *τοῦ παρεληλυθότος*

*δὲ οὐδὲ οἱ πρότεροι λόγοι συγκεῖσθαι τὸν χρόνον ἐκ τῶν νῦν ἐφεξῆς ὄντων ἢ ἁπτομένων· οὐδὲν γὰρ ἐξ ἀμερῶν συνεχές. εἰ δὲ οὐχ ἅπτεται ἀλλήλων δύο ὄντα κεχωρισμένα, ἀναγκαῖον αὐτῶν εἶναί τι μεταξύ. τί δὲ τοῦτ' ἐστὶν εἰ μὴ χρόνος; πέρατα μὲν γὰρ ἀμφότερα χρόνου, καὶ τὸ ἔσχατον τοῦ γεγονότος, καὶ τοῦ μέλλοντος ἡ ἀρχή, μεταξὺ δὲ τῶν περάτων τῆς γραμμῆς οὐδὲν ἕτερον ἢ γραμμή, ὥσπερ μεταξὺ τῶν περάτων τοῦ σώματος οὐδὲν ἕτερον ἢ σῶμα. τὸ γὰρ κενὸν καλῶς ποιοῦν ἐκποδὼν γέγονεν. εἰ οὖν χρόνος ἐστὶ μεταξὺ τοῦ πέρατος τοῦ γεγονότος καὶ τῆς τοῦ μέλλοντος ἀρχῆς, δῆλον ὡς οὔτε γεγονὼς οὗτος οὔτε μέλλων ἐστίν. τί δήποτε; ὅτι τὸ νῦν αὐτὸ περιέχει, οὔτε δὲ μετὰ τὸ νῦν ὁ γεγονώς, οὔτε πρὸ τοῦ νῦν ὁ μέλλων, ἀλλ' εἰ μήτε παρεληλυθώς ἐστι μήτε μέλλων ὅλως ἐστὶ νῦν. καὶ ἐπειδὴ πᾶς χρόνος διαιρετός, δύναται διαιρεῖσθαι καὶ οὗτος ὁ νῦν, ἀλλὰ πᾶσα διαίρεσις χρόνου τὸ μὲν παρεληλυθὸς αὐτὸ ποιεῖ, τὸ δὲ μέλλον, ὅρα δὲ τὰ συμβαίνοντα ἄτοπα. ὁ γὰρ μεταξὺ χρόνος οὗτος ὁ μακρὸς νῦν ὃν διῃρήκαμεν εἰς τὸ παρεληλυθὸς καὶ τὸ μέλλον, καθ' ὅσον μέν ἐστι μετὰ τὸ ἔσχατον τοῦ γεγονότος, ὅλος μέλλων ἐστίν. ἔσται τοίνυν τοῦ μέλλοντός τι παρεληλυθός. καθόσον δὲ πρὸ τῆς ἀρχῆς τοῦ ἑπομένου, ὁλόκληρος ἔσται γεγονός. ἔσται τοίνυν τοῦ γεγονότος τι μέλλον, ἵν' ἐάσω τὸ προχειρότατον, ὅτι τοῦ νῦν τὸ μέν ἐστι παρεληλυθός, τὸ δὲ μέλλον, καὶ ὅτι τῆς γε τομῆς ἀλλαχοῦ καὶ ἀλλαχοῦ γινομένης πολλὰ ἐν τῷ νῦν ἐστὶ τὰ νῦν καὶ οὐχ ἅμα, ὥστ' εἴπερ ταῦτα ἀδύνατα, ἀνάγκη ταὐτὸν εἶναι νῦν πέρας τε καὶ ἀρχήν, καὶ*

---

13 *δήποτε*] *ποτε* A

ἀκριβῶς ἀδιαίρετον. τί οὖν ἐκ τούτων συμβαίνει; πρᾶγμα παράδοξον μέν, ἀληθέστατον δέ, τὸ μηδὲν ἐν τῷ νῦν κινεῖσθαι. εἰ γὰρ ἐνδέχεται κινεῖσθαι ἐν τῷ νῦν, καὶ θᾶττον ἂν ἐνδέχοιτο κινεῖσθαί τι καὶ βραδύτερον. κινείσθω τοίνυν τὸ βραδύτερον ἐν τῷ νῦν πηχυαῖον εἰ τύχοι διάστημα. ἐκ δὴ τῶν προτέρων λόγων τὸ θᾶττον οὐκ ἐν τῷ νῦν ἀλλ' ἐν ἐλάττονι τοῦ νῦν ταὐτὸν ἀνύσει διάστημα. διαιρεθήσεται ἄρα τὸ νῦν ὅπερ ἀδιαίρετον ἀπεδείξαμεν. οὐδὲν ἄρα ἐν τῷ νῦν κινεῖσθαι δυνατόν. ἀλλὰ μὴν οὐδὲ ἠρεμεῖν. ἠρεμεῖν γὰρ λέγομεν τὸ πεφυκὸς κινεῖσθαι καὶ μὴ κινούμενον ὅτε πέφυκεν. εἰ δὲ ἐν τῷ νῦν οὐδὲν πέφυκεν κινεῖσθαι, δῆλον ὡς οὐδὲ ἠρεμεῖν. ἐπεὶ τοίνυν ἀποδέδεικται ἱκανῶς ὡς ὅτι ταὐτόν ἐστιν τὸ νῦν ἐν ἀμφοῖν τοῖν χρόνοιν, λέγω δὲ τῷ παρεληλυθότι καὶ μέλλοντι, τοῦ μὲν πέρας τοῦ δὲ ἀρχή, εἰ τοίνυν ἐν τῷ παρεληλυθότι χρόνῳ κινούμενόν τι νοήσαιμεν, ἐν τῷ μέλλοντι δὲ ἠρεμοῦν, δῆλον ὅτι ἐν τῷ νῦν ἅμα κινήσεται καὶ ἠρεμήσει. καθὸ μὲν γὰρ τοῦ παρελθόντος ἐστὶ πέρας, κινήσεται, καθὸ δὲ ἀρχὴ τοῦ μέλλοντος, ἠρεμήσει, ὥστε ἐν ταὐτῷ κινήσεται καὶ ἠρεμήσει, εἴγε ἐν τῷ νῦν πέφυκεν ἠρεμεῖν καὶ κινεῖσθαι. νῦν μὲν γὰρ οὐκ ἀναγκαῖον τοῦτο συμβαίνειν, ὅτι μηδὲ ἐν τῷ νῦν κινεῖσθαι δύναιτο, τότε δ' ἂν ἐξ ἀνάγκης ἠκολούθει τὸ ἄτοπον. τὸ γὰρ πεφυκὸς ἐν τῷ νῦν κινεῖσθαι καὶ ἐν παντὶ τῷ παρελθόντι χρόνῳ κινούμενον καὶ ἐν τῷ νῦν ἂν ἐκινεῖτο πέρατί γε ὄντι τοῦ παρελθόντος, ὁμοίως δὲ καὶ τὸ πεφυκὸς ἐν τῷ νῦν ἠρεμεῖν καὶ ἐν παντὶ τῷ μέλλοντι ἠρεμοῦν

---

7 ἀλλ' — νῦν om A    11 fort. ἐλέγομεν    23 γὰρ om A

καὶ ἐν τῷ νῦν ἂν ἠρέμει ἀρχῇ γε ὄντι τοῦ μέλλοντος. οὕτω δὲ συνέβαινεν ἂν ἐν ταὐτῷ καὶ ἠρεμεῖν καὶ κινεῖσθαι, δόξαι τ' ἂν ἴσως τὸ μηδὲν ἐν τῷ νῦν κινεῖσθαι πιθανώτερον, τὸ δὲ μήτε ἠρεμεῖν οὐκ εὔλογον παραπλησίως. καὶ τοῦτο δὲ ἄν τις οὐ χαλεπῶς παραδέξαιτο ἐννοήσας ὅτι τότε λέγομεν ἠρεμεῖν τὸ σῶμα ὅταν ὁμοίως ἔχῃ νῦν τε καὶ πρότερον, ἐν δὲ τῷ νῦν οὐκ ἔστι τὸ πρότερον, ὥστε οὐδὲ ἠρεμεῖν. ἀνάγκη τοίνυν τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν ἐν χρόνῳ κι- fol. 54b. νεῖσθαι καὶ ἠρεμεῖν.

Πότερον δὲ ἅπαν τὸ μεταβάλλον διαιρετὸν ἢ καὶ 4 ἀμερὲς ἐνδέχεται, καθάπερ οἱ μαθηματικοί φασι τὴν στιγμὴν φέρεσθαι καὶ ποιεῖν τῇ φορᾷ τὴν γραμμήν, ἐπισκεπτέον. εἰ τοίνυν ἀνάγκη τὸ μεταβάλλον μήτε ἐν ἐκείνῳ εἶναι εἰς ὃ μεταβάλλει, μεταβεβληκὸς γὰρ ἂν εἴη, μήτε ἐν ἐκείνῳ ἐξ οὗ μεταβάλλει, οὐδὲ γὰρ οὕτως ἂν μεταβάλλοι, δῆλον ὡς περιλείπεται τὸ μέν τι αὐτοῦ ἐν τούτῳ εἶναι, τὸ δὲ ἐν θατέρῳ· οὔτε γὰρ ἂν ἐν ἀμφοῖν, οὔτε ἐν οὐδετέρῳ δυνατόν, ὥστε ἐξ ἀνάγκης ἂν εἴη διαιρετόν. ἀλλὰ τοῦτο ἐπὶ μὲν τῆς κατὰ τόπον μεταβολῆς καὶ αὐτόθεν ἐναργὲς ἐκ τῆς ἐπαγωγῆς, γνωριμώτερον δὲ ἐπὶ ἀλλοιώσεως ἢ αὐξήσεως. ἐφ' ὧν δὲ συμβαίνει ποτὲ ἀθρόαν εἶναι τὴν μεταβολήν, πῶς ἀναγκαῖον τὸ μὲν ἐν τῷ λευκῷ εἶναι, τὸ δὲ ἐν τῷ μέλανι; τοῦτο δὲ ὁ Θεόφραστος ἀπορεῖ διαρρήδην ἐν τῷ περὶ κινήσεως πρώτῳ καὶ τοῖς ἐξηγηταῖς ὄχλον παρέσχεν. τὸ μὲν οὖν λέγειν ὡς οὐκ ἔστιν οὐδενὸς ἀθρόα μεταβολὴ καθ' ὅλα τὰ μόρια πα-

1 ἀρχή A 3 fort. δόξαι δ' 5 παραπλήσιον A 7 νῦν δὲ καὶ libri, sed malim δὲ deletum. conf. VI, 8. 19 ἂν del. 27 haec contra Alexandrum Aphrod. dicta, vid. Simpl. fol. 226.

*ραπλησίως, ἀλλ' ἐν πᾶσιν οἷς ἀθρόα δοκεῖ γίνεσθαι μεταβολή, τὸ μέν τι πρότερον μεταβάλλειν μέρος, τὸ δὲ ὕστερον, καὶ ἐπὶ τοῦ πηγνυμένου γάλακτος καὶ ἐπὶ τοῦ μελαινομένου σώματος ἐκ τῆς ἀκτῖνος· ἢ γὰρ τὸ εὐπαθέστατον μόριον πρῶτον, ἢ τὸ ἐγγύτερον τοῦ τὴν κίνησιν ἐνδιδόντος· τὸ δὲ ταῦτα λέγειν οὐ σφόδρα ἀληθῆ· δείκνυσι γὰρ ἡμῖν ἡ αἴσθησις ὅτι γίγνονταί τινες ἀθρόαι μεταβολαὶ σωμάτων καὶ ἀλλοιώσεις, καὶ πρὸς τὴν Μελίσσου θέσιν* οὕτως *ἐξ ἀρχῆς ἀντεθήκαμεν. ἀλλ'* οὐδὲ *ἐκεῖνό γε, ὅτι μόνον ἐπὶ τῶν κατὰ τόπον μεταβολῶν τὴν δεῖξιν Ἀριστοτέλης πεποίηται· φανερῶς γὰρ περὶ παντὸς λέγει τοῦ μεταβάλλοντος. ἃ τοίνυν ἡμῖν ἐπῆλθεν εἰς βοήθειαν τῷ λόγῳ, ταῦτά ἐστιν.* οἰόμεθα *τὸν Ἀριστοτέλην περὶ τῶν ἀθρόως μεταβαλλόντων ὅτι διαιρετά ἐστι καὶ μεγέθη, μηδὲ λόγου προσδεῖσθαι νοῆσαι· εἰ γὰρ ἀθρόως ἐκεῖνα μεταβάλλειν φαμὲν ὧν ἅπαντα τὰ μέρη καθ' ἕνα χρόνον ἢ ἀλλοιοῦται ἢ αὔξεται, δῆλον ὡς ἐπὶ τῶν μέρη τινὰ κεκτημένων ἡ τοιαύτη μεταβολή. ἃ δὲ* οὐδὲν *κέκτηται μέρος, πῶς ἀλλοιοῖτο ἂν ἅμα καθ' ὅλα τὰ μέρη; ἢ τοίνυν οὐ τοῦτό ἐστι μεταβάλλειν ἀθρόως τὸ κατὰ τὰ πάντα ὁμοῦ τὰ μόρια μεταβάλλειν, ἢ εἰ τὸ ἀθρόως τοῦτό ἐστιν, γελοῖον τὸ ζητεῖν, εἰ διαιρετὰ τὰ τοιαῦτα, διόπερ Ἀριστοτέλης ἐπὶ μὲν τούτων ὅλως*

---

qui interpretationem Themistii *ἃ ἡμῖν ἐπῆλθεν — τοὺς ἄλλους τρόπους μεταβαλλόντων* integram adscripsit. 2 *μέν τοι* libri *μεταβάλλει* libri 15 *περὶ μὲν* Simplicius 17 *νοῆσαι*] *νομίσαι* Simplicius 18 *καὶ καθ'* Simplicius *χρόνον ἀλλοιοῦται* Simplic. 19 *τῶν* add. Simpl. *ὡς ὅτι πέρατά τινα* V 21 *μέρος*] *πέρας* V 23 *τὸ ὁμοῦ κατὰ πάντα* Simpl. *κατὰ* om A 25 *οὐδ' ὅλως* Simpl.

οὐδὲ ἐποιήσατο λόγον, ἐπὶ δὲ τῶν κατὰ τοὺς ἄλλους τρόπους μεταβαλλόντων.

Κίνησις δὲ διχῶς διαιρετή, ἕνα μὲν τρόπον τῷ χρόνῳ, ἕτερον δὲ κατὰ τὰς τῶν μερῶν τοῦ κινουμένου ἰδικὰς κινήσεις. τῷ μὲν οὖν χρόνῳ διαιρετὴ γίνεται κίνησις, ὅτι ἡ πλείων ἐν πλείονι καὶ ἡ ἐλάττων ἐν ἐλάττονι, κατὰ δὲ τὰς τῶν μερῶν τοῦ κινουμένου ἰδικὰς κινήσεις· ἡ μὲν γὰρ ὅλη κίνησις ἐν τῷ ὅλῳ, τὰ μόρια δὲ αὐτῆς ἐν τοῖς μορίοις τοῦ κινουμένου ἐστίν. διαιρετὰ καὶ καθ' ἃ ἡ κίνησις γίνεται, οἷον ὁ τόπος καὶ ὁ ὄγκος καὶ τὰ χρώματα, ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τὰ μὲν ποσὰ καθ' αὑτά, τὸ δὲ ποιὸν κατὰ συμβεβηκός· τῷ γὰρ τὸ σῶμα διαιρεῖσθαι ἐν ᾧ τὸ λευκὸν ἢ τὸ μέλαν. ἠκολούθησεν δὲ μάλιστα τὸ καὶ τὴν κίνησιν καὶ καθ' ἃ κίνησις, εἶναι διαιρετὰ τῷ πρῶτον εἶναι τὸ κινούμενον διαιρετόν.

5 Ἐπειδὴ δὲ πᾶν τὸ μεταβάλλον ἔκ τινος εἴς τι μεταβάλλει, ἀνάγκη τὸ μεταβεβληκὸς ὅτε πρῶτον μεταβέβληκεν, εἶναι ἐν ᾧ μεταβέβληκεν, οἷον τὸν ἐλθόντα Ἀθήναζε ὅτε πρῶτον ἐλήλυθεν, Ἀθήναζε εἶναι, καὶ τὸν γενόμενον καὶ τὸν αὐξηθέντα δίπηχυν ὅτε πρῶτον ηὐξήθη, δίπηχυν εἶναι, καὶ τὸν ὑγιασθέντα ὅτε πρῶτον ὑγίασται, ὑγιαίνειν. τὸ δὲ ὅτε πρῶτόν φημι. συμβαίνει γὰρ αὐτὸν ἐληλυθότα πέρυσιν Ἀθήναζε μὴ εἶναι Ἀθήνησι νῦν, ὅτε μέντοι πρῶτον ἐλήλυθεν, ἀνάγκη Ἀθήνησιν εἶναι. δῆλον δὲ καὶ ἐκ τοῦ λόγου. τὸ γὰρ μεταβάλλον ἐξ οὗ μεταβάλλει, ἐξίσταται καὶ ἀπολείπει δὲ αὐτό. οὐδὲν γὰρ ἄλλο ἐστὶν

---

7 κατὰ] μετὰ libri   16 πρώτῳ V   19 εἶναι ἐν ᾧ μεταβέβληκεν om A   20 Ἀθήναζε] immo Ἀθήνησιν, vel Ἀθήναζε, Ἀθήνησιν   28 δὲ del.

τὸ μεταβάλλειν ἔκ τινος ἢ τὸ ἀπολείπειν ἐκεῖνο. ὅτι τοίνυν τοῦθ' οὕτως ἔχει, σκεψώμεθα μίαν τῶν μεταβολῶν τὴν κατὰ ἀντίφασιν. ὅταν τοίνυν τι μεταβέβληκεν εἰς τὸ ὂν ἐκ τοῦ μὴ ὄντος, δῆλον ὡς ἀπολέλοιπεν τὸ μὴ ὄν. ἔσται ἄρα ἐν τῷ ὄντι· μεταξὺ γὰρ οὐδὲν τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. τοῦτο δ' ἂν τις καὶ ἐπὶ τῶν λοιπῶν μεταβολῶν θεωρήσειε. ποῦ γὰρ ἔσται τὸ μεταβεβληκός, εἰ μὴ ἐν ᾧ μεταβέβληκε; τὸ μὲν γὰρ ἐξ οὗ κεῖται ἀπολελοιπέναι· ἐν ἄλλῳ δέ τινι ἂν εἴη, φαίη τις ἄν, ὡς ἐν τῷ μεταξύ· οὐ γὰρ πᾶσαι κατὰ ἀντίφασιν αἱ κινήσεις. ἀλλ' εἴπερ ἐν τῷ μεταξύ, μεταβάλλον αὐτὸ ποιοῦμεν, οὐ μεταβεβληκός, ὡς ὑπεθέμεθα, εἰ δὲ μεταβέβληκεν ἤδη, πῶς ἂν εἴη ἐν τῷ μεταξύ; πῶς γὰρ ἂν δύναιτο τὸ μεταβεβληκὸς ὅτε μεταβέβληκεν, ἔτι μεταβάλλειν εἰς ὃ μεταβέβληκεν; φανερὸν τοίνυν ὅτι καὶ τὸ γεγονὸς ὅτε γέγονε πρῶτον, εὐθὺς ἔστιν, καὶ τὸ ἐφθαρμένον ὅτε ἔφθαρται πρῶτον, οὐκ ἔστι, τὸ δὲ πρῶτον τοῦτο, ἐν ᾧ λέγεται πρῶτον μεταβεβληκέναι τι καὶ γεγονέναι καὶ ἐφθάρθαι ἢ ἠλλοιῶσθαι, ἀνάγκη ἀμερὲς καὶ ἓν μόριον εἶναι. πρῶτον γὰρ ἐκεῖνο λέγεται οὗ μηδὲν ἄλλο πρῶτόν ἐστιν καὶ ὃ μὴ τῷ ἄλλο τι τοιοῦτον εἶναι καὶ αὐτὸ τοιοῦτόν ἐστιν, ἐπεὶ καὶ τὸ ὁρᾶν ὑπάρχειν λέγομεν τῷ ἀνθρώπῳ, ἀλλ' οὐ πρώτῳ, διότι τοῖς ὄμμασιν πρώτοις, καὶ τὸ δύο ὀρθὰς ἔχειν τῷ ἰσοσκελεῖ, ἀλλ' οὐδὲ τούτῳ πρώτῳ· τῷ τριγώνῳ γὰρ πρὸ αὐτοῦ. ἐφ' ὧν γὰρ ἢ τῷ μέρει πρῶτον ἢ τῷ γένει τὸ λεγόμενον ὑπάρχειν ὑπάρχει, τούτοις οὐ πρώτοις ὑπάρχει, καὶ ἐν ᾧ δὲ χρόνῳ πρῶτόν τι μεταβέβληκεν, εἰ διαιρετὸς οὗτός

---

3 ὅταν] scrib. ὅτε 19 immo πρώτῳ et hic et ubique reddendum

ἐστιν, οὐκ ἐν τούτῳ πρώτῳ μεταβέβληκεν, ἀλλ' ἐν τῷ μέρει, ὥστε ἢ τοῦ πρώτου πρῶτον ἢ τὸ πρῶτον ἄτομον καὶ ἀμερές. φανερὸν τοίνυν ὅτι καὶ τὸ γεγονὸς καὶ τὸ ἐφθαρμένον ἐν ἀτόμῳ τὸ μὲν ἔφθαρται, τὸ δὲ γέγονε, καὶ οὐκ ἀπορήσομεν τοῖς σοφισταῖς fol. 55. ἀποκρίνασθαι, πότε ἀποτέθνηκεν τὸ τεθνηκὸς πυνθανομένοις καὶ ἐν ποίῳ χρόνῳ· εἴτε γὰρ ἐν ᾧ ἔζη, γίνεται ζῶν ἅμα καὶ τεθνηκός, εἴτε ἐν ᾧ τέθνηκε, γίνεται πάλιν τεθνηκός, ἡνίκα ἤδη τεθνήκει· εἰ δὲ ἐν μηδενὶ χρόνῳ, οὐδέποτε ἔσται τεθνηκός. ἀλλὰ τοῦτο οὐκ ἀληθές. τέθνηκε γὰρ οὐκ ἐν χρόνῳ, ἀλλ' ἐν πέρατι χρόνου καθάπερ ἐδείχθη. τὸ μὲν οὖν πέρας τῆς κινήσεως ἔστι τε καὶ γνώριμον γίνεται· ἐνδέχεται γὰρ ἐπιτελεσθῆναι τὴν μεταβολὴν καὶ τέλος ἐστὶ μεταβολῆς ὃ δὴ καὶ δέδεικται, ἀδιαίρετον ὑπάρχον διὰ τὸ πέρας εἶναι καὶ ἄτομον. ἄρα δὲ ὥσπερ τὸ πέρας λαβεῖν ἐνδέχεται, οὕτω καὶ τὴν ἀρχὴν τῆς κινήσεως; λέγω δὲ ἀρχὴν τὴν κατὰ χρόνον ἐν ᾧ πρῶτον ἄρχεται χρόνῳ μεταβάλλειν τὸ μεταβάλλον. αὕτη τοίνυν ἢ χρόνος ἐστὶν ἢ ἀρχὴ χρόνου καὶ οἷον τὸ νῦν. εἰ μὲν τοίνυν χρόνος, χρόνος δὲ πᾶς διαιρετός, οὐκ ἔστι παύσασθαι τὸν χρόνον αὐτὸν τέμνοντας, ὥστε εἰς τὴν ἀρχὴν καταντῆσαι, καὶ ὅλως οὐκ ἔτι πρώτη. ἡ γὰρ ἐν τῷ μορίῳ προτέρα. εἰ δὲ τὸ νῦν ἀρχὴ τῆς μεταβολῆς, πρῶτον μὲν ἐπειδὴ πᾶν τὸ ἀρχόμενον μεταβάλλειν εὐθὺς μεταβάλλει, ἐν τῷ νῦν ἄν τι μεταβάλλοι ὅπερ ἀμήχανον, εἶτ' εἴπερ ἐνδέχεται ἐξ ἠρεμίας τι μεταβάλλειν, δῆλον ὡς ἔσται πέρας τῆς ἠρεμίας ἐκείνης τὸ νῦν. τοῦτο τοίνυν τὸ πέρας

---

2 πρώτου πρῶτον] πρώτου πρότερον Arist. 5 τοῖς σοφισταῖς] vid. Simplic. fol. 229 b. 16 fort. ἆρά γε 20 τοίνυν om A 23 immo οὐκ ἔστι

πότερον ταὐτόν ἐστιν τῇ ἀρχῇ τῆς μεταβολῆς ἢ ἕτερον; ἀλλ' εἰ μὲν ἕτερον, ἔσται τὰ νῦν ἐχόμενα ἀλλήλων· τό τε γὰρ πέρας τῆς ἠρεμίας ἔσται νῦν καὶ ἀδιαίρετον, καὶ ἡ τῆς μεταβολῆς ἀρχὴ παραπλήσιον· μεταξὺ γὰρ οὐκ ἔνεστι χρόνον ποιεῖν· οὔτε γὰρ κινηθείη ἐν αὐτῷ οὔτε ἠρεμήσει τὸ σῶμα. εἰ δὲ ταὐτὸν πέρας τε καὶ ἀρχὴ ὥσπερ ἀποδέδεικται, συμβήσεται τὸ πέρας τῆς ἠρεμίας ἀρχὴν εἶναι τῆς κινήσεως. ἅμα τε οὖν κινήσεται καὶ οὐ κινήσεται. τὸ μὲν γὰρ ἐν τῷ πέρατι τῆς ἠρεμίας οὔπω κινεῖται, τὸ δὲ ἐν τῇ ἀρχῇ τῆς μεταβολῆς ἤδη κινεῖται. οὐ μόνον δὲ τοῦ χρόνου λαβεῖν ἀμήχανον ἐν ᾧ πρῶτον τὸ μεταβάλλον ἤρξατο τῆς μεταβολῆς, ἀλλ' οὐδὲ τοῦ αὐτοῦ μεταβάλλοντος ἔστι τὸ πρῶτον μέρος λαβεῖν ὃ πρῶτον μεταβέβληκεν. διαιρετὸν γὰρ δὴ σῶμα πᾶν ὥσπερ καὶ χρόνος. θαυμαστὸν τοίνυν καθάπερ φησὶν ὁ Θεόφραστος καὶ λίαν παρὰ τὰς ἐννοίας, εἰ μὴ ἔστιν ἀρχὴ κινήσεως, πέρας δέ ἐστιν, καὶ ὅλως εἰ μὴ ἄμφω πεπερασμένα, ἀλλὰ τέλος μέν ἐστι τοῦ βαδίζειν, ἀρχὴ δὲ οὔ, καὶ τέλος μὲν τοῦ πλεῖν, ἀρχὴ δὲ οὐκ ἔστιν, καὶ ἡνίκα μὲν ἐπαύσατο τοῦ τρέχειν ὁ ἵππος, ἔστιν εἰπεῖν, ἡνίκα δὲ ἤρξατο, οὐκ ἔστιν. ἢ οὐ τοῦτό φησιν ὡς οὐκ ἔστιν ἀρχὴ τῆς κινήσεως, ἀλλ' ὡς οὐκ ἔστιν αὐτὴν λαβεῖν; ἀλλ' ἐκεῖνο πῶς τὸ μὲν πέρας τῆς κινήσεως ἀδιαίρετον ἀποδείκνυσι, καὶ διὰ τοῦτο εἶναί φησι ληπτόν, τὴν δὲ ἀρχὴν οὔτε ἀδιαίρετον οὔτε ληπτήν; καίτοι τοῖς πέρασιν ὁμοίως ἔχουσιν αἱ ἀρχαί. εἰ γὰρ σημεῖον· πέρας γραμμῆς καὶ ἀρχὴ σημεῖον, καὶ δοκεῖ τοῦτο ἀξίωμα εἶναι τὸ μὴ ταὐτὸν εἶναι

5 scrib. κινηθείη ἂν et fort. ἠρεμήσειε 7 ἀρχὴ] ἀρχὴν libri 13 τοῦ αὐτοῦ] αὐτοῦ τοῦ? 16 Θεόφραστος] vid. Simplic. fol. 230. 26 ληπτήν] ληπτὸν V

ἀρχὴν καὶ οὗ ἐστὶν ἀρχή, ὥστ' οὐδὲ κίνησις ἡ ἀρχὴ τῆς κινήσεως· εἰ δὲ μὴ κίνησις, οὐδὲ διαιρετὴ οὐδὲ ἐν χρόνῳ, ἀλλ' ἐν τῷ νῦν, καθάπερ τὸ πέρας. τάχα οὖν τὴν μὲν ἀρχὴν τῆς κινήσεως δώσει ληπτὴν εἶναι, καθάπερ τὸ πέρας, τὴν δὲ πρώτην κίνησιν ἄληπτον, καὶ ἀληθὲς τοῦτο. ἐν χρόνῳ γὰρ αὕτη, καὶ τὸν χρόνον εἰς ἄπειρα διαιρεῖν δυνατόν. τοῦτο δὲ καὶ αὐτὸς γνώριμον ποιεῖ προϊὼν τῷ ἐπιμελῶς προσέχοντι. δῆλον δὲ ὅτι κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ ἐσχάτη κίνησις οὐκ ἂν εἴη ληπτή, καὶ τὸ πέρας αὐτῆς ληπτόν τε καὶ ἀδιαίρετον. οὔτε δὲ τοῦ χρόνου λαβεῖν ἐστὶν οὔτε τοῦ μεγέθους τὸ πρῶτον, ἀλλ' οὐδὲ τοῦ τόπου, οὐδὲ τοῦ ὄγκου καθὰ γίνεται ἡ κίνησις. καὶ γὰρ ταῦτα συνεχῆ καὶ εἰς ἄπειρα διαιρετά, εἰ μή τις ἐπ' ἀλλοιώσεως μόνον ἀμφισβητήσειεν. ἔστι γὰρ λαβεῖν τοῦ χρώματος τὸ πρῶτον εἰς ὃ γίνεται ἡ μεταβολὴ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ· πάθη γὰρ ταῦτα καὶ ἀδιαίρετα· διαιρεῖται γὰρ κατὰ συμβεβηκὸς τῷ τοῖς διῃρημένοις ὑπάρχειν.

6

Τούτων τοίνυν οὕτω διωρισμένων καὶ δειχθέντων, ὅτι πᾶς χρόνος καὶ μέγεθος ἀεὶ διαιρετόν, φανερὸν ὅτι πᾶν τὸ κινούμενον ἀνάγκη πρότερον κεκινῆσθαι, οὐχ ὡς πεπαῦσθαι τῆς κινήσεως, ἀλλ' ὡς ἤδη τι διεληλυθέναι τὸ διιόν. ἐπεὶ γὰρ τὸ κινούμενον ὅταν κινῆται, μετήλλαχεν ἔκ τινος εἴς τι· εἰ γὰρ ἐν ταὐτῷ εἴη, οὐκ ἂν κινοῖτο, τὸ δὲ μετηλλαχὸς κεκίνηται, δῆλον ὡς τὸ κινούμενον ἀναγκαῖον κεκινῆσθαι. ληφθέντος οὖν οὗ κεκίνηται μεγέθους, ἐπεὶ τοῦτο εἰς ἄπειρον μερίζεται, συμβήσεται τὸ κινούμε-

19 διαιρουμένοις V 25 μετήλλαχεν — μετηλλαχὸς κεκίνηται om libri, supplevimus ex Simplicio fol. 231 b. 28 οὗ] ὃ?

νον τὸν αὐτὸν τόπον ἄπειρον κεκινῆσθαι πρότερον· ὁμοίως δὲ καὶ τὸ κεκινημένον κεκινῆσθαι. τεμνομένου γὰρ ἀεὶ τοῦ μεγέθους πάσας κεκινημένον ἐστὶν τὰς τομάς. ἔτι δὲ εἰ λέγομεν κεκινῆσθαι τῷ λαβεῖν τὸ ἔσχατον αὐτοῦ τῆς κινήσεως οἷον τὸ νῦν, τὸ νῦν δὲ ἐν ἅπαντι χρόνῳ δυνατὸν λαβεῖν, καὶ τὸ κεκινῆσθαι ἐν ἅπαντι χρόνῳ παραπλήσιον. ἔτι δὲ τὸ συνεχῶς μεταβάλλον καὶ μὴ φθαρὲν μηδὲ πέπαυται τῆς μεταβολῆς, μεταβάλλειν ἢ μεταβεβληκέναι ἐστὶν ἀναγκαῖον ἐν ᾧ δή τινι τοῦ χρόνου, ἐν δὲ τῷ νῦν οὐκ ἔστιν μεταβάλλειν, ἀναγκαῖον ἄρα μεταβεβληκέναι καθ' ἕκαστον, ὥστε εἰ τὰ νῦν ἄπειρα, πᾶν τὸ μεταβάλλον ἄπειρα ἔσται μεταβεβληκός. οὐ μόνον δὲ τὸ κινούμενον ἀναγκαῖον ἤδη προκεκινῆσθαι πρότερον· οἷον γὰρ πέρας ἢ παῦλα τὸ κεκινῆσθαι κινήσεως· ἅπαν γὰρ τὸ ἔκ τινος εἴς τι μεταβεβληκὸς ἐν χρόνῳ μεταβέβληκεν, ὁ δὲ χρόνος διαιρετός. εἰ γὰρ ἐν τῷ νῦν, ἐν μὲν τῷ αὐτῷ ἐν ᾧ ἐστὶν ἐξ οὗ μεταβάλλει, οὐ μεταβέβληκεν, εἰ δὲ ἐν ἄλλῳ, μεταξὺ ἔσται χρόνος· οὐ γάρ ἐστιν ἐχόμενα τὰ νῦν ὥσπερ οὐδὲ στιγμαί. ἐπεὶ δὲ πᾶς χρόνος διαιρετός, ἐν τῷ ἡμίσει ἄλλο μεταβέβληκεν, καὶ ἐν ἐκείνῳ πάλιν ὁμοίως· καὶ
fol. 55b. γὰρ ἀεὶ οὕτως, ὥστε μεταβάλλοι ἂν πρότερον· πέρας γὰρ ἀεὶ τοῦ μεταβάλλειν τὸ μεταβεβληκέναι· τοῦτο δὲ ἐπὶ τῆς κατὰ τόπον κινήσεως γνωριμώτερον διὰ τὸ συνεχὲς εἶναι τὸ μέγεθος καὶ τὸ διάστημα καὶ ὁμοίως τέμνεσθαι τῷ χρόνῳ, ἐπὶ δὲ τῶν ἄλλων μετα-

---

1 προτερον — κεκινῆσθαι om A, sed postremum verbum corrig. κινεῖσθαι    4 λέγομεν — τῷ λαβεῖν] λέγοιμεν — τὸ λαβεῖν libri    7 παραπλησίως V    8 scrib. πεπαυμένον    12 ἕκαστον] scrib. ἕκαστον τῶν νῦν    14 fort. προκεκινῆσθαι, ἀλλὰ καὶ τὸ κεκινημένον ἀνάγκη κινεῖσθαι πρότερον    18 ἐστὶν ἐξ] fort. ἐστὶν ἐν τῷ ἐξ    20 στιγμῆς V

*βολῶν διοριστέον. εἰ μὲν γὰρ πᾶσα ἐν χρόνῳ μεταβολή, ἀληθὲς τὸ λεγόμενον, καὶ τὸ μεταβεβληκὸς ἀνάγκη διὰ τοῦ μεταβάλλειν πρότερον ἐλθεῖν εἰς τὸ μεταβεβληκέναι, εἰ δὲ καὶ ἀθρόως γίνονταί τινες μεταβολαί, οὐκέτι ἴσως συγχωρητέον. λέγω δὲ νῦν ἀθρόως οὐχ ὡς καθόλου τὰ μόρια μόνα, ἀλλ' ὡς οὐκ ἐν χρόνῳ ἐφ' οὗ τοῦ μεταβεβληκέναι πρότερον τὸ μεταβάλλειν οὐκ ἔστιν. Ἀλέξανδρος μὲν οὖν οἴεται πᾶσαν μεταβολὴν εἶναι ἐν χρόνῳ, Θεόφραστος δὲ ἔοικε διαποροῦντι καὶ ἴσως ὑφεωρᾶτο τὰς ἀπὸ σκότους εἰς φῶς μεταβολάς, ὅταν εἰσκομισθέντος εἰς τὸ δωμάτιον λύχνου πᾶς ἀθρόως ὁ οἶκος ἀναπλησθῇ τῆς αὐγῆς καὶ τοῦ φωτὸς ἄνευ χρόνου. ἀλλὰ τοῦτο μὲν καὶ αὖθις σκεπτέον. κρατύνει δ' οὖν ὁ Ἀριστοτέλης ὅτι ἀνάγκη τὸ μεταβεβληκὸς μεταβάλλειν καὶ τὸ μεταβάλλον μεταβεβληκέναι, καὶ ἔστι τοῦ μὲν μεταβάλλειν τὸ μεταβεβληκέναι πρότερον, τοῦ δὲ μεταβεβληκέναι τὸ μεταβάλλειν, καὶ ὅτι οὐδέποτε ληφθήσεται τὸ πρῶτον, αἴτιον δέ φησιν τούτου τὸ ἐπ' ἄπειρον εἶναι τὴν διαίρεσιν τῶν τε μεγεθῶν καὶ τοῦ χρόνου καὶ μὴ εἶναι ἀμερὲς ἀμεροῦς ἐχόμενον, ἀλλ' ὥσπερ ἐπὶ τῶν γραμμῶν οὐκ ἂν λήξειέ ποτε ἡ διαίρεσις τῷ μὲν προστιθεῖσα μέρει, τοῦ δὲ ἀφαιροῦσα, οὕτως ἔχει καὶ ἐφ' ἁπάντων τῶν συνεχῶν. φανερὸν οὖν ὅτι καὶ τὸ γεγονὸς ἀνάγκη γίγνεσθαι πρότερον καὶ τὸ γιγνόμενον γεγονέναι, λέγω δὲ οὐχ ἅπαν, ἀλλ' ὅσα διαιρετὰ καὶ μεγέθη, ἐπεὶ καὶ ἀφὰς*

---

4 *μεταβεβληκέναι*] fort. addend. *καὶ τὸ μεταβάλλον διὰ τοῦ μεταβεβληκέναι εἰς τὸ μεταβάλλειν*. vid. Simplicium fol. 233. 9 *Θεόφραστος*] vid. Simplic. fol. 233. 16 *τοῦ μὲν — τὸ — τοῦ δὲ — τὸ*] *τὸ μὲν — τοῦ — τὸ δὲ — τοῦ* A 19 *πρῶτον*] *πρότερον* V

*σωμάτων γεγονέναι εἴποις ἄν, οὐ διὰ τοῦ γίγνεσθαι δέ, γίγνεται δὲ ἀθρόως καὶ οὐκ ἐν χρόνῳ. πιστώτερον δὲ καὶ ἐκ τῆς ἐπαγωγῆς· γέγονεν γὰρ τοῦτο ὕδωρ· οὐκοῦν ποτε καὶ ἐγίνετο. γέγονε τοῦτο οἰκία· οὐκοῦν καὶ ἐγίνετό ποτε οἰκία. καὶ γὰρ ὅτε τὰ θεμέλια κατεβάλλετο ἐγίνετο ἡ οἰκία. εἰ δὲ ἀκριβολογῇ μὴ τὴν οἰκίαν τηνικαῦτα γίνεσθαι, ἀλλὰ τὰ θεμέλια, ἀλλ' ὅτι γε τῆς οἰκίας τι ἦν τὰ θεμέλια συγχωρήσεις. ἡμῖν δὲ ἀπόχρη εἰς τὸ λέγειν ὅτι τοῦ γεγονέναι τὴν οἰκίαν τὸ γίγνεσθαι πρότερον ἦν, ἢ τὴν οἰκίαν αὐτὴν ἢ ἐκείνης γέ τι· ὁμοίως καὶ ἐπὶ τοῦ φθείρεσθαι καὶ ἐφθάρθαι· ἀεὶ γὰρ ἔσται τοῦ μὲν φθείρεσθαι τὸ ἐφθάρθαι πρότερον, τοῦ δὲ ἐφθάρθαι τὸ φθείρεσθαι, ἐξ ὧν ἔτι μᾶλλον πιστευτέον ἐστίν, ὅτι τὸ πρῶτον οὐκ ἔστι λαβεῖν οὐδεμιᾶς μεταβολῆς.*

8 *Τὸ δὲ ἵστασθαι τοῦ στῆναι πολὺ διαφέρει. στῆναι μὲν γάρ ἐστι τὸ παύσασθαι τῆς κινήσεως, ἵστασθαι δὲ τὸ ἐπὶ τὴν παῦλαν ταύτην ἰέναι. ἔστι δὲ τὸ μὲν ἵστασθαι ταὐτὸν τῷ ἠρεμίζεσθαι, τὸ δὲ στῆναι τῷ ἠρεμῆσαι. τὸ τοίνυν ἱστάμενον καὶ τὸ ἠρεμιζόμενον κινεῖται· πᾶν γὰρ κινεῖται ἢ ἠρεμεῖ, εἰ δ' οὔπω ἠρεμεῖ τὸ ἱστάμενον, δῆλον ὡς κινεῖται. δῆλον οὖν ὡς καὶ ἐν χρόνῳ ἵστασθαι ἀνάγκη, ἐπεὶ καὶ θᾶττον καὶ βραδύτερον ἵστασθαί φαμεν, ταῦτα δὲ ἐν χρόνῳ. ὅσα δὴ τῷ κινεῖσθαι συμβαίνει, ταῦτα καὶ τῷ ἵστασθαι ἅπαντα οἷον τό τε ἐν ᾧ πρώτῳ ἵσταται χρόνῳ,*

---

1 *εἴποις ἄν*] Alexander ap. Simpl. fol. 233. 2 *πιστωτέον* A 10 *τὸ γίγνεσθαι*] fort. *τὸ γίγνεσθαι, καὶ τὸ γεγονέναι τοῦ γίγνεσθαι* 16 Caput septimum deest in Themistio, conf. VIII, 10. 20 *τῷ ἠρεμῆσαι* Victorius, *τὸ δὲ ἠρεμῆσαι* libri

ἐν ὁτῳοῦν τούτου ἵστασθαι μέρει, καὶ τὸ μὴ εἶναι λαβεῖν ἐν ᾧ πρώτῳ ἵσταται τὸ ἱστάμενον, ἐπειδὴ τὸ ἵστασθαι καὶ τὸ κινεῖσθαι ταὐτὸν ἀπεδείχθη.

Οὐδὲ δὴ τὸ ἠρεμοῦν ὅτε πρῶτον ἠρέμησεν, ἔστι λαβεῖν· ἐν ἀμερεῖ μὲν γὰρ οὐκ ἠρέμησεν. ὅτε γὰρ πέφυκεν κινεῖσθαι τότε πέφυκε καὶ ἠρεμεῖν, πέφυκε δὲ ἐν χρόνῳ κινεῖσθαι, ὥστε ἐν χρόνῳ καὶ ἠρεμεῖν. ἔτι δὲ καὶ λέγομεν ἠρεμεῖν, ὅταν ὁμοίως ἔχῃ νῦν καὶ πρότερον, ὡς οὐχ ἑνὶ κρίνοντες ἀλλὰ δυοῖν τοῖν ἐλαχίστοιν, ὥστε οὐκ ἔσται ἀμερὲς ἐν ᾧ ἠρεμεῖ, ἀλλὰ χρόνος, χρόνος δὲ οὐκ ἔστιν πρῶτος οὐδὲ μέγεθος οὐδ' ὅλως συνεχές, ὥστε οὐκ ἔσται λαβεῖν οὐδὲ τῆς ἠρεμίας τὸ πρῶτον. ἐπεὶ δὲ πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται, ἀδύνατον ἐν ᾧ πρώτῳ κινεῖται χρόνῳ, ἐν τούτῳ κατά τι εἶναι τοῦ διαστήματος. λέγω δὲ τὸ κατά τι εἶναι τὸ καὶ αὐτὸ τὸ κινούμενον καὶ τῶν μερῶν ἕκαστον ἐν ταὐτῷ εἶναι καὶ ἴσῳ διαστήματι· ἠρεμεῖν γὰρ ἂν οὕτω τε ἅμα καὶ κινεῖσθαι αὐτῷ συμβαίνοι. τί γὰρ ἄλλο ἐστὶ τὸ ἠρεμεῖν ἢ τὸ ἐν ταὐτῷ χρόνον τινὰ εἶναι καὶ αὐτὸ ὅλον τὸ κινούμενον καὶ τὰ μέρη; εἰ οὖν ἐν μηδενὶ χρόνῳ τὸ κινούμενόν ἐστι κατά τι τοῦ διαστήματος ἐφ' οὗ κινεῖται, μηδὲ τὸν ἴσον αὐτῷ κατέχει χρόνον, πῶς διανύει τὸ ὅλον ἐν τούτῳ τῷ χρόνῳ διάστημα καὶ διέξεισιν; ἢ ὅτι ἐν τῷ νῦν ἐστὶ κατά τι τοῦ διαστήματος, τοῦτο δὲ πέρας τοῦ χρόνου, καὶ ἐν τῷ νῦν μόνον κατέχει τὸν ἴσον αὐτῷ τόπον ἐν ᾧ οὔτε ἠρεμεῖν πέφυκεν οὔτε

2 τὸ ἱστάμενον] τὸ om A 15 εἶναι] εἶναι τὸ αὐτὸ V 17 ἴσῳ] ἰδίῳ V 19 συμβαίνει A. συμβαίνῃ V 21 εἰ οὖν] conf. Simpl. fol. 236 qui post χρόνον hanc conclusionem addit: ὥστε εἰ ἐν χρόνῳ λέγεται, οὐ πρώτῳ οὐδὲ καθ' αὑτό, ἀλλὰ καθ' ὅσον ἔν τινι τοῦ χρόνου, οὐ μορίῳ ἀλλὰ πέρατι. 26 πέρας] παρὰ V 27 αὐτῷ] αὐτοῦ libri

*κινεῖσθαι; καὶ τοῦτό τε αὐτὸ δυνάμει καὶ τῷ ἐπινοεῖν ἡμᾶς, ἐπεὶ ἐνεργείᾳ γε οὐδαμῶς· ἵσταιτο γὰρ ἂν πάλιν καὶ εἰς τὰ ἄπειρα διαιροῖτ' ἂν ὁ χρόνος καὶ γίγνοιτ' ἂν ἐντελεχείᾳ τὰ ἄπειρα.*

9

*Οὕτω δὲ καὶ Ζήνων παραλογίζεται. εἰ γὰρ ἠρεμεῖ φησὶν ἅπαντα ὅταν ᾖ κατὰ τὸ ἴσον αὐτῷ διάστημα, ἔστι δὲ ἀεὶ τὸ φερόμενον κατὰ τὸ ἴσον ἑαυτῷ διάστημα, ἀκίνητον ἀνάγκη τὴν οἰστὸν εἶναι τὴν φερομένην. τοῦτο δὲ ψεῦδος· οὐ γὰρ ἀεὶ τὸ φερόμενον κατὰ τὸ ἴσον διάστημα, μᾶλλον δὲ οὐδὲ ὅλως ἐν χρόνῳ ἐστίν, ἀλλ' ἐν τῷ νῦν μόνον καθὰ προείρηται, οὐ σύγκειται δὲ ὁ χρόνος ἐκ τῶν νῦν, οὔτε ἐντελεχείᾳ τὰ νῦν ὑπάρχει οὐδὲ μόριον ὅλως τοῦ χρόνου νῦν, ὥσπερ οὐδὲ ἄλλο τοῦ συνεχοῦς, ἀμερές τε καὶ ἀδιαίρετον μόριον.*

*Τέσσαρες δέ εἰσιν οἱ τὴν κίνησιν ἀναιροῦντες λόγοι τοῦ Ζήνωνος καὶ παρέχοντες δυσκολίαν τοῖς λύουσιν, ἔστι δὲ ὁ μὲν πρῶτος τοιοῦτος. εἰ ἔστι κίνησις, ἀνάγκη τὸ κινούμενον τὸ ἥμισυ πρῶτον διεξιέναι τοῦ διαστήματος, ἄπειρα δὲ τὰ ἡμίση· ἀεὶ γὰρ τοῦ ἤδη ληφθέντος ἡμίση σημεῖα δυνατὸν λαβεῖν, οὐχ οἷόν τε δὲ τὰ ἄπειρα διεξελθεῖν ἐν πεπερασμένῳ* fol. 56. *χρόνῳ, οὐχ οἷόν τε οὖν οὐδὲ κινεῖσθαι. ῥητέον δὲ ὡς οὐκ ἐνεργείᾳ πρῶτον ἐπ' ἄπειρον ἡ διαίρεσις ἐν τοῖς συνεχέσιν, ἀλλὰ δυνάμει, καὶ τὸ κινούμενον οὐ διαιροῦν δίεισι τὸ διάστημα, οὐκέτι γὰρ ἂν ὡς ἐφ' ἑνὸς καὶ συνεχῶς αὐτοῦ κινοῖτο οὐδὲ κίνησιν συνεχῆ,*

---

1 fort. *τοῦτ' αὐτὸ* 2 *ἵσταται* libri 5 *τὸ ζήνων* A 6 *αὐτῷ*] libri *αὐτοῦ* 7 *ἑαυτῷ*] libri *ἑαυτοῦ* 11 fort. *καθάπερ εἴρηται* 14 fort. *τὸ νῦν* 23 *οὐδὲ*] *οὔτε* libri 27 fort. *συνεχοῦς*

καὶ ὁμοίως τὸ ἄπειρον ἔν τε τῷ χρόνῳ καὶ τῷ μεγέθει, καθάπερ εἴρηται πρότερον, ὥστε οὐκ ἐν πεπερασμένῳ τὸ ἄπειρον ἀλλ' ἐν ὁμοίως ἀπείρῳ.

Δεύτερος δέ ἐστιν ὁ λόγος ὁ καλούμενος Ἀχιλλεὺς τετραγῳδημένος καὶ τῷ ὀνόματι· οὐ γὰρ ὅπως φησὶν τὸν Ἕκτορα καταλήψεται ὁ ποδωκέστατος Ἀχιλλεύς, ἀλλ' οὐδὲ τὴν βραδυτάτην χελώνην. εἰ γὰρ τὸν διώκοντα ἀνάγκη πρότερον ἐλθεῖν ἐπὶ τὸ πέρας τοῦ διαστήματος οὗ τὸ φεῦγον προελήλυθεν, ἀδύνατον ἄλλο ὑπ' ἄλλου καταληφθῆναι. ἐν ᾧ γὰρ ὁ διώκων τοῦτο δίεισι τὸ διάστημα, δῆλον ὡς ὁ φεύγων ἕτερόν τι προστίθησι· εἰ γὰρ καὶ ἔλαττον ἀεὶ τῷ βραδύτερος ὑποκεῖσθαι ἀλλ' οὖν προστίθησί γέ τι. ἔστω τοίνυν δεκαπλασίονι τάχει ποδωκέστερος τῆς χελώνης ὁ Ἀχιλλεύς, σταδιαίου δὲ ὄντος τοῦ διαστήματος ὅλου προειληφέτω τὸ ἡμιστάδιον ἡ χελώνη. ἐν ᾧ δὴ τὸ ἡμιστάδιον ὁ Ἀχιλλεὺς διατρέχει, τὸ δέκατον ἂν τοῦ ἡμισταδίου τοῦ λοιποῦ ἡ χελώνη διαπορεύοιτο· ἐν ᾧ δὲ τὸ δέκατον τοῦτο πάλιν ὁ Ἀχιλλεύς, αὐτοῦ τοῦ δεκάτου τὸ δέκατον προσλαμβάνοι ἂν ἡ χελώνη ἐξ οὗ μήπω κεκίνηκε διαστήματος· ἀεὶ δὲ τοῦ προστιθεμένου μεγέθους ὑπὸ τῆς χελώνης δέκατον ἔχοντος, ἀεί τι καὶ προσλαμβάνοι ἂν ἡ χελώνη, καὶ οὐδέποτε ἑκάτερον αὐτῶν τὸ στάδιον διεξελεύσεται. κἀνταῦθα δὴ τὴν ἐπ' ἄπειρον διαίρεσιν αἰτιατέον ὡς ἐνεργείᾳ ποιεῖται ὁ λόγος αὐτήν, οὐ δυνάμει. τοσοῦτον γὰρ οὗτος τοῦ πρὸ αὐτοῦ διαφέρει τῷ μὴ ποιεῖν εἰς ἡμίση τὴν διαίρεσιν ἐπ' ἄπειρον, ἀλλ' ἴσον δήποτε λόγον. εἰ δ' ἄλλως συγχωρηθείη τὴν πεπερασμένην δύνασθαι τὸ κινούμενον διεξελθεῖν,

---

27 πρὸ] πρὸς libri    28 εἰς] ὡς V

ὡς ἐδείξαμεν, καταλήψεται πάντως ὑπὸ τοῦ θάττονος τὸ βραδύτερον. ἂν γὰρ ᾖ δωδεκαπλάσιον αὐτοῦ θᾶττον ὃ τὸ βραδύτερον ἐν ἡμέρᾳ κεκίνηται, τοῦτο κινηθήσεται τὸ θᾶσσον ἐν ὥρᾳ τῇ τελευταίᾳ τοῦ δώδεκα καὶ καταλήψεται αὐτὸ ἐν τῷ πέρατι τῆς ὥρας. νῦν δὲ ἀναγκάζουσιν ὡρισμένον τι μέρος κινεῖσθαι πρότερον τοῦ διαστήματος, εἶθ' οὕτως ὅλον, κἀντεῦθεν ὁ παραλογισμὸς ἐκ τῆς εἰς ἄπειρον διαιρέσεως· ἡμεῖς δὲ μέρος μέν τι πρῶτον κινεῖσθαι τοῦ ὅλου φαμέν, ὁρίσαι δ' αὐτὸ οὐχ οἷόν τε εἶναι· διαιροῖτο γὰρ ἂν ἤδη καὶ τὸ μέγεθος καὶ ἡ κίνησις, καὶ οὐκέτι ἂν φυλάττοιτο συνεχὴς οὔτε ἡ κίνησις μία. Ζήνων δὲ προσνεανιεύεται ἐν τῷ λόγῳ· τὸ γὰρ προέχον φησὶν ἀδύνατον καταληφθῆναι. ἡνίκα μὲν οὖν προέχει, καὶ ἡμεῖς λέγομεν ὡς ἀδύνατον· ἅμα τε γὰρ ἂν προέχοι καὶ οὐ προέχοι, ἀλλ' οὐκ ἀεὶ προέχειν αὐτοῦ συγχωρησόμεθα, ὥστε ἀεί τι προσλαμβάνειν ὡρισμένον μέρος τοῦ διαστήματος, ἀλλ' ἥξειν ποτὲ ἐπὶ τὸ πέρας, ὥστε καὶ τὸ θᾶττον ὁμοίως. ὅταν τοίνυν ὁ χρόνος τοιοῦτος ᾖ τῆς κινήσεως τοῦ ταχυτέρου, ὥστε μὴ πλείονι λείπεσθαι ἢ ὅσῳπέρ ἐστιν ἀργότερον τὸ βραδύτερον, ἀναγκαῖον αὐτὸ ὑπὸ τοῦ ταχυτέρου καταλαμβάνεσθαι.

Τρίτος δ' οὖν λόγος ὁ περὶ τῆς ὀϊστοῦ τῆς φερομένης ὃν φθάσαντες ἤδη λελύκαμεν· ἀεὶ μὲν γὰρ ἕκαστον τῶν κινουμένων ἐν τῷ νῦν τὸ ἴσον ἑαυτῷ κατέχει διάστημα, ἀλλ' οὐ σύγκειται ἐκ τῶν νῦν ὁ χρόνος, οὔτε εἰς τὰ νῦν διαιρεῖται, μὴ συγχωρουμένου δὲ τούτου οὐ πρόεισιν ὁ συλλογισμός.

---

9 μέρος om V  15 προέχῃ libri  17 ὥστε] οὔτε A  27 τῶν νῦν] τοῦ νῦν libri  29 ὁ ante συλλογ. om libri

*Τέταρτος δέ ἐστιν λόγος ὁ περὶ τῶν ἐν τῷ σταδίῳ φερομένων· τρεῖς γὰρ ὄντας ἴσους κατὰ τὸ μῆκος ποιήσας τὸν μὲν κινεῖ, τὸν δὲ ἵστησι, τὸν δὲ ἀντικινεῖ. ἐπεὶ δὲ θᾶττον ὁ κινούμενος δίεισι τὸν ἀντικινούμενον ὄγκον ἢ τὸν ἑστῶτα, οἴεται σόφισμα πλέκειν ἐντεῦθεν. τὸ γὰρ ἴσον διάστημά φησιν· ἴσοι γὰρ ὅ τε μένων ὄγκος καὶ ὁ φερόμενος, ἐξ ἐναντίων οὐκ ἐν ἴσῳ δίεισι χρόνῳ. καὶ σφόδρα γε, ὦ θαυμάσιε· ὁ μὲν γὰρ ἕστηκεν, ὁ δὲ ἀντικινεῖται. εἰ δὲ ἔμενον ἄμφω, τότ' ἂν παράλογον ἦν.*

*Ἐρωτᾶται δέ τις καὶ ἕτερος λόγος παρὰ τοὺς τέσσαρας τοὺς εἰρημένους περὶ τῆς κατὰ ἀντίφασιν μεταβολῆς. ἐπειδὴ γὰρ κινεῖται τὸ κινούμενον καὶ ἔκ τινος εἴς τι μεταβάλλον, ἐν μηδετέρῳ εἶναι ὅτε κινεῖται, μήτε ἐξ οὗ μήτε ἐν τῷ εἰς ὅ. ἡνίκα ἂν γίνεταί φασι κατὰ ἀντίφασιν ἡ μεταβολή, οἷον ἐκ τοῦ λευκοῦ εἰς τὸ μὴ λευκόν, ἢ ἐκ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι, δῆλον ὡς οὔτε λευκόν ἐστιν οὔτε οὐ λευκόν, οὔτε ὂν οὔτε οὐκ ὂν τὸ μεταβάλλον, ἀλλ' ἀδύνατον. ἀντιφάσεως γὰρ οὐδὲν μεταξύ. ἡμεῖς δέ φαμεν ὡς ἀμφότερα μᾶλλόν ἐστι τὸ μεταβάλλον, οὐχ ὡς οὐδέτερον, καὶ λευκὸν καὶ οὐ λευκόν, ˀκαὶ μουσικὸν καὶ οὐ μουσικόν, ἀλλ' οὐχ ὅλον, ἀλλὰ κατά τι μὲν λευκόν, κατά τι δὲ οὐ λευκόν, οὕτως δὲ καὶ ἔσται καὶ οὐκ ἔσται τὸ φθειρόμενον κατά τι μέντοι γε ἑκάτερον, οὐχ ὅλως ἐν ἑκατέρῳ, μέχρις ἂν φθείρηται. ἦν δὲ καὶ οὗτος ἐπὶ τῆς ἀντιφάσεως διορισμὸς ὁ μὴ*

2 post *φερομένων* addendum *ὄγκων*, aut sequens *ὄντας* in *ὄγκους* mutandum. conf. Prantl symb. crit. p. 43. 7 *ἐναντίου* V. *ἐναντίας* Aristoteles 9 *ὁ μὲν*] *τὸ μὲν* libri 11 *ἐρωτᾷ* A 13 *καὶ* fort. delendum 15 fort. *μήτε ἐν τῷ ἐξ* vid. Simplic. fol. 238 b. *ἂν*] scrib. *γὰρ* 19 *ἀλλ' ἀδύνατον*] scrib. *ἀλλὰ μεταξύ. ἀλλ' ἀδύνατον.*

*κατὰ ἄλλο καὶ ἄλλο. ἡ σφαῖρα δὲ κινουμένη περὶ μένοντα τὸν ἄξονα καὶ ὁ κύκλος ὁ περὶ τὸ κέντρον ὁμοίως πῶς ἠρεμοῦσιν; οἴονται γὰρ καὶ τοῦτο παραλογίζεσθαι. μένουσι γάρ φησιν ἐν ταὐτῷ τόπῳ. ἀλλὰ πρῶτον μὲν τὰ μόρια τῶν οὕτω κινουμένων οὐδ' ὅλως ἐν ταὐτῷ μένει, ἀλλ' ἕκαστον αὐτῶν ἐν ἄλλῳ καὶ ἄλλῳ γίνεται συνεχῶς, ἔπειτα οὐδὲ τὸ ὅλον· οὐ γὰρ ἡ αὐτή ἐστιν περιφέρεια ἀπό τε ἄλλης καὶ ἄλλης λαμβανομένη, εἰ μὴ κατὰ συμβεβηκός, ὅτι περὶ ταὐτὸν ὑποκείμενον, ἀλλ' ἑτέρα μὲν ἀπὸ τοῦ α̅ ἀρχομένοις, ἑτέρα δὲ ἀπὸ τοῦ β̅, καὶ πάλιν ἑτέρα ἀπ' ἄλλου σημείου, ὥστε οὐδέποτε ἐν τῇ αὐτῇ τὸ ὅλον ἐστίν.*

10 *Ἀποδεδειγμένων δὲ τούτων λέγομεν, ὅτι τὸ ἀμερὲς οὐκ ἐνδέχεται κινεῖσθαι πλὴν κατὰ συμβεβηκός, οἷον κινουμένου τοῦ σώματος ἢ τοῦ μεγέθους ᾧ ἐνυπάρχει, καθάπερ στιγμή, καὶ ὥσπερ τὸ ἐν τῷ πλοίῳ* fol. 56b. *κινούμενον ὑπὸ τῆς τοῦ πλοίου φορᾶς. οὕτω δὲ καὶ τὰ μέρη κατὰ συμβεβηκὸς κινεῖται τῷ ἐνυπάρχειν τῷ ὅλῳ πλὴν οὐχ ὁμοίως· τὰ μὲν γὰρ μέρη κινεῖται ὅμως καὶ καθ' αὑτά, ἀμέλει καὶ διαφέρουσαι τούτων κινήσεις εἰσὶν τῆς τοῦ ὅλου. ἴδοι δ' ἄν τις ἐπὶ τῆς σφαίρας μάλιστα τὴν διαφοράν· τῆς μὲν γὰρ ὅλης ἰσοταχής ἐστιν ἡ κίνησις, οὐ ταὐτὸν δὲ τάχος ἑκάστου τῶν μερῶν τῶν τε περὶ τοὺς πόλους καὶ τῶν περὶ τὸν μέγιστον κύκλον.*

*Τὰ δὲ ἀμερῆ οὐδαμῶς οἷά τε κινεῖσθαι καὶ καθ' αὑτὰ πλὴν κατὰ συμβεβηκὸς καὶ τῷ ἐνυπάρχειν· εἰ γὰρ οἷόν τε, ὑποκείσθω τι κινούμενον ἀμερές, ἔσται, εἴτε ἐκ μεγέθους εἰς μέγεθος, εἴτε ἐκ ποιότητος εἰς*

---

4 scrib. φασιν 9 περὶ] παρὰ A

ποιότητα, εἴτε μεταβάλλον ἐκ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι, ἐν ᾧ χρόνῳ ἄρχεται μεταβάλλειν, ἢ ἐν ἐκείνῳ ἐξ οὗ μεταβάλλει, καὶ οὕτως ἠρεμοῖ ἄν· εἰ δὲ ἐν ἐκείνῳ εἰς ὃ μεταβάλλει, μεταβεβληκὸς ἂν εἴη μεταβάλλον· λείπεται ἄρα τὸ μὲν ἐν τούτοις εἶναι, τὸ δὲ ἐν ἐκείνῳ. ἀλλὰ μεριστὸν οὕτως ἐστί· μοναχῶς γὰρ ἂν οὕτως ἦν ἡ κίνησις τῶν ἀμερῶν, εἰ σύγκειτο ὁ χρόνος ἐκ τῶν νῦν· ἐπεὶ γὰρ κατὰ τὸ νῦν ἕκαστον κεκίνηται, εἴπερ σύνθετος ὁ χρόνος ἐκ τῶν νῦν, ἦν ἂν λέγειν τὸ ἀμερὲς κεκινῆσθαι καθ' ἕκαστον νῦν, οὕτω δὲ καὶ καθ' ὅλον τὸν χρόνον, οὕτω δ' ἂν ἠκολούθει καὶ τὴν κίνησιν ἐκ κινημάτων καὶ περάτων συγκεῖσθαι κινήσεως καὶ τὸν χρόνον ἐκ τῶν νῦν καὶ τὸ διάστημα ἐξ ἀμερῶν καὶ μηκέτ' ἂν εἶναι τοῦ κινεῖσθαι πρότερον τὸ κεκινῆσθαι. ἔτι πᾶν τὸ κινούμενον κατὰ τόπον εἰ μέλλει μεῖζον αὑτοῦ κινήσεσθαί τι διάστημα, πρότερον ἐξ ἀνάγκης ἔλαττον ἑαυτοῦ κινηθήσεται ἢ καὶ ἴσον· εἰ γὰρ εἴη τὸ κινούμενον πηχυαῖον, οὐκ ἂν διέλθοι τὴν ὀργυίαν, εἰ μὴ πρότερον ἡμίπηχυ κινηθῇ τοῦ διαστήματος ἢ πηχυαῖον, τοῦτο δέ ἐστιν ἔλαττον ἢ ἴσον. εἶναι μὲν γὰρ ἐν ἐλάττονι τόπῳ κινούμενον οὐκ ἐνδέχεται, κινεῖσθαι δὲ καὶ προϊέναι καὶ κατ' ἔλαττον οἷόν τε. τούτου τοίνυν οὕτως ἔχοντος εἰ κινοῖτο κατὰ τόπον τὸ ἀμερές, ἔλαττον μὲν ἑαυτοῦ οὐ κινηθήσεται διάστημα· εἴη γὰρ ἂν οὕτως γε μεριστόν. εἰ δὲ ἀεὶ κατὰ τὸ ἴσον ἑαυτῷ κινηθήσεται, ὅταν διεξέλθῃ τὴν γραμμήν, ἔσται ταύτην καταμεμετρηκός· εἰ δὲ τοῦτο,

---

2 χρόνῳ] δὲ χρόνῳ τὸν V ἢ ἐν — οὕτως om V 5 ἄρα] γὰρ ἄρα libri 7 σύγκειτο V pro συνέκειτο. σύγκοιτο A 16 κινήσασθαι libri 20 scrib. κινηθείη 21 ἢ ἴσον] ἂν ἴσον V 27 ἑαυτοῦ libri

*ἔσται σύνθετος ἐξ ἀμερῶν ἡ γραμμή. ἔτι εἰ πᾶν ἐν χρόνῳ κινεῖται, κινεῖται δὲ καὶ ἡ στιγμὴ τὸ ἴσον αὐτῇ διάστημα, ἐν χρόνῳ δήπου καὶ τοῦτο κινεῖται, ἀλλὰ παντὸς χρόνου λαβεῖν ἐστὶν ἐλάττω χρόνον, ὥστε καὶ τούτου λάβοιμεν ἂν ἐλάττω καθ' ὃν ἡ στιγμὴ τὸ ἴσον αὐτῇ μετελήλυθε διάστημα, ἀλλ' ἀδύνατον. ἐν γὰρ τῷ ἐλάττονι ἔλαττον ἀνάγκη κινεῖσθαι, ὥστε ἔσται διαιρετὸν τὸ ἀδιαίρετον· μοναχῶς γὰρ ἂν κινοῖτο τὸ ἀμερὲς [ἀλλὰ] καὶ ἀδιαίρετον, εἰ ἐν τῷ νῦν κινεῖσθαι δυνατὸν εἶναί τις ἂν δόξει.*

*Μεταβολὴ δὲ οὐκ ἔστιν οὐδεμία ἄπειρος· ὥρισται γὰρ ἑκάστης τὰ πέρατα. καὶ περὶ μὲν τῶν ἄλλων δῆλον εὐθύς, οἷον γενέσεως φθορᾶς ἀλλοιώσεως αὐξήσεως φθίσεως· γενέσεως μὲν γὰρ πέρατα καὶ φθορᾶς τὰ τῆς ἀντιφάσεως μέρη, τὸ εἶναι καὶ τὸ μὴ εἶναι, ἀλλοιώσεως δὲ τὰ ἐναντία· ταῦτα δὲ ἄκρα τῆς μεταβολῆς, ὁμοίως δὲ καὶ αὐξήσεως μὲν τὸ πέρας τοῦ κατὰ τὴν οἰκείαν φύσιν τελείου μεγέθους, φθίσεως δὲ ἡ τοῦδε ἔκστασις. περὶ δὲ φορᾶς οὕτως μὲν οὐκ ἔστιν ἀποδεῖξαι· οὐ γὰρ πᾶσα ἐν ἐναντίοις, οὐδὲ ἐν ἀντιφάσει, ὥσπερ ἔχει καὶ ἡ τῶν ζώων κίνησις καὶ ἡ τοῦ παντὸς περιφορά· ἡ μὲν γὰρ τῶν ζώων παντελῶς ἀόριστος καὶ οὐκ ἐξ ἐναντίου εἰς ἐναντίον, ἡ δὲ περιφορὰ ἀπὸ ταὐτοῦ εἰς ταὐτό. ἄλλως δὲ ἀποδεικτέον· ἐπεὶ γὰρ τὸ ἀδύνατον τμηθῆναι οὐδὲ τέμνεσθαι δυνατόν, λέγω δὲ ἀδύνατον ὃ τῷ μὴ ἐνδέχεσθαι οὕτω καλεῖται, καὶ ὅλως τὸ ἀδύνατον γενέσθαι οὐδὲ γίνεσθαι δυνατόν· ἀδύνατον γάρ ἐστι τὴν διάμετρον σύμμετρον τῇ πλευρᾷ γενέ-*

---

3 *αὐτὴ* libri 9 *ἀλλὰ* delendum 10 fort. *δόξειεν* 17 scrib. *αὐξήσεως καὶ φθίσεως· αὐξήσεως* 19 *φορᾶς*] *φθορᾶς* libri 24 libri *ἀπ' αὐτοῦ εἰς αὐτὸ*

σθαι· οὐκοῦν οὐδὲ γίνεσθαι δυνατόν. εἰ δὲ τοῦτο ἀληθές, ἐπειδὴ φορὰν ἄπειρον ἐνεχθῆναι ἀδύνατον, οὐδὲ φέρεσθαι δυνατόν. ἣν δὲ φέρεσθαι δυνατὸν καὶ ᾗ φέρεται, ταύτην δυνατὸν καὶ ἐνεχθῆναι· πεπερασμένη ἄρα ἣν φέρεται καὶ τὰ ζῷα καὶ τὰ θεῖα σώματα ἅπαντα. μίαν δὲ ἄρα κίνησιν ἐνδέχεται τὴν αὐτὴν κατ' εἶδος πάλιν καὶ πάλιν γινομένην καὶ συνεχῆ καὶ ἄπειρον εἶναι τῷ χρόνῳ· ἄλλην μὲν γὰρ ἀπ' ἄλλης ἴσως δυνατόν, οἷον εἰ μετὰ τὴν φορὰν ἀλλοίωσις εἴη, καὶ μετὰ τὴν ἀλλοίωσιν αὔξησις καὶ πάλιν γένεσις· οὕτως γὰρ ἀεὶ μὲν ἔσται κίνησις, ἀλλ' οὐ μία διὰ τὸ μὴ εἶναι μίαν ἐξ ἁπασῶν, ὥστε δὲ γίνεσθαι μίαν οὐκ ἐνδέχεται ἄπειρον εἶναι τὸν χρόνον πλὴν μιᾶς, αὕτη δέ ἐστιν ἡ κύκλῳ φορά.

---

9 μετὰ τὴν φορὰν] μεταφορὰ V 10 καὶ πάλιν γένεσις om A 11 ἀεὶ μὲν] ἂν ἀεὶ V 13 scrib. τῷ χρόνῳ

fol. 57.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

## ΕΙΣ ΤΟ ΕΒΔΟΜΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

2 *Ἐπειδὴ πᾶν τὸ φερόμενον ὑφ' ἑαυτοῦ κινεῖται ἢ ὑπ' ἄλλου, ὅσα μὲν ὑφ' ἑαυτοῦ κινεῖται, δῆλον ὡς ἄρα ἐν ἑαυτοῖς τὸ κινοῦν ἔχει· ἐνυπάρχει γὰρ αὐτοῖς ἡ κινητικὴ δύναμις. ὅσα δὲ ὑπ' ἄλλου κινεῖται τὴν κατὰ τόπον φοράν, ἐπὶ τούτων ἐπισκεπτέον εἰ μηδέν ἐστι μεταξὺ τοῦ τε προσεχῶς κινοῦντος καὶ τοῦ φερομένου. τετραχῶς τοίνυν ὑπ' ἄλλου ταῦτα κινεῖται· ἢ γὰρ ἕλκοντος ἢ ὠθοῦντος ἢ ὀχοῦντός γε ἢ δινοῦντος· πᾶσαι γὰρ αἱ κατὰ τόπον κινήσεις εἰς τούτους τοὺς τρόπους ἀνάγονται· ἡ γὰρ ῥίψις καὶ αὐτὴ ὑπὸ τὴν ὦσίν ἐστιν. σφοδρὰ γὰρ ὦσίς ἐστιν ἡ ῥίψις αὐτοῦ μὲν οὐκ ἐπακολουθοῦντος σφοδροτέ-*

---

4 Caput primum et initium secundi p. 241—3, 11 deest neque Simplicius in Themistii libris invenit; fol. 242 *καὶ ὁ Θεμίστιος δὲ τὴν ὅλην πραγματείαν παραφράζων ἐν τούτῳ τῷ βιβλίῳ γινόμενος πολλὰ τῶν ἐν αὐτῷ κεφαλαίων κατενωτίσατο.* fol. 245 *ἰστέον δὲ ὅτι ὁ Θεμίστιος ἐν οἷς ἀνέγνων ἐγὼ βιβλίοις ἀπὸ ταύτης τῆς ῥήσεως τῆς λεγούσης· ἅπαν δὴ τὸ φερόμενον ἢ αὐτὸ ὑφ' ἑαυτοῦ κινεῖται ἢ ὑπ' ἄλλου, ἤρξατο τοῦτο τὸ βιβλίον παραφράζειν τῶν μέχρις τοῦδε ῥηθέντων ἐν αὐτῷ καταφρονήσας καὶ οὐδὲ ἐν τοῖς ἑξῆς τὴν συνέχειαν φυλάττει.*

ρας ὑπὸ τῆς ῥύμης, ὅταν αὕτη γένηται θάττων τῆς κατὰ τὴν φύσιν κινήσεως τοῦ ῥιφθέντος. εἰ δὴ τέσσαρες οὗτοι τρόποι τῆς ὑπ' ἄλλου φορᾶς, ἀδύνατον δὲ ἢ ὠθοῦντα μὴ ἅπτεσθαι ἢ τὸν ἕλκοντα ἢ τὸν δινοῦντα ἢ τὸν ὀχοῦντα, δῆλον ὡς τοῦ κινουμένου καὶ τοῦ προσεχῶς κινοῦντος οὐδὲν μεταξύ. ἀλλ' οὐδὲ τοῦ ἀλλοιουμένου καὶ τοῦ ἀλλοιοῦντος· ἅμα γὰρ συμβαίνει τε εἶναι τὸ ἔσχατον ἀλλοιοῦν καὶ τὸ πρῶτον ἀλλοιούμενον, ἀλλοιοῦται δὲ τὰ αἰσθητὰ καὶ ὑπὸ αἰσθητῶν, αἰσθητὰ δέ ἐστιν ταῦτα οἷς διαφέρει σῶμα σώματος, βαρύτης κουφότης καὶ θερμότης ψυχρότης καὶ τὰ σύστοιχα, ἅπτεται δὲ καὶ τὸ θερμαῖνον καὶ τὸ ψῦχον καὶ τὸ λευκαῖνον καὶ τὸ τὴν αἴσθησιν κινοῦν· καὶ γὰρ αἱ κατ' ἐνέργειαν αἰσθήσεις ἀλλοιώσεις εἰσίν· τῷ μὲν γὰρ πυρὶ συνεχὴς ὁ ἀήρ, τῷ δὲ ἀέρι τὸ σῶμα, καὶ τὸ μὲν χρῶμα τῷ φωτί, τὸ δὲ φῶς τῇ ὄψει. οὕτω δὲ καὶ ἐπ' ἀκοῆς καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων· ἅμα γὰρ τῇ γεύσει ὁ χυμός, καὶ ὄσφρησις τῷ ὀσφραντῷ, καὶ οὐδὲν μεταξύ. ὁμοίως δὲ οὐδ' αὐξανομένου καὶ αὐξάνοντός ἐστι μεταξύ. αὐξάνει γὰρ προσγινομένου τινὸς καὶ ἑνουμένου καὶ πάλιν φθίνει ἀπόντος ἀεὶ τοῦ φθίνοντος. καθ' ὅσα μὲν τὸ ἄψυχον ἀλλοιοῦται, κατὰ πάντα καὶ τὸ ἔμψυχον· οὐ μὴν ἀνάπαλιν. αἱ γὰρ αἰσθήσεις αἱ κατ' ἐνέργειαν ἴδιαι τῶν ἐμψύχων ἀλλοιώσεις εἰσίν.

Ὅτι δὲ τὸ ἀλλοιούμενον ἀλλοιοῦται ὑπὸ τῶν αἰ- 3
σθητῶν καὶ ἐν ἄλλοις οὐ γίνεται ἀλλοίωσις, ὧδε ἂν

---

1 θάττων om V   3 τρόποι om A   4 scrib. ἢ τὸν ὠθοῦντα   6 οὐδὲ] οὐδὲν libri   11 κουφότητος et 12 ψυχρότητος V   23 καθ'] καὶ V   ἄψυχον — ἔμψυχον] ἔμψυχον — ἄψυχον V

τις καταμάθοι σαφῶς. μάλιστα γὰρ τῶν λοιπῶν ἐν σχήμασιν καὶ μορφαῖς καὶ ἕξεσιν καὶ ταῖς τούτων ἀφαιρέσεσιν καὶ μεταβολαῖς ἀλλοιώσεις ἂν γίνεσθαί τις ὑπολάβοι, οὐκ ἀληθὲς δέ· τὸ μὲν γὰρ σχηματισθὲν οὐκέτι καλοῦμεν τῷ ὀνόματι τῆς ὑποκειμένης οὐσίας οἷον τὸν ἀνδριάντα χαλκὸν ἢ τὴν κλίνην ξύλον, ἀλλὰ παρωνυμιάζοντες τὸν μὲν χαλκοῦν, τὴν δὲ ξυλίνην, τὸ δὲ ἠλλοιωμένον ἔτι καλοῦμεν ὁμοίως· θερμὸν γὰρ τὸν χαλκὸν καὶ ψυχρόν, καὶ τὸ ξύλον ὑγρὸν ἢ σκληρὸν ὡς ἐνταῦθα μὲν ὑπομένοντος ἀκριβῶς πρότερόν τε καὶ νῦν τοῦ τὸ πάθος ἀναδεξαμένου τὸ ὑπὸ τῆς ἀλλοιώσεως ἐγγενόμενον, ἐπὶ δὲ τῶν σχημάτων σχηματιζομένων οὐκέτι μενούσης παντελῶς ἐν ταυτότητι τῆς ὑποκειμένης οὐσίας· ἐγγὺς γὰρ γενέσεώς εἰσιν αἱ τοιαῦται μεταβολαί· συμβάλλουσι γὰρ ἀμωσγέπως καὶ τὴν ὑποκειμένην φύσιν ἥτις ἂν εἴη. καθάπερ οὖν ἄλογον ἠλλοιῶσθαι τὸν ἄνθρωπον λέγειν τὸν γενόμενον ἢ τὴν οἰκίαν ἢ τὴν ναῦν· μένειν γὰρ δεῖ ταὐτὸν τὸ ἀλλοιούμενον ἀκριβῶς, οὕτω καὶ ἐπὶ τῶν μετασχηματίσεων ἔχει. γενέσθαι μὲν οὖν ἴσως ἕκαστον καὶ ἐπὶ τῶν γενέσεων ἀναγκαῖον ἀλλοιουμένου τινός, οἷον τῆς ὕλης πυκνουμένης ἢ ψυχομένης, οὐ μέντοι τὰ γινόμενά γε ἀλλοιοῦται, οὐδὲ ἡ γένεσις αὐτῶν ἀλλοίωσις· ἔστι γὰρ καὶ αἵρεσις ἐπὶ τῶν γενέσεων ἀλλοιοῦσθαι τὸ πρότερον τὴν ὑποκειμένην ὕλην, ἀλλ' οὐκ ἐπὶ τῆς αὐτῆς φύσεως μένειν ἣν εἶχε πρῶτον. οὐ γὰρ γῆ καὶ ὕδωρ ὁ κέραμος ἢ ὁ πηλός, ἀλλ' εἰς ἑτέραν φύσιν μετέστη, οὔτε μὴν τὸ γεγονὸς οἷον τὴν πλίνθον ἢ τὸν ἀμφορέα· οὐδὲν γὰρ ἦν πρὸ τούτων πλίνθος ἢ ἀμφορεύς.

16 εἴη] scrib. ᾖ     22 γε] τε libri

Ἀλλὰ μὴν οὐδὲ τὰς τοῦ σώματος ἕξεις ἢ τὰς τῆς ψυχῆς οἷον νόσους τε καὶ ὑγείας καὶ κακίας καὶ ἀρετὰς εἴποις ἂν ἀλλοιώσεις, οὐδὲ ἀλλοιοῦσθαι κατὰ ταῦτα τὰ σώματα τῶν ζώων καὶ τὰς ψυχάς· αἱ μὲν γὰρ ἀρεταὶ τελειώσεις εἰσί, διὸ μάλιστα τότε ἔχει κατὰ φύσιν ἕκαστον ὅταν ἀπολάβῃ τὴν οἰκείαν ἀρετήν, αἱ δὲ κακίαι διαφθοραί. ὥσπερ οὖν οὐδὲ τὸ τελειούμενον ἀλλοιοῦται· ἄτοπον γάρ, εἴ τις τὴν ὀροφουμένην οἰκίαν ἀλλοιοῦσθαι λέγει καὶ ὀροφεῖσθαι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει τῶν τε τοῦ σώματος καὶ τῶν τῆς ψυχῆς. ἔτι πᾶσα ἀρετὴ καὶ κακία ἐν τῷ συμμέτρῳ καὶ ἀσυμμέτρῳ, ταῦτα δὲ τοῦ πρός τι. κατὰ τὸ πρός τι δὲ οὐκ ἔστιν ἀλλοίωσις.

Ἀλλὰ μὴν οὐδὲ αἱ τοῦ νοητικοῦ μέρους ἕξεις οὔτε αἱ λήψεις τῶν ἕξεων, καὶ οὐχ ὅπως γε ἀλλοιώσεις, ἀλλ' οὐδὲ γενέσεις ὅλως. αἱ μὲν γὰρ ἐπιστῆμαι ἐκ τῶν καθόλου, τὰ καθόλου δὲ ἐκ τῶν κατὰ μέρος ἀθροίζονται, οὐδὲ τῆς ἐνεργείας τοῦ νοῦ γένεσίς ἐστιν ἢ ἀλλοίωσις, οὐδὲ γὰρ ὅλως ἐν χρόνῳ, οὐδὲ συμπληροῦται αὐτοῖς τὸ εἶναι ὑπὸ τοῦ χρόνου, εἰ καὶ ὅτι μάλιστα χρόνου ὄντος νοοῦμέν τε καὶ θεωροῦμεν, fol. 57b. ὥσπερ δὴ καὶ τὸ ἅπτεσθαι χρόνου μὲν ὄντος γίνεται, οὐκ ἐν χρόνῳ δέ. καὶ τοῦτο δῆλον ἐκ τοῦ ἐν παντὶ μορίῳ τοῦ χρόνου ὁμοίως ἅπτεσθαι τὰ ἁπτόμενα, ὡς οὐδὲν τοῦ χρόνου δεόμενα εἰς τὴν τοῖ ἅπτεσθαι γένεσιν, ἃ δὲ οὐ προσδεῖται χρόνου ὥστε ἐκ τῆς δυνάμεως εἰς τὴν ἐνέργειαν μεταβάλλειν, ταῦτα ἀχρόνως γίνεται.

Οὐκ ἔστι δὲ πᾶσα κίνησις πάσῃ συμβλητὴ οὐδὲ 4

---

9 immo λέγοι 19 γὰρ om A

κοινὸν μέτρον ἁπασῶν· τί γὰρ ὅμοιον πάθους καὶ φορᾶς; ἀλλ' οὐδὲ φορᾶς τῆς κύκλῳ ἐστὶ καὶ εὐθείας· οὔτε γὰρ τὰ διαστήματα συμβλητὰ ἥ τε περιφερὴς γραμμὴ καὶ ἡ εὐθεῖα· οὔτε γὰρ μείζων ἡ ἑτέρα τῆς ἑτέρας, οὔτ' ἐλάττων· οὔτ' οὖν τὸ ταχύτερον ἐπὶ πασῶν πρὸς πάσας, οὔτε τὸ βραδύτερον, ὅμοιον δὲ ὡς εἰ λέγοιμεν ὀξύτερον εἶναι τὸ γραφεῖον τοῦ οἴνου καὶ τὸ ξίφος τῆς νήτης. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι κοινὸν μέτρον ἁπασῶν ὁ χρόνος φορᾶς νεύσεως πτήσεως βαδίσεως αὐξήσεως ψύξεως καὶ τῶν τοιούτων· ἐν ἴσῳ γὰρ χρόνῳ τὸ μὲν ἠνέχθη, τὸ δὲ ἔπαθε, τὸ δὲ ηὐξήθη· ἀλλ' οὐ διὰ τοῦτο γενικήν τινα εἶναι κίνησιν ῥητέον, μόνα δὲ τὰ συνώνυμα συμβλητά, καὶ ἰστέον ὅτι τῶν ὁμωνυμιῶν αἱ μὲν ἔχουσί τι κοινὸν αἱ δὲ οὔ, καὶ αἱ μὲν ἐγγὺς αἱ δὲ πόρρω.

5 Ἐπεὶ δὲ τὸ κινοῦν δυνάμει τινὶ κινεῖ καὶ ἔν τινι διαστήματι καὶ ἐν πόσῳ χρόνῳ, ἆρα ὡς ἡ πολλαπλάσιος δύναμις πολλαπλάσιον κινεῖ βάρος, οὕτως ἡ πολλοστημόριος πολλοστημόριον, οἷον εἰ τὸν κίονα οἱ πεντήκοντα, τὸ πεντηκοστὸν τοῦ κίονος εἷς δυνατὸς κινῆσαι καθ' αὑτόν; καὶ εἰ στάδιον οἱ πεντήκοντα ἐν ἡμέρᾳ μιᾷ τὸν στύλον ὅλον κινοῦσιν, τὸ ἡμιστύλιον οἱ πεντήκοντα δύο σταδίους ἐν τῇ ἡμέρᾳ, οἱ δὲ πέντε καὶ εἴκοσι τὸ στάδιον μόνον; καὶ εἰ καθάπερ τὸ στάδιον οἱ πεντήκοντα τὸ πεντηκοστὸν τοῦ σταδίου κινήσει τὸν κίονα τοῦτον, ἄνθρωπος εἷς ἐν τῷ ἴσῳ χρόνῳ ἐν ὅσῳπερ τὸ ὅλον οἱ πεντήκοντα; τούτων γὰρ τὰ μὲν φαίνεται ἔχειν τὴν ἀναλογίαν, τὰ δὲ οὐ

---

3 fort. οὐδὲ γὰρ — συμβλητή  5 ἐλάττων] οὖν ἐλάττων V  6 οὔτε] οὐδὲ libri  7 ἐλέγοιμεν A. λέγομεν V  9 πτώσεως V

δύναται, οἷον οὖν καὶ τὸ τελευταῖον τῶν εἰρημένων· συμβαίνοι γὰρ ἂν οὕτως τῷ ἰσχυροτάτῳ τὸ ἀσθενέστατον τὸ αὐτὸ κινεῖν, οὐ τὸν ἴσον μὲν τόπον οὐδ' ὡσαύτως, παράδοξον δὲ καὶ ὁπωσοῦν καὶ ὁτιοῦν ὥστε καὶ τὸν ἕνα κινεῖν τὸ πλοῖον καὶ τὸ δεκατάλαντον βάρος. φαίνεται γὰρ ὅτι κατά τινα δυνάμεως ὑπεροχὴν τὸ κινοῦν κινεῖ καὶ ἔστιν ἡ μέν τις ἀπολειπομένη πόρρω τοῦ κινητοῦ καὶ ὥσπερ ἀσύμβλητος αὐτῶν, ἡ δ' οἷον ἡττωμένη, ἡ δὲ οἷον ἰσάζουσα ἤδη, ἡ δὲ καὶ κρατοῦσα λοιπόν· διὰ τοῦτο γὰρ ὁ μὲν εἷς πόρρω τοῦ κινῆσαι τὴν ναῦν, οἱ δέκα δὲ ἐλάττους, οἱ τριάκοντα δὲ οὐδὲ κρατοῦσιν οὐδὲ κρατοῦνται, προσγενομένου δὲ ἑνὸς ὑπερέχουσιν ἤδη τοῦ κινητοῦ, ποιεῖ δὲ οὐχ εἷς ἀλλ' ἡ τῶν συμπάντων δύναμις, ὥσπερ καὶ ἐπὶ τῶν ἰσορρόπων ζυγῶν. εἷς γὰρ χαλκὸς προστεθεὶς τὸ σύμπαν βάρος ἐκίνησεν, ἀεὶ δὲ ἐγγυτέρω τοῦ κινεῖν τὸ πλέον τοῦ ἐλάττονος, ὥσπερ καὶ ἐπὶ τῶν μεγεθῶν ἐγγυτέρω εἶναι τοῦ τρίπηχυ τὸ παλαιστοῦ δέον ἢ τὸ πήχεος, ἔτι δὲ μᾶλλον τὸ δυοῖν δακτύλοιν, καὶ ἔτι μᾶλλον τὸ δακτύλου ἑνός, οὐδέπω δὲ οὐδὲ τοῦτον πρὶν ἂν προστεθῇ τὸ δακτυλιαῖον. αἴτιον δὲ οὐ τὸ ὕστατον προστεθὲν τοῦ τριπηχυαίου ἀλλὰ τὸ ἐξ ἁπάντων μέγεθος. ἀλλ' ἐπὶ μὲν τούτων ὥρισται τὸ ποσὸν καὶ ῥᾴδιον εὑρεῖν καὶ τῇ αἰσθήσει καὶ τῷ λόγῳ τὸ μέγεθος προσελθόντι τρίπηχυ μέγεθος πρῶτον ἐποίησεν, ἐπὶ δὲ τῆς νεὼς νεολκίας καὶ τοῦ ζυγοῦ χαλεπὸν ἀποδοῦναι, πότε τοσοῦτον ἐγένετο, ὥστε πρῶτον κινῆσαι. τὸ γὰρ παρὰ μικρὸν

2 συμβαίνει libri   8 καὶ om A   18 fort. τοῦ εἶναι   21 τοῦτον] immo τοῦτο   προτεθῇ libri   23 fort. τῷ τριπηχυαίῳ   26 προσελθόντι] fort. ὃ προσελθὸν

*ἐνταῦθα ἀνακύπτει καὶ ὁ σωρίτης καθάπερ ἐπὶ τοῦ πλούτου καὶ τῆς φαλακρότητος. οὐκοῦν θαυμαστέον, διὰ τί δήποτε οὗτος μόνος μὲν τυγχάνων οὐκ ἐκίνει, μετὰ δὲ τριάκοντα τυχὸν ἴσως ὥσπερ οἶμαι καὶ βοῶν μόνος μὲν οὐκ ἂν ἐξάκουστος γένοιτο, μετὰ πολλῶν δὲ ἐν τῷ θεάτρῳ· ἄλλο γὰρ τῷ ἐξ ἁπάντων ἕκαστον, πλὴν ἐμφαίνεταί γέ πως τὸ ἐξ ἁπάντων καὶ τὸ ἐξ ἑκάστου, ἀεί τε ἡ ἀθρόος δύναμις πλείων τῆς μεμερισμένης, ἐπεὶ καὶ τὸ σιτίον τὸ τηλικοῦτον καθ' ἑαυτὸ μὲν ὑγιεινόν, πολλὰ δὲ ὁμοῦ τηλικαῦτα νοσερὰ ἤδη καὶ βλαβερά. οὔτ' οὖν ὡς οἴεται Ζήνων, ἐπειδὴ ὁ μέδιμνος τῶν κεγχρῶν ψοφεῖ, καὶ ἡ μία κέγχρος ψοφήσει, οὔτ' ἐπειδὴ τὴν πέτραν κοιλαίνουσιν οἱ πολλοὶ σταλαγμοί, ἀνάγκη τι καὶ τὸν ἕνα κοιλαίνειν· οὐ γὰρ συντεμαχίζονται τοῖς μεγέθεσιν αἱ δυνάμεις, ἀλλ' ἔστιν ἐφ' ὧν προαπολείπουσιν τοὺς ὄγκους ἔτι τέμνεσθαι δυναμένους. καὶ περὶ μὲν τούτων ἅλις.*

*Μάλιστα δὲ τοιαῦτα καθ' ἑαυτὰ θεωρίαν τινὰ ἔχει καὶ ζήτησιν, πότερον οἱ πάντες τηλικοῦτον κινήσουσιν βάρος, ἡλίκον ἐκ τῶν καθ' ἕκαστον γίνεται· λέγω δὲ οἷον εἰ ταλαντιαῖον ἕκαστος, οἱ πάντες ἑκατὸν ταλάντων βάρος ἢ μεῖζον ἢ ἔλαττον; ἔλαττον μὲν οὐκ εὔλογον, μεῖζον δὲ μᾶλλον· ποιεῖ γὰρ τὸ ἀθρόον καὶ φιλότιμον ἅμα καὶ παρορμητικὸν ἀλλήλων, ὥσπερ ἐν τοῖς ἵπποις ζευγνυμένοις εἰς τὸ τάχος, θέρμης μᾶλλον εἴτε καὶ δυνάμεως ἐπιγενομένου μείζονος, διὰ τὴν ἐπίτασιν ἐκθερμαινομένων καὶ διαμιλλωμένων. ἀλλὰ τοὐναντίον οὐκ ἄλογον, ὥστε διαιρούμενον εἰς τοὺς καθ' ἕκαστον βάρος ἢ τὸν ὄγκον*

---

6 *τῷ ἐξ*] immo *τοῦ ἐξ*   8 *ἡ ἀθρόος*] *καὶ ἀθρόος* A   14 *τις*?
26 scrib. *ἐπιγενομένης*   29 scrib. *τὸ βάρος*

μὴ δύνασθαι πάντα φέρειν, τάχα δὲ καὶ ἀναγκαῖον, εἴπερ ἐκεῖνο ἀληθές. ἀφαιρεῖται γάρ τι τῆς δυνάμεως μεριζόμενον ὃ προσεπέθηκεν ἢ ἐπέδωκεν ὁ ἀθροισμός. ὅμοιον ἂν δόξειεν ὡς διὰ πολλοῦ τοῖς ἐπὶ τῶν διαγραμμάτων συμβαίνειν· ἐκεῖ τε γὰρ ἡ διπλάσιον τετραπλάσιον, καὶ ἐνταῦθα οἱ ἀθρόοι πολλαπλάσιον. διαφορὰ δὲ καὶ ἐν τῷ τὰ κινούμενα τοιαῦτα εἶναι τῷ σχήματι, καθάπερ καὶ ὅταν δι' αὑτῶν κινῶνται· τὸ γὰρ σφαιροειδὲς εὐκίνητον γέγονεν. ἐνταῦθα τὸ ἥκιστα βεβηκὸς καὶ κατ' ἐλάχιστον ἁπτόμενον, οἷον γὰρ προοδοποιεῖται πρὸς τὴν κίνησιν. διὸ καὶ ὅλως τὸ κινούμενον ῥᾷον ἢ τὸ ἀκίνητον, ὡσαύτως δὲ καὶ ὅσα ἄλλα παραπλήσια τούτοις· ἅπαντα γὰρ ταῦτα ἑτέραν τινὰ ἔχει θεωρίαν.

---

5 fort. συμβαίνει   ἡ om A

fol. 58

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ ΟΓΔΟΟΝ ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ.

---

1 *Ἔπεται δὲ ἐφεξῆς ἐπισκέψασθαι, πότερον γέγονέ ποτε κίνησις οὐκ οὖσα πρότερον, καὶ φθείρεται πάλιν οὕτως ὥστε κινεῖσθαι μηδέν, ἢ οὔτε ἐγένετο οὔτε φθείρεται ἀλλ' ἀεὶ ἦν καὶ ἀεὶ ἔσται καὶ τοῦτο ἀθάνατον καὶ ἄπαυστον ἐν τοῖς οὖσίν ἐστιν, οἷον ζωή τις ὑπάρχουσα πᾶσι τοῖς ὑπὸ φύσεως συνεστῶσιν. καὶ γὰρ ὅτι μὲν ἔστι κίνησις, ἅπαντες ὁμολογοῦσιν ὅσοι περὶ φύσεως πραγματεύονται καὶ περὶ γενέσεως καὶ φθορᾶς διαλέγονται, ὅτι δὲ ἀΐδιος οὐκέθ' ἅπαντες, ἀλλ' ὅσοι μὲν ἀπείρους τοὺς κόσμους εἶναί φασιν εἶναι καὶ ἀεὶ τοὺς μὲν γίγνεσθαι τοὺς δὲ φθείρεσθαι, ἀεί φασιν εἶναι τὴν κίνησιν· ἕπεται γὰρ αὐτοῖς τὰς γενέσεις καὶ τὰς φθορὰς εἶναι μετὰ κινήσεως. ὁμοίως δὲ τούτοις ὅσοι καὶ ἕνα κόσμον καὶ ἀΐδιον ὑποτιθέντες, συνομολογοῦσιν καὶ τὴν κίνησιν ἀΐδιον εἶναι· ὅσοι δὲ ἕνα μὲν οὐκ ἀΐδιον δέ, τούτοις ἀκολουθεῖ ταῖς περὶ τοῦ παντὸς ὑποθέσεσιν καὶ περὶ τῆς κινήσεως χρῆσθαι. δύο δὲ οἱ τρόποι τῶν οὐκ ἀΐ-*

---

9 *γὰρ* om A  13 *τοὺς κόσμους*] *τε κόσμους* Aristotelis libri  14 *εἶναι* delendum

*διον ποιούντων τὸν κόσμον, καὶ παρὰ τούτους οὐκ ἔστιν ἄλλος· ἢ γὰρ ὡς Ἀναξαγόρας φησὶν ἁπάντων ὁμοῦ μεμιγμένων τὸν ἄπειρον χρόνον ἄρξασθαί ποτε τὸν νοῦν τοῦ κόσμου καὶ τῆς κινήσεως, ἢ ὡς Ἐμπεδοκλῆς· οὗτος μὲν γὰρ ἐν μέρει κίνησιν ποιεῖ τοῦ παντὸς καὶ ἠρεμίαν, κίνησιν μέν, ὅταν ἡ φιλία τὸ πᾶν εἰς ἓν ἐκ πολλῶν συνάγῃ ἢ αὖθις τὸ νεῖκος εἰς πολλὰ ἐξ ἑνός, ἠρεμίαν δὲ ἐν τοῖς μεταξὺ χρόνοις, ὥστε Ἀναξαγόρᾳ μὲν ἡ κίνησις ἀρξαμένη συνεχῶς ἐστὶ καθάπερ δὴ καὶ ὁ κόσμος, Ἐμπεδοκλεῖ δὲ ἐν μέρει ποτὲ μὲν ἔστι, ποτὲ δὲ οὐκ ἔστι ὥσπερ καὶ ὁ κόσμος. σκεπτέον δὲ περὶ τούτων πῶς ἔχει· γένοιτο γὰρ ἂν ἴσως πρὸ ἔργου οὐ μόνον εἰς τὴν περὶ φύσεως θεωρίαν, ἀλλὰ καὶ πρὸς τὴν μέθοδον τὴν περὶ τῆς πρώτης ἀρχῆς καὶ τοῦ πρώτου τῶν πάντων αἰτίου. ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν διωρισμένων ἡμῖν καὶ ἤδη κειμένων. φαμὲν δὲ τὴν κίνησιν εἶναι τὴν ἐντελέχειαν τοῦ κινητοῦ καθὸ κινητόν. ἀναγκαῖον ἄρα εἰ μέλλοι ποτὲ κίνησις ἔσεσθαι μὴ οὖσα, προϋπάρξαι τὰ πράγματα δυνάμενα κινεῖσθαι καθ' ἑκάστην κίνησιν· καὶ γὰρ χωρὶς τοῦ τῆς κινήσεως ὁρισμοῦ τοῦτο δῆλον. εἰ γὰρ ἀλλοίωσις ἔσται, δεῖ προϋπάρξαι πρῶτον τὸ ἀλλοιωθῆναι δυνάμενον· εἰ φορὰ κατὰ τόπον, δεῖ πάντως πρότερον ὑπάρξαι τὸ κατὰ τόπον οἷόν τε φέρεσθαι, καὶ δεῖ τὸ καυστὸν εἶναι πρὶν καίεσθαι, καὶ τὸ καυστικὸν πρὶν κάειν. τούτου τοίνυν οὕτως ἔχοντος τοῦ δεῖν ἐξ ἀνάγκης προϋπάρχειν τὰ πράγματα τῆς κινήσεως ἐπιτηδείως ἔχοντα πρὸς αὐτήν, τοὺς ὑποθεμένους κίνησιν γενέσθαι ποτὲ μὴ οὖσαν καὶ ἀρχὴν αὐτῇ προτιθέντας τὴν κατὰ χρό-*

---

8 *ἠρεμία* libri, conf. Simplic. fol. 258 b. *ἐν τοῖς*] *ἔν τε τοῖς* V 14 *τὴν περὶ*] *τοῦ περὶ* V 17 scrib. *φαμὲν δὴ*

νον περὶ τῶν πραγμάτων ἐρωτητέον, ἐπεὶ μὴ καθ' αὑτὴν ἡ κίνησις, ἀλλ' ἐν πράγμασιν, τὰ πράγματα ταῦτα προϋπῆρχεν τὸν ἄπειρον χρόνον καὶ ἦν ἀΐδια, ἢ καὶ αὐτὰ γενέσεως ἔσχεν ἀρχήν; εἰ μὲν τοίνυν ἐγένετό ποτε μὴ ὄντα, ταῦτα κεκίνηται πρότερον κίνησιν δι' ἣν εἰς τὸ εἶναι ἦλθεν ἐκ τοῦ μὴ εἶναι, καὶ οὐ λέγω νῦν ὅτι ἡ γένεσις κίνησις, ἀλλ' ὅτι πάντως διὰ κινήσεως, ὥστε τῆς ληφθείσης αὐτοῖς πρώτης κινήσεως ἄλλην ἀναφαίνεσθαι πρότερον ὑπὸ τοῦ λόγου. ἵνα μὲν γὰρ κίνησις γένηται, δεῖ πρότερα γενέσθαι τὰ κινησόμενα, ἵνα δὲ γένηται τὰ κινησόμενα, δεῖ πρότερον κίνησιν ἄλλην γενέσθαι, ὥστε κατὰ τοῦτον τὸν τρόπον οὐχ οἷόν τε λαβεῖν τὴν ἀρχὴν τῆς κινήσεως· ἀεὶ γὰρ τῆς πρώτης λαμβανομένης ἄλλη τίς ἐστι προτέρα. ναί φησιν, ἀλλ' ἐκείνην λέγω προτέραν τὴν κίνησιν δι' ἧς ἐγένετο τὰ κινεῖσθαι δυνησόμενα. ἀλλ' εἰ μέμνησαι τοῦ τῆς κινήσεως ὁρισμοῦ, καὶ δίδως ἀεὶ προϋπάρχειν τὸ κινεῖσθαι δυνάμενον τῆς κινήσεως, καὶ ὅταν γένηται τὰ πράγματα διὰ κινήσεως καὶ μετέχῃ πάντως ἐν τῇ γενέσει κινήσεως, ἕξει πάντως πρότερον πρὸς ἐκείνην τὴν κίνησιν ἐπιτηδείως καθ' ἣν εἰς τὴν γένεσιν ἔρχεται. ἐπειδὴ γὰρ οὐδὲν ἐκ τοῦ παντελῶς μὴ ὄντος, ἀλλ' ἐκ τοῦ τὶ μὲν ὄντος, τὶ δὲ μὴ ὄντος, ἀνάγκη προϋπάρχειν πως τὸ τὴν πρώτην ταύτην μεταβολὴν καὶ κίνησιν ὑφιστάμενον. πάλιν οὖν ἐρησόμεθα ὁμοίως, τὸ προϋπάρχον ἀΐδιον ἦν ἢ γενητόν; εἰ γὰρ πάλιν λέγομεν ὅτι γενητόν, προήξομεν ταὐτὰ ἀποροῦντες· μόνως γὰρ οὕτως ἦν δυνατὸν ἀρχὴν λαβεῖν τῆς κατὰ χρόνον κινήσεως, εἴπερ ἦν δυνατὸν ἐκ τοῦ παντελῶς μὴ ὄντος ποιεῖν τὴν γένεσιν. ἀλλὰ δῆτα

---

4 ἔσχον libri  20 μετέχει libri

προϋπαρχέτω τὰ πράγματα τὸν ἅπαντα χρόνον ἀΐδια, ἀρχέτω δὲ τῆς κινήσεως ἀπό τινος χρόνου. φαίνεται μὲν δὴ καὶ αὐτόθεν ἐπιστήσασιν ἄλογος ἡ ὑπόθεσις· τί γὰρ δήποτε νῦν ἄρχεται κινεῖσθαι πρότερον δ' οὔ; ὁμοίως δὲ καὶ προάγουσιν εἰς τὸ ἐφεξῆς τὸν λόγον ἀτοπώτερα συμβαίνει· εἰ γὰρ τῶν μὲν οἷόν τε ὄντων κινεῖσθαι τῶν δὲ οἷόν τε ὄντων κινεῖν ὅμως πρότερον μὲν ἦν ἀμφοῖν ἠρεμία, νῦν δὲ ἄρχεται τὸ μὲν κινεῖσθαι τὸ δὲ ἠρεμεῖν, δεῖ πρότερον ὑπάρχειν fol. 58b. αἰτίαν τῆς μεταβολῆς δι' ἣν πρότερον μὲν οὐκ ἐνήργει κατὰ δύναμιν, νῦν δὲ ἀπείληφε τὴν ἐνέργειαν· οὐ γὰρ δὴ χωρὶς αἰτίας ὁμοίως ἔχοντα πρὸς ἄλληλα νῦν τε καὶ πρότερον, νῦν μὲν ἐνεργεῖ πρότερον δὲ οὔ, ἀλλ' ἢ πλέον ἀλλήλων πρότερον ἀφειστήκει νῦν δὲ πλησίον γέγονεν, ἤ τι μεταξὺ πάντως ἦν τὸ κωλύον ὃ νῦν ἀνῄρηται. ὅ τι δ' ἂν τούτων ὑποθοίη, κίνησιν ἑτέραν ὑποτίθεσθαι ἀνάγκη τῆς προτέρας ὑποκειμένης. εἰ γὰρ ἀεὶ μὲν τὰ πράγματα ἦν, οὐκ ἀεὶ δὲ τὰ μὲν κινεῖται τὰ δὲ κινεῖ, ἀλλὰ ἤρξατο νῦν, δῆλον ὡς πρότερον οὐκ εἶχε τὴν σχέσιν ταύτην πρὸς ἄλληλα ἣν νῦν ἔχοντα τὸ μὲν κινεῖται τὸ δὲ κινεῖ, ἀλλὰ μετέβαλλεν αὐτῶν θάτερον ἢ ἀμφότερα, ἢ τὸ κινητικὸν ἢ τὸ κινητόν. εἴπερ οὖν ἵνα τῆς πρώτης ἄρξηται κινήσεως, προτέρας κινήσεως δεῖται ταῦτα, ὑπομένει καὶ οὗτος ὁ λόγος· εἰ δὲ δὴ καί τις ἐκείνην πρώτην λέγει τὴν κίνησιν καθ' ἣν τὸ κινητικὸν μεταβέβληκεν εἰς τὸ νῦν κινεῖν καὶ καθ' ἣν πρὸς τὸ κινητὸν τὴν σχέσιν ταύτην ἀπείληφεν, οὐδὲν πλέον οὐδ' οὕτως συμπερανεῖ· πάλιν γὰρ ταύτης τῆς μεταβολῆς τὴν αἰτίαν ἐπιζητήσομεν· οὐ γὰρ ἕξει λέγειν

---

10 ἐνεργήσει V    16 immo ὑπόθῃ

μὴ πάλιν ἄλλης προτέρας κινήσεως ἐφαψάμενος. ἀλλὰ τί ταῦτα ἐξὸν αὐτοὺς ἐπιδεῖξαι διελεγχομένους ὑφ' ἑαυτῶν; οἱ γὰρ λέγοντες πρότερον οὐκ εἶναι κίνησιν λέγουσί τινα εἶναι χρόνον τότε ὅτε οὐκ ἦν κίνησις· τὸ γὰρ πρότερον αὐτοῖς τοῦτο σημαίνει. ἀλλὰ μὴν ἀδύνατον χρόνον εἶναι δίχα κινήσεως καθάπερ ἀποδέδεικται πρότερον. ἀκολουθεῖ τοίνυν τοῖς λέγουσιν ὅτι ἦν ποτὲ χρόνος ὅτε οὐκ ἦν κίνησις, τὸ λέγειν ὅτι ἦν ποτὲ κίνησις ὅτε οὐκ ἦν κίνησις. εἰ γὰρ δὴ καὶ περὶ τοῦ χρόνου τις ἡμῖν διαμάχοιτο ὅτι γέγονέ ποτε πρότερον οὐκ ὤν, ὥσπερ δὴ καὶ ὁ Πλάτων δοκεῖ ποιεῖν ἐν τῷ Τιμαίῳ· γεννᾷ γὰρ αὐτὸν σὺν τῷ οὐρανῷ, πρὸς τοῦτον ἐξαρκεῖ μὲν καὶ τὴν ἁπάντων δόξαν τῶν φυσικῶν καὶ συμφωνίαν ἐπιδεικνύειν περὶ τῆς ἀϊδιότητος τοῦ χρόνου. Δημόκριτος μὲν γὰρ τοῦτο αὐτὸ μέγιστόν φησι τεκμήριον εἶναι τοῦ μὴ πάντα εἶναι γενητὰ διὰ τὸ τὸν χρόνον ἀγένητον εἶναι. ἀλλ' ἵνα μὴ μόνον πλήθει μαρτύρων δυσωπεῖν δοκῶμεν, τὸν λόγον αὐτὸν καθ' αὑτὸν ἐξετάσομεν, εἰ οἷόν τέ ποτε γενέσθαι μὴ ὄντα τὸν χρόνον. μάχεται δὲ καὶ αὕτη πρὸς ἑαυτὴν ἡ ὑπόθεσις· τὸ γὰρ ποτὲ καὶ τὸ μὴ εἶναι πρότερον καὶ τὸ γενέσθαι νῦν ἐν χρόνῳ, πάντα χρόνου κατηγορήματα, καὶ ἵνα τὰ ἄλλα παρῶ, τίς οὐκ οἶδεν ὅτι οὔτε τὸ νῦν ἄνευ χρόνου, οὔτε ὁ χρόνος ἄνευ τοῦ νῦν· μεσότης γὰρ χρόνου τὸ νῦν καὶ ἀρχήν τινος χρόνου καὶ τελευτὴν ἔχον ἅμα, ἀρχὴν μὲν τοῦ ἐσομένου, τελευτὴν δὲ τοῦ παρελθόντος ὃ μόνον ἐστὶ τοῦ χρόνου δυνατὸν λαβεῖν. εἰ οὖν ἐφ' ἁπάσης γενέσεως καὶ ἐφ' ἅπαντος γιγνομένου τοῦ νῦν

---

12 Τιμαίῳ] p. 37 Steph. 36 Bekk. 19 immo ἐξετάσωμεν 26 ἔχων libri 29 scrib. τὸ νῦν

συνεπινοεῖν ἀναγκαῖον, ἀναγκαῖον αὐτῷ συνεπινοεῖν ἐπ' ἀμφότερα καὶ τὸν χρόνον, ὥστε εἰ νῦν ἤρξατο χρόνος, καὶ πρότερον ἦν χρόνος οὗ πέρας τὰ νῦν· εἰ δὲ ἀδύνατον ταῦτα, ἀΐδιος δήπουθεν ὁ χρόνος, εἰ δὲ ὁ χρόνος ἀΐδιος, καὶ ἡ κίνησις, εἴπερ ἄνευ κινήσεως χρόνον ἐπινοεῖν ἀδύνατον ἐπιδέδεικται.

Τοῖς δὲ αὐτοῖς χρησόμεθα λόγοις καὶ ἐπὶ τοῦ ἄφθαρτον εἶναι τὴν κίνησιν. ὡς γὰρ ἐπὶ τοῦ γίνεσθαι κίνησιν συνέβαινε, προτέραν εἶναι κίνησιν τῆς πρώτης λαμβανομένης, οὕτως ἐνταῦθα ὑστέραν τῆς τελευταίας· φθαρείσης γὰρ τῆς κινήσεως ἢ φθείρεται καὶ τὰ πράγματα ἢ μένει. εἰ μὲν οὖν φθείροιτο, ἐπειδὴ μηδὲν εἰς τὸ παντελῶς μὴ ὂν ἀφανίζεται, δῆλον ὡς εἰς ἄλλο τι μεταβάλλει, μεταβολὴ δὲ πᾶσα διὰ κινήσεως· ἔσται ἄρα μετὰ τὴν φθορὰν τῆς κινήσεως κίνησις. εἰ δὲ ἀεὶ διαμένει, τὰ αὐτὰ πάλιν ἐρησόμεθα ἅπερ καὶ ἐπὶ τοῦ γίνεσθαι τὴν κίνησιν. τί γὰρ δήποτε τὰ μὲν κινητὰ ὄντα, τὰ δὲ κινητικὰ ἠρεμεῖ τὸν ἄπειρον χρόνον, καὶ πρότερον μὲν ἐκίνει καὶ ἐκινεῖτο, νῦν δὲ οὐκέτι; τὸ γὰρ ἄλογον καὶ ἀναίτιον μάλιστα ἐπὶ τῆς φύσεως φυλακτέον, ὡς σχεδὸν ἅπαντες παρορῶσι, ἐπεὶ καὶ Ἐμπεδοκλῆς ἐν μέρει ποιῶν τὴν κίνησιν καὶ ἠρεμίαν κίνησιν μὲν ὑπὸ τῆς φιλίας καὶ τοῦ νείκους, ἠρεμίαν δὲ ἐν τοῖς μεταξὺ χρόνοις οὐ προστίθησι τὴν αἰτίαν δι' ἣν ἐν μέρει ταύτην ἀποδίδωσιν· ἀλλ' οὐδὲ Ἀναξαγόρας τὴν αἰτίαν προσεπιλέγει δι' ἣν τόδε τὸ μῖγμα ἠρεμοῦν τὸν ἄπειρον χρόνον ἤρξατό ποτε κινεῖν ὁ βραδύτατος νοῦς. διὰ τί γὰρ οὐ θᾶττον καὶ τοῦ θᾶττόν γε διὰ τί μὴ θᾶττον ἀεί; καὶ οὐδὲν γὰρ ἄλογον οὔτε ἄτα-

---

21 ὡς] ὃ Sturz Emped. p. 269.

κτον ἐν τοῖς παρὰ τῆς φύσεως γινομένοις, ἀλλ' ἡ φύσις αἰτία πάσης τάξεως καὶ τοῦ γίνεσθαι κατὰ λόγον· τὸ δὲ τὸν ἄπειρον χρόνον ἠρεμεῖν, νῦν δὲ ἄρξασθαι τῆς κινήσεως, εἴτε εἰς ἄπειρον κινησόμενα εἴτε ἠρεμήσοντα πάλιν τίνα λόγον ἔχει, τίνα δὲ τάξιν μηδεμιᾶς λεγομένης διαφορᾶς δι' ἣν νῦν μᾶλλον ἢ πρότερον; ἢ γὰρ ἁπλῶς ἔχειν δεῖ τὰ φυσικὰ καὶ οὐχ ὁτὲ μὲν οὕτως, ὁτὲ δὲ ἄλλως, οἷον τὸ πῦρ φύσει ἄνω φέρεται καὶ ἡ γῆ κάτω, ἢ τοῦ μὴ ὡσαύτως ἔχειν ἀεὶ λόγον ἀποδοτέον τῷ φυσικῷ. καίτοι οὐδὲ ὅσα ἀεί ἐστιν οὕτως ἢ γίνεται, οὐδὲ ταῦτα ἅπαντα ἄνευ λόγου τε καὶ ἀρχῆς· ἀεὶ γὰρ τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας, ἀλλ' ὅμως ἔστι τοῦ ἀεὶ τοιοῦτον εἶναι ἕτερον αἴτιον· ἀλλ' ἐκεῖνα τῶν ἀϊδίων αἴτια ὅσα αἴτια, πρῶτα καὶ ἀρχαὶ πρῶται. οὕτως μὲν οὖν προηγουμένως κατασκευάζοντι φαίνεται μὴ ἐνδέχεσθαι εἶναι χρόνον, ὅτε κίνησις οὐκ ἦν ἢ οὐκ ἔσται.

2 Λυτέον δὲ καὶ αὖθις ἅ τις ἂν ὑπολάβοι πρὸς τὴν θέσιν ταύτην ἐναντίως ἔχειν. φαίη γὰρ ἄν τις πρῶτον μέν, ὡς εἰ δὴ μηδεμία κίνησις ἀΐδιος, οὐδ' ὅλως ἀΐδιος κίνησις. ἀλλὰ μὴν ὥρισται πᾶσα μεταβολή· πᾶσα γὰρ ἔκ τινος εἴς τι, καὶ τὰ πέρατα ἑκάστης fol. 59. τἀναντία ἀφ' οὗ τε ἄρχεται καὶ εἰς ὃ λήγει ἴσμεν· ἄπειρον γὰρ οὐδὲν κινεῖται. δεύτερον δέ, εἴπερ ἐναργῶς ὁρῶμεν, ὅτι δυνατὸν κινηθῆναι τὸ παντελῶς πρότερον μὴ κινούμενον, καὶ νῦν ἄρξασθαι τῆς κινήσεως πρότερον μηδ' ἥντιναοῦν ἔχον κίνησιν ἐν ἑαυτῷ μήτε καθόλου μήτε κατὰ μέρος, φανερὸν ὅτι

---

7 ἢ γὰρ] εἰ γὰρ libri 9 ἢ τοῦ] ἢ τὸ libri 14 ἀϊδίων αἴτια] αἴτια om A 20 εἰ δὴ] εἰ δὲ libri 27 scrib. τὸ πρότερον ὅντιναοῦν libri

δυνατὸν γενέσθαι κίνησιν οὐκ οὖσαν. κινεῖται γὰρ καὶ ἄψυχα ἀπό τινος ἀρξάμενα χρόνου οἷον γῆ πῦρ ὕδωρ ἀήρ, καὶ τὰ σύνθετα οὐδεμίαν ἔχοντα πρότερον μεταβολήν, ἀλλ' ἠρεμοῦντα, πάλιν κινεῖται καὶ τὰ ἔμψυχα ἐκ παντελοῦς ἠρεμίας. καίτοι πρὸς μὲν τὰ ἄψυχα ἐνσταίη τις ἄν, ὅτι κινεῖται ὑπ' ἄλλου πρότερον αὐτοῦ κινουμένου ὡς μὴ λίαν ἐκ τούτων τὴν κίνησιν γενητὴν ἀποδείκνυσθαι. πρὸς δὲ δὴ τὰ ἔμψυχα καὶ τὰ ζῷα οὐδὲ ἔνστασιν ἐξευρεῖν τινα ῥᾴδιόν ἐστι· ταῦτα γὰρ ὑφ' ἑαυτῶν κινεῖται πολλάκις ἐκ παντελοῦς τῆς προτέρας ἡσυχίας. εἰ δὲ ἐν ζῴῳ δυνατὸν τοῦτο, γενέσθαι κίνησιν οὐκ οὖσαν οὔτε ἐν αὐτῷ οὔτε ἔξωθεν, τί κωλύει τὸ αὐτὸ συμβῆναι καὶ ἐν τῷ παντί; εἰ γὰρ ἐν μικρῷ κόσμῳ δυνατόν, καὶ ἐν τῷ μεγάλῳ.

Πρῶτον δὴ τὸ πρῶτον ἐπισκεπτέον. ὅτι μὲν οὖν εἰ πᾶσα γένοιτο κίνησις ἐξ ἐναντίων εἰς ἐναντία, ὁρίζεται ὑπὸ τῶν ἐναντίων καὶ περατοῦται, καὶ οὐκ ἔστι συνεχὴς οὐδ' εἰ πάλιν ἀνακάμπτοι καὶ πάλιν, ὀρθῶς λέγεται. οὐδὲ γὰρ τὴν αὐτὴν καὶ μίαν οἷόν τε εἶναι τὴν τοιαύτην, ὥσπερ οὐδὲ τῆς χορδῆς εἷς ἀριθμῷ καὶ ὁ αὐτὸς φθόγγος ὅταν πλήττηται πάλιν καὶ πάλιν, καὶ τοῦτο δὲ προϊόντες ἀκριβέστερον ἐπιδείξομεν· ἀλλ' ὅπερ ἔφην, εἰ μὲν ἅπασα κίνησις τοιαύτη, καλῶς λέγεται τὸ μηδεμίαν μήτε ἀΐδιον εἶναι κίνησιν μήτε συνεχῆ· εἰ δὲ ἔστι τις καὶ μία συνεχὴς καὶ οὐκ ἐξ ἐναντίων εἰς ἐναντία, δῆλον ὡς οὐκέτι προσεκτέον τούτῳ τῷ λόγῳ. ἀλλὰ μὴν περί γε τοῦ κινεῖσθαι τὰ ἄψυχα πρότερον μήτε κινούμενα ῥᾴδιον εἰπεῖν, ὡς τὰ ὑφ' ἑτέρων κινούμενα οὐδὲν θαυμαστὸν κινεῖσθαι μέν, ὅταν αὐτοῖς παρῇ τὸ κινοῦν, μὴ κινεῖσθαι δὲ ὅταν μή· οὐ γὰρ ἐν τῷ ταῦτα

*ἄρχεσθαι καὶ πάλιν παύεσθαι δείκνυται ἁπλῶς ἡ κίνησις οὐκ ἀΐδιος. ὑφ' ὧν γὰρ ἔξωθεν ὄντων ταῦτα κινεῖται, ἐκεῖνα τί κωλύει κινούμενα συνεχῶς καὶ ἀεὶ τῆς τούτων παρὰ μέρος κινήσεως αἴτια γίγνεσθαι; τὸ γὰρ δὴ καὶ τοῦτο ὂν αὐτὸ ζητεῖν, τί δήποτε οὐκ ἀεὶ κινεῖται τὰ ἄψυχα ἀεὶ κινουμένου τοῦ κινοῦντος αὐτά, οὐκέτι περὶ κινήσεως διαμφισβητούντων ἐστίν, εἴτε ἀΐδιος εἴτε μή, ἀλλ' ὅλως προσαπορούντων, τί δήποτέ ἐστίν τινα τῶν ὄντων ἃ ποτὲ μὲν κινεῖται, ποτὲ δὲ ἠρεμεῖ, ὡς τοῦτο ἀρχὴν τῆς παρούσης συμπάσης σκέψεως εἶναι, διὰ τί πολλὰ τῶν ὄντων τοιαῦτα. φαίνεται γὰρ καὶ τὰ ζῷα ποτὲ μὲν κινούμενα, ποτὲ δὲ ἠρεμοῦντα παντελῶς, καὶ ὅταν κινῆται ἐν αὐτοῖς ἔχοντα τῆς κινήσεως τὴν αἰτίαν. ἢ τὸ μὲν ἐπὶ ζώων λύειν οὐ χαλεπόν, εἰ καὶ μάλιστα οὗτος ὁ λόγος δοκεῖ πιθανώτερος κατασκευάζειν, ὅτι δυνατὸν κίνησιν οὐκ οὖσαν γενέσθαι; οὐδὲ γὰρ ἠρεμεῖ ποτὲ παντελῶς, ἀλλ' ἀεί τινας κινήσεις κινεῖται συμφύτους, οὔτε πάσης κινήσεως ἐν αὐτοῖς ἔχει τὴν αἰτίαν καὶ τὴν ἀρχήν, ἀλλὰ μόνης τῆς κατὰ τόπον· πολλὰς δὲ κινεῖται καὶ ἔξωθεν ὑπὸ τοῦ περιέχοντος· καὶ γὰρ θερμαίνεται καὶ ψύχεται καὶ λευκαίνεται καὶ μελαίνεται καὶ ὁρᾷ καὶ ἀκούει τῶν ἐνδιδόντων ἔξωθεν τὰς κινήσεις ταύτας τῷ ζῴῳ. οὐδὲν οὖν κωλύει, μᾶλλον δὲ ἴσως καὶ ἀναγκαῖον ἐν μὲν τῷ σώματι πολλὰς ἐγγίνεσθαι κινήσεις ὑπὸ τοῦ περιέχοντος, τούτων δὲ ἐνίας τὴν διάνοιαν ἢ τὴν ὄρεξιν κινεῖν, ἐκείνην δὲ τὸ ὅλον ζῷον. ἡ μὲν θερμασία τὴν ἐπιθυμίαν ἐκίνη-*

---

3 *καὶ ἀεὶ — κινήσεως* om V   5 scrib. *τοῦτ' αὐτὸ*   8 *ὅλως*] *ὡς* V   16 fort. *πιθανωτέρως*   17 scrib. *οὔτε γὰρ*   23 *τῶν ἐνδιδόντων — κωλύει* om A. fort. *τῶν ἔξωθεν ἐνδιδόντων* vel *ἐνδιδ. τῶν ἔξωθεν*   27 *ἐκείνη* libri   28 *μὲν*] fort. *μὲν γὰρ*   *τὴν ἐπιθυμίαν*] *ἡ δὲ ἐπιθυμίαν* V

σεν τοῦ ποτοῦ, ἡ δὲ ἐπιθυμία τὸ ζῷον ἐπὶ τὸ ὕδωρ, μάλιστα δὲ ὁ ὕπνος δῆλον ποιεῖ· τότε γὰρ τὴν ἐξ αὐτῶν οὐ κινούμενα κίνησιν τὰ ζῷα ὅμως κινοῦνται πολλὰς κινήσεις πεψαμένης τῆς τροφῆς, φανταζομένης τῆς διανοίας, ἀλλοιουμένων τινῶν ἐν αὐτοῖς ὑπὸ τοῦ περιέχοντος, θερμαινομένων ἢ ψυχομένων. οὕτω γοῦν καὶ διανίσταται πάλιν αἰτίας τινὸς γενομένης τῶν τοιούτων ἀλλοιώσεων, τοῦ διεγείρεσθαι. ἀλλὰ καὶ περὶ τῆς τῶν ζώων κινήσεως καὶ περὶ τῆς τῶν ἀψύχων καὶ περὶ πάσης ἁπλῶς τῆς προκειμένης σκέψεως ὅπως τἀληθὲς ἔχει, γένοιτ' ἂν φανερόν, εἰ μάθοιμεν ὃ καὶ προεῖπον, τί δήποτε ἔνια τῶν ὄντων ποτὲ μὲν κινεῖσθαι φύσιν ἔχει, ποτὲ δὲ ἠρεμεῖν.

Ἄνωθεν οὖν ἀναλαβοῦσιν διαιρετέον. ἀνάγκη 3
δὴ ἤτοι ἠρεμεῖν πάντα, ἢ κινεῖσθαι, ἢ τὰ μὲν κινεῖσθαι τὰ δὲ ἠρεμεῖν, καὶ εἰ τὰ μὲν κινεῖται τὰ δὲ ἠρεμεῖ, πάλιν τοῦτο τριχῶς ἂν συμβαίνοι· ἢ γὰρ τὰ μὲν κινούμενα ἀεὶ κινεῖται τὰ δὲ ἠρεμοῦντα ἀεὶ ἠρεμεῖ, ἢ πάντα πέφυκεν ὁμοίως κινεῖσθαι καὶ ἠρεμεῖν, τὸ λοιπὸν ἔτι καὶ τρίτον· ἐνδέχεται γὰρ τὰ μὲν ἀεὶ τῶν ὄντων ἀκίνητα εἶναι τὰ δὲ ἀεὶ κινούμενα τὰ δὲ ἀμφοτέρων μεταλαμβάνειν, ὅπερ ἡμῖν ἀποδεικτέον ἐστίν. τοῦτο γὰρ ἔχει λύσιν γε πάντων τῶν ἀπορηθέντων καὶ τέλος ἡμῖν τῆς περὶ κινήσεως πραγματείας. ὅτι μὲν οὖν οὐ πάντα ἠρεμεῖ, γελοῖον ζητεῖν τινὰ λόγον ἀφέντας τὴν αἴσθησιν· ἀρρωστία γάρ ἐστι διανοίας μὴ διακρίνειν τά τε λόγου δεόμενα καὶ τὰ μή· ὑπὲρ ἐνίων γὰρ βέλτιον ἔχομεν ἢ λόγου δεῖσθαι, καὶ ἅμα οὐ πρὸς τὸν φυσικὸν ἡ ἀμφισβήτησις, ὥσπερ

1 ποτοῦ] αὐτοῦ V 4 πεψαμένης] παυσαμένης V 11 ἔχῃ libri

*εἰρήκαμεν καὶ ἀρχόμενοι. ἀλλὰ καὶ ὅτι μὴ πάντα κινεῖται, ἀεὶ ἔστι μὲν ὁμοίως ἐναργὲς καὶ οὐ προσδεόμενον λόγου, προσήκει δὲ ἴσως τοῦτο μᾶλλον ἐξελθεῖν· οὐ γὰρ οὕτω παρὰ τὴν μέθοδον ὁ λόγος ὁ τὴν ἠρεμίαν καὶ μονὴν τῶν ὄντων ἀφαιρούμενος, ὡς ὁ τὴν κίνησιν. φασὶ δή τινες ἅπαντα μὲν ἀεὶ κινεῖσθαι, λανθάνειν δὲ τοῦτο τὴν ἡμετέραν αἴσθησιν, πρὸς οὓς καίπερ οὐ διορίζοντας πότερον μίαν κίνησιν λέγουσιν ἅπαντα κινεῖσθαι συνεχῶς, καὶ ποίαν γε ταύτην ἢ καὶ πάσας ἁπλῶς τὰς κινήσεις, ὅμως οὐ* fol. 59b. *χαλεπὸν ἀπαντῆσαι· οὔτε γὰρ αὔξεσθαί τι πέφυκε συνεχῶς, οὔτε πάλιν συνεχῶς μειοῦσθαι, οὔτε συνάπτειν τὴν αὔξησιν τῇ μειώσει, ἀλλ' ἔστι στάσις καὶ ἠρεμία ἐν μέσῳ, ἐπεὶ εἰ συνεχὴς ἡ κίνησις ἦν ἀπὸ τῆς αὐξήσεως εἰς τὴν μείωσιν, τὸ αὐξανόμενον ἂν εἰς τὸ μειοῦσθαι μετέβαλλεν. οὔτε εἰ δύο πήχεις ηὔξηνται ἐν τοῖς εἴκοσιν ἐνιαυτοῖς, ηὔξηταί τι μόριον τῶν δύο πηχῶν ἐν ὥρᾳ μιᾷ· ὅμοιον γὰρ τὸ λέγειν ὡς ἐπειδὴ τὴν πέτραν ἐκοίλαναν οἱ πεντακισχίλιοι σταλαγμοὶ τοσονδί, καὶ ἕκαστος τῶν σταλαγμῶν μέρος τι πάντως ἐκοίλανε, καὶ εἰ διέστησεν τοὺς λίθους ἐκφυεῖσα εἰς σπιθαμὴν ἡ συκῆ, καὶ ἡνίκα πρῶτον ἐκ τῆς κεγχραμίδος ὑπεφύετο, μέρος τι διίστησι τῆς σπιθαμῆς, ἀλλ' ὥσπερ οἱ ἑκατὸν ἅμα καθέλκουσιν τὴν ναῦν, εἷς δὲ ἕκαστος οὐδ' ἂν σαλεύσειε προσελθών, οὕτως οἱ μὲν τοσοιδὶ σταλαγμοὶ τοσονδὶ τῆς πέτρας ἀφεῖλον, εἷς δὲ καθ' αὐτὸν μέρος οὐδ' ὁτιοῦν. οὐ γὰρ εἰ διαιρετὸν τὸ μέγεθος, ἐκοίλανεν ἐξ ἀνάγκης ἕκαστος αὐτῶν [ἐκοίλανάν] τι μόριον τοῦ*

---

6 *φασὶ δὲ δή* V 7 *λανθάνει* libri 10 *ὅμως*] ὁμοίως libri 14 *ὑπὸ* A 20 *καὶ* om A 29 *ἐκοίλαναν* del.

μεγέθους, ἀλλ' ὑπὸ τῶν τοσῶνδε ὅλον ἐπῆλθεν τοσόνδε. πάλιν γὰρ καθάπερ ὑπὸ τῆς νεωλκίας ὑπὸ τῶν πεντήκοντα τέως ἡ ναῦς μὴ κινουμένη προσελθόντος ἑνὸς διεσαλεύθη, καὶ ὥσπερ ἐπὶ τρυτάνης τὰ μὲν δέκα τάλαντα οὐκ ἐποίησεν τὴν ῥοπήν, δραχμὴ δὲ προσελθοῦσα καθείλκυσεν, οὕτως οἱ μὲν τοσοίδε σταλαγμοὶ οὔπω δύναμιν ἔσχον κοιλᾶναι τὴν πέτραν, προσελθόντος δὲ ἑνὸς ἐδυνήθησαν. φανερὸν τοίνυν ὡς οὐδὲ ἐπὶ τῶν μειουμένων ἀναγκαῖον ἀεί τι ἀπιέναι ὅτι διαιρεῖται τὸ μειούμενον εἰς ἄπειρα, ἀλλὰ καὶ ὅλον ποτὲ ἀπιέναι ἐνδέχεται, ὁμοίως δὲ καὶ ἐπ' ἀλλοιώσεως ὁποιασοῦν· οὐ γὰρ εἰ μεριστὸν εἰς ἄπειρον τὸ ἀλλοιούμενον, διὰ τοῦτο καὶ ἡ ἀλλοίωσις, ἀλλ' ἀθρόα πολλάκις γίνεται ἐφ' ὅλου τοῦ μεγέθους ὥσπερ ἡ πῆξις· ὅλως γὰρ ἀλλοίωσις οὐδεμία συνεχὴς καὶ ἐπ' ἄπειρον· ἐξ ἐναντίου γὰρ πᾶσαι εἰς ἐναντίον. καὶ τὸ νοσοῦν εἰς ὑγείαν μεταβάλλον ἕως μὲν ἂν μεταβάλλῃ, συνεχῶς ἀλλοιοῦται, μεταβάλλον δὲ εἰς ὑγείαν ἠρεμεῖ κατ' ἐκείνην ἤδη τὴν ἀλλοίωσιν, τοὺς δὲ λίθους οὐχ ὁρῶμεν πρὸς θεῶν πολλῷ χρόνῳ μήτε μαλακωτέρους γινομένους μήτε σκληρούς, μήτε κινουμένους κατὰ τόπον· θαυμαστὸν γὰρ εἰ λέληθεν ἡμᾶς ταῦτα συμβαίνοντα περὶ τοὺς κίονας. καὶ ἡ γῆ δὲ οὐκ ἐξ ἀνάγκης ἐν τῷ κάτω μένει, τῶν τε ἄλλων ἕκαστον τῶν φυσικῶν σωμάτων οὐκ ἐν τῷ οἰκείῳ τόπῳ γενόμενον ἠρεμεῖ· ποίαν γὰρ ἂν εἴποιμεν αὐτὸ τηνικαῦτα κινεῖσθαι κίνησιν; οὔτε γὰρ τὴν κατὰ φύσιν· ἤδη γάρ ἐστιν ἐν τῇ προσηκούσῃ χώρᾳ, οὔτε τὴν παρὰ φύσιν· μένει γὰρ ἐν τῷ οἰκείῳ τόπῳ. ὁμοίως δὲ ἀδύνατον τὰ μὲν ἀεὶ κινεῖσθαι, τὰ δὲ ἀεὶ ἠρεμεῖν·

---

2 immo ἐπὶ τῆς 21 scrib. σκληροτέρους

ὁρῶμεν γὰρ ἐπὶ πολλῶν τὰς εἰρημένας μεταβολάς, οἷον αὐξήσεις τε καὶ μειώσεις καὶ τὰς παρὰ φύσιν κινήσεις. οὔτ' οὖν ἀεὶ κινεῖται τὸ κινούμενον· τὰ γὰρ αὐξανόμενα ἵσταται, ὅταν ἀπολάβῃ τὸ μέγεθος, οὔτε ἀεὶ ἠρεμεῖ τὰ ἠρεμοῦντα· τὰ γὰρ παρὰ φύσιν κινούμενα ἐκ τῶν ἰδίων τόπων κινεῖται, ἐν οἷς πρότερον ἠρέμει. ἀλλ' οὔτε τὸ γιγνόμενον ἀεὶ γίγνεται, ἀλλὰ παύεται ταύτης τῆς μεταβολῆς ὅταν γένηται, οὔτε τὸ φθειρόμενον φθείρεται, ἀλλ' ἔστι πέρας αὐτοῦ τῆς φθορᾶς. εἶεν. ὅτι μὲν οὖν οὔτε πάντα ἀεὶ ἠρεμεῖ, οὔτε τὰ μὲν ἀεὶ κινεῖται τὰ δὲ ἠρεμεῖ, δέδεικται ἐναργῶς. λοιπὸν δὲ ἡμῖν ἐξετάσαι τοὺς δύο τρόπους, πότερον ἅπαντα ἔστι τοιαῦτα οἷα ποτὲ μὲν κινεῖσθαι ποτὲ δὲ ἠρεμεῖν, ἢ τοῦτο μὲν οὐκ ἀληθές, ἐκεῖνο δὲ ῥητέον, ὡς ἔνια μὲν οὕτως ἔχει τῶν ὄντων ὡς ἀνὰ μέρος κινεῖσθαί τε καὶ ἠρεμεῖν, ἔνια δὲ ἀεὶ ἠρεμεῖ, μᾶλλον δὲ ἀκίνητά ἐστιν ἀεί, ἔνια δὲ ἀεὶ κινεῖται. ὅτι γὰρ τούτου τι ἔσται καὶ σύμφωνον μόνον πρὸς τὴν ἀλήθειαν, δεικτέον ἡμῖν πάλιν ἀπ' ἄλλης ἀρχῆς ἀρξαμένοις. οὕτως γὰρ ἂν καὶ τὴν κίνησιν ἀΐδιον εἶναι ἀκριβέστερον πιστωσαίμεθα.

4 Τῶν δὴ κινούντων καὶ κινουμένων τὰ μὲν κατὰ συμβεβηκὸς κινεῖται, τὰ δὲ κατὰ μόριον, τὰ δὲ καθ' αὑτά. ἴσμεν δὲ εἴγε μεμνήμεθα τῶν πρότερον εἰρημένων, τίνα ἐστὶν τὰ κατὰ συμβεβηκὸς κινούμενα, καὶ τίνα τὰ κατὰ μόρια. ἐκεῖνα μὲν ἐατέον· ἄπειρα γὰρ καὶ οὐχ οἷά τε εἰς ὡρισμένην ἐλθεῖν διαίρεσιν· τῶν δὲ καθ' ἑαυτὰ κινουμένων τὰ μὲν φύσει, τὰ δὲ

---

10 αὐτοῦ] ταύτης? ἀεὶ ἠρεμεῖ] scrib. ἀεὶ ἠρεμεῖ, οὔτε πάντα ἀεὶ κινεῖται 17 ἠρεμεῖ] ἠρεμεῖν libri

βίᾳ καὶ παρὰ φύσιν κινεῖται. φύσει μὲν ὅσα ἔχει τὴν ἀρχὴν τῆς κινήσεως ἐν ἑαυτοῖς οἷον τὰ ζῷα, καὶ τῶν ἀψύχων ὅσα ὡς πέφυκεν, οὕτως κινεῖται, κάτω μὲν τὰ βαρέα καὶ γεηρά, ἄνω δὲ τὰ κοῦφα· παρὰ φύσιν δὲ ὅσα βίᾳ καὶ ὡς μὴ πέφυκε, οἷον εἰ τὸν λίθον τις ἄνω ῥίπτων ἢ τὸ πῦρ εἰς τὸ κάτω βιάζοιτο. κινεῖται δὲ καὶ τὰ σώματα τῶν ζώων πολλάκις παρὰ φύσιν τὴν ἑαυτῶν· βαρέα γὰρ ὄντα καὶ γεηρὰ κινεῖται ἄνω πηδώντων ἢ ἀλλομένων τῶν ζώων. τὸ μὲν δὴ ζῷον οὐδέποτε παρὰ φύσιν κινεῖται· ἐν ἑαυτῷ γὰρ ἔχει τὴν ἀρχὴν καὶ τῆς τοιαύτης κινήσεως, τὸ σῶμα δὲ παρὰ φύσιν· οὐ γὰρ ᾗ σῶμα, οὐδ' ᾗ βαρύ. ὅσα μὲν δὴ παρὰ φύσιν κινεῖται, δῆλον εὐθὺς ὅτι κινεῖται ὑπό τινος· ὑπ' ἄλλου γὰρ βιαζομένου τὴν φύσιν, ἐπεὶ οὐδ' ἂν παρὰ φύσιν ἐκινεῖτο εἰ μὴ ὑπ' ἄλλου· ὅσα δὲ κατὰ φύσιν, ἐπὶ τούτων ἀμφισβητεῖται, εἰ πάντα ὑπό τινος κινεῖται· διὰ τοῦτο γὰρ κινεῖσθαι δοκεῖ τὰ κατὰ φύσιν, ὅτι ὑφ' ἑαυτῶν καὶ οὐχ ὑπ' ἄλλου μηδὲ ἔξωθεν. ἐπὶ μὲν τοίνυν ἐμψύχων φανερὸν τὸ ὑπό τινος ταῦτα κινεῖσθαι· εἰ γὰρ καὶ μὴ ὑπ' ἄλλου μηδὲ ἔξωθεν, ἀλλ' οὖν γε ἐν ἑαυτοῖς· ἐστίν· ἕτερον μὲν γὰρ τὸ κινοῦν, ἕτερον δὲ τὸ κινούμενον, καὶ οὐ τοῦτο ἀμφισβητοῦσιν εἰ μὴ ὑπό τινος κινεῖται· κινεῖται γὰρ ὑπὸ ψυχῆς, ἀλλ' ἡ ζήτησις πῶς δεῖ λαβεῖν ἐν αὐτοῖς τὸ κινοῦν καὶ τὸ κινούμενον· ἐῴκει γὰρ ὥσπερ ἐν τοῖς πλοίοις καὶ τοῖς μὴ φύσει συνισταμένοις, οὕτω καὶ ἐν τοῖς ζώοις εἶναι διῃρημένον τὸ κινοῦν καὶ τὸ κινούμενον, καὶ οὕτως οὐ τῷ ἅπαν αὐτὸ ἑαυτὸ κινεῖν λέγεται ὑπ' fol. 60.

---

4 ἄνω τε libri   19 μηδὲ ἔξωθεν om V   22 γὰρ om V   25 scrib. δεῖ διαλαβεῖν   26 ἐῴκει] scrib. ἔοικε   29 οὕτως οὐ τῷ] οὕτως τὸ V   scrib. ὑφ' αὐτοῦ

*αὐτοῦ κινεῖσθαι τὸ ζῷον, ἀλλ' ὅτι ἐν ἑαυτῷ ἔχει καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον. ἐπὶ δὲ δὴ τῶν ἀψύχων ὅταν κατὰ φύσιν κινῆται, χαλεπὸν ἀποδοῦναι ὑπὸ τίνος· οὔτε γὰρ ὑπ' ἄλλου καὶ ἔξωθεν ὡς τὰ παρὰ φύσιν, οὔθ' ὑπὸ τῆς ἔνδον ἀρχῆς ἐν ἑαυτοῖς καὶ αἰτίας, ὥσπερ ὁρῶμεν τὰ ἔμψυχα· οὔτε γάρ ἐστιν ἐν ἑαυτοῖς τὸ μὲν κινοῦν τὸ δὲ κινούμενον, οὔτε διῄρηται εἰς τὸ πάσχον καὶ τὸ ποιοῦν, ὥσπερ τὰ ζῷα εἰς ψυχὴν καὶ σῶμα· οὐδὲ γὰρ διῄρηται ὅλως ἀλλ' ἔστι συνεχῆ καὶ ἡνωμένα· ἄλλως τε εἴπερ εἶχεν ἐν ἑαυτοῖς τὴν αἰτίαν τῆς κινήσεως οἷόν τινα ψυχήν, οὐ κινεῖν ἂν αὐτὰ μόνον, ἀλλὰ καὶ ἱστάναι ἐδύνατο, ὥσπερ ἐπὶ τῶν ζῴων συμβαίνει. καὶ οὐ καθ' ἕνα τρόπον ἐκινεῖτο ἄν, ἀλλὰ κατὰ πλείους, ὥσπερ τὰ ζῷα· καὶ γὰρ βαδίζει καὶ τρέχει καὶ πηδᾷ καὶ ὀρχεῖται καὶ φέρεται ἄνω καὶ κάτω· ταῦτα δὲ ἁπλῆν καὶ μίαν κινεῖται κίνησιν ὥσπερ ἠναγκασμένην. ἆρ' οὖν ὑπό τινος καὶ ταῦτα; σκεπτέον δὴ πῶς;*

*Ἔστι [δὲ] καὶ τῶν κινούντων τὰ μὲν κατὰ φύσιν κινητικὰ τὴν ἑαυτῶν, τὰ δὲ παρὰ φύσιν· παρὰ φύσιν μὲν ὡς ὁ μοχλὸς κινεῖ τὸν λίθον· οὐ γὰρ ἡ σίδηρος οὐδ' ἡ βαρὺς ἀνακουφίζει τὴν πέτραν, οὐδ' ἔχει τὴν ἀρχὴν ταύτην ἐν ἑαυτῷ, ἀλλ' ἔξωθεν· φύσει δέ ἐστι κινητικὰ τὰ ἐν ἑαυτοῖς ἔχοντα τὴν ἀρχὴν τῆς κινήσεως ἣν κινεῖ. πᾶν δὴ τὸ ἐνεργείᾳ αἴτιον κινητικόν ἐστι φύσει τοῦ δυνάμει τοιούτου, οἷον τὸ ἐνεργείᾳ θερμὸν τοῦ δυνάμει θερμοῦ. τὸ γὰρ θερμὸν ὅταν θερμαίνῃ τὸ ἐπιτήδειον θερμανθῆναι, κατὰ τὴν ἐν ἑαυτῷ ἀρχήν τε καὶ αἰτίαν θερμαίνει· ὡς γὰρ κινητικὸν*

---

6 *οὐδὲ γὰρ* libri 12 *ἱστάσθαι* A *ἐδύνατο*] *δύνασθαι* V 19 *δὲ* om V 20 *τὴν ἑαυτῶν*] *αὐτῶν* A 23 *ἐστι* om A 27 *θερμαίνῃ τὸ ἐπιτήδειον*] *θερμαίνηται τὸ τοιόνδε* V

φύσει τὸ ἐνεργείᾳ θερμὸν τοῦ δυνάμει θερμοῦ, οὕτω κινητὸν φύσει τὸ δυνάμει θερμὸν ὑπὸ τοῦ ἐνεργείᾳ θερμοῦ· ὥσπερ γὰρ ἐκεῖνο τοῦ ποιεῖν, οὕτω τοῦ πάσχειν τοῦτο τὴν ἀρχὴν ἐν ἑαυτῷ ἔχει. τὸ δὴ πῦρ καὶ ἕκαστον τῶν ἁπλῶν σωμάτων κινοῦνται μὲν ὅταν κινῶνται πάντως ὑπ' ἄλλων, ἀλλὰ βίᾳ μέν, ὅταν παρὰ φύσιν καὶ ἐφ' ὃ μὴ πεφύκασιν, φύσει δέ, ὅταν εἰς τοὺς οἰκείους τόπους καὶ ἐφ' οὓς πεφύκασιν φέρεσθαι. ἡ δὲ εἰς τὸν κατὰ φύσιν τόπον φορὰ οὐδὲν ἄλλο ἐστὶν ἢ δυνάμεως ἐνέργεια καὶ τελειότης ἣν ἕκαστον εἶχε πρὸ τοῦ κινεῖσθαι. ταύτην δὲ ἀπολαμβάνει τὴν ἐνέργειαν ὑπὸ τοῦ ποιήσαντος αὐτὸ τοιοῦτον ὁποῖον γενόμενον οὐκέθ' οἷόν τε μένειν ἐν τόπῳ, ἐξ οὗ κινεῖται. τὸ τοίνυν ποιῆσαι μεταβάλλειν εἰς πῦρ τὸν ἀέρα τοῦτο τὸ αἴτιον αὐτῷ τοῦ καὶ ἐνεργῆσαι ὡς πῦρ καὶ ὡς κοῦφον, ἐνέργεια δὲ αὐτὸ τὸ φέρεσθαι ἄνω· πᾶν γὰρ τὸ γινόμενον ἢ κινούμενον οἷον νοεῖς ὑπό τινος τοιόνδε, ἣν καὶ ἀπολάβῃ τὴν ἕξιν ἣν πρότερον εἶχε δυνάμει, εὐθὺς καὶ ἐνεργεῖ κατ' ἐκείνην ἂν μή τι κωλύσῃ. ὁ γὰρ μανθάνων, ὅταν μάθῃ, θεωρεῖ παραχρῆμα, εἰ μή τι ἕτερον ἐμποδίσειεν οἷον προαίρεσις ἢ ἀσχολία. ὥσπερ οὖν αἴτιος τῷ μανθάνοντι τῆς θεωρίας ὁ ποιήσας οἷόν τε θεωρεῖν, οὕτως αἴτιος τῷ κούφῳ τὸ ἄνω φέρεσθαι ἐκ τοῦ κάτω ὁ ποιήσας αὐτὸ κοῦφον ἐκ βαρέος. ἔστι δὲ ἄλλως μὲν δυνάμει κοῦφον τὸ ξύλον, ὅτι δύναται εἰς πῦρ μεταβάλλειν, ἄλλως δὲ δυνάμει τὸ πῦρ, ὅτι δύναται ἤδη φέρεσθαι ἄνω, ὥσπερ ἄλλως μὲν δυνάμει μουσικὸς ὁ μαθεῖν οἷός τε τὴν ἐπιστήμην, ἄλλως δὲ ὁ ἔχων

6 κινῶνται — ἄλλων] κινοῦνται — ἀλλήλων V 19 εἶχε] ἔχειν V 21 εἰ μή τι] εἰ μὴ V 26 εἰς] ὡς V

μὲν ἤδη μὴ χρώμενος δέ, καὶ ἔστιν ἐν μεθορίῳ τοῦ τε ἁπλῶς δυνάμει καὶ τοῦ ἁπλῶς ἐνεργείᾳ, καθάπερ ὁ τὴν ἕξιν ἔχων τῆς μουσικῆς τοῦ τε μήπω μαθόντος καὶ τοῦ χρωμένου. τὸ μὲν δὴ ἐκ τῆς πρώτης ἐκείνης δυνάμεως μεταβάλλειν πάντως ὑπ' ἄλλου καὶ ἔξωθεν· τὸ γὰρ πῦρ οὐχ ὑφ' ἑαυτοῦ γίνεται ἀλλ' ὑπ' ἄλλου· ὅταν δὲ μεταβάλλῃ καὶ λάβῃ τὴν ἕξιν ἣν εἶχε δυνάμει ὑπὸ τοῦ κατ' ἐνέργειαν αὐτὴν κεκτημένου, ἔστι μὲν καὶ τότε δυνάμει κοῦφον, ἂν μὴ ἐνεργῇ, ἀλλὰ τελειοτέρα αὕτη ἡ δύναμις καὶ εὐθὺς ἔχουσα ἑπομένην τὴν ἐνέργειαν, εἴπερ μηδὲν ἔξωθεν κωλύοι. ὁ γὰρ ἀὴρ μέχρι μὲν ἂν οὕτω δυνάμει λέγηται κοῦφος, ὡς εἰς πῦρ οἷός τε μεταβάλλειν, οὔπω κινεῖται ἄνω· ὅταν δὲ οὕτω λέγηται δυνάμει κοῦφος ὡς ἤδη μεταβεβληκὼς εἰς πῦρ, εὐθὺς ἄνω φέρεται, εἰ μηδὲν βίᾳ κατέχει. τὸ τοίνυν αἴτιον τοῦ τὴν πρώτην δύναμιν εἰς τὴν δευτέραν μεταβάλλειν αἴτιον εὐθὺς δευτέρως τῆς ἐνεργείας. οὕτω τοίνυν λέγομεν καὶ ταῦτα ὑπ' ἄλλου κινεῖσθαι, τὸ πῦρ ἄνω καὶ τὴν γῆν κάτω, ὅτι ἐγένετο ὑπ' ἄλλου πῦρ καὶ γῆ. οὐ γὰρ δὴ ὑπ' αὐτῶν, γενομένοις δὲ εὐθὺς ἠκολούθησεν καθ' ἣν ἐγένετο φύσιν, καὶ ἐνεργῆσαι, ἂν μή τι κωλύῃ. ὁ δὲ τὸ ὑφιστάμενον καὶ κωλῦον κινήσας ἔστι μὲν καὶ ὡς αὐτὸς κινεῖ, ἔστι δὲ ὡς οὔ, οἷον ὁ τὸν κίονα ὑποσπάσας ἢ τὸν λίθον ἀφελὼν ἀπὸ τῶν ἀσκῶν ἐν τῷ ὕδατι. προηγουμένως μὲν γὰρ τὸν κίονα κινεῖ καὶ τὸν λίθον, κατὰ συμβεβηκὸς δὲ τὸν τοῖχόν τε καὶ τὸν ἀσκόν. εἰ τοίνυν ἅπαντα ἢ βίᾳ ἢ κατὰ φύσιν κινεῖται, ταῦτα δ' ὑπό τινος, ἅπαντα ἂν τὰ κινούμενα ὑπό τινος κι-

---

9 τελειοτέρα δὲ V 11 fort. κωλύει 14 μεταβεβληκὸς libri 22 ἐνεργήσῃ V 23 καὶ ὡς] ὡς καί? 26 γὰρ om. A

νοῖτο. πῶς οὖν λέγομέν τινα κινήσεως ἀρχὴν ἔχειν ἐν ἑαυτοῖς οἷον τὰ φυσικὰ σύμπαντα σώματα; ἢ κινήσεως ἀρχὴν ἔχει τὸ τοῦ κινεῖσθαι ἀρχὴν ἢ τὸ δύναμιν ἔχειν καὶ ἐπιτηδειότητα πρὸς τὸ εἰς τοῦτο μεταβάλλειν εἰς ὃ μεταβάλλον ὑπό τινος κινήσεται τήνδε τὴν κίνησιν; ὅτι μὲν οὖν ἅπαν τὸ κινούμενον ὑπό τινος κινεῖται, ἱκανῶς διὰ τῶν ἔμπροσθεν ἀποδέδεικται.

5 Κινεῖται δὲ ἅπαν ὑπὸ τοῦ κινοῦντος διχῶς, ἤτοι γὰρ τὴν ἀρχὴν τοῦ κινεῖν ἐν ἑαυτῷ ἔχοντος ἢ ἔξωθεν καὶ αὐτοῦ κινουμένου, οἷον ὁ λίθος· ἢ γὰρ ὑπ' ἀνθρώπου ἢ ὑπὸ μοχλοῦ ἢ ἄλλου τινὸς ἑαυτὸ μὴ κινοῦντος, ἀλλ' ὑφ' ἑτέρας ἀρχῆς κινουμένου. οὐκ εἰς ἄπειρον δὲ πρόεισιν ἀλλ' ἵσταται ἐπὶ τὴν δι' αὑτῆς κινοῦσαν ἀρχήν. ὁ μὲν γὰρ λίθος ὑπὸ τοῦ μοχλοῦ, ὁ μοχλὸς δὲ ὑπὸ τῆς χειρός, ἡ δὲ χεὶρ ὑπὸ τοῦ ἀνθρώπου, ὁ ἄνθρωπος δὲ οὐκέθ' ὑπ' ἄλλου ἀλλ' ὑφ' ἑαυτοῦ. ἄμφω μὲν δή φαμεν κινεῖν καὶ τὸν μοχλὸν καὶ τὸν ἄνθρωπον, fol. 60b. ἀλλὰ μᾶλλον ἐκεῖνον· ἐκεῖνος γὰρ κινεῖ καὶ αὐτὸν τὸν μοχλὸν καὶ ἄνευ μὲν τοῦ τέκτονος ὁ μοχλὸς οὐ κινήσειεν ἄν, ἄνευ δὲ τοῦ μοχλοῦ δύναιτ' ἂν ὁ τέκτων κινῆσαι τὸν λίθον. δῆλον τοίνυν ὡς καὶ ὅταν μὴ προσεχῶς κινῇ τὸ κινοῦν ἑαυτό, ἀλλὰ διά τινος μέσου, καὶ οὕτως ἐκεῖνο τὴν ἀρχὴν ἔχει τῆς κινήσεως, ὥστε πᾶν τὸ κινούμενον ὑπό τινος ἂν κινοῖτο ἑαυτὸ κινοῦντος· ἢ γὰρ εὐθὺς τὸ κινούμενον ὑπὸ τοιούτου κινεῖται ἢ ἔρχεταί ποτε εἰς τὸ τοιοῦτον· οὐ γὰρ δὴ εἰς ἄπειρον πρόεισιν ὥστ' ἀεὶ τοῦ κινοῦντος ἕτερον

---

3 ἀρχὴν τὸ V  4 ἔχειν] scrib. ἔχον  10 fort. γὰρ del. 11 ἀνθρώπου] ἄλλου V  19 ἐκεῖνον] ἐκεῖνος libri  20 κινήσει A, malim κινήσει, ἄνευ

*αἴτιον εἶναι τὸ κινητικόν. πρῶτον μὲν γὰρ οὐκέθ' οἷόν τε ἔσται λαβεῖν ἀρχὴν τῆς κινήσεως, μηδενὸς δὲ ὄντος ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οὐδ' ἂν κίνησις εἴη λοιπόν· ἔπειτα συμβήσεται ἐν πεπερασμένῳ χρόνῳ ἀπείρου μεγέθους καὶ ἄπειρον γίνεσθαι κίνησιν· δῆλον γὰρ ὡς εἴπερ ἄπειρα εἴη τὰ κινοῦντά τε καὶ κινούμενα, ἀναγκαῖον ἕν τι μέγεθος ἐξ αὐτῶν ἄπειρον γενέσθαι, λέγω δὲ ἕν, οὐχ ὅτι συνεχές, ἀλλ' ὅτι ἐξ ἁπτομένων· πάντα γὰρ τὰ κινοῦντα τῷ αὐτὰ κινεῖσθαι κατὰ τόπον ἁπτόμενα κινεῖ. τί οὖν συνήγαγεν ἡμῖν ὁ λόγος; εἰ τὸ μὲν ὑπό τινος κινεῖσθαι τοῖς κινουμένοις ἀναγκαίως ὑπάρχει, τὸ δ' ὑπό τινος ἔξωθεν αὐτοῦ κινουμένου οὐκ ἀναγκαίως, δυοῖν θάτερον περιλείπεται ἢ εἰς ἀκίνητον ἵστασθαι προϊόντας, τὸ πρῶτον κινοῦν, ἢ εἰς αὐτοκίνητον. ἐπεὶ γὰρ τὸ κινοῦν ἢ κινεῖσθαι ἀναγκαῖον ἢ μὴ κινεῖσθαι, εἰ μὲν μὴ κινεῖσθαι, ἀκίνητόν ἐστιν· εἰ δὲ κινεῖσθαι, ἤτοι ὑφ' ἑαυτοῦ ἢ ὑπὸ ἄλλου, καὶ δέδεικται ὡς οὐκ ἐξ ἀνάγκης ὑπ' ἄλλου· λείπεται ἄρα ὑφ' ἑαυτοῦ· καὶ γὰρ ἄλλως εὔλογον τὸ αὐτοκίνητον αἴτιον εἶναι μᾶλλον κινήσεως ἢ τὸ ὑπ' ἄλλου κινούμενον· τὸ γὰρ αὐτὸ καθ' αὐτὸ πρότερον ἀεὶ καὶ αἴτιον τοῦ δι' ἕτερον.*

*Τοῦτο τοίνυν αὐτὸ σκεπτέον λαβοῦσιν ἄλλην ἀρχήν, πῶς τὸ αὐτοκίνητον κινεῖ καὶ τίνα τρόπον; πρῶτον δὲ ἁπάντων διαιρετέον, κατὰ πόσους τρόπους τὸ αὐτοκίνητον δύναται λέγεσθαι αὐτοκίνητον. ἐπειδὴ γὰρ κεῖται τὸ κινούμενον μέγεθος εἶναι καὶ συνεχές, ἢ οὕτω λέγοιτ' ἂν ὡς τοῦ ὅλου κινοῦντος ἅμα ἑαυτὸ*

---

1 seqq. conf. Simplicium fol. 284 init. 9 *αὐτὰ*] *αὐτὸ* libri 10 sequitur Themistius eorum sententiam qui Aristotelis verba p. 256 b. 3 *πρὸς δὲ τοῖς* — 257, 27 *κινήσει* post p. 258, 5 posuerunt. vid. Simplicius fol. 284; monuit Brandis schol. p. 434. 22 *καὶ* delendum 26 *δύνασθαι* A 27 *κεῖται*] *ὁμολογεῖται* A

καὶ κινουμένου ὑφ' ἑαυτοῦ, ἢ ὡς μέρους ἑαυτοῦ αὐτό τε καὶ τὸ ὅλον κινοῦντος, ἢ τοῦ ὅλου μέρος τι, ἢ πάλιν μέρους τινὸς τοῦ ὅλου μέρος ἕτερον τοῦ ὅλου· καὶ εἰ τοῦτο, οὕτως ὥστε ἕκαστον ὑπὸ ἑκάστου ἀντικινεῖσθαι, ἢ ὡς τὸ μὲν κινεῖν μόνον τὸ δὲ κινεῖσθαι, [καὶ] καθ' ὃν μόνον τρόπον δειχθήσεται αὐτοκίνητόν τι εἶναι δυνάμενον· οἱ γὰρ ἄλλοι πάντες τελευτῶσιν εἰς τὸ ὅλον τι αὐτὸ κινεῖν ὅπερ αὐτόθεν ἄτοπόν τε καὶ ἀδύνατον ὡς ἐπιδείξομεν. πρῶτον δὲ ὑπομνηστέον ὅτι εἰς τοῦτο τελευτῶσιν ἅπαντες οἱ λοιποὶ τρόποι χωρὶς τοῦ ὑστάτου· καὶ γὰρ εἰ ὑπὸ μέρους τινὸς τὸ ὅλον κινοῖτο, τὸ μέρος τοῦτο εἰ τὸ ὅλον κινεῖ, καὶ τὸ καθ' αὑτὸ μέρος κινήσει, ὥστε ἀφαιρεθέντος τοῦ λοιποῦ μέρους, τοῦτο τὸ μέρος ἔσται ὅλον ἑαυτὸ κινοῦν. ἀλλὰ κἂν ὑπὸ τοῦ ὅλου τὸ μέρος, ὁ αὐτὸς λόγος. ἀλλ' εἰ καὶ αὐτὰ τὰ μέρη πάλιν ἄλληλα ἀντικινοῖτο, τὸ αὐτὸ ἄτοπον· εἰ γὰρ ἕκαστον αὐτῶν ὑφ' οὗ κινεῖται, τοῦτο ἀντικινεῖ, ἕκαστον αὐτῶν ἔσται αὐτὸ ἑαυτὸ κινοῦν διὰ μέσου τινός. ὅτι μὲν εἰς τοῦτο τελευτῶσι πάντες οἱ τρόποι, φανερὸν ἐκ τῶν εἰρημένων· ὅτι δὲ ἄτοπον ὅλον τι ὑφ' ἑαυτοῦ ὅλου κινεῖσθαι, πολλαχόθεν ἂν καταμάθοιμεν. πότερον γὰρ τὴν αὐτὴν κινεῖται κίνησιν ἣν κινεῖ τὸ αὐτοκίνητον, ἢ ἑτέραν; εἰ μὲν δὴ ἑτέραν, οὐκέτ' ἂν ἀκριβῶς αὐτοκίνητον εἴη, μᾶλλον δὲ ὅλως, ἀλλ' ἕτερον μὲν αὐτοῦ τὸ κινοῦν, ἕτερον δὲ τὸ κινούμενον, εἴπερ καὶ αἱ κινήσεις αὐτῶν ἕτεραι. εἰ δὲ δὴ τὴν αὐτήν, οὐδ' ὑπονοῆσαι τις ἄν, πῶς φέροι ἂν ἅμα καὶ φέροιτο τὴν αὐτὴν φοράν, ἢ ἀλλοιοῖτο καὶ ἀλ-

---

2 τὸ ὅλον κινοῦντος] τοῦ ὅλου κινοῦντος libri 4 ἀντικεῖσθαι V 5 καὶ delendum 12 καθ' αὑτὸ] ἑαυτὸ A 14 τοῦ om A 18 ὅτι μὲν — 20 εἰρημένων om A 20 ἐφ' V 21 ὅλου] ὅλον V ἂν om libri

λοιοῖ, ὥστε διδάσκοι ἂν καὶ μανθάνοι ἅμα, καὶ ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγίειαν. ἄτοπα μὲν δὴ καὶ εὐθὺς ταῦτα, ἀτοπώτερα δ' ἂν μᾶλλον φανείη, εἰ ὑπομνήσομεν ἑαυτούς, ὅτι πᾶν μὲν τὸ κινούμενον εἴς τι δυνάμει ἐστὶ καθ' ὃ κινεῖται, οἷον τὸ θερμαινόμενον ὅτι δυνάμει ἐστὶ θερμόν, καὶ τὸ ψυχόμενον ὅτι δυνάμει ψυχρόν· πᾶν δὲ τὸ κινοῦν ἐνεργείᾳ ἐστὶν ἤδη καθ' ὃ κινεῖ· τὸ γὰρ θερμαινόμενον ἐνεργείᾳ ψυχρόν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, τὸ αὐτοκίνητον ἐκινεῖτο αὐτό· κινεῖται οὖν ὑφ' ὅλου, ἅμα τε ἂν δυνάμει εἴη καὶ ἐνεργείᾳ πρὸς τὸ αὐτό, δυνάμει μὲν καθὸ κινεῖται, ἐνεργείᾳ δὲ καθὸ κινεῖ· καὶ ἀτελὲς ἅμα καὶ τέλειον κατὰ ταὐτό, ἀτελὲς μὲν καθὸ δυνάμει, τέλειον δὲ ἤδη θερμὸν καὶ ψυχρὸν ἤδη ἐνεργείᾳ ὥστ' ἅμα εἴη θερμόν τε ἤδη καὶ οὔπω θερμόν, καὶ ψυχρὸν ἤδη καὶ οὔπω ψυχρόν. λείπεται τοίνυν τοῦ αὐτοκινήτου τὸ μέν τι κινεῖν μέρος, τὸ δὲ κινεῖσθαι, ὧν τὸ μὲν κινοῦν ἀκίνητον πάντως ἐστίν, τὸ δὲ κινούμενον ἐνίοτε μὲν καὶ ἄλλοις αἴτιον γίνεται κινήσεως, ἐνίοτε δὲ οὔ, ἀλλ' αὐτὸ μόνον κινεῖται ὥσπερ ἐπὶ τῶν ζώων ὁρῶμεν· ταῦτα γάρ ἐστιν αὐτοκίνητα καθ' ὃν διωρισάμεθα τρόπον, καὶ ἔστιν ἐν αὐτοῖς τὸ κινοῦν ἀκίνητον, ἡ ψυχή, τὸ δὲ κινούμενον μὲν ὑπὸ τῆς ψυχῆς, οὐκέτι δὲ ἄλλο κινοῦν ἀλλὰ ποτὲ μέν, ποτὲ δὲ οὔ, τὸ σῶμα· ὅταν μὲν ἕλκῃ τὸν λίθον, τότε καὶ κινεῖ τῷ σώματι καὶ κινεῖται, ὅταν δὲ καθεύδῃ, κινεῖ μὲν οὐδὲν τῷ σώματι, κινεῖται δὲ τρεφόμενον ἢ αὐξόμενον ἢ σφῦζον ἢ ἀναπνέον. ἐν τοίνυν τῷ αὐτοκινήτῳ τὸ μὲν ἓν ὅτι σῶ-

4 μὲν om V   11 πρὸς τὸ αὐτὸ] malim κατὰ ταὐτὸ   15 οὔπω θερμὸν] οὕτω θερμὸν V   20 αὐτὸ] οὐ τὸ A   24 ἄλλο] ἐξ ἄλλο V   26 καὶ ante κινεῖ om A

μα, δῆλον· ἐδείχθη γὰρ ὅτι πᾶν τὸ κινούμενον συνεχές, εἰ δὲ καὶ τὸ κινοῦν, ἄδηλον ἔτι, ἀλλὰ τοῦτο μὲν ἴσως καὶ καθ' αὑτὸ τεύξεται λόγου.

Ὅτι δ' ἔστι τι τὸ κινοῦν μὲν ἀκίνητον δέ, καὶ ἄλλως ἂν δόξειεν εὔλογον εἶναι. εἰ γάρ τινα μὲν ἀμφοῖν μετέχει τοῦ κινεῖν καὶ κινεῖσθαι, τινὰ δὲ θατέρου τοῦ κινεῖσθαι μόνον [μετέχει], εὔλογον ἵνα μὴ εἴπωμεν ἀναγκαῖον, καὶ τοῦ λειπομένου τινὰ μόνον μετέχειν, λέγω δὲ τοῦ κινεῖν μὴ κινεῖσθαι δέ· ἐφ' ἁπάντων γὰρ τουτὶ καταμάθοι τις ἂν ὅσα σύγκειται ἐκ δυοῖν, ὡς εἴπερ θάτερον οἷόν τε εἶναι καθ' ἑαυτὸ τῶν ἐν τῷ μίγματι, καὶ θάτερον καθ' ἑαυτὸ οἷόν τ' εἶναι· ἐπειδὴ γὰρ ἐξ οἴνου καὶ μέλιτος τὸ οἰνόμελι, fol. 61. τὸ δὲ μέλι καὶ χωρὶς οἴνου, καὶ ὁ οἶνος ἔστι χωρὶς μέλιτος. καὶ τοίνυν εἴ τινά ἐστιν ἃ καὶ κινεῖ καὶ κινεῖται, ἔστι δέ τινα ἃ κινεῖται μόνον, εἶναί τινα ἃ κινεῖ μόνον, ἀνάγκη. φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων ὅτι ἔστι τὸ πρῶτον κινοῦν ἀκίνητον. ἐπειδὴ γὰρ ὡς καὶ πρότερον εἴπομεν, ὑπό τινος κινεῖται τὰ κινούμενα· προΐοι γὰρ ἂν οὕτως εἰς ἄπειρον καὶ ἀναιροῖτο ἂν ἀρχὴ τῆς κινήσεως, δυοῖν θάτερον περιλείπεται, ἢ εὐθὺς ὑπὸ ἀκινήτου κινεῖσθαι, ἢ ὑπ' αὐτοκινήτου πάντως· ἀλλὰ καὶ ὅταν ὑπ' αὐτοκινήτου, καὶ τότε ὑπ' ἀκινήτου πρώτου. καλῶς οὖν ποιεῖ Ἀναξαγόρας τὸν νοῦν ἀκίνητον ποιῶν, ἐπεὶ κινήσεως αὐτὸν ἀρχὴν ὑποτίθεται. ὅτι μὲν οὖν ἀκίνητον ἐξ ἀνάγκης τὸ πρῶτον κινοῦν, ἱκανῶς ἀποδέδεικται.

Ὅτι δὲ καὶ ἀΐδιον, ἐντεῦθεν δῆλον· ἐπειδὴ γὰρ 6

6 *μετέχει* om V  8 *μόνον* om A  11 *ὡς εἴπερ*] *ὥσπερ* V *εἶναι καθ'*] *κινεῖσθαι καθ'* V  14 *καὶ χωρὶς*] delendum *καὶ* conf. Simplic. fol. 285.  22 *ἢ ὑπ'*] *ἢ ἀπ'* V  24 *ἀκινήτου πρώτου*] *αὐτοκινήτου πρώτου* V  28 *καὶ* om A

*κίνησιν δεῖ ἀΐδιον εἶναι, δεῖ καὶ τὸ ταύτης αἴτιον τῆς κινήσεως ἀΐδιον εἶναι, καὶ τῆς τοιαύτης ἄρα μεταβολῆς ἀνεπίδεκτον παντελῶς τὸ πρῶτον κινοῦν τῆς ὡς γενέσεως καὶ φθορᾶς. εἰ μὲν οὖν καὶ ἅπαν ἀΐδιον κινεῖ μὲν οὐ κινεῖται δέ, οὐδὲν πρὸς τὸν νῦν λόγον. ἔστω γὰρ εἴ τις βούλεται πολλὰς ἐνδέχεσθαι τῶν ἀρχῶν τῶν κινητικῶν μὲν ἀκινήτων δὲ ποτὲ μὲν εἶναι, ποτὲ δὲ μὴ εἶναι, οἷον εἴ τις τὰς τῶν ἐπὶ γῆς ζώων ψυχὰς τοιαύτας ὑπάρχειν ἀμφισβητοίη· ἀλλ' οὔτι γε πάσας δυνατόν. αὐτοῖς γὰρ τούτοις τοῖς ζώοις τοῦ γίνεσθαι συνεχῶς ἐξ ἀλλήλων, καὶ ταῖς τούτων ἀρχαῖς τοῦ ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι, καὶ τοῦ μηδέποτε ἐπιλείπειν τὴν τοιαύτην διαδοχὴν ἕτερον αἴτιον ἐξ ἀνάγκης οὐχὶ ποτὲ μὲν ὂν ποτὲ δὲ μὴ ὄν· οὐδὲν γὰρ ἂν αἴτιον εἴη τῆς ἀϊδίου ταύτης μεταβολῆς, ἀλλ' ἀΐδιον καὶ ἐξ ἀνάγκης ὄν· οὐδὲ γὰρ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι τῶν φθειρομένων τούτων ἀρχῶν ἀεὶ τῆς ἐφεξῆς γίνεται ἡ προλαβοῦσα. ἡμεῖς μὲν γὰρ τὴν πρώτην αἰτίαν ἐπιζητοῦμεν καὶ τὴν ὄντως ἀρχήν, αἱ δὲ ἐξ ἀλλήλων ἄπειροι καὶ οὐχ ἅμα, καὶ τί μᾶλλον ἥδε ἤπερ ἥδε; ὅλως δὲ τοῦ μὴ διαλείπειν τὰς ἐξ ἀλλήλων γενέσεις τὴν μὴ διαλείπουσαν ἀρχὴν θετέον, αἱ δὲ φθαρταὶ ἀρχαὶ εἴπερ εἶεν φθαρταί τινες ἐν τοῖς ζώοις ἀρχαί, τοῖς ζώοις δήπου συνδιαφθείρονται. ἄλλη τοίνυν αἰτία παρ' ἑκάστην τούτων ἐστίν, ὅταν καὶ τούτων ἑκάστην γενητικήν τινος τῶν ἐφεξῆς. ὅλως δὲ εἴπερ ἀποδέδεικται διὰ*

---

2 *ἀΐδιον*] habent Aristotelis editi libri praeter Bekkerum p. 258 b. 11. 12 *τοῦ ποτὲ*] *τὸ ποτὲ* libri 16 Simplicius fol. 291 b. *ἀΐδιον ἐξ ἀνάγκης ἢ ὡς ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος γράφουσιν· ἀΐδιον καὶ ἐξ ἀνάγκης.* 27 *τῶν ἐφεξῆς*] post haec desunt pauca, nisi scripseris *ἑκάστη ᾖ γενητική τινος*

τῶν ἔμπροσθεν ἱκανῶς, ὅτι ἀνάγκη κίνησιν ἀΐδιον εἶναι καὶ συνεχῆ· τὸ γὰρ ἐφεξῆς οὔτε συνεχὲς οὔτε ἀΐδιον, ἀνάγκη καὶ τὸ ταύτης αἴτιον τῆς κινήσεως ἀΐδιον εἶναι καὶ ἕν· εἰ γὰρ ἄλλο νῦν καὶ ἄλλο πάλιν, οὐκέτι συνεχὴς ἡ κίνησις ἀλλ' ἐφεξῆς. ἔκ τε δὴ τούτων πιστεύσειεν ἄν τις εἶναί τι πρῶτον ἀΐδιον καὶ ἀκίνητον, καὶ πάλιν ἐπιβλέψας ἐπὶ τὰς λοιπὰς ἀρχὰς τῶν κινήσεων τὰς ἐν τοῖς ζώοις, ὅτι μηδὲ κυρίως αὗται ἀρχαί. μάλιστα μὲν γὰρ οὐδὲ πᾶσαι ἐξ αὐτῶν αἱ κινήσεις ἃς τὰ ζῷα κινεῖται, ἀλλὰ μόνη ἡ κατὰ τόπον· αὕτη γὰρ καὶ μόνη καθ' ὁρμήν, αἱ πλεῖσται δὲ ἔξωθεν καὶ φυσικαί, αὔξησις φθίσις ἀναπνοὴ ἃς κινεῖται τῶν ζώων ἕκαστον οὐχ ὑπὸ τῆς ἐν αὐτῷ ἀρχῆς, ἀλλ' ὑπὸ τοῦ περιέχοντος τῆς εἰσιούσης τροφῆς. ἀλλ' οὖν καὶ ἣν δοκεῖ μόνην κίνησιν ὑφ' ἑαυτῶν κινεῖσθαι, λέγω δὲ τὴν κατὰ τόπον, καὶ ταύτης τὸ ἐνδόσιμον ἔξωθεν, ὥσπερ ὅταν τῆς τροφῆς διακριθείσης ἐγείρωνται, ὅθεν οὐδὲ συνεχῶς οἷά τε κινεῖσθαι ταύτην τὴν κίνησιν· ὁ γὰρ ὕπνος διὰ τὴν τροφὴν ἀναγκαῖος, καθεύδοντα δὲ ἠρεμεῖ τὰ ζῷα καὶ οὐ κινεῖται ὑφ' ἑαυτῶν, ἀλλ' ἕτερον αἴτιόν ἐστιν τοῦ ποτὲ μὲν ἠρεμεῖν τὰ ζῷα, ποτὲ δὲ κινεῖσθαι, ὃ κινούμενον μὲν ἀεί, οὐχ ὁμοίως δὲ ἀεὶ πρὸς αὐτὰ ἔχον, οὐδ' ὁμοίως αὐτὰ διατίθησι. δῆλον τοίνυν ἐξ αὐτῶν τῶν εἰρημένων ὡς εἶναί τι δεῖ πρῶτον κινοῦν ἀκίνητον εἰ μέλλει καθάπερ εἴπομεν ἔσεσθαι ἄπαυστός τις καὶ ἀθάνατος κίνησις καὶ διατελέσειν τὸ πᾶν αὐτὸ ἐν αὐτῷ κινούμενον· τῆς γὰρ πρώτης ἀρχῆς κινούσης μὲν ἀκινήτου δὲ μενούσης συμβαίνει

5 ἔκ τε] ἐκ δὲ libri 13 ἕκαστον om V 27 διατελέσειεν V

*καὶ τὸ κινούμενον ἀμφοῖν ἀπολαύειν, ὥστε καὶ κινεῖσθαι κατὰ μόρια. καὶ ἀκίνητον εἶναι καθ' ὅλον τὸν τόπον.*

*Ἀλλὰ μὴν εἴγε ἐστὶν ἀΐδιον τὸ κινοῦν μὲν ἀκίνητον δέ, ἀνάγκη καὶ τὸ πρῶτον ὑπ' αὐτοῦ κινούμενον ἀΐδιον εἶναι· εἰ γὰρ ἄλλο καὶ ἄλλο, πάλιν οὐ συνεχὴς ἡ κίνησις οὐδεμία. τί ποτ' οὖν εἶπον τὸ πρῶτον κινούμενον καὶ οὐχ ἁπλῶς τὸ κινούμενον; ὅτι κινεῖται μὲν καὶ τὰ ἐν γενέσει καὶ φθορᾷ ὑπὸ τῆς ἀκινήτου ἀρχῆς, οὐ πρώτης δὲ ἀλλὰ διὰ μέσου τινός· οὐ γὰρ ἂν ἄλλως ἦν γένεσις, εἰ καὶ μή τι σῶμα ἦν μεταξὺ κινούμενον μὲν ὑπὸ τοῦ πρώτου καὶ ἀκινήτου, κινοῦντος δὲ τὰ ἄλλα καὶ γινόμενον αὐτοῖς αἴτιον τῆς ἐς ἄλληλα μεταβολῆς. ἡ μὲν γὰρ ἀκίνητος ἀρχὴ τὸν αὐτὸν ἀεὶ κινήσει τρόπον καὶ μίαν κίνησιν ἅτε οὐδὲν αὐτὴ μεταβάλλουσα πρὸς τὸ κινούμενον· τὸ δὲ κινούμενον ὑπ' αὐτῆς οἷον ὁ οὐρανός, καὶ τὸ ὑπὸ τοῦ οὐρανοῦ πάλιν κινούμενον οἷον ὁ ἥλιος, διὰ τὸ ἄλλως καὶ ἄλλως ἔχειν πρὸς τὰ πράγματα οὐ τῆς αὐτῆς ἐστὶ κινήσεως αἴτιον, ἀλλὰ προσιὸν μὲν τῆσδε, ἀπιὸν δὲ αὖθις ἑτέρας, καὶ ποτὲ ἠρεμεῖν ποιήσει, ποτὲ δὲ κινεῖσθαι· ἐξ οὗ καὶ φανερὸν γέγονε, τί δήποτε οὐ πάντα ἢ κινεῖται ἢ ἠρεμεῖ ἢ τὰ μὲν κινεῖται μόνον τὰ δὲ ἠρεμεῖ μόνον, ἀλλ' ἔνια ποτὲ μὲν ποτὲ δ' οὔ· ἐπειδὴ γὰρ τὰ μὲν ὑπὸ ἀκινήτου καὶ ἀϊδίου κινεῖται, τὰ δὲ ὑπὸ ἀϊδίου μὲν κινουμένου δὲ αὐτοῦ καὶ μεταβάλλοντος, δῆλον ὡς τὰ μὲν ὡσαύτως ἀεὶ κινήσεται, τὰ δ' οὐχ ὡσαύτως· καὶ γὰρ ἡ κινοῦσα ἀρχὴ τῶν μὲν ὡσαύτως ἔχει τῶν δ' οὐχ ὡσαύτως.*

---

9 *καὶ τὰ φθορᾷ* A 13 *κινοῦντος*] *κινοῦν* V 17 *τὸ δὲ κινούμενον* om A 21 *προσιὼν — ἀπιὼν* libri

Διεξήρκει μὲν οὖν καὶ οὕτως ἀΐδιον ἀποδεῖξαι 7 τὸ πρῶτον κινούμενον ὑπὸ τῆς ἀκινήτου ἀρχῆς, φανερώτερον δὲ ἐντεῦθεν. εἰ γὰρ ἀναγκαῖον μὲν ἀΐδιόν τινα κίνησιν εἶναι συνεχῆ, τὴν κύκλῳ φοράν, ταύτην ἄρα κινεῖ τὸ πρῶτον κινοῦν, καὶ σῶμα τοίνυν ᾧ τὸ κύκλῳ φέρεσθαι κατὰ φύσιν. πῶς οὖν οὐδεμίαν fol. 61b. τῶν ἄλλων κινήσεων δυνατὸν οὔτε ἀΐδιον εἶναι, οὔτε συνεχῆ; τοῦτο γὰρ ἔν τε τῷ λόγῳ λεκτέον ἄλλην ἀρχὴν ποιησάμενον. τριῶν τοίνυν οὐσῶν κινήσεων, τῆς κατὰ ποιότητα τῆς κατὰ μέγεθος τῆς κατὰ τόπον, λέγω τὴν φορὰν εἶναι τὴν πρώτην καὶ τῇ φύσει καὶ τῷ χρόνῳ καὶ τῷ τοῖς τελειοτέροις ὑπάρχειν· τῇ φύσει μὲν ὄντως ἀδύνατον [γὰρ] τῶν ἄλλων τινὰ κινήσεων εἶναι δίχα φορᾶς, ταύτην δὲ χωρὶς ἐκείνων οἷόν τ' εἶναι. αὔξησις μὲν γὰρ οὐκ ἔσται χωρὶς ἀλλοιώσεως, πῶς γὰρ ἂν αὔξησις γένοιτο μὴ πρότερον τῆς τροφῆς ἀλλοιωθείσης, ἀλλοιωθῆναι δὲ τὸν ἄρτον ἢ τὴν πόαν ἢ τὸ ὕδωρ πῶς δυνατὸν μὴ προσενεχθέντα ἢ πλησιάσαντα ὅλως τῷ ζῴῳ ἢ τῷ φυτῷ; δεήσει οὖν ἐξ ἀνάγκης κατὰ τόπον πρότερον κινηθῆναι ἢ τὸ τρεφόμενον ἢ τὸ τρέφον ἢ καὶ ἀμφότερα. αὔξησις μὲν οὖν ἢ φθίσις οὐκ ἂν ἄλλως εἴη χωρὶς φορᾶς. ἀλλὰ μὴν οὐδὲ ἀλλοίωσις, ὅτι πάντων τῶν παθημάτων ἀρχὴ πύκνωσις καὶ μάνωσις· καὶ γὰρ βαρὺ καὶ κοῦφον καὶ μαλακὸν καὶ σκληρὸν καὶ θερμὸν καὶ ψυχρὸν πυκνότητες δοκοῦσι καὶ ἀραιότητες εἶναι, πύκνωσις δὲ καὶ μάνωσις συγκρίσει γίνονται καὶ διακρίσει· συγκρινόμενα δὲ καὶ διακρινόμενα ἀνάγκη κατὰ τόπον μεταβάλλειν. εἶεν. γένεσις δὲ

---

8 ἔν τε] corruptum 12 καὶ τῷ τοῖς] τῷ om libri 13 γὰρ om V 27 δὲ om V

*καὶ φθορὰ ὑστέρα φορᾶς, ὅτι εἴτε αὐτόθεν σύγκρισις ἡ γένεσις ὡς Δημόκριτος οἴεται, καὶ διάκρισις ἡ φθορά, εἴτε κατὰ ἀλλοίωσιν μὲν ἡ γένεσις, προηγεῖται δὲ σύγκρισις καὶ διάκρισις, καὶ οὕτως ἂν ἡ φορὰ πρώτη ὑπάρχοι. οὕτω μὲν οὖν οὐδεμία τῶν ἄλλων κινήσεων ἄνευ φορᾶς· ὅτι δὲ αὕτη καὶ χωρὶς τῶν ἄλλων φανερόν· οὐδεμία γὰρ ἀνάγκη οὔτε αὔξεσθαι οὔτε ἀλλοιοῦσθαι τὸ φερόμενον οὔτε γίνεσθαι ἢ φθείρεσθαι. τῇ φύσει μὲν τοίνυν οὕτω πρώτη, τῷ χρόνῳ δὲ πῶς; τοῖς γὰρ ἀϊδίοις μόνην ἐνδέχεται κινεῖσθαι ταύτην τὴν κίνησιν· μόνη γὰρ συνεχὴς καὶ ἀΐδιος αὕτη δύναται εἶναι ὡς δείξομεν. εἰ δὲ πρότερα τῷ χρόνῳ τὰ ἀΐδια τῶν γενητῶν, προτέρα τῷ χρόνῳ καὶ ἡ τούτων κίνησις τῆς ἐκείνων. λοιπὸν τοίνυν ὅτι καὶ τὸ τοῖς τελειοτέροις ὑπάρχειν. καὶ τοῦτο δῆλον· τελεωθέντα γὰρ τὰ ζῷα μεταβαίνει τόπον ἐκ τόπου, γινόμενα δὲ καὶ αὐξανόμενα ἔτι παντάπασιν ἀτελῆ. ἀλλὰ τοῦτο δόξειεν ἂν ὑπεναντίον εἶναι τοῖς πρότερον εἰρημένοις· εὑρίσκεται γὰρ γένεσις προτέρα φορᾶς, εἴ γε δεῖ γενέσθαι πρῶτον, εἶθ' οὕτω κινεῖσθαι. τοῦτο δὲ ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γινομένων ἀληθές, ἁπλῶς δὲ οὐκ ἀληθές· ἀνάγκη γὰρ ἕτερόν τι πρότερον κινηθῆναι κατὰ φορὰν τὸ γενητικὸν τοῦ γιγνομένου, ὂν ἤδη καὶ οὐ τηνικαῦτα γινόμενον καὶ τούτου ἕτερον πρότερον. ἔτι γένεσιν ἀδύνατον εἶναι πρώτην· πάντα γὰρ ἂν εἴη τὰ κινούμενα γενητά, εἴ γε ἀνάγκη γενέσθαι πρῶτον τὰ καθ' ἡντιναοῦν κίνησιν κινησόμενα. οὐκ ἄρα πρώτη φορᾶς ἡ γένεσις. εἰ δὲ μὴ γένεσις, σχολῇ γ' ἂν αὔξη-*

---

1 ὡς ὑστέρα V, fort. πῶς ὑστέρα φορᾶς; 15 ὅτι om A
28 πρώτη] fort. προτέρα

σις καὶ ἀλλοίωσις δευτέρα ἐκείνης καὶ μετ' ἐκείνην. ἔτι τὰ ἀτελέστερα τῶν σωμάτων ταύτης τῆς κινήσεως ἀμοιρεῖ, οἷον τὰ φυτὰ καὶ τὰ ζωόφυτα. ἔτι ἥκιστα τῆς οὐσίας ἐξίσταται κατὰ μόνην τὴν φορὰν τὰ κινούμενα· κατ' οὐδὲν γὰρ ἑαυτῶν μεταβάλλει, ὥσπερ ἀλλοιούμενα μὲν τὴν ποιότητα, αὐξανόμενα δὲ τὴν ποσότητα. ἔτι τὸ αὐτοκίνητον ἀρχὴ καὶ τῶν κινουμένων καὶ τῶν κινούντων, κινεῖται δὲ τὸ αὐτοκίνητον ὡς αὐτοκίνητον κατὰ μόνην φοράν· καὶ οὕτως ἄρα πρώτη φορά. ἔτι κυρίως κινεῖσθαί φαμεν μόνον τὸ κινούμενον κατὰ τόπον, ὅταν δ' ἠρεμῇ μὲν κατὰ τόπον, αὐξάνηται δὲ ἢ φθίνῃ ἢ ἀλλοιούμενον τυγχάνῃ, κατά τι κινεῖσθαι ἁπλῶς δὲ κινεῖσθαι οὔ φαμεν.

Ὅτι μὲν τοίνυν τῶν κινήσεων ἡ φορὰ πρώτη, φανερὸν ἐκ τῶν εἰρημένων· τίς δὲ φορὰ πρώτη, νῦν δεικτέον. ἅμα γὰρ καὶ τὸ πρότερον ὑποτεθέν, ὅτι ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ ἀΐδιον, δῆλον ἔσται τῇ αὐτῇ μεθόδῳ. τῶν γὰρ λοιπῶν οὐδεμίαν εἶναι ἐνδέχεται συνεχῆ· πᾶσαι γὰρ ἐξ ἀντικειμένων εἰσὶ κινήσεις καὶ μεταβολαί, γενέσεις μὲν καὶ φθοραὶ εἰς τὸ ὂν καὶ εἰς τὸ μὴ ὄν, ἀλλοιώσεις δὲ εἰς τὰ ἐναντία πάθη, αὔξησις δὲ καὶ φθίσις εἰς μέγεθος καὶ μικρότητα. ἐπεὶ οὖν τὰς μὲν ἀντικειμένας μίαν γενέσθαι οὐχ οἷόν τε, ἡ δὲ συνεχὴς πάντως καὶ μία, οὐκ ἂν εἴη τις τῶν ἄλλων κινήσεων συνεχής. ὅτι δὲ μὴ οἷόν τε τὰς ἀντικειμένας μίαν γενέσθαι ἢ κινεῖσθαι τὰς ἀντικειμένας ὡς μίαν, δῆλον. εἰ γὰρ εἴη μᾶλλον μία, τὸ λευκαινόμενον ἅμα ἂν καὶ μελαίνοιτο,

---

6 τῇ ποσότητι V  9 ὡς αὐτοκίνητον om A  15 ἡ om V
29 μᾶλλον delendum et om. Simplicius fol. 298, 4.

*καὶ τὸ ὑγιαζόμενον ἅμα ἂν καὶ νοσάζοιτο, καὶ το αὐξανόμενον ἅμα ἂν μειοῖτο, καὶ τὸ γινόμενον ἅμα ἂν καὶ φθείροιτο. εἰ οὖν τὸ λευκαινόμενον οὐχ ἅμα καὶ μελαίνεται· τέλος γὰρ ἂν εἴη τοῦ λευκαίνεσθαι τὸ μελανθῆναι, δῆλον ὡς ἡνίκα ἂν μελαίνηται, ἑτέραν κινεῖται κίνησιν τῆς προτέρας. εἰ δὲ νῦν μὲν ταύτην κινεῖται πρότερον δὲ οὔ, ὑπῆρχε δὲ καὶ τότε καὶ νῦν, δῆλον ὡς ἐκ μιᾶς εἰς αὐτὴν μεταβέβληκεν· εἰ γὰρ μὴ ἠρέμησεν μεταξύ, ἐκινεῖτο ἂν ὡς μίαν τὰς ἐναντίας. ὁμοίως δὲ ἕξει καὶ ἐπὶ γενέσεως καὶ φθορᾶς· καὶ γὰρ αὗται εἰ μὴ ἐναντίαι ἀλλ' ἀντικείμεναι, ἀλλ' ἡ διαφορὰ πρὸς τὰς ἀληθῶς κινήσεις, ὅτι καὶ ἐκείνων μὲν οὖν τι μεταξὺ πάντως, ἀλλ' ὅτι οὐ πάντως ἠρεμία μεταξύ, ἀλλὰ χρόνος· τὸ γὰρ φθειρόμενον ὅταν εἰς τὸ μὴ ὂν μεταβάλλῃ, ἠρεμεῖν μὲν οὐκ ἂν λέγοιτο ἐν τῷ μὴ ὄντι, χρόνον δ' οὖν γίνεσθαι ἀεί τινα μεταξὺ τῆς εἰς τὸ μὴ ὂν φθορᾶς καὶ τῆς ἐκ τοῦ μὴ ὄντος πάλιν γενέσεως. παντελῶς γὰρ ἂν ἄτοπον δόξειεν εἶναι, εἰ γενόμενον εὐθὺς ἀνάγκη φθαρῆναι καὶ μὴ χρόνον τινὰ μεῖναν πρότερον ἐν τῷ εἴδει εἰς ὃ προῄει γινόμενον.*

8 *Ὅτι μὲν οὖν τῶν ἄλλων οὐδεμία συνεχής, ἀρκείτω* fol. 62. *ταῦτα· ὅτι δὲ φορὰ μόνη καὶ φορᾶς ἡ κύκλῳ, λέγομεν νῦν. πᾶν γὰρ κινεῖται τὸ φερόμενον ἢ κύκλῳ ἢ εὐθεῖαν ἢ μικτήν, ὥστε εἰ τὴν ἑτέραν ἐκείνων ἀδύνατον εἶναι συνεχῆ, οὐδὲ τὴν ἐξ ἀμφοῖν συγκειμένην· ἐμποδίζει γὰρ αὐτῆς τὴν συνέχειαν τὸ τούτων ἐν τῇ συνθέσει μὴ συνεχές. δεικτέον τοίνυν ὅτι τὸ*

---

14 *ἠρεμίαι* V    19 *δόξειεν ἂν* V    *γινόμενον* libri
24 *λέγομεν*] sic et libri plures Aristotelis.

*φερόμενον τὴν εὐθεῖαν καὶ πεπερασμένην οὐ φέρεται συνεχῶς· ἀνακάμπτει γάρ, τὸ δὲ ἀνακάμπτον τὴν εὐθεῖαν ἐναντίας κινεῖται κινήσεις· ἐναντία γὰρ κατὰ τόπον ἡ ἄνω τῇ κάτω, καὶ ἡ εἰς τὸ ἔμπροσθεν τῇ εἰς τὸ ὄπισθεν, καὶ ἡ εἰς ἀριστερὰ τῇ εἰς δεξιά· τόπου γὰρ ἐναντιώσεις αὗται. εἰ οὖν μὴ ἵσταται, πρὶν ἀνακάμψαι τὸ ἄνω φερόμενον, φέροιτο ἂν ἅμα καὶ ἄνωθεν κάτω, καὶ κάτωθεν ἄνω· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ὅλως δὲ τὰς ἐναντίας κινήσεις πῶς μίαν γενέσθαι δυνατόν; διαφέρει γὰρ κατ' εἶδος ἡ ἄνω τῇ κάτω καὶ αἱ λοιπαί. δεῖ δὲ οὐ κατά γε τὴν μίαν κίνησιν καὶ συνεχῆ, ἀλλ' ὥσπερ ἓν τὸ κινούμενον καὶ ἕνα τὸν χρόνον, οὕτω καὶ ἓν τὸ τῆς κινήσεως εἶδος ὑπάρχειν. σημεῖον δ' ὅτι ἐναντίαι κινήσεις ἡ ἐνθένδε ἐκεῖσεν τῇ ἐκεῖθεν δεῦρο· ἵστησι γὰρ ἄλληλα καὶ παύει τὰ κινούμενα, ἂν ἅμα κινῆται διὰ τὸ τἀναντία φθείρειν καὶ κωλύειν ἄλληλα, ἀλλ' οὐχ ἡ εἰς τὰ πλάγια τῇ ἄνω. ὅτι δ' ἅπαν τὸ κάμπτον, κἂν ἐπὶ κύκλου κινῆται κἂν ἐπ' εὐθείας, ἀνάγκη πρότερον στῆναι, ἡ πίστις οὐ μόνον ἐπὶ τῆς αἰσθήσεως, ἀλλὰ καὶ ἐπὶ τοῦ λόγου. πᾶν γὰρ τὸ φερόμενον ἐν ᾧ γενέσθαι τε καὶ ἀπογενέσθαι ἀνάγκην ἔχει, καὶ εἰς ὃ ἐλθεῖν καὶ ἐξ οὗ ἀπελθεῖν, ἐν τούτῳ καὶ ἵστασθαι ἀνάγκην ἔχει χρώμενον αὐτῷ ὡς ἀρχῇ καὶ πέρατι τῆς κινήσεως· οὐ γὰρ οἷόν τε ἐν ταὐτῷ νῦν γενέσθαι τε ἔν τινι καὶ ἀπογενέσθαι ἐξ αὐτοῦ, καὶ ἐλθεῖν καὶ ἀπελθεῖν· ἅμα γὰρ ἂν εἴη καὶ οὐκ εἴη ἐν τῷ αὐτῷ, ὥστε ἐν ἄλλῳ νῦν καὶ ἐν ἄλλῳ. εἰ δὲ τοῦτο, πάντων δὲ τῶν νῦν χρόνος μεταξύ, τὸν μεταξὺ χρόνον τοῦτον ἂν εἴη ἠρεμοῦν, ἐν ᾧ κεῖται γεγονέναι*

5 *εἰς δεξιά*] *ἐκ δεξίας* V

*τε καὶ ἀπογεγονέναι ἀπ' αὐτοῦ. ἐπὶ μὲν οὖν τῶν μέσων σημείων τῆς πεπερασμένης εὐθείας οὐκ ἀνάγκην ἔχει τὸ φερόμενον γενέσθαι τε ἔν τινι καὶ ἀπογενέσθαι· οὐδὲν γὰρ αὐτῶν ἐστὶν ἐνεργείᾳ, οὐδ' ὅλως σημεῖον ἐνεργείᾳ· δεῖ γὰρ τὸ ἐνεργείᾳ σημεῖον καὶ ἐνεργείᾳ μέσον καὶ ἀρχὴν εἶναι καὶ πέρας, καὶ τῷ μὲν ὑποκειμένῳ ἕν, τῷ λόγῳ δὲ δύο. τοῦτο δὲ οὐκ ἔστιν ἐπὶ τῆς συνεχοῦς ἐπὰν ᾖ συνεχής. ἀλλὰ πότε γίνεται ἐνεργείᾳ μέσον καὶ ἐνεργείᾳ σημεῖον; ὅταν στῇ ἐπ' αὐτοῦ τὸ φερόμενον καὶ ἐπιστὰν πάλιν ἄρξηται κινεῖσθαι· οὕτω γὰρ καὶ μέσον καὶ ἀρχὴ καὶ τελευτὴ γίνεται, ἀρχὴ μὲν τῆς ὕστερον κινήσεως, τελευτὴ δὲ τῆς πρώτης. ἅμα οὖν στάσις τε τοῦ φερομένου καὶ εὐθὺς τὸ κατ' ἐνέργειαν μέσον, τουτέστιν ἀρχή τε καὶ πέρας, καὶ ἅμα κατ' ἐνέργειαν μέσον καὶ στάσις ἐπ' αὐτοῦ. ὅταν δὲ συνεχῶς φέρηται οὔτε γεγονέναι οὔτε ἀπογεγονέναι τὸ φερόμενον οἷόν τε κατὰ σημεῖον, ἀλλὰ μόνον εἶναι ἐν τῷ νῦν, ἐν χρόνῳ δὲ οὐδενὶ πλὴν εἰ λέγοι τις οὕτως ἐν χρόνῳ, ὅτι τὸ νῦν χρόνου τί ἐστιν· διαίρεσις γὰρ τοῦ ὅλου. ἆρ' οὖν ὁμοίως καὶ ἐπὶ τῶν περάτων τῆς ὅλης εὐθείας, καὶ οὐδεμίαν ἀνάγκην ἔχει τὸ φερόμενον πρότερον μὲν γενέσθαι ἐπὶ τοῦ πέρατος, εἶθ' οὕτως ἐπ' αὐτοῦ ἀνακάμψαι καὶ ἀπογενέσθαι; καὶ μὴν εἰ ὅτι δυνάμει ἦν τὰ μεταξὺ σημεῖα τῆς ὅλης γραμμῆς, διὰ τοῦτο συνεχῶς ἐπ' αὐτῶν ἐκινεῖτο, διότι ταῦτά ἐστιν ἐνεργείᾳ· πέρας γὰρ ἤδη καὶ ἀρχὴ καὶ ἑκάτερα τὰ δύο, διὰ τοῦτο στήσεται ἐπ' αὐτῶν· εἰ γὰρ συνεχῶς κινοῖτο ἐν τῇ ἀνακάμψει, οὐδ' ἂν πέρας εἴη οὔτ' ἂν*

---

9 *πότε*] *τότε* A   *καὶ* om A   15 *ἅμα κατ' ἐνέργειαν μέσον καὶ στάσις*] *ἐνεργείᾳ σημεῖον μὴ γενομένης στάσεως* V
27 *καὶ ἑκάτερα*] *καὶ* om V   28 *κινοῖτο*] *κινεῖτο* libri

ἀρχὴ τὸ σημεῖον, οὔθ' ὅλως ἐνεργείᾳ σημεῖον ἀλλὰ δυνάμει, ὥσπερ τὰ μεταξύ. ὅλως δὲ εἰ καὶ ἐπὶ τῶν μεταξὺ σημείων τῷ ἐνεργείᾳ γενέσθαι πέρατι καὶ ἀρχῇ τοῦ στῆναι ἦν ἐπ' αὐτοῦ τὸ φερόμενον, δῆλον ὡς ἐν τῷ κατ' ἐνέργειαν ἤδη πέρατι καὶ ἀρχῇ ἐν τούτῳ μᾶλλον στήσεταί τε καὶ ἠρεμήσει. πρόσαγε τοίνυν ἤδη καὶ τὴν ἐκ τοῦ συλλογισμοῦ ἀνάγκην τῷ λόγῳ. εἰ τὸ φερόμενον ἐφ' οὗ φέρεται συνεχῶς, οὐδενὶ χρῆται ὡς ἐνεργείᾳ σημείῳ, μᾶλλον δὲ ἐφ' οὗ χρῆσθαι αὐτῷ ἀναγκαῖον, οὐκ ἂν ἐπὶ τούτου φέροιτο συνεχῶς. ἀνάγκη ἄρα στῆναι τὸ ἀνακάμπτον ἐπὶ τῆς εὐθείας. τῷ δὲ δυνάμει εἶναι τὰ μεταξὺ τῆς εὐθείας σημεῖα χρηστέον καὶ πρὸς τὴν Ζήνωνος ἀπορίαν τὴν λέγουσαν, ὅτι οὐχ οἷόν τε κινηθῆναι τὴν πεπερασμένην· ἄπειρα γὰρ ἐν τῇ συνεχεῖ τὰ ἡμίση· ἐνεργείᾳ μὲν γὰρ οὐχ ὅπως ἄπειρα ἐν τῷ συνεχεῖ τὰ ἡμίση, ἀλλ' οὐδὲ δύο. ἅμα τε γὰρ τέμνεται ἐνεργείᾳ καὶ πέπαυται συνεχὴς εἶναι, δυνάμει δὲ οὐδὲν ἄτοπον ἄπειρα τὰ ἡμίση τῆς συνεχοῦς εἶναι· τὰ δυνάμει δὲ ἄπειρα οὐκ ἀδύνατον διελθεῖν, ὥστε ὁ διαιρῶν καὶ ἀριθμῶν τὰ ἡμίση διαφθείρει τὴν ὑπόθεσιν τοῦ προβλήματος. ἡμεῖς μὲν γὰρ ζητοῦμεν εἰ ἄπειρα ἐν τῇ συνεχεῖ τὰ ἡμίση, ὁ δὲ συνεχῆ φυλάττει λοιπὸν οὔτε τὴν εὐθεῖαν οὔτε τὴν κίνησιν· συνδιαιρεῖ γὰρ τῇ τῆς εὐθείας τομῇ καὶ τὴν κίνησιν. ἔστι δὲ καὶ ἐν τῷ χρόνῳ καθάπερ σημεῖον τὸ νῦν· τὸ γὰρ αὐτὸ πέρας καὶ ἀρχή, πέρας μὲν τοῦ παρελθόντος ἀρχὴ δὲ τοῦ μέλλοντος, ἀλλὰ κατὰ τὸ πρᾶγμα καθ' ὃ γέ-

---

3 γενέσθαι πέρατι καὶ ἀρχῇ] γενέσθαι πέρατα καὶ ἀρχὴ V
9 μᾶλλον δὲ] delenda sunt, nisi ante haec pauca exciderunt, v. c. τὸ ἐφ' οὗ χρῆται ὡς ἐνεργείᾳ σημείῳ, 12 τὰ om A.
16 scrib. τῇ συνεχεῖ

*γονεν μεταβολή, τῷ μέλλοντι μᾶλλον προσνεμητέον· λέγω δὲ οἷον ἐπειδὴ τοῦ χρόνου ἐν ᾧ ἀπέθνησκεν Σωκράτης, πέρας τί ἐστιν, ἐν ᾧ πρώτῳ ἀπέθνησκεν, τοῦτο ὡς μὲν κατὰ χρόνον προσήκει καὶ τῷ παρελθόντι· πέρας γὰρ ἐκείνου ἐστίν, ὡς δὲ κατὰ τὸ πρᾶγμα, λέγω δὲ τὸ τεθνηκέναι, μᾶλλον προσήκει τῷ μέλλοντι ἐν ᾧ ὅλον λέγεται τεθνηκέναι. εἰ δὲ ἐρεῖ τις ἐν μὲν τῷ πέρατι τοῦ παρελθόντος ἔτι ἀποθνήσκειν Σωκράτην, ἐπειδὴ καὶ ἐν ὅλῳ τῷ παρελθόντι, ἐν δὲ τῇ ἀρχῇ τοῦ μέλλοντος τεθνηκέναι, ἐπειδὴ καὶ ἐν ὅλῳ τῷ μέλλοντι, οὗτος εἰ μὲν ἐφυ-*
fol. 62b. *λάχθη τὸ νῦν, ὥσπερ καὶ τἀληθὲς ἔχει, πέρας τε ὂν ἅμα καὶ ἀρχή, ἅμα ἂν λέγοι καὶ ἀποθνήσκειν Σωκράτην καὶ τεθνηκέναι, τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ ζῆν τε ἅμα καὶ τεθνηκέναι Σωκράτην· εἰ δὲ δύο ποιήσει τὰ νῦν, ἐφεξῆς ἀλλήλων ποιήσει τὰ νῦν· ἀλλ' ἄτοπον· οὐ γὰρ σύγκειται ὁ χρόνος ἐξ ἀμερῶν. ἀλλὰ ταῦτα μὲν ἴσως τοῖς καθόλου περὶ κινήσεως λόγοις οἰκειότερα, ὅτι δὲ ἀνάγκη τὸ φερόμενον ἐπὶ τῆς πεπερασμένης εὐθείας ἵστασθαι πρὶν ἀνακάμπτειν, καὶ ὧδε ἄν τις λογικώτερον δείξειεν. ἅπαν γὰρ τὸ φερόμενον συνεχῶς ἐὰν ὑπὸ μηδενὸς ἐκκρούηται, εἰς ὅπερ ἦλθεν κατὰ τὴν φοράν, εἰς τοῦτο καὶ ἐφέρετο πρότερον, εἰ ἐπὶ τὸ β ἦλθε, καὶ ἐφέρετο ἐπὶ τὸ β, καὶ οὐ μόνον ὅτε πλησίον ἦν τοῦ β, ἀλλ' εὐθὺς ὡς ἤρξατο κινεῖσθαι, εἴ γε κινεῖται μὲν ἐπὶ τὸ αὐτὸ συνεχῶς, ἐφ' ὃ δὲ κινεῖται συνεχῶς, ἐπ' ἐκεῖνο τὴν ὁρμὴν εἶχε. τούτου δὴ ὄντος ἀληθοῦς τὸ κάτωθεν ἄνω κινούμενον, εἰ γενόμενον ἄνω μὴ ἡσυχάζει*

---

3 *Σωκράτης*] vid. Simplic. fol. 304. *ἀποτέθνησκεν* libri. *ἀποτέθνηκεν* Brandis 11 *μέλλοντι*] *σώματι* V 22 *ὑπὸ*] *ἀπὸ* libri 28 *δὴ*] *δὲ* A 29 *ἄνω μὴ*] *ἂν μὴ* A. *ἂν καὶ μὴ* V

καὶ ἠρεμεῖ, ἀλλὰ τῇ αὐτῇ ὁρμῇ συνεχῶς φέρεται ἐπὶ τὸ κάτω, καὶ ὅτε ἤρχετο κάτωθεν κινεῖσθαι, ἐπὶ τὸ κάτω ἄρα ἐφέρετο. γελοῖον μὲν δὴ καὶ καθ' αὑτό, μᾶλλον δὲ καὶ οὕτως. εἰ γὰρ ἅπαν τὸ κάτω φερόμενον ἐκ τοῦ ἄνω φέρεται κάτω, δῆλον ὡς τὸ κάτωθεν κινούμενον εἴπερ συνεχῶς ἐπὶ τὸ κάτω κινεῖται, ἤδη ἀφαιροῖτο ἂν ἐκ τοῦ ἄνω, καὶ οὔπω γέγονεν ἐν αὐτῷ. τοῦτο δὲ ἀδύνατον· ἀνάγκη ἄρα πρότερον ἵστασθαι ἐν τῷ ἄνω· οὐκ ἄρα μία ἡ κίνησις· ἡ γὰρ διαλαμβανομένη στάσει οὐ μία ἐστίν. καὶ ὁ λόγος δὲ μᾶλλον οἰκεῖος τῶν εἰρημένων. πᾶν γὰρ τὸ μεταβάλλον εἰς τὸ λευκὸν ἐκ τοῦ μέλανος ἢ τοῦ μὴ λευκοῦ ἅμα τε ἀποβέβληκε τὸ μὴ λευκὸν χρῶμα, οἷον τὸ ξανθὸν ἢ τὸ φαιὸν ἢ ὅ τι τύχοι, καὶ γέγονε λευκόν· ἐν γὰρ τῷ πέρατι τῆς εἰς τὸ λευκὸν μεταβολῆς ἔφθαρται τὸ πρότερον χρῶμα καὶ γέγονε τοῦτο ὃ νῦν λαμβάνει. εἰ δὴ ἐν τῷ αὐτῷ πέρατι, τοῦτο δ' ἐστὶν ἐν τῷ αὐτῷ νῦν, μεταβάλλει πάλιν ἐκ τοῦ λευκοῦ, καὶ μὴ ἐν ἄλλῳ, τρία ἂν εἴη τὰ γινόμενα ἐν τῷ αὐτῷ ἥ τε φθορὰ τοῦ ξανθοῦ, γένεσις τοῦ λευκοῦ, ἐκ λευκοῦ πάλιν μεταβολή. οὐκ ἄρα συνεχὴς ἡ εἰς τὸ λευκὸν μεταβολὴ τῇ ἐκ τούτου, ἀλλ' ἐν χρόνῳ μὲν συνεχεῖ καθάπερ καὶ                     συνεχὴς γὰρ ὅλος ὁ χρόνος· αὗται δὲ ἐφεξῆς αἱ κινήσεις, ἐπεὶ πῶς ἂν εἴη τὸ αὐτὸ

6 ἐπὶ τὸ κάτω om A     10 ὁ λόγος δὲ] fort. ὁ λόγος ὅδε 17 ἐστὶν ἐν] ἐστὶν ὅτι V     23 lacuna in AV. Simplic. fol. 306 b. οὐ γὰρ εἴ τι ἐν τῷ συνεχεῖ ἐστίν, ἀνάγκη καὶ αὐτὸ συνεχὲς εἶναι, ἐπεὶ οὕτω γε πάντα τὰ ἐν χρόνῳ κἂν πλεῖστον ἀλλήλων ἀφεστήκῃ, κἂν ἀνομοιότατα ᾖ, συνεχῆ ἔσται· ὁ γὰρ πᾶς χρόνος συνεχής. ἀλλ' οὐκ ἀνάγκη. οὐδὲ γὰρ τὰ ἐν ἀγγείῳ ὄντα συνεχῆ ἀνάγκη εἶναι, κἂν τὸ ἀγγεῖον συνεχὲς ᾖ. ὁ μὲν οὖν χρόνος συνεχής, αἱ δὲ κινήσεις αἱ ἐν αὐτῷ αἱ εἰς τὰ ἐναντία καὶ ἐξ ἐναντίων συνεχεῖς μὲν οὐκ ἂν εἶεν ἀλλήλαις, ἐφεξῆς δέ. 24 τὸ αὐτὸ om V

πέρας τοῦ λευκαίνεσθαι καὶ μελαίνεσθαι· οὔτε γὰρ τὸ μελανθῆναι τοῦ λευκαίνεσθαι πέρας, οὔτε τὸ λευκανθῆναι τοῦ μελαίνεσθαι. ταῖς μὲν τοίνυν ἄλλαις κινήσεσιν εἰ μὲν συνεχεῖς ὑποτεθῶσιν, τοσαῦτα ἀδύνατα ἕπεται.

Μόνῃ δὲ τῇ κύκλῳ καὶ ἐπὶ γραμμῆς περιφεροῦς οὐδὲν ἄτοπον ἀκολουθεῖ. τὸ γὰρ ἐκ τοῦ α̅ κινούμενον ἅμα καὶ εἰς τὸ α̅ κινήσεται κατὰ τὴν αὐτὴν πρόθεσιν καὶ ὁρμήν· οὐ γὰρ εἰς ἄλλο πρότερον ἥξει σημεῖον· οὐδὲ γὰρ ἐνεργείᾳ σημεῖον ἐπὶ τοῦ κύκλου, οὐδὲ ἀνακάμψει ποθὲν ἐπὶ τὸ α̅, ἀλλ' ἅμα τε ἐπὶ τὸ α̅ καὶ ἐπὶ τὸ β̅ κινεῖται, καὶ οὐχ ἅμα τὰς ἐναντίας, οὐδ' ἅμα τὰς ἀντικειμένας· οὐ γὰρ ἅπασα ἡ ἐκ τοῦ α̅ τῇ εἰς τὸ α̅ ἐστὶν ἐναντία, ἀλλ' ἡ κατ' εὐθεῖαν· ἐπ' ἐκείνης γὰρ ἐνεργείᾳ τὰ πέρατα καὶ ἀρχαί, καὶ δὶς κέχρηται τὸ κινούμενον ἐν τῷ αὐτῷ ὡς πέρατι καὶ ὡς ἀρχῇ, καὶ ἀνάγκη γενέσθαι αὐτό τε ἐν αὐτῷ καὶ ἀπογενέσθαι ἀπ' αὐτοῦ. διόπερ οὐ συνεχῶς ἀνενδυάσει νῦν καὶ ὁ μεταξὺ χρόνος τῆς ἠρεμίας, ἐπὶ δὲ τῆς περιφεροῦς τί κωλύει κινεῖσθαι συνεχῶς καὶ μηδένα χρόνον διαλείπειν; τί γάρ ἐστιν ἐνεργείᾳ πέρας, τί δὲ ἀρχή, τί δ' ὅλως ἄλλο σημεῖον ἤδη ἐνεργείᾳ ὂν ἐν ᾧ πρότερον δεῖ γενέσθαι. μόνη τοίνυν ἡ κύκλῳ κίνησις ἀφ' αὐτοῦ εἰς αὐτό, ἡ δὲ κατ' εὐθεῖαν ἀφ' αὐτοῦ εἰς ἄλλο, καὶ ἡ μὲν ἐπὶ τοῦ κύκλου οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ διαστήματος· οὐδὲν γὰρ ὥρισται ἐπὶ τοῦ κύκλου διάστημα ἐνεργείᾳ οὐδ' ἐστὶν ὅπως περιφερείας τινὸς εἴη τοῦ

---

9 οὐ γὰρ] καὶ γὰρ V  14 ἅπασαι V  16 ἐν τῷ αὐτῷ] fortasse ἑνὶ τῷ αὐτῷ  19 ἀνενδυάσει] corruptum.  ὁ μεταξὺ] scrib. μεταξὺ ὁ  24 ἀπ' αὐτοῦ libri, sic infra  26 ἐπὶ τοῦ Victorius, ἀπὸ τοῦ libri  28 ὅπως] γρ V. ὅλως libri

κύκλου τὰ πέρατα εἰλημμένα, ἀλλὰ καὶ ἄλλη, μᾶλλον δὲ ἀεὶ ἄλλη· ἐπὶ δὲ τῆς εὐθείας ταὐτὸν διάστημα κινεῖται πολλάκις ἐνθένδε ἐκεῖσεν, κἀκεῖθεν δεῦρο· ὥρισται γὰρ τὰ πέρατα καὶ εἴληπται ἤδη. ἵστασθαι οὖν ἐν αὐτῷ ἀνάγκη· διὰ τοῦτο γὰρ πολλάκις ἐπὶ τοῦ αὐτοῦ διαστήματος ὅτι ἵσταται ἐπὶ τῶν περάτων καὶ ἀνακάμπτει. εἰ δὲ μὴ ἵστατο, ἀεὶ ἂν ἐπ' αὐτοῦ καὶ συνεχῶς ἐκινεῖτο ὥσπερ ἐπὶ τῆς περιφερείας. οὐ μόνον δὲ ἐπὶ τῆς εὐθείας οὐ κινεῖται συνεχῶς, ἀλλ' οὐδὲ ἐπὶ τῆς κύκλῳ, ὅταν μὴ κύκλῳ κινῆται ἀλλ' ἀνακάμπτῃ· οὐ γὰρ συνάπτει τῇ ἀρχῇ τὸ πέρας, οὐδ' ὡς ἑνὶ χρῆται, ἀλλ' ὡς δυσί. καὶ τότε οὖν τὴν αὐτὴν γραμμὴν πολλάκις· οὐ γὰρ συνεχῶς οὐδὲ ὡς μίαν, ἀλλ' ἐφεξῆς· ὅταν δὲ κύκλῳ, ὡς μίαν· κατὰ μίαν γὰρ ὁρμήν, οὐ πολλάκις. πῶς γὰρ ἀριθμήσεις πολλάκις; οὐ γὰρ ἔχεις ἀρχὴν οὐδὲ πέρας. ὅταν δὲ ἐπ' αὐτῶν λάβῃς στάσιν, ἤδη προτίθης τῷ μὴ ἑστῶτι. οὕτως οὖν καὶ οἴει πολλάκις ὅτι σαυτῷ λαμβάνεις τοδὶ τὸ σημεῖον ὡς ἀρχὴν καὶ πάλιν ὡς πέρας. δῆλον οὖν ἐκ τούτων ὅτι μηδὲ οἱ φυσιολόγοι καλῶς λέγουσιν πάντα τὰ αἰσθητὰ κινεῖσθαι φάσκοντες ἀεί, καίτοι μὴ πάντα λέγοντες κύκλῳ κινεῖσθαι, ἀλλὰ καὶ γινόμενα καὶ φθειρόμενα καὶ αὐξανόμενα καὶ μειούμενα καὶ ὅλως ἀλλοιούμενα· καὶ γὰρ τὴν γένεσιν καὶ τὴν φθορὰν ἀλλοίωσιν λέγουσιν. ὁ δὲ λόγος νῦν ἔδειξεν ὅτι εἰς τὰ ἐναντία οὐχ οἷόν τε συνεχῶς οὐδὲ ἀεὶ κινεῖσθαι. ὅτι μὲν οὖν μόνη ἡ κύκλῳ φορὰ συνεχής, ἔστω τοσαῦτα ἡμῖν εἰρημένα.

Ὅτι δὲ καὶ πρώτη τῶν ἄλλων φορῶν, λέγομεν 9

---

11 ἀνακάμπτει libri 29 scrib. λέγωμεν

ἤδη. πᾶσα γὰρ φορὰ ὥσπερ καὶ πρότερον εἴπομεν, ἢ κύκλῳ ἢ εὐθεῖα ἢ μικτή. τῆς μὲν οὖν μικτῆς πρότεραι αὗται· συγκειμένη γὰρ ἐκ τούτων. ὅτι δὲ τῆς εὐθείας ἡ κύκλῳ προτέρα, δεικτέον. ἢ γὰρ ἄπειρον ἢ πεπερασμένην εὐθεῖαν κινεῖται πᾶν τὸ κινούμενον. ἄπειρος μὲν τοίνυν οὔτε ἐστίν, οὐδ' εἴπερ ἦν, ἐκινεῖτο ἂν ἐπ' αὐτῆς. οὐ γὰρ γίνεται τὸ ἀδύνατον γίνεσθαι, διελθεῖν δὲ τὴν ἄπειρον ἀδύνατόν ποτε καὶ διιέναι, πεπερασμένην δὲ εἰ κινοῖτο, εἰ μὲν ἀνακάμπτει, οὔτε συνεχὴς κίνησις οὔτε ἁπλῆ, εἰ δὲ παύοιτο fol. 63. καὶ μὴ ἀνακάμπτοι, φθαρτὴ ἡ κίνησις. μόνη τοίνυν ἡ κύκλῳ καὶ ἀΐδιος καὶ ἁπλῆ. πρότερον οὖν καὶ φύσει καὶ χρόνῳ. καὶ γὰρ εἰ μὴ δέδεικται οὖσα ἀΐδιος, μόνην δέ τινα ἀΐδιον δυνατὸν εἶναι, καὶ οὕτως ἂν ἦν προτέρα τῆς τοῦτο μὴ δυναμένης. εὐλόγως δὲ συμβέβηκεν μόνην εἶναι συνεχῆ καὶ ἀΐδιον τὴν κύκλῳ φοράν· τῆς μὲν γὰρ εὐθείας ὥρισται καὶ ἀρχὴ καὶ τέλος καὶ μέσον, ὥστ' ἔστιν ὅθεν ἄρξεται τὸ κινούμενον, καὶ οὗ τελευτήσει· τῆς δὲ περιφεροῦς οὐκ ἔστιν οὔτε ἀρχὴ οὔτε πέρας· οὐδὲν γὰρ μᾶλλον τόδε ἢ ὁποιονοῦν πέρας τῆς γραμμῆς· ὁμοίως γὰρ ἕκαστον καὶ ἀρχὴ καὶ μέσον καὶ πέρας. ἀεὶ οὖν ἐν ἀρχῇ καὶ ἀεὶ ἐν τέλει, καὶ ἅμα κινεῖται καὶ ἠρεμεῖ πως ἡ σφαῖρα· οὐ γὰρ μεταβάλλει τὸν ὅλον τόπον. τῆς δὲ τοιαύτης μονῆς τε ἅμα καὶ κινήσεως αἴτιον, ὅτι ἐπὶ τῆς σφαίρας ἡ κυρίως ἀρχὴ καὶ τὸ κυρίως πέρας τὸ μέσον ἐστίν, ἀρχὴ μὲν ὅτι ἀπὸ τούτου ἡ σφαῖρα· ἡ γὰρ ἀπὸ τούτου πανταχόθεν ἴση ἀπόστασις κύκλος, πέρας δὲ ὅτι εἰς τοῦτο τελευτῶσιν αἱ ἀπὸ τῆς περι-

---

3 συγκείμεναι V   7 fort. delendum γίνεσθαι   13 Aristoteles addit καὶ λόγῳ   14 ἂν om A   18 ἄρξηται libri

φερείας εὐθεῖαι. ἐπεὶ τοίνυν οὐκ ἐπὶ τὸ πέρας, ἀλλὰ περὶ τὸ πέρας κινεῖται, τοῦτο δὲ ἀεὶ ἐν ταὐτῷ μένει, ἀεὶ μὲν διὰ τοῦτο κινεῖται ὅτι οὐδὲ πεπέρασται ἐπὶ τὸ πέρας, ἐν ταὐτῷ δὲ ἀεὶ ὅτι ἀεὶ περιμένει τὸ πέρας. ἡ οὖν κύκλῳ ἡ πρώτη φορὰ τῶν κινήσεων εὐλόγως καὶ μετρεῖ τὰς ἄλλας· ἡμέρα γὰρ καὶ νὺξ καὶ ὧραί εἰσιν οἶμαι κινήσεις πᾶσαι καὶ μετροῦνται ἀπὸ τῆς κύκλῳ φορᾶς, τὸ εἶναι δὲ κύκλον τὰ ἀνθρώπεια πράγματα ἀπὸ τῆς κυκλοφορίας ἐλήλυθεν. ἔτι δὲ καὶ ὁμαλὴν τὴν κύκλῳ ἐνδέχεται μόνην εἶναι, τῶν δὲ ἐπ' εὐθείας ὅσα μὲν βίᾳ καὶ παρὰ φύσιν κινεῖται, δῆλον ὅτι καὶ ἀνώμαλα· ὅσα δὲ κατὰ φύσιν, τοσούτῳ θᾶττον ἅπαντα φέρεται, ὅσῳ ἂν πλείω ἀφίστηται τοῦ τόπου ἐν ᾧ πρότερον ἠρέμει· κεκίνηκε γὰρ ἐγγυτέρω τοῦ συγγενοῦς.

10 Ὅτι μὲν οὖν ἀΐδιον καὶ ἀκίνητον τὸ πρῶτον κινοῦν, ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται· ὅτι δ' ἀμερὲς καὶ ἀσώματον, λέγομεν ἤδη. κείσθω δὴ πᾶν τὸ κινούμενον ὑπὸ σώματος μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν κινεῖσθαι, ἀλλὰ βίᾳ καὶ ἔξωθεν· ὁρῶμεν δὲ ἐπὶ τῶν οὕτω κινούντων τε καὶ κινουμένων ἀεὶ τὴν μείζονα δύναμιν τῆς ἐλάττονος ἐπὶ πλέονά τε χρόνον δυναμένην κινεῖν τὸν αὐτὸν ὄγκον, καὶ ἐν ἐλάττονι χρόνῳ ταὐτὸν διάστημα· τὴν γὰρ αὐτὴν μύλην ἡμίονος μὲν ἐφ' ἡμέραν ὅλην κινήσει ἄν, ἀνθρώπῳ δὲ ἀγαπητὸν ἐπὶ δισημερίαν, καὶ ἡ μὲν ἐν ἀκαρεῖ χρόνῳ

14 κεκίνηκε] κεκίνη A, immo κεκίνηται 18 scrib. λέγωμεν κινεῖσθω V 25 aut delendum ἄν, aut κινήσειεν scribendum idque legisse videtur Simplicius fol. 310 b. apud quem sic editum est: τὴν γὰρ αὐτὴν μύλην ἡμίονος μὲν ἐφ' ἡμέραν ὅλην κινήσειεν· ἄνθρωπος δὲ ἀγαπητὸν ἕως μεσημβρίας.

*μίαν περιάγει στροφήν, ὁ δὲ ἐν πλείονι. τούτων τοίνυν φανερῶν ὄντων ἀμήχανον τὸ κινούμενον ἐν ἀπείρῳ χρόνῳ συνεχῆ τε καὶ ἀΐδιον κίνησιν ὑπὸ σώματος τοῦ πρώτου κινεῖσθαι· ἢ γὰρ ἄπειρον ἢ πεπερασμένον ἔσται τὸ κινοῦν σῶμα, καὶ ἄπειρον μὲν οὐκ ἐνδέχεται, λείπεται δὲ πεπερασμένον. εἰ δὲ πεπερασμένον, ἤτοι πεπερασμένην ἢ ἄπειρον ἕξει τὴν δύναμιν. εἰ μὲν οὖν πεπερασμένην, εἰλήφθω τῆς αὐτῆς μείζων ἄλλη δύναμις, καὶ πλείονα χρόνον κινήσει ἢ ὅσον ἡ πεπερασμένη κινεῖ τὸν αὐτὸν ὄγκον, τοῦ δ' ἀπείρου πλείων οὐκ ἔσται. εἰ δὲ ἄπειρον, ἐν οὐδενὶ χρόνῳ κινήσει τὸ αὐτὸ μέγεθος, ὅπερ ἡ πεπερασμένη τε καὶ ἐλάττων ἐν τοσῷδε χρόνῳ· οὐ γὰρ ἔχει λόγον ἡ ὑπεροχὴ τῆς δυνάμεως, ἀλλ' ὥσπερ ἀδύνατον λαβεῖν ὅσῳ μείζων ἐστὶν ἡ δύναμις τῆς πεπερασμένης ἡ ἄπειρος, οὕτως ἀδύνατον ἔσται λαβεῖν ὅσῳ ἐλάττων ὁ χρόνος τοῦ χρόνου, καθ' ὃν ἡ ἄπειρος κίνησις κινεῖ ταὐτὸν διάστημα τοῦ καθ' ὃν ἡ πεπερασμένη. τοίνυν ἢ οὐ κινήσει τὸ σύνολον ἡ ἄπειρός τε καὶ μείζων ὃ κεκίνηκεν ἡ ἐλάττων, ἢ οὐκ ἐν χρόνῳ κινήσει· ἄμφω δὲ ἄλογα καὶ ἀδύνατα. ὅλως δὲ ἀμήχανον δύναμιν ἄπειρον ἐν πεπερασμένῳ μεγέθει· ὅπου γὰρ τοῦ μεγέθους ἐστὶ μεῖζον λαβεῖν, ἐκεῖ καὶ τὰ τῆς δυνάμεως. ἀρκεῖ δὲ ἄνευ πάσης ἀμφισβητήσεως ἀποδεῖξαι καὶ ἐκ τῶν διωρισμένων, ὅτι μὴ σῶμα τὸ πρῶτον κινοῦν· εἰ γὰρ ἀκίνητον ὅλως τὸ πρῶτον κινοῦν, ἀμήχανον τοῦτο σῶμα εἶναι. πᾶν γὰρ σῶμα κινοῦν καὶ κινεῖται· ἢ γὰρ ὠθοῦν ἢ ἕλκον ἢ δινοῦν ἢ ὀχοῦν ἢ ῥιπτούντων ἄλλος*

6 *λείπει* V 8 *τῆς*] scrib. *τις* 11 *πλείων*] *πλειόνων* A 23 adde *εἶναι* vel *λαβεῖν* 24 *τὰ τῆς*] fort. *τῆς* 29 *ῥιπτούντων*] fort. *ῥιπτοῦν, τούτου δὲ*

*λόγος· δοκεῖ γὰρ καὶ κατά τινα τῶν ἄλλον τρόπον, ἐπεὶ αὐτῶν ἠρεμούντων ἔτι κινεῖται ἐπὶ πολὺ τὰ βληθέντα. φέρεται γὰρ χρόνον τινὰ τὸ βέλος καὶ ἠρεμήσαντος τοῦ ἀφέντος, καὶ ἀπορεῖται πῶς κινεῖται ταῦτα καὶ ὑπὸ τίνος; οὔτε γὰρ ὑφ' ἑαυτῶν· οὐ γὰρ τῶν αὐτοκινήτων ἐστίν, οὔτε ὑπὸ τοῦ βάλλοντος· ἀπέστη γὰρ ἐκεῖνος ἀφεὶς καὶ ἡσυχάζει. λέγεται μὲν οὖν ὅτι μὴ τὸ βέλος μόνον ἐκίνησεν ὁ τοξεύων, ἀλλὰ καὶ τὸν ἀέρα τὸν πλησίον, ὃς κινεῖται ὑπὸ τοῦ ῥίψαντος αὐτὸ ἤδη τὸ ῥιφθέν. οὗτος δὲ ὁ λόγος μετατίθησι τὴν ἀπορίαν, οὐ λύει· πάλιν γὰρ ὁ ἀὴρ πῶς κινεῖται τοῦ κινοῦντος οὐχ ἁπτομένου οὔτε ὑπ' αὐτοῦ· οὐδὲ γὰρ ζῶον, οὔθ' ὑπὸ τοῦ ῥίψαντος· πέπαυται γάρ, ὑπὸ τίνος οὖν εἴπερ πᾶν ὑπό τινος κινεῖται τὸ κινούμενον; ἐπεὶ καὶ ἡ λίθος οὐ τὸ πλησίον ἕλκει σιδήριον, ἀλλὰ καὶ τὸ ἐφεξῆς οὗ μὴ ἅπτεται· ἀλλ' ὅταν ἀπέλθῃ, πέπαυται καὶ τὸ ἐγγὺς ἅμα καὶ τὸ ἐχόμενον. αἴτιον δέ, ὅτι τὸ σιδήριον ἐκεῖνο τὸ πρὸς τῇ λίθῳ οὐκ οἰκείαν ἔσχεν δύναμιν τὸ ἐπισπᾶσθαι, ἀλλ' ἐλάμβανε παρὰ τῆς λίθου ἧς εἴπερ ἀφαιρεθείη, εὐθὺς συναφαιρεῖται καὶ τὴν δύναμιν. ἔδει τοίνυν καὶ τὸν ἀέρα ταὐτὸν ὑπομένειν καὶ παύεσθαι ἀπελθόντος τοῦ ῥίψαντος ἢ βάλλοντος, οὕτως δὲ εὐθὺς ἔδει καταφέρεσθαι καὶ τὸ ῥιπτόμενον· ἢ οὐ μόνον κινεῖται ὁ πλησίον ἀήρ, ἀλλὰ καὶ δύναμιν τοῦ κινεῖν λαμβάνει; καὶ ταύτην ἢ οὐχ οἵαν τὸ παρὰ τῆς λίθου σιδήριον, ἀλλ' ὥστε οἰκείαν ποιῆσαι καὶ αὐτοῦ, ὥσπερ οἶμαι καὶ ὑπὸ τοῦ πυρὸς τὸ πύρινον οὐ θερμαίνεται μόνον, ἀλλὰ καὶ δύνα-*

---

1 *καὶ*] *καὶ ἡ* V *τῶν* delendum *ἄλλων τρόπων, πέρὶ δὲ τῶν ἠρεμούντων αὐτῶν ἔτι κινεῖσθαι* V 4 *καὶ* om V 10 *αὐτὸ*] *αὐτὸς* V 24 fort. *ῥιπτούμενον* 26 *ἢ* delendum

*μιν οἰκείαν τοῦ θερμαίνειν λαμβάνει, καὶ ταύτην ἀεὶ δίδωσιν ἐφεξῆς, καὶ τοῦτο πρόεισιν μέχρι τινός,* fol. 63b. *εἶτα κατ' ὀλίγον παύεται μειουμένης ἐν τῇ διαδοχῇ τῆς δυνάμεως τῆς ἀπὸ τοῦ πυρὸς ἐνδοθείσης. οὕτω δὲ καὶ τὸν ἀέρα εἴποι τις ἂν καὶ τὸ ὕδωρ ἐπαμφοτερίζοντα ταῖς δυνάμεσιν καὶ μετέχοντα καὶ βαρύτητος καὶ κουφότητος ἐφ' ὅπερ ἂν τοῦ φέρεσθαι τὴν ἀρχὴν παρὰ τοῦ ῥίψαντος καὶ τὸ ἐνδόσιμον λάβῃ, ἐπὶ τοῦτο λοιπὸν φέρεσθαι ἐξ αὐτῶν καὶ οἷον αὐτοκίνητα γίνεσθαι χρόνον τινὰ κινούμενά τε ἅμα καὶ κινοῦντα, κινούμενα δὲ οὐκέθ' ὑπὸ τοῦ βάλλοντος, ἀλλ' ὑπὸ τῆς οἰκείας δυνάμεως ἧς τὸ ἐνδόσιμον παρὰ τοῦ ῥίψαντος ἔσχεν, ὥσπερ καὶ τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς θερμανθὲν καὶ ἀπελθόντος τοῦ πυρὸς οὐκ αὐτὸ μόνον θερμόν ἐστιν, ἀλλὰ καὶ τοῦ θερμαίνειν ἐπὶ πολὺ φυλάττει τὴν δύναμιν. οὕτως γὰρ ἄμεινον λέγειν ἢ τὴν ἀντιπερίστασιν αἰτιᾶσθαι ἣ γίνεται μὲν ἐξ ἀνάγκης παρὰ τῶν ῥιπτομένων· ἀντιμεθίσταται γὰρ ὁ ἀήρ· οὐ μὴν διὰ ταῦτα ἡ κίνησις· καὶ γὰρ βαδιζόντων ἀντιπερίστασις, ἀλλ' οὐ διὰ τοῦτο βαδίζομεν, ἁπλῆ τέ ἐστι μετάστασις καὶ μεταχώρησις τῶν τόπων. δραστικὸν δὲ οὐδὲν οὔτε κινητικὸν ἡ ἀντιπερίστασις ἔχει· οὔτε γὰρ στενοχωρεῖται ἀντιμεθιστάμενος ἀὴρ ὥστε βιάζεσθαι καὶ προσωθεῖν· οὐδὲ γὰρ γίνεται πλείων ἔτι κατὰ τὴν ἀντιπερίστασιν· ἅμα τε γὰρ τὸ ῥιφθὲν ἀπωθεῖται ὑπὸ τοῦ ῥίψαντος εἰς τὸ πρόσθεν καὶ ἀντιπεριίσταται ὁ ἀὴρ εἰς τὸ ὄπισθεν. τί οὖν αἴτιον τῆς μετὰ ταῦτα προόδου; φανερὸν δὲ ὅτι μηδὲ συνεχὴς ἡ τοιαύτη κίνησις· οὐδὲ γὰρ ἓν τὸ κινοῦν ἀλλ' ἐχόμενα ἀλλήλων, ἀλλ' οὐδ' ὁμαλής· οὐ γὰρ ὁμοίως*

---


18 fort. *ῥιπτουμένων*   24 *βιάζεσθαι*] *βαδίζεσθαι* A

φέρεται, ἐγγύς τε καὶ πόρρω τῆς ἀρχῆς. εἰ τοίνυν ὥσπερ ἐπὶ τῶν ῥιπτουμένων τὴν κίνησίν τις λέγῃ γίνεσθαι, εἴτε ὡς ἐπὶ τῶν ὠθούντων τε καὶ ἑλκόντων, οὐ συνεχὴς οὐδ' ὁμαλὴς οὕτω γινομένη κίνησις, ἐπὶ μὲν τῶν ῥιπτουμένων, ὅτι ἄλλο καὶ ἄλλο τὸ κινοῦν, ἐπὶ δὲ τῶν ὠθούντων τε καὶ ἑλκόντων, ὅτι εἰ καὶ ἓν τὸ κινοῦν ἀλλὰ καθ' ἑκάστην ὦσιν ἢ ἕλξιν ἀρχή τις γίνεται ἀναπαυομένου τοῦ ἕλκοντος καὶ ὠθοῦντος· οὐ γὰρ ἄπονον τὸ οὕτως κινοῦν. δῆλον οὖν ὅτι ἀμερὲς τὸ πρῶτον κινοῦν εἴπερ μὴ τῷ κινεῖσθαι κινεῖ μηδὲ συμμεταβάλλει, ἀλλ' ἀεὶ δύναται κινεῖν· ἄπονον γὰρ τὸ οὕτως κινεῖν καὶ ὁμαλὴς αὕτη κίνησις μόνη. οὐ γὰρ ἔχει μεταβολὴν τὸ κινοῦν οὐδεμίαν, δεῖ δὲ οὔτε τὸ κινούμενον πρὸς ἐκεῖνο ἔχειν μεταβολήν, ἵνα ὁμοία ἡ κίνησις ᾖ. ἀνάγκη δὲ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι· τοιαῦται γὰρ αἱ ἀρχαί, αλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος, τοιαύτη δὲ ἡ τοῦ ὅλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν.

---

2 scrib. λέγοι 9 scrib. κινεῖν 11 συμβάλλει V 14 ἐκείνην A 18 desinit Themistius in Aristot. p. 267 b. 9.

---



# THEMISTII

# PARAPHRASES


# ARISTOTELIS

LIBRORUM QUAE SUPERSUNT.

EDIDIT

**LEONARDUS SPENGEL.**

VOL. II.







LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXVI.

LIPSIAE TYPIS B. G. TEUBNERI.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. fol. 64.

## ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

*Περὶ ψυχῆς*, ὅσα δυνατὸν σὺν ἐπιστήμῃ λαβεῖν, ἀκολουθοῦντας Ἀριστοτέλει πειρατέον ἡμῖν ἐν τῇδε τῇ πραγματείᾳ ἐκθέσθαι τῷ τὰ μὲν ἐκκαλύψαι, τοῖς δὲ συστῆναι, τοῖς δὲ ἐπιστῆσαι, τὰ δὲ εἰ μὴ φορτικὸν εἰπεῖν, καὶ ἐξεργάσασθαι. καὶ γὰρ πολλῶν ὄντων συνταγμάτων ἅ τις ἂν θαυμάσειεν Ἀριστοτέλους, πάντων ἄγασθαι μᾶλλον προσήκει τὴν περὶ ψυχῆς πραγματείαν καὶ τοῦ πλήθους ἕνεκεν τῶν προβλημάτων, ἃ μηδὲ ἐξαριθμήσασθαι μόνον οἱ πρὸ Ἀριστοτέλους ἐξίκοντο, καὶ τῆς εὐπορίας τῶν εἰς ἕκαστον ἀφορμῶν, καὶ τῶν μεθόδων ὅσας ἐνέδωκε τῇ θεωρίᾳ· δῆλον δὲ ἐξ αὐτῶν ἔσται τῶν λεγομένων. φησὶ δὲ ἀρχόμενος εὐθὺς τοῦ λόγου, πᾶσαν μὲν γνῶσιν καὶ ἐπιστήμην καλὴν καὶ τιμίαν ὑπάρχειν, πλεονεκτεῖν δὲ ἑτέραν ἑτέρας ἢ τῇ τῶν ἀποδείξεων ἀκριβείᾳ, ἢ τῇ τιμιότητι τῶν ὑποκειμένων πραγμάτων, ὃ πεπόνθασι πρὸς ἀλλήλας γεωμετρία τε καὶ ἀστρονομία· τῆς μὲν γὰρ

1 Titulum om M   3 πρῶτος] ᾱ V   20 τε om M V

*πλέον τὸ ἀκριβές, τῆς δὲ πλέον τὸ θαυμάσιον διὰ τὴν ὑποκειμένην φύσιν, περὶ ἧς πραγματεύεται, ἐπεὶ μαλακώτεραί γε αἱ ἀποδείξεις ἀστρονομίας· τῷ γὰρ ἔγγιστα χρῆται ἐπὶ πολλῶν. μόνῃ δὲ τῇ περὶ ψυχῆς ἐπιστήμῃ συντρέχειν ἄμφω ταῦτα ἀνάγκη καὶ νικᾶν αὐτὴν καὶ τῷ ἀκριβεῖ καὶ τῷ θαυμασίῳ, τῷ μὲν ἀκριβεῖ, διότι καὶ ταῖς ἄλλαις ἐπιστήμαις παρὰ ψυχῆς ἡ ἀκρίβεια, τῷ θαυμασίῳ δέ, ὅτι σχεδὸν διὰ πάντων διήκει τῶν ὄντων ἡ τῆς ψυχῆς φύσις ἀπὸ τῆς ἐσχάτης ἀρχομένη τῆς φυτικῆς μέχρι τῆς πρώτης, λέγω δὲ τοῦ νοῦ, ὃς εἴτε μέρος εἴτε δύναμίς ἐστι τῆς ψυχῆς, εἴτε συγγενὴς ἄλλως καὶ ἐμφύεσθαι δυνάμενος, τί ἂν εἴη τῆς φύσεως ταύτης θαυμασιώτερον. τρίτον ἡμᾶς πρὸς τούτοις παρακαλεῖ πρὸς τὴν προκειμένην φροντίδα, ὅτι εἰ μὲν περὶ ἄλλου του μάθοιμεν τἀληθές, οὐκ ἔστιν ἡμῖν τὸ ἀληθὲς τοῦτο πρὸς τὰ λοιπὰ ὁρμητήριον, εἰ δέ τι περὶ ψυχῆς ἀληθὲς κατανοήσαιμεν, πάμμεγα ἂν ἐφόδιον εἴη τοῦτο πρὸς σύμπασαν τὴν ἀλήθειαν. πρὸς γὰρ ἅπαντα τὰ μέρη τῆς φιλοσοφίας ἀξιολόγους δίδωσιν τὰς ἀφορμάς, τὸ μὲν πρακτικόν, ὅτι τὰς ἀρετὰς αὐτῆς καὶ τὰς τελειότητας οὕτως ἂν ῥᾷον καταστησαίμεθα, εἰ τὴν οὐσίαν αὐτῆς πρότερον καταμάθοιμεν· τὴν δὲ περὶ φύσεως θεωρίαν, ὅτι πηγὴ καὶ ἀρχὴ πάσης κινήσεως ἡ ψυχὴ ἴσως μὲν καὶ πᾶσι τοῖς σώμασι, μάλιστα δὲ τοῖς τῶν ζώων καὶ τῶν φυτῶν. γιγνώσκουσα μὲν οὖν ἑαυτὴν ἀξιόπιστος καὶ περὶ τῶν ἄλλων, ὑπὲρ ἑαυτῆς δὲ ἀπατωμένη περὶ τίνος ἂν ἄλλου πιστὴ νομισθείη; ἡ μὲν οὖν χρεία τοσαύτη ἐστὶ τῆς προκειμένης θεωρίας· οὐ μὴν ῥᾷστόν*

7 *περὶ* M  10 *ἀρχομένη*] *ἀρχομένης* M. *ἀρχομένοις* A *φυσικῆς* M V  12 *συγγενὲς* M  14 *περικαλεῖ* M  20 *τὰς* ante *ἀφορμὰς* om A  28 *ἂν* om M  29 *ἐστι* post *θεωρίας* M

γε τὸ ἔργον, ἀλλὰ καὶ σχεδὸν χαλεπώτατον. αὐτὸ γὰρ πρῶτον τὸ γνῶναι τί ἐστι, καὶ τὸν ὁρισμὸν αὐτῆς ἀποδοῦναι, οὐ λίαν πρόχειρον οὐδὲ εὐπετές· ὅλως μὲν γὰρ ἡ μέθοδος ἡ ὁριστική, τίς ποτέ ἐστι καὶ κατὰ τίνα πρόεισι τρόπον, ἔτι καὶ νῦν παρὰ τοῖς φιλοσόφοις ἀμφισβητήσιμος, καὶ οὐ μόνον γε παρὰ τοῖς φιλοσόφοις, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν, ὅσοι τι διὰ λόγου διδάσκουσι. πάντες γὰρ ὁρισμῷ χρῆσθαι πειρῶνται, καὶ τοῖς μὲν εἶναι δοκεῖ μία μέθοδος περὶ πάντων, ὧν βουλόμεθα γνῶναι τὸν ὁρισμόν, ὥσπερ καὶ περὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων μία μέθοδός ἐστιν ἡ ἀπόδειξις, τοῖς δὲ οὐ μία ἀλλὰ κατὰ τὰς τῶν ὄντων διαφορὰς διαφόρους εἶναι καὶ τὰς περὶ τῶν ὁρισμῶν πραγματείας, ὃ τὴν χαλεπότητα τῆς σκέψεως μείζω ποιεῖ. δεήσει γὰρ λαβεῖν περὶ ἑκάστου τῶν ὄντων, τίς τρόπος οἰκεῖος, τοῦτο δὲ εἰ καὶ μίαν τις εἶναι συγχωρήσειε τὴν ὁριστικὴν πραγματείαν, ἤτοι κατὰ διαίρεσιν, καθάπερ ἤρεσκε Πλάτωνι, ἢ συνθέσει μᾶλλον, καθάπερ βούλεται Ἀριστοτέλης, ἢ τρόπον τινὰ ἕτερον ἀποδείξεως, ὅμως οὐδὲν ἧττον ἀπαντᾷ· δεήσει γὰρ καὶ οὕτως ὑπὲρ ἑκάστου τῶν οἰκείων ἀρχῶν, εἰ μέλλοιμεν σὺν ἐπιστήμῃ τῆς φύσεως τοῦ πράγματος περιέσεσθαι, καὶ εἰς τὴν αὐτὴν χαλεπότητα ὁ λόγος αὖθις ἡμῖν περιίσταται· fol. 64b. ἄλλαι γὰρ ἄλλων αἱ ἀρχαί, καθάπερ ἀριθμῶν καὶ ἐπιπέδων, καίτοι συγγενεῖς αὗται αἱ μέθοδοι καὶ περὶ τὸ ποσὸν ἀμφότεραι πραγματεύονται.

Ὅτι μὲν οὖν καὶ ἀναγκαία καὶ ἐργώδης ἡ θεωρία, διὰ τοσούτων εἰρήσθω· λέγωμεν δὲ ἐφεξῆς, ὅσα τῷ

---

9 δοκεῖ μία εἶναι M V 21 ἀπαντᾷ] num ἀπατᾷ? 23 εἰς αὐτὴν χαλεπότερον A 25 ἄλλων γὰρ ἄλλαι A 29 λέγομεν M

*καθ᾽ ὁδὸν μετιόντι περὶ ψυχῆς διοριστέον. πρῶτον μὲν ληπτέον ἂν εἴη τὴν φύσιν αὐτῆς καὶ τὴν οὐσίαν, εἶθ᾽ ὅσα συμβέβηκε περὶ αὐτήν, ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς εἶναι δοκεῖ, τὰ δὲ δι᾽ ἐκείνην καὶ τοῖς ζώοις ὑπάρχειν· ἴδια μὲν νόησις καὶ θεωρία, δι᾽ ἐκείνην δὲ καὶ τοῖς ζώοις προσγίγνεσθαι ἡδονὴ καὶ λύπη καὶ αἴσθησις καὶ φαντασία. δυοῖν δὲ ὄντων τῶν περὶ αὐτῆς ζητουμένων τῆς τε οὐσίας καὶ τῶν συμβεβηκότων, πρῶτον ὅσα χρήσιμα πρὸς τὴν οὐσίαν, ληπτέον. χρήσιμον δὲ πρῶτον μὲν ἐξευρεῖν τὸ γένος τὸ ἀνωτάτω τῶν ἐν ταῖς κατηγορίαις διηριθμημένων, ἐν ᾧ τακτέον τὴν ψυχήν, ἆρ᾽ ἐν οὐσίᾳ ἢ ἐν ποσῷ ἢ ἐν ποιῷ; καὶ οὐ μόνον γε τὸ ἀνωτάτω, ἀλλὰ καὶ τὸ προσεχέστερον καὶ τὸ ἐγγυτέρω· οὐδὲ γὰρ ὅταν ἄνθρωπον ὁριζώμεθα, τὴν οὐσίαν λαμβάνομεν, ἀλλὰ τὸ ζῷον. δεύτερον ἡνίκα ἂν τὸ γένος διακριθῇ, ἐπειδὴ διχῶς ἕκαστον λέγεται γένος, τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ, καθάπερ τὸ ζῷον καὶ τὸ φυτόν· τὸ μὲν γὰρ ᾠὸν καὶ τὸ σπέρμα δυνάμει ζῷον καὶ φυτόν, ὁ δὲ ὄρνις καὶ τὸ δένδρον ἐνεργείᾳ ζῷον καὶ φυτόν, ὅπερ λέγομεν ἐντελεχείᾳ, διότι δὲ οὕτω λέγομεν ἐν τοῖς ἐφεξῆς ἔσται δῆλον· εἴπερ οὖν τὴν οὐσίαν εὕροιμεν τῆς ψυχῆς, ἐν τίνι τῶν διαφορῶν τούτων ἀποτμηθήσεται, ἆρ᾽ ὡς δύναμις ὑποκειμένη καὶ πρὸς οὐσίαν ἔχουσα εὐφυῶς, ἢ μᾶλλον ὡς ἐντελέχεια; ἔστι δὲ καὶ τῶν ἐντελεχειῶν τις διπλόη, καὶ ἡ μέν τις πρώτη, ἡ δὲ δευτέρα· πρώτη μὲν ἡ ὥσπερ ἕξις, δευτέρα δὲ ἡ τῆς ἕξεως ἐνέργεια. σκεπτέον δὲ*

---

9 *τὴν* om A 21 *λέγομεν*] *λέγομεν καὶ* A 24 *ὑποκειμένη* A. *ὑπομένει* V. *ὑποκειμένει* M 28 *δὲ καὶ*] *καὶ* om M V

καὶ εἰ μεριστὴ ἢ ἀμερής, καὶ εἴπερ φανείη μεριστή, πότερον ὡς σῶμα καὶ ὄγκος [εἰς ὄγκους], ἢ ὡς τέχνη καὶ ἐπιστήμη; λέγεται γὰρ καὶ ἰατρικῆς εἶναι μέρη καὶ φιλοσοφίας. εἰ δὲ ἀμερής, ἆρα παντάπασιν ἁπλῆ τις καὶ πλήθους ἀνέμφατος φύσις, ἢ μερῶν μὲν πλῆθος περὶ αὐτὴν οὐ θεωρεῖται, δυνάμεων δὲ ποικιλία; διαφέρει γὰρ οὕτως ἢ ἐκείνως. μέρους μὲν γὰρ μέρος κατὰ τὸ ὑποκείμενον ἐξαλλάττει, δύναμις δὲ δυνάμεως τῷ διάφορα ἐνεργεῖν διενήνοχε· διὰ τοῦτο γὰρ οἱ μὲν πολυδύναμον ἀξιοῦσιν [εἶναι] τὴν ψυχὴν ἐφ' ἑνὸς οὖσαν ὑποκειμένου, οἱ δὲ πολυμερῆ διορίζοντες καὶ τοῖς τόποις τὰ μέρη, ὥσπερ οἱ Στωικοί, τυχὸν δὲ καὶ Πλάτων. τέταρτον ἂν εἴη ζήτημα τῶν εἰρημένων, ἆρα ὁμοειδὴς πᾶσα ψυχὴ πρὸς πᾶσάν ἐστιν, ἢ οὐδαμῶς, καὶ εἴπερ ὑφ' ἕτερον καὶ ἕτερον εἶδος, ἆρ' οὐδ' ὑφ' ἓν γένος; οἷον ἡ ἀνθρώπου καὶ ἵππου, εἰ μὴ ταὐτὸν ἔχουσιν εἶδος ψυχῆς, ἆρ' οὐδὲ γένος ταὐτόν; ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ ἵππος ὑπὸ τὸ ζῷον, αἱ ψυχαὶ δὲ αὐτῶν οὐκέτι καὶ ὑφ' ἓν γένος ψυχῆς; ταῦτα δὲ οὐχ οἷόν τε διακρῖναι τὰ προβλήματα μὴ περὶ πάσης ψυχῆς ἐπισκοπουμένους, ὅπερ ἔνιοι τῶν πρότερον παρεώρων· περὶ γὰρ τῆς ἀνθρωπίνης μόνης ἐοίκασι πεφροντικέναι, ἡμῖν δὲ τὴν καθόλου φύσιν ἐπισκεπτέον, ἆρα εἷς ὁρισμὸς καὶ ἓν τὸ τί ἦν εἶναι πάσης ψυχῆς, ἢ ἄλλος μὲν τῆς τοῦ ἀνθρώπου, ἄλλος δὲ τῆς τοῦ ἵππου; λέγω δὲ ὧδε· ἔστιν ὁρισμὸς τοῦ ζῴου καθόλου, ὅτι οὐσία ἔμψυχος αἰσθητική, ἔστι δὲ καὶ ἀνθρώπου χωρίς, ὅτι ζῷον λογικὸν θνητόν. ζητοῦντας οὖν τῆς ψυχῆς τὸν ὁρισμόν, ἆρα τοιοῦτον

---

1 φανείη] φασὶν εἴη M 2 καὶ ὄγκος om MV 10 εἶναι om MV 16 εἰ] εἰ δὲ MV 17 ἔχουσιν — ταὐτὸν om M 22 προτέρων A 25 τοῦ om A 26 τοῦ ante ἵππου om AV 29 τὸν om AV

*προσήκει ζητεῖν, οἷός ἐστιν ὁ τοῦ ζῴου, ἢ μᾶλλον οἷος ὁ τοῦ ἀνθρώπου; τοῦτο δὲ ταὐτὸν τῷ ζητεῖν, ἆρα ὥσπερ εἴδους ζητητέον τὸ τί ἦν εἶναι τοῖς καθ' ἕκαστον προσεχομένου, ὥσπερ ὁ ἄνθρωπος Σωκράτει καὶ Δίωνι καὶ Θεαιτήτῳ, ἢ ὥσπερ γένους εἰς εἴδη ἤδη διαιρουμένου; διαφέρει δὲ οὐ παρὰ μικρὸν ἡ θεωρία· τὸ μὲν γὰρ γένος ἐννόημά ἐστιν ἀνυπόστατον ἐξ ἀμυδρᾶς τῶν καθ' ἕκαστον ὁμοιότητος κεφαλαιούμενον καὶ ἤτοι παντάπασιν οὐδὲν τὸ γένος, ἢ πολλῷ ὕστερον τῶν καθ' ἕκαστα, τὸ δὲ εἶδος φύσις τις εἶναι βούλεται καὶ μορφή· μόνης γὰρ ὕλης προσδεῖται ὁ τοῦ ἀνθρώπου λόγος καὶ ἔστιν ἄνθρωπος ἤδη· ἐπεὶ καὶ καθ' αὑτὸ ἔχει τινὰ ἀξιόλογον θεωρίαν, ἆρ' οἱ τῶν γενῶν καὶ τῶν εἰδῶν ὁρισμοὶ νοημάτων εἰσὶν ὁρισμοὶ ἢ φύσεων ἐν τοῖς καθ' ἕκαστον ὑφισταμένων; ἐοίκασι γὰρ βούλεσθαι μὲν εἶναι τῶν νοημάτων ἃ συναθροίζεται ἐκ τῆς τῶν καθ' ἕκαστον ὁμοιότητος, ἀποπίπτειν δὲ εἰς τὰ καθ' ἕκαστον καὶ εἰς τὰς φύσεις τὰς ὑφεστηκυίας· οὔτε γὰρ τὸ τοῦ ζῴου νόημά ἐστιν οὐσία ἔμψυχος αἰσθητική, οὔτε μᾶλλον τὸ τοῦ ἀνθρώπου ζῷον λογικὸν θνητόν, ἀλλὰ τὰ καθ' ἕκαστον ζῷα οὐσίαι ἔμψυχοι αἰσθητικαί, καὶ οἱ καθ' ἕκαστον ἄνθρωποι ζῷα λογικὰ θνητά. δῆλον δὲ ἐντεῦθεν· εἰ γὰρ καταλειφθείη πρὸς ὑπόθεσιν ἄνθρωπος εἷς, οἷον οἱ μῦθοι ποιοῦσι τὸν Δευκαλίωνα ἐν τῷ κατακλυσμῷ, τηνικαῦτα ὁ τοῦ ἀνθρώπου λόγος εἰς τὸν τοῦ τινὸς ἀνθρώπου περιορισθήσεται. ἀλλὰ ταῦτα μὲν τῆς περὶ γενῶν καὶ εἰδῶν θεωρίας οἰκειότερα, νῦν δ' ἐπεξιτέον τῷ ἀριθμῷ, ὧν περὶ ψυ-*

---

6 ἤδη delendum puto   δὲ οὐδὲ A   15 ἕκαστα A   20 οὐσία ἐστὶν A   29 οἰκειότερον A

χῆς ἄν τις ζητήσειεν· ἄξιον δὴ καὶ τοῦτο πολλῆς ἂν εἴη φροντίδος, ἆρα πολλὰς θετέον ψυχὰς ὑπάρχειν τῷ ζώῳ οἷον φυτικὴν θρεπτικὴν ὀρεκτικὴν διανοητικήν, ὥσπερ καὶ τὰ μέρη ἐφ' ὧν καὶ αὗται, ἢ πολλαὶ μὲν οὐκ εἰσὶν ἐν ἑκάστῳ ψυχαί· γελοῖον γὰρ ὥς φησιν ὁ θεῖος Πλάτων, καθάπερ ἐν δουρείῳ ἵππῳ καθεζομένας φέρειν ἕκαστον ἡμῶν πλείους ψυχάς· μιᾶς δὲ ὅλης αὐτῆς ὑπαρχούσης τὰ μόρια διενήνοχε, καὶ εἰ μιᾶς θετέον μέρη, χαλεπὸν τὸ διορίσαι, ποῖα καὶ πῶς, οἷον εὐθύς, ἆρ' ἕτερον τὸ θρεπτικὸν τοῦ αὐξητικοῦ καὶ ἄμφω τοῦ γεννητικοῦ, ἢ τῷ λόγῳ μὲν ἕτερα, τῷ δ' ὑποκειμένῳ ταὐτά; καὶ ταῦτ' ἆρα τὰ τρία ἕτερα τοῦ αἰσθητικοῦ καὶ φαντα- fol. 65. στικοῦ καὶ ὀρεκτικοῦ; δοκεῖ γὰρ ἐν τούτοις ἤδη καὶ τῶν ὑποκειμένων εἶναι διαφορά, ἅ γε καὶ χωρίζεται ἀπ' ἀλλήλων· πολλὰ γὰρ τρέφεται μὲν καὶ αὔξεται καὶ γεννᾷ, αἰσθάνεται δὲ οὔ, καὶ αἰσθάνεται μὲν νοεῖ δὲ οὔ. εἰ δ' οὖν φανείη τινὰ μὲν ἕτερα τῶν μερῶν καὶ πῶς ἕτερα, τινὰ δὲ ταὐτά, ἆρα ὑπὲρ τῆς ὅλης ψυχῆς σαφέστερον ἡμῖν ἢ περὶ τῶν μορίων πρῶτον ἐπισκοπεῖν; δόξειε γὰρ ἄν πως μὲν τὸ ὅλον σαφέστερον εἶναι· καὶ γὰρ ἐν τοῖς μεγέθεσι τρόπον τινὰ τοῦ ὅλου πρῶτον αἰσθανόμεθα ἢ τῶν μερῶν, καὶ ἐν ταῖς ἐπιστήμαις ἀπὸ τῶν καθόλου πρῶτον ἀρχόμεθα ὡς σαφεστέρων· πῶς δὲ αὖ τὰ μέρη πρότερα· ἀεὶ γὰρ πρότερα τὰ ἐξ ὧν, ἐκ δὲ τῶν μερῶν τὸ ὅλον. καὶ εἰ δόξειε περὶ τῶν μερῶν, πότερον τὰς οὐσίας αὐτῶν ἢ τὰς ἐνεργείας ἡμῖν προτέρας διδακτέον; σαφέστεραι γὰρ ἐπὶ πολλῶν ἡμῖν αἱ ἐνέργειαι· ὅτι μὲν γὰρ

4 ὥσπερ καὶ τὰ μέρη om M  6 ὁ θεῖος om M V  Πλάτων] Theaetet. p. 184 D.  9 εἰ om M  16 μὲν om A  22 τρόπον τινὰ om M  23 πρῶτον αἰσθανόμεθα τοῦ ὅλου A, fort. πρότερον

*αἰσθανόμεθα, δῆλον· τί δὲ ἡ αἴσθησις, οὐ σαφές. καὶ εἰ περὶ τῶν ἐνεργειῶν, ἆρα περὶ αὐτῶν πρότερον ἢ περὶ τῶν ὑποκειμένων ταῖς ἐνεργείαις· σαφέστερα γὰρ ἐπὶ πολλῶν ἡμῖν τὰ πράγματα περὶ ἃ γίνονται καὶ αἱ ἐν τοῖς μέρεσιν ἐνέργειαι ὥσπερ τὰ ὁρατὰ τῆς ὁράσεως, καὶ τὰ ἀκουστὰ τῆς ἀκοῆς, ἴσως δὲ καὶ τὰ νοητὰ τοῦ νοῦ· καὶ γὰρ ἀντίκειται ὡς τὰ πρός τι τὸ μὲν νοητὸν πρὸς τὸν νοῦν, τὸ δὲ αἰσθητὸν πρὸς τὴν αἴσθησιν· τὰ μὲν οὖν κεφάλαια ταῦτα καὶ τοσαῦτά ἐστι τῶν περὶ ψυχῆς ζητουμένων, καὶ πάντα γε προὔργου καὶ ἀναγκαῖα πρὸς τὴν εὕρεσιν τοῦ τί ἦν εἶναι. ἔοικε δὲ οὐ μόνον τὸ τί ἐστιν ἐφ' ἑκάστου προληφθὲν καλῶς χρήσιμον εἶναι πρὸς τὸ θεωρῆσαι τὰ καθ' αὑτὰ συμβεβηκότα τῷ πράγματι, ὅπερ μάλιστά ἐστιν ἐν τοῖς μαθήμασι· προλαβόντες γὰρ τὸ τί ἦν εἶναι τῆς εὐθείας καὶ τῆς καμπύλης καὶ τριγώνου καὶ ἐπιπέδου ῥᾷον μανθάνομεν τὰ καθ' αὑτὰ συμβεβηκότα τοῖς σχήμασιν· ἀλλὰ καὶ ἀνάπαλιν τὸ προλαβεῖν τὰ συμβεβηκότα καλῶς συμβάλλεται μέγα μέρος πρὸς τὴν ἐπιστήμην τοῦ τί ἦν εἶναι, τὸ δὲ καλῶς εἶπον οὐχ ὅτι μετὰ ἀποδείξεως· ἀδύνατον γὰρ ἄνευ τοῦ γνώριμον γενέσθαι τὸν ὁρισμὸν θηρεῦσαί τι τῶν ὑπαρχόντων δι' ἀποδείξεως· ἀλλ' ἱκανὸν καὶ τὸ φαινόμενον καὶ ἡ φαντασία· τὰ μὲν γὰρ ἀπηρτημένα τῶν συμβεβηκότων καὶ λίαν ἔξω τῆς φύσεως οὐδὲν ἡμᾶς ὀνήσει πρὸς τὴν εὕρεσιν τῶν ὁρισμῶν, ὥσπερ εἴ τις θεὸν ὁρίσασθαι προελόμενος τὸ βωμοὺς εἶναι θεῶν καὶ θυσίας καὶ νεὼς καὶ ἀγάλματα οἴοιτο αὐτῷ συμβαλεῖσθαι πρὸς τὴν ἀπόδειξιν τοῦ τί ἦν εἶναι,*

---

5 *καὶ αἱ* A V, *καὶ* M, *ἢ αἱ* Victorius. fort. *καὶ* abundat. 7 *ἀντίκεινται* A 10 *ζητουμένων*] *ζητημάτων* A 26 *ὀνήσει*] *ὠφελήσει* MV 28 *καὶ* ante *θυσίας* om AV 29 *τὴν* om A

καθάπερ ὑπελάμβανε Χρύσιππος· λίαν γὰρ ἀπηρτημένα ταῦτα τῆς οὐσίας ἐστὶ τῶν θεῶν· τὸ μέντοι γε κινεῖσθαι ἀεί, καὶ τὸ προλέγειν μὲν τὸν Ἀπόλλω, θεραπεύειν δὲ τὸν Ἀσκληπιόν, ἱκανὸν ἤδη προοίμιον τοῦ τί ἦν εἶναι, οἷον ὅτι θεός ἐστι ζῶον ἀΐδιον εὐποιητικὸν ἀνθρώπων. ἀρχὴ μὲν οὖν πάσης ἀποδείξεως ὁ ὁρισμός, ἔστι μέντοι γε ὥσπερ κύκλος τις· καθάπερ γὰρ ἐν τοῖς καθ' αὑτὰ ὑπάρχουσιν ἐμφαίνεται τὸ τί ἦν εἶναι, εἰ κατὰ τὸ φαινόμενον ὀρθῶς προληφθείη, οὕτω κἂν τῷ τί ἦν εἶναι τὰ καθ' αὑτὰ ὑπάρχοντα προσδηλοῦται, καὶ ἐφ' ὧν μὲν ῥᾴων ἡ πρόοδος ἐκ τῶν ὁρισμῶν ἀρχομένοις ἐπὶ τὰ καθ' αὑτὰ συμβεβηκότα, ὅπερ ἐπὶ τῶν μαθημάτων μάλιστα συμβαίνει, ἐφ' ὧν δὲ ἀνάπαλιν ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων, ὡς σχεδὸν ἐπὶ πάντων τῶν φυσικῶν· κακία δὲ καὶ τῆς τῶν συμβεβηκότων ἐκλογῆς, ὅταν μηδὲν πρὸς τὸν ὁρισμὸν ὠφελώμεθα καὶ τῆς τῶν ὁρισμῶν κατασκευῆς, ἐξ ὧν οὐδέν ἐστι παραδηλῶσαι τῶν ὑπαρχόντων τῷ πράγματι, ὥστε ὁπόσοι τοῦτον τὸν τρόπον εἰσὶν ἀποδεδομένοι, ὡς μηδὲ εἰκάσαι τι περὶ τῶν συμβεβηκότων ὑπάρχειν εὐμαρές, δηλονότι λογικῶς εἴρηνται καὶ κενῶς ἅπαντες. οὐδενὸς οὖν ἧττον τῶν εἰρημένων ἀναγκαῖόν ἐστι πρὸς τὴν εὕρεσιν τῆς οὐσίας αὐτῆς τὸ διελέσθαι καὶ τὰ ἔργα καὶ τὰ πάθη σύμπαντα τῆς ψυχῆς, ὅπως ἂν γνοίημεν, πότερον ἅπαντα κοινά ἐστιν αὐτῇ πρὸς τὸ σῶμα, καὶ τοῦ ζῴου σύμπαντά ἐστι τοῦ συγκειμένου ἔκ τε ψυχῆς καὶ τοῦ σώματος, ἢ τινὰ μὲν κοινὰ τινὰ δὲ αὐτῆς μόνης [τῆς] ψυχῆς. τοῦτο γὰρ προλαβεῖν

10 προσληφθείη A 18 περιδηλῶσαι M 21 τις A εὐμαρῶς V 26 γνοίοιμεν M 29 αὐτῆς] αὐ, αὐτῆς M τῆς om M V

μὲν ἀναγκαῖον, οὐ ῥᾴδιον δέ· λέγεται μὲν γὰρ ὑπὸ πολλῶν τῆς ψυχῆς εἶναι τὸ ὀργίζεσθαι καὶ τὸ θαρρεῖν καὶ τὸ ἐπιθυμεῖν καὶ τὸ αἰσθάνεσθαι ὅλως, φαίνεται δὲ τὰ πλεῖστα πάθη τοῦ ζώου κοινὰ τῆς ψυχῆς καὶ τοῦ σώματος, μάλιστα δ' ἔοικεν ἴδιον τῆς ψυχῆς τὸ νοεῖν. εἰ δ' ἔστι καὶ τοῦτο φαντασία τις ἢ μὴ ἄνευ φαντασίας, οὐκ ἐνδέχοιτ' ἂν οὐδὲ τοῦτο ἄνευ σώματος εἶναι· ἐξ αἰσθήσεως γὰρ καὶ δι' αἰσθήσεως ἡ φαντασία, ὅθεν εὐθὺς ἐν ἀρχῇ διοριστέον, ὡς εἰ μὲν ἔστι τι τῶν τῆς ψυχῆς ἔργων καὶ παθημάτων ἴδιον τῆς ψυχῆς, ἐνδέχοιτ' ἂν αὐτὴν καὶ χωρίζεσθαι τοῦ σώματος· εἰ μέντοι γε μηδέν ἐστιν ἴδιον αὐτῆς, μηδὲ μόνης τῆς ψυχῆς, ἀλλὰ πάσας τὰς ἐνεργείας μετὰ τοῦ σώματος ἀποδίδωσιν, ἢ τούτου γε τοῦ ὁρωμένου, ἢ ἑτέρου τινὸς ἀφανεστέρου, πάντως δὲ σώματος, οὐκ ἂν οἷα τε εἴη σώζεσθαι καὶ χωρὶς σώματος, εἴπερ μηδὲν ἡ φύσις παρήγαγεν ἀργὸν παντελῶς, ἀλλὰ παντὶ τῷ ὄντι καὶ ἔργον τι προσνενέμηται. ὁ δὲ ἐνιστάμενος πρὸς τοῦτον τὸν λόγον, ὡς μὴ τὴν ἀγωγὴν ἔχοντα ὑγιῆ, λίαν τῆς δυνάμεως αὐτοῦ παρακήκοε. δέον γάρ φησι τὸ τοῦ ἑπομένου ἀντικείμενον προσλαβόντα ἀνελεῖν τὸ ἡγούμενον, ὁ δὲ προσλαβὼν τὸ ἀντικείμενον τοῦ ἡγουμένου πειρᾶται ἀναιρεῖν τὸ ἑπόμενον. ὁ δὲ τῶν οὕτω προχείρων ἐν διαλεκτικῇ ἄγνοιαν ἐγκαλῶν Ἀριστοτέλει αὐτὸς ἔοικεν ἀγνοεῖν, ὅτι τὸ ἐνδέχοιτ' ἂν αὐτὴν καὶ χωρίζεσθαι οὐκ ἦν ἀναγκαίας ἀκολουθίας, ἐφ' οἵας ἡ ἀναίρεσις τοῦ ἑπομένου συναναιρεῖ τὸ ἡγούμενον, ἀλλ'

---

11 χωρίζεται A 14 τοῦ om V γε τοῦ] nonne γέ του vel γέ που? 16 εἴη] εἴη καὶ A 21 περικήκοε M ἑπομένου] λήγοντος M V 23 ἀναιρεῖν] ἀνελεῖν M V 26 αὐτὴν καὶ χωρίζεσθαι] κεχωρίσθαι A

ἐνδεχομένης, ἐφ' ἧς ἔμπαλίν ἐστι τὸ συμβαῖνον· ἡ γὰρ ἀναίρεσις τοῦ ἡγουμένου συναναιρεῖ τὸ ἑπόμενον· fol. 65b. εἰ μὲν γὰρ πλευσεῖται Δίων, ἐνδέχεται αὐτὸν καὶ εὐπλοῆσαι, εἰ δ' οὐ πλευσεῖται Δίων, οὐδ' εὐπλοῆσαι αὐτὸν ἐνδέχεται· ἀλλ' οὐχί, εἰ μὴ εὐπλοῆσαι αὐτὸν ἐνδέχεται, οὐκ ἐνδέχεται αὐτὸν οὐδὲ πλεῦσαι. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ βαδίσαι καὶ ἐπὶ τοῦ πρᾶξαι καὶ ἐφ' ἁπάντων, ἐφ' ὧν ἡ ἀκολούθησις ἐνδεχομένη ἦν οὐκ ἀναγκαία, οὕτως δὲ καί, εἰ μὲν ζῶόν ἐστι τὸ πόρρωθεν προσιόν, ἐνδέχεται αὐτὸ ἵππον εἶναι· εἰ δὲ μὴ ζῶον, οὐδ' ἵππον, ἀλλ' οὐχὶ εἰ μὴ ἵππον, οὐδὲ ζῶον. ἁπλῶς γὰρ τὸ ἐνδεχομένως ἀκολουθοῦν ὡς μέρος γίνεται τοῦ ἡγουμένου, εἴ γε ποτὲ μὲν αὐτῷ ὑπάρχει, ποτὲ δὲ οὔ, ἐπὶ τούτων δὲ ἡ τοῦ ὅλου ἀναίρεσις συναναιρεῖ καὶ τὸ μέρος. οὐκ ἀδιάβλητον οὖν καὶ τοῦτο τὸ συνημμένον, εἰ μὲν ἔστι τι ἴδιον τῆς ψυχῆς ἔργον, ἐνδέχοιτο ἂν αὐτὴν χωρίζεσθαι· οὐ γὰρ ἐξ ἀνάγκης. τί γάρ; εἰ καὶ ἴδιον μὲν ἔργον ἔχει, μὴ χωρίζεται δέ, ὥσπερ ὀφθαλμὸς καὶ χείρ; ἀναγκαία δὲ καὶ ἡ τοῦ ἡγουμένου ἀναίρεσις συναναιροῦσα τὸ ἑπόμενον· εἰ δὲ μηδέν, οὐκ ἂν εἴη χωριστή· ταύτην γὰρ τὴν ἀκολουθίαν ἐναργὲς ἀξίωμα βεβαιοῖ, τὸ μηδὲν ὑπὸ τῆς φύσεως ἀργὸν γεγενῆσθαι. πῶς οὖν λέγομεν τὴν ψυχὴν φιλεῖν καὶ μισεῖν καὶ ὀργίζεσθαι; πῶς δὲ λέγομεν τὴν εὐθεῖαν ἅπτεσθαι τῆς σφαίρας κατὰ στιγμήν; οὐ γὰρ ὅτι ἡ εὐθεῖα καθ' ἑαυτήν· οὐδὲν γάρ ἐστιν, ἀλλ' ὅτι ὁ κανὼν ὁ εὐθύς, οὐδὲ ὅτι τῆς σφαίρας καθ' ἑαυτήν, ἀλλ' ὅτι τῆς χαλκῆς· ἀχώριστον γὰρ καὶ τὸ εὐθὺ καὶ τὸ σχῆμα τοῦ ξυλίνου κανόνος καὶ τῆς χαλκῆς σφαίρας καὶ ἡ κατὰ

16 οὖν καὶ] δ' αὖ οὐδὲ A  17 ἔργον τῆς ψυχῆς A  20 ἡ τοῦ om M  24 καὶ ante μισεῖν om M  27 εὐθὴς M

στιγμὴν ἀφή, μᾶλλον δὲ ὅλως ἀφὴ τοῦ συνόλου πρὸς τὸ σύνολον. οὕτω δὲ καὶ τὰ τῆς ψυχῆς πάθη πάντα ἔοικεν εἶναι κοινὰ μετὰ τοῦ σώματος, τὸ θυμοῦσθαι καὶ τὸ πραΰνεσθαι καὶ τὸ φοβεῖσθαι καὶ τὸ θαρρεῖν καὶ τὸ χαίρειν, ὁμοίως δὲ καὶ τὸ φιλεῖν καὶ τὸ μισεῖν· οὐδὲν γὰρ τούτων οἷά τε ποιεῖν ἡ ψυχὴ μὴ τὸ σῶμα ἐφελκομένη, εἰς ὃ καὶ τὰς ἐνεργείας ἑαυτῆς ἐμφανῶς ἀποστηρίζεται· ἐρυθραίνονται γὰρ καὶ ὠχριῶσι καὶ τρέμουσι, καὶ οὐδὲ τοῖς ποιηταῖς ταῦτα ἄδηλα· ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. καί, ὦχρός τέ μιν εἷλε παρειάς. καί, ἄραβος δὲ διὰ στόμα γένετ' ὀδόντων. μηνύει δὲ μάλιστα ἐναργῶς τὸ ταῦτα εἶναι τὰ πάθη κοινὰ τῆς ψυχῆς καὶ τοῦ σώματος τὸ ποτὲ μὲν ἰσχυρᾶς προσπεσούσης τοῖς ζώοις αἰτίας καὶ ἱκανῆς εἰς ὀργὴν ἐκκαλέσασθαι ἢ φόβον ἐμποιῆσαι, μηδὲν παροξύνεσθαι ἢ φοβεῖσθαι, ἐνίοτε δὲ σμικρῶν γινομένων καὶ ἀμυδρῶν τῶν αἰτιῶν κινεῖσθαι λίαν, ὅταν ἐνδεὲς ᾖ τροφῆς τὸ ζῶον ἢ ὑπὸ χυμῶν τινῶν ἐνοχλῆται, ὃ μάλιστα ἐπὶ τῶν μελαγχολικῶν ἔκδηλον γίγνεται, οἳ μηδενὸς πολλάκις φοβεροῦ συμπίπτοντος ἐν τοῖς πάθεσι γίγνονται τῶν φοβουμένων διὰ τὴν κρᾶσιν τοῦ σώματος, καὶ δεδίασι τὰ ἀδεῆ καὶ ἔοικεν ἅπαντα τὰ τοιαῦτα πάθη ταῖς κράσεσιν ἕπεσθαι τοῦ σώματος καὶ ἐπιτείνεσθαι καὶ ἀνίεσθαι τοίας ἢ τοίας αὐτῆς ὑπαρχούσης, καὶ οὐχ ὡς ὄργανον τούτοις τοῖς πάθεσιν ὑπηρετεῖται τὸ σῶμα, ὥσπερ τῇ αἰσθητικῇ δυνάμει τὰ αἰσθητήρια, ἀλλὰ πλείων ἡ συγγένεια τῷ σώματι πρὸς τὰ πάθη, ἢ τοῖς ὀργάνοις τῆς αἰσθήσεως πρὸς τὴν αἴσθησιν.

---

1 μᾶλλον — ἀφὴ om M 5 τὸ ante μισεῖν om A 6 τε] τέ ἐστι A 10 ὄσσε Il. *Α*, 104. ὦχρος Il. *Γ*, 35. 11 ἄραβος Il. *Κ*, 375. 20 οἳ] οἷον M

ταῦτα μὲν γὰρ παρὰ φύσιν διατεθέντα ἐμποδὼν γίνεται μόνον ταῖς τῆς αἰσθήσεως ἐνεργείαις· τοῦ σώματος δὲ ἡ φαύλη κρᾶσις οὐκ ἐμποδίζει τοῖς πάθεσιν, ἀλλ' ἐγείρει μᾶλλον αὐτὰ καὶ ἐπιτείνει, ἅτε τῆς τούτου φύσεως προσεχέστερον ἐξημμένα. εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, δῆλον ὅτι τὰ πάθη ταῦτα καὶ ὅσα ἄλλα τοιαῦτα τῆς ψυχῆς, λόγοι ἔνυλοί εἰσι, τουτέστιν ἐν ὕλῃ τὸ εἶναι ἔχοντες, ὥστε καὶ οἱ ὁριζόμενοι τούτων ἕκαστον τῆς ὑποκειμένης ὕλης οὐκ ἀποστήσονται, ὡς ὁ τὴν ὀργὴν ἀποδιδοὺς ζέσιν τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. καὶ διὰ ταῦτα οὖν φυσικοῦ τὸ θεωρῆσαι περὶ τῆς τοιαύτης ψυχῆς, ὅση πρὸς τὰ ἔργα αὐτῆς ἢ τὰ πάθη τὴν ὕλην συνεφέλκεται, διαφερόντως δ' ἂν ὁ φυσικός τε καὶ ὁ διαλεκτικὸς ἕκαστον αὐτῶν ἀφορίσαιντο· ὁ μὲν γὰρ ὄρεξιν ἀντιλυπήσεως, ὁ δὲ ζέσιν τοῦ περὶ καρδίαν αἵματος, ὁ δὴ διαλεκτικὸς μὲν τὸ εἶδος, ὁ φυσικὸς δὲ τὴν ὕλην· ὁ μὲν γὰρ λόγος τῆς ὀργῆς ὄρεξις ἀντιλυπήσεως. ἀνάγκη δὲ ἐγγίνεσθαι τοῦτο τὸ εἶδος ἐν ὕλῃ τοιᾷδε, ὥσπερ οἰκίας ὁ μὲν τὸ εἶδος καὶ τοῦ εἴδους τὸν λόγον ἀποδίδωσιν, ὅτι σκέπασμα κωλυτικὸν φθορᾶς τῆς ὑπ' ἀνέμων καὶ ὄμβρων καὶ καυμάτων, ἄλλος δὲ τὴν ὕλην, ὅτι λίθοι καὶ πλίνθοι καὶ ξύλα, ἕτερος δὲ ἄμφω συλλαβών, ὅτι σκέπασμα τοιονδὶ ἐξ ὕλης τοιᾶσδε. τίς οὖν ὁ φυσικὸς τούτων; πότερον ὁ περὶ τὸν λόγον μόνον, τὴν ὕλην δὲ ἀγνοῶν, ἢ ὁ τῆς ὕλης μόνον πεφροντικώς, τοῦ λόγου δὲ ἐκ-

1 διαταθέντα M 11 τὴν καρδίαν A, item v. 16. 14 φυσικός τε] φυσικότερος M 15 ὁ post καὶ om V, supra versum M 17 δὴ om A 21 τοῦ εἴδους τὸν λόγον] τὸν λόγον τοῦ πράγματος A ex Arist. ut videtur p. 403 b, 2. delendum esse puto τοῦ εἴδους 23 ἄλλως A. ἄλλο M 25 τοιᾶσδε] fort. add. ἕνεκα τωνδί

*λανθανόμενος, ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν; ἐκείνων δὲ τίς ἑκάτερος; ὁ μὲν δὴ τὸ εἶδος ὁριζόμενος καθ' αὑτό, ὃ μὴ πέφυκεν εἶναι καθ' αὑτό, διαλεκτικός, ὅθεν αὐτῷ κενολογεῖν συμβαίνει πολλάκις· ὁ δὲ περὶ τὴν ὕλην μᾶλλον πραγματευόμενος καὶ τὰ ἀχώριστα πάθη τῆς ὕλης οὐδεὶς ἄλλος ἐστίν, ἀλλ' ὁ φυσικός· ὁ γὰρ φυσικὸς περὶ πάντα, ὅσα τῆς ὕλης ἔργα καὶ πάθη. παραλήψεται μὲν οὖν καὶ τὸ εἶδος, ἀποστήσει δὲ αὐτὸ οὐδέποτε τῆς ὕλης, οὐδ' εἴπερ ὁ λόγος δύναιτο, συγχωρήσει· δεῖται γὰρ ἀεὶ τῆς ὕλης καὶ οὐχ ὥσπερ ὁ μαθηματικὸς ἐφήσει τῷ λόγῳ τὴν εὐθεῖαν ἄνευ τῆς ὕλης ὁριζομένῳ· οὐ γὰρ προσδεῖται τῆς ὑποκειμένης ὕλης αὕτη. καθόλου γὰρ ἄνωθεν ὑπομνηστέον, ὅτι τοῦ φυσικοῦ σώματος τὰ μέν ἐστι φυσικὰ πάθη καὶ ἔργα, τὰ δὲ ἔξωθεν αὐτῷ προσγίγνεται, φυσικὰ μὲν θερμότητες ψυχρότητες, ξηρότητες ὑγρότητες, τροφή, αὔξησις καὶ φθίσις· ἔξωθεν δὲ προσγίγνεται ὅσα αὐτῷ αἱ τέχναι προστιθέασιν ἢ κοσμοῦσαι τὴν ὕλην ἢ διορθούμεναι τὸ ἐνδεὲς αὐτῆς καὶ ἐλλεῖπον, χαλκευτικὴ μὲν καὶ τεκτονικὴ κοσμοῦσαι τὴν ὕλην,* fol. 66. *ἰατρικὴ δὲ καὶ γεωργία βοηθοῦσαι αὐτῆς ταῖς ἐλλείψεσιν. ἔστι μέντοι γε καὶ ἕτερον εἶδος ἀχώριστον μὲν τοῦ φυσικοῦ σώματος, οὐχ ᾗ δὲ φυσικὸν σῶμα ὑπάρχον αὐτῷ, εἴτε πάθος εἴτε συμβεβηκὸς ἐθέλοι τις ὀνομάζειν αὐτό, οἷον τὸ εὐθὺ τὸ κεκλασμένον τὸ τρίγωνον τὸ κοῖλον τὸ κυρτὸν καὶ ὅσα ἄλλα ἡ μαθηματικὴ θεωρεῖ, ἀφαιροῦσα μὲν τὰ φυσικὰ σύμπαντα πάθη, μόνα δὲ αὐτοῦ τὰ πέρατα καὶ τὰ διαστήματα ἐξετάζουσα καὶ μηδαμοῦ προσλαμβάνουσα ἐν τοῖς λόγοις τὴν ὕλην ἢ τὰς φυσικὰς ποιότητας.*

---

1 *δὲ τίς*] *δή τίς* A V, *δὲ δή τις* ap. Ar. 4 *περὶ* om M V 13 *γὰρ* om A 18 *ὅσα*] *ὁπόσα* M V 25 *αὐτὸ ὀνομάζειν* A

Πάλιν μὲν οὖν ἄνωθεν ἀναληπτέον, ὅτι πολλαὶ θεωρίαι περὶ τοῦ εἴδους, τὸ δὲ εἶδος ἤτοι φυσικὸν ἢ μαθηματικὸν ἢ τεχνικόν. τὸ μὲν οὖν φυσικὸν καὶ ὁ φυσικὸς καὶ ὁ διαλεκτικὸς θεωρεῖ, ἀλλ' ὁ μὲν ἄνευ τῆς ὕλης, ὁ δὲ ἀεὶ μετὰ τῆς ὕλης, τὰ λοιπὰ δὲ οἱ ἐπιστήμονες καὶ οἱ τεχνῖται, οἱ μὲν θεωροῦντες αὐτὰ μόνον, οἱ δὲ καὶ ἐργαζόμενοι ἐν τῇ ὕλῃ, διὸ καὶ οἱ μὲν ἄνευ τῆς ὕλης, οἱ δὲ μεθ' ὕλης. τούτων δὲ ἁπάντων ἐστὶν ἀνωτέρω ὁ περὶ τὰ ὄντως εἴδη πραγματευόμενος τὰ παντάπασι κεχωρισμένα τῆς ὕλης καὶ τῷ λόγῳ καὶ τῇ ὑποστάσει, ὥσπερ ὁ πρῶτος φιλόσοφος. ταῦτα μὲν οὖν ἔξωθεν διῃρήσθω οὐ λίαν ὄντα τῆς προκειμένης πραγματείας ἀλλότρια· ἐπανιτέον δὲ ὅθεν ὁ λόγος, ἐλέγομεν δὲ ὅτι τὰ πάθη τῆς ψυχῆς ἀχώριστα τῆς φυσικῆς ὕλης τῶν ζώων ἐστί, καὶ οὐχ ὥσπερ γραμμὴν καὶ ἐπίπεδον τῷ λόγῳ δυνατὸν ἀποστῆσαι τῆς ὑποκειμένης ὕλης, οὕτω καὶ θυμὸν καὶ φόβον, ἀλλὰ δεῖ τοὺς ὅρους τούτων συμπλέκεσθαι τοῖς παθήμασι τοῦ σώματος.

2

Ταῦτ' οὖν προδιορισάμενοι ἁπτόμεθα λοιπὸν τῆς περὶ ψυχῆς θεωρίας, ἀνάγκη δὲ πρότερον τὰς τῶν παλαιῶν δόξας ἐπιδραμεῖν καὶ κοινωνοὺς συμπαραλαβεῖν εἰς σκέψιν, ὅσοι τι περὶ αὐτῆς ἀπεφήναντο, ὅπως τὰ μὲν καλῶς εἰρημένα λάβωμεν, τὰ δὲ μὴ καλῶς φυλαξώμεθα.

Ἐπειδὴ τοίνυν τὸ ἔμψυχον τοῦ ἀψύχου δύο τούτοις μάλιστα διενήνοχε τῷ τε κινεῖσθαι ἐξ ἑαυτοῦ καὶ τῷ αἰσθάνεσθαι, εἰς τὰ δύο ταῦτα εὐθὺς οἱ παλαιότεροι ταῖς δόξαις διενεμήθησαν, οἱ μὲν ἀπὸ τῆς κινήσεως μάλιστα,

---

1 μὲν om M V   18 τούτων] τούτους M V   20 nonne ἁπτώμεθα?   22 συμπεριλαβεῖν libri   26 δυοῖν A

οἱ δὲ ἀπὸ τῆς αἰσθήσεως ὁρισάμενοι τὴν ψυχήν, κινήσεως μὲν Δημόκριτος καὶ Ἀναξαγόρας, τυχὸν δὲ καὶ Πλάτων. οὗτοι δὲ προστιθέντες ὡς ᾤοντο, καὶ τὸ ἐφεξῆς, ὅτι τὸ μὴ κινούμενον αὐτὸ οὐκ ἐνδέχεται κινεῖν ἕτερον, τῶν κινουμένων τὴν ψυχὴν ἀπεφήναντο, ὅθεν Δημόκριτος πῦρ καὶ θερμόν φησι τὴν ψυχήν· ἀπείρων γὰρ ὄντων τῶν σχημάτων ἃ ταῖς ἀτόμοις προστίθησι, τὴν μὲν πανσπερμίαν αὐτῶν στοιχεῖα ποιεῖ τῆς ὅλης φύσεως, τούτων δὲ τὰ σφαιροειδῆ τῆς ψυχῆς διὰ τὸ μάλιστα διὰ παντὸς τοῦ σώματος διαδύεσθαι τοῦτο τὸ σχῆμα καὶ κινεῖν τὰ λοιπὰ αὐτὴν κινουμένην. εἰ δὲ μὴ ὁρᾶται ἡ ψυχὴ καίτοι σῶμα οὖσα, οὐ θαυμαστόν· καὶ γὰρ τὰ ἐν τῷ ἀέρι καλούμενα ὥς φησι ξύσματα, ἃ φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, οὐκ ἂν φανείη μὴ ἐκλάμποντος τοῦ ἡλίου, ἀλλὰ κενὸς παντάπασιν ἡμῖν ὁ ἀὴρ δοκεῖ καίτοι σωμάτων στερεῶν πεπληρωμένος, ὧν ἔτι πολὺ σμικροτέρας καὶ ταχυτέρας τὰς ἀτόμους ὑπολαμβάνει καὶ μάλιστά γε ἁπασῶν τὰς σφαιροειδεῖς, ἐξ ὧν ἡ ψυχή. διὸ καὶ τοῦ ζῆν ὅρον εἶναί φησι τὴν ἀναπνοήν· τοῦ γὰρ περιέχοντος συνάγοντος τὰ τῶν ζώων σώματα καὶ διὰ τῆς τοιαύτης συναγωγῆς ἐκθλίβοντος ἐν αὐτοῖς τὰ σφαιροειδῆ σχήματα, ἅπερ αἰεὶ κινούμενα τῆς τῶν ζώων κινήσεως αἴτια γίνεται, βοήθειαν γίγνεσθαι τῷ ζῴῳ, θύραθεν ἐπεισιόντων ἄλλων τοιούτων ἐν τῷ ἀναπνεῖν καὶ ὥσπερ ἀντισηκώσεως γιγνομένης τῶν ὑπὸ τῆς ἐκπνοῆς σκεδαννυμένων καὶ τῶν ὑπὸ τῆς πνοῆς εἰσελκομένων, καὶ ζῆν δὴ μέχρις ἂν δύνηται τὰς σφαιροειδεῖς ταύτας ἀτόμους εἰσέλκειν τε καὶ ἀποπέμπειν. μήποτε δὲ καὶ τῶν Πυθαγορείων τινὲς

7 ταῖς] τοῖς libri 23 τὰ ante ἐν A 26 τῶν] τῶν θ' A 28 δὴ] δὲ A

φησὶν Ἀριστοτέλης (οὐκ οἶδα οὕστινας λέγων τοὺς οὕτω λέγοντας Πυθαγορείους) εἰς τοιαύτην δόξαν περὶ τῆς ψυχῆς ὑποφέρονται, οἱ μὲν αὐτὰ τὰ ἐν τῷ ἀέρι κινούμενα σώματα, οἱ δὲ τὴν ταῦτα κινοῦσαν αἰτίαν τὴν ψυχὴν ἀποφηνάμενοι, διότι μηδέποτε ἠρεμεῖ κἂν παντελὴς ᾖ νηνεμία. ἴδιον δὲ μάλιστα τῆς ψυχῆς τὸ κινεῖν ὑπολαμβάνουσι καὶ ὅσοι τὴν ψυχὴν τῷ αὐτοκινήτῳ χαρακτηρίζουσιν· ἐοίκασι γὰρ ἅπαντες οὗτοι πεπιστευκέναι τὴν κίνησιν οἰκειότατον εἶναι τῇ ψυχῇ, καὶ τὰ μὲν ἄλλα κινεῖσθαι ὑπὸ τῆς ψυχῆς, ταύτην δὲ μόνην ὑφ' ἑαυτῆς. ὁμοίως οὖν καὶ Ἀναξαγόρας ψυχὴν λέγει τὴν κινοῦσαν ἀρχήν, καὶ εἴ τις ἄλλος εἴρηκεν, ὡς τὸ πᾶν ἐκίνησε νοῦς. οὐ μὴν ὁμοίως ὥσπερ Δημόκριτος· ἐκεῖνος μὲν γὰρ οἴεται νοῦν καὶ ψυχὴν μηδὲν διαφέρειν· τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινόμενον τῇ αἰσθήσει, ὡς καὶ τὸν νοῦν συλλαμβανούσῃ, καὶ ταὐτὸν ὑπολαμβάνει τῷ αἰσθάνεσθαι τὸ φρονεῖν, καὶ ἐπάγεται μάρτυρα Ὅμηρον, ὅτι καλῶς πεποίηκε τὸν Ἕκτορα ἡνίκα ἔκειτο ἀναισθητῶν, ὅτι ἔκειτο ἀλλοφρονέων. οὐ δὴ χρῆται τῷ νῷ ὡς διαφέροντι τῆς αἰσθήσεως καὶ δυνάμει τινὶ περὶ τὴν ἀλήθειαν, ἀλλὰ ταὐτὸν ποιεῖ νοῦν τε καὶ αἴσθησιν, τουτέστι ταὐτὸν ψυχήν τε καὶ νοῦν. Ἀναξαγόρας δὲ ἧττον μὲν διασαφεῖ περὶ τούτων· πολλαχόθεν μὲν γὰρ τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς τὸν νοῦν λέγει ὡς ὄντα θειότερον τῆς ἄλλης ψυχῆς, πολλαχόθι δὲ καὶ συγχεῖ ταὐτὸν λέγων νοῦν καὶ ψυχήν· ἐν ἅπασι γὰρ αὐτὸν ὑπάρχειν τίθεται τοῖς ζῴοις καὶ μεγάλοις καὶ μικροῖς καὶ τιμιωτέ-

2 Πυθαγορίους M A  11 οὖν] δὲ A  18 τὸ] καὶ τὸ M  20 οὐ δὴ] οὐδὲ A  22 περὶ] παρὰ Victorius, vid. Arist. p. 404, 31.  28 καὶ] τε καὶ A

ροις καὶ ἀτιμοτέροις. οὕτω δ' ἂν τὴν αἴσθησιν νοῦν λέγοι· αὕτη γὰρ σχεδὸν πᾶσιν ὑπάρχει τοῖς ζώοις· οὐ γὰρ δὴ ὁ κατὰ φρόνησιν νοῦς λεγόμενος πᾶσιν fol. 66b. ὁμοίως ὑπάρχει τοῖς ζώοις, ἀλλ' οὐδὲ τῶν ἀνθρώπων ἴσως τοῖς πολλοῖς. ὅσοι μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι ἐξ ἑαυτοῦ τὸ ἔμψυχον ἀπέβλεψαν, οὗτοι τὸ κινητικώτατον ὑπέλαβον εἶναι τὴν ψυχὴν ὡς αὐτὴν κινοῦσαν τὸ ζῶον.

Ὅσοι δ' ἐπὶ τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι δὴ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες τὰς ἀρχὰς ταύτας καὶ τὴν ψυχήν, οἱ δὲ μίαν ταύτην. οὕτω γὰρ αὐτὴν ἐκ τῶν ἀρχῶν συγκειμένην αὐτῶν τε ἐκείνων ἀντιλαμβάνεσθαι καὶ τῶν ἐξ αὐτῶν, ὥσπερ Ἐμπεδοκλῆς ἀρχὰς ἡγούμενος εἶναι πάντων τὰ τέτταρα στοιχεῖα καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν ἐκ ταὐτοῦ ποιεῖ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν· λέγει γὰρ ὡς γαίῃ μὲν γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ· τίθεται δὲ καὶ ἕκαστον τούτων ψυχήν, ὡς οὐκ ἂν ἄλλως αἰσθανομένης τῶν ἔξωθεν, εἰ μὴ τῷ ὁμοίῳ· κοινὴ γὰρ καὶ τούτων αὕτη ἡ δόξα τὸ γιγνώσκεσθαι τῷ ὁμοίῳ τὸ ὅμοιον. διὰ τοῦτο δὲ τὸν αὐτὸν τρόπον καὶ ὁ Τίμαιος τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ ἐκ τῆς ἀμερίστου φύσεως καὶ πάντῃ ἀΰλου καὶ ἀσωμάτου καὶ τῆς περὶ τὰ σώματα μεριστῆς μέσην αὐτὴν συγκεκρᾶσθαι λέγων. τὴν μὲν οὖν ἀμέριστον καὶ ἄϋλον ἥντινα λέγει, μᾶλλον ἄν τις ὑπονοήσειεν· περὶ δὲ τὰ σώματα μεριστὰς εἰ μὲν τὰς πρώτας λέγει ποιότητας, οἷον ὑγρότητα καὶ ξηρότητα καὶ τὰς συστοίχους, οὐκ ἂν εἶεν αὗται περὶ

2 λέγει M 10 οὗτοι] οὔτε A δὴ] scrib. δὲ, vid. Arist. p. 404 b, 9. 13 αὐτῶν] αὐτήν M 15 καὶ τὸ] ἢ τὸ M V 26 μᾶλλον] τὸν νοῦν A 28 λέγοι A V

τὰ σώματα μερισταί, ἀλλὰ περὶ τὴν ὕλην· εἰ δὲ τὴν φυτικὴν δύναμιν, εἴη μὲν ἂν αὕτη περὶ τὰ σώματα μεριστή· προσχρῆται γὰρ οὐ τῇ ὕλῃ τῇ ἀμόρφῳ παντελῶς, ἀλλὰ τοῖς στοιχείοις, καὶ ταῦτα συγκρίνει τε καὶ διακρίνει, καὶ περὶ ταῦτά ἐστι μεριστή. διὰ τί δὲ οὐ καὶ τὴν αἰσθητικὴν τοιαύτην ἂν εἴποιμεν καὶ τὴν ἐπιθυμητικὴν καὶ [τὴν] θυμικήν; ἅπασαι γὰρ περὶ σώματα καὶ ἐν σώμασι, καὶ ὅσαι αὐτῶν ἄλογοι παντελῶς καὶ ὅσαι ὑπήκοοι λόγῳ. εἰ δὲ ταύτας ἁπάσας λέγοι περὶ τὰ σώματα μεριστάς, τὴν λογικὴν ἂν λοιπὸν μόνην ψυχὴν μέσην εἶναι ποιοῖ τῆς τε ἀμερίστου καὶ τῆς περὶ τὰ σώματα μεριστῆς καὶ ἐκ τούτων συντεθεῖσθαι καὶ συγκεκρᾶσθαι, οὐ κυρίως λέγων τὸ συγκεκρᾶσθαι· οὐ γὰρ δήπου συμφθαρέντος τῷ ἀμερίστῳ τοῦ μεριστοῦ καὶ τὴν μὲν οἰκείαν δύναμιν ἀπολεσάντων, συστησάντων δὲ ἐν τῷ κράματι ποιότητα ἰδιάζουσαν, οὕτω γέγονεν ἡ ψυχή, ἀλλ' ὅτι ἡ φύσις τῆς λογικῆς ψυχῆς νοῦ μέν ἐστι φαυλοτέρα τῶν δὲ ἀλόγων δυνάμεων πολὺ βελτίων, ἔχουσα πρὸς ἑκάτερα συγγένειαν, ὥσπερ καὶ τὰ κεκραμμένα πρὸς τὰ στοιχεῖα ἐξ ὧν ἐκράθη, καὶ διὰ τοῦτο χρῆσθαι δύο δυνάμεσι πρὸς κατάληψιν τῶν ὄντων τῇ τε ταὐτοῦ καὶ τῇ θατέρου. ὅταν μὲν γὰρ τὰ γένη καὶ τὰ εἴδη συνάγῃ, τὴν ταὐτότητα ἀνιχνεύει· ὅταν δὲ τὰς διαφορὰς προσλαμβάνῃ, τὴν ἑτερότητα ἐξευρίσκει ἃς καὶ αὐτὰς ἀπὸ τῶν στοιχείων ἐρανίζεται, τὴν ταὐτοῦ μὲν ἀπὸ τῆς ἀμερίστου φύσεως, τὴν θατέρου δὲ ἀπὸ τῆς μεριστῆς. οὕτω μὲν οὖν καὶ ὁ Τίμαιος τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ, καὶ μήποτε ὅπερ

---

2 φυτικὴν] φυσικὴν A 4 καὶ ταῦτα] ταῦτα γὰρ A 7 τὴν om M V 16 nonne ἀπολέσαντος, συστήσαντος? 21 χρῆται Victorius

εἴρηται, οὐ πᾶσαν ἀλλὰ τὴν λογικὴν μόνην, ἥπερ ἂν εἴη καὶ τοῦ κόσμου ψυχή. τὰς γὰρ παθητικὰς δυνάμεις ὕστερον προσυφῆναί φησι τοὺς δευτέρους θεούς, τοὺς τῶν θνητῶν ζώων δημιουργούς. ἀλλ' ὅτι γε καὶ αὐτὸς προσεδεήθη τῶν στοιχείων εἰς τὴν σύστασιν τῆς ψυχῆς, ἵνα γινώσκειν ἔχοι τοῖς ὁμοίοις τὰ ὅμοια, δῆλόν ἐστιν.

Ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ φιλοσοφίας διώρισται αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας εἶναι καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰς δ' ἄλλας ὁμοιοτρόπως. τὴν γὰρ ἀσώματον φύσιν τοῦ μὲν συνεχοῦς ποσοῦ πόρρωθεν εἶναι παντάπασιν ὑπελάμβανον οἱ ἄνδρες ἐκεῖνοι, ἅτε ἐν ὄγκῳ μὴ ὑφεστῶσαν, τοῦ διωρισμένου δὲ οἰκείαν εἶναι· πλῆθος γὰρ καὶ ἐκείνης εἶναι τῆς φύσεως ἐξ ἑνάδων ἀληθινῶν συντεθειμένον ὑπενόουν, οὐχ οἵαις ἡμεῖς χρώμεθα ἐπὶ τῶν σωμάτων μονάσιν, ὧν οὐδέν ἐστιν ἓν ἀκριβῶς, ἀλλὰ πλείω, μᾶλλον δὲ ἄπειρα; διὸ καὶ εἰδητικὸν ἐκάλουν τοῦτον τὸν ἀριθμὸν ἅτε συγκείμενον ἐξ εἰδῶν, καὶ τοὺς ἀριθμοὺς [δὲ] ἐκείνους εἴδη τῶν ὄντων ἐτίθεντο· ἀριθμῷ δέ τε πάντ' ἐπέοικε. τοῦ μὲν οὖν αὐτοζώου, τουτέστι τοῦ κόσμου τοῦ νοητοῦ, στοιχεῖα τὰ πρῶτα ἐποίουν τῶν εἰδητικῶν ἀριθμῶν τὴν τοῦ ἑνὸς ἰδέαν καὶ τὴν τῆς πρώτης δυάδος καὶ τὴν τῆς πρώτης τριάδος καὶ τὴν τῆς πρώτης τετράδος· ἐπειδὴ γὰρ ἐν τῷ νοητῷ κόσμῳ δεῖ πάντως τὰς ἀρχὰς παρεμφαίνεσθαι τοῦ αἰσθητοῦ, ὁ δὲ αἰσθητὸς ἐκ μήκους ἤδη καὶ πλάτους καὶ βάθους,

---

3 φησι] Timaeus p. 41 Steph. 44 Bekk. 5 τὴν om M 6 ἔχῃ A V 11 ὁμοιοτρόπως] ex Ar.; libri ὁμοιοτρόπους 16 συντιθέμενον M V 18 ἀκριβὲς A 20 δὲ om M V 21 πάντες M

τοῦ μὲν μήκους ἰδέαν εἶναι τὴν πρώτην ἀπεφήναντο δυάδα· ἀπὸ γὰρ ἑνὸς ἐφ' ἓν τὸ μῆκος, τουτέστιν ἀπὸ σημείου ἐπὶ σημεῖον· τοῦ δὲ μήκους ἅμα καὶ πλάτους τὴν πρώτην τριάδα· πρῶτον γὰρ τῶν ἐπιπέδων σχημάτων ἐστὶ τὸ τρίγωνον· τοῦ δὲ μήκους καὶ πλάτους καὶ βάθους τὴν πρώτην τετράδα· πρῶτον γὰρ τῶν στερεῶν ἐστιν ἡ πυραμίς. ταῦτα δὲ ἅπαντα λαβεῖν ἔστιν ἐκ τῶν περὶ φύσεως Ξενοκράτους.

Τὸ μὲν οὖν αὐτοζῷον, τουτέστι τὸν κόσμον τὸν νοητόν, ἐκ τῶν πρώτων ἐποίουν ἀρχῶν, τὰ δὲ ἐπὶ μέρους ἐκ τῶν ὑφειμένων· ὥσπερ γὰρ τὰ αἰσθητὰ ἔχει πρὸς ἄλληλα, οὕτω καὶ τὰς ἰδέας αὐτῶν πρὸς ἀλλήλας ἔχειν. ἔτι δὲ καὶ ἄλλως τὸν αὐτὸν δὴ τοῦτον λόγον μετῄεσαν· ἐπειδὴ γὰρ ἡ ψυχὴ πλείοσι δυνάμεσι χρῆται εἰς κατάληψιν τῶν ὄντων, νῷ καὶ ἐπιστήμῃ καὶ δόξῃ καὶ αἰσθήσει, τὸν μὲν νοῦν ἔχειν ἐκ τῆς τοῦ ἑνὸς ἰδέας αὐτὴν διωρίζοντο, τὴν δὲ ἐπιστήμην ἐκ τῆς πρώτης δυάδος· ἀφ' ἑνὸς γὰρ ἐφ' ἓν καὶ ἡ ἐπιστήμη· ἀπὸ γὰρ τῶν προτάσεων ἐπὶ τὸ συμπέρασμα, τὴν δόξαν δὲ ἐκ τῆς πρώτης τριάδος, ὅσος ἦν καὶ τοῦ ἐπιπέδου ἀριθμός· τῆς γὰρ δόξης ἤδη καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐκ τῶν προτάσεων, αἴσθησιν δὲ ἀπὸ τῆς πρώτης τετράδος ἐξ ἧς καὶ ἡ fol. 67. τοῦ στερεοῦ σώματος ἰδέα· περὶ γὰρ τὸ τοιοῦτον σῶμα ἡ αἴσθησις. τῶν μὲν γὰρ ὄντων ἁπάντων ἀρχὴ τὰ εἴδη καὶ ὁ εἰδητικὸς ἀριθμός, αὐτοῦ δὲ τοῦ ἀριθμοῦ στοιχεῖα τὸ ἓν καὶ ἡ δυὰς ἡ ἀόριστος ἣν ὑπετίθεσαν τῷ ἑνὶ πρὸς γένεσιν τοῦ πλήθους τῶν ἀριθμῶν· ἐξ αὐτοῦ μὲν γὰρ τοῦ ἑνὸς εἴπερ ἓν εἴη τῷ

---

14 δὴ om A

ὄντι, οὐδὲν ἂν ἕτερον παραχθείη, πλήθους δὲ ἐν τοῖς εἴδεσιν ὄντος δεῖ φύσεως ἑτέρας ὑποκειμένης τῷ ἑνί, παρ' ἧς τὸ πλῆθος ἣν ἀόριστον δυάδα ἐκάλουν, δυάδα μὲν ὅτι μεριστὴ καὶ πλήθους ἤδη ποιητική, ἀόριστον δὲ ὅτι μὴ εἶχεν οἰκεῖον ὅρον, ἀλλὰ παρὰ τοῦ ἑνὸς αὐτῇ ὁ ὅρος ἑκάστου εἴδους ἐχορηγεῖτο, καὶ ταύτης τῷ ἑνὶ παρυποστάσης τῆς φύσεως οὕτω πληθυνθῆναι τὸν εἰδητικὸν ἀριθμόν, καὶ ταύτης εἶναι εἰκόνα τὴν ἐν τοῖς σώμασιν ὕλην, ὥσπερ τοῦ ἑνὸς τὸ ἔνυλον εἶδος. τὴν οὖν ψυχὴν συγκειμένην ἐκ τῶν αὐτῶν ἀρχῶν ἐξ ὧνπερ ὁ εἰδητικὸς ἀριθμός, συγκειμένην δὲ οὐ τῷ κεκρᾶσθαι ἀλλὰ τῷ μέσην ἔχειν τάξιν ὑπὸ μὲν τοῦ ἑνὸς παραχθεῖσαν, τὴν δὲ περὶ τὰ σώματα μεριστὴν φύσιν παραγαγοῦσαν. συγκειμένην οὖν ἐκ τῶν αὐτῶν ἀρχῶν τοῖς εἰδητικοῖς ἀριθμοῖς εἰκότως γιγνώσκειν τὰ ὄντα.

Οὕτω μὲν οὖν καὶ ὁ παρὰ Πλάτωνι Τίμαιος καὶ αὐτὸς Πλάτων ἐκ τῆς πρὸς τὰς ἀρχὰς συγγενείας τῇ ψυχῇ τῶν ὄντων τὴν κατάληψιν ἀποδιδόασιν. ἦσαν δ' ἕτεροι οἳ καὶ τὰ δύο ἅμα συμπλέκοντες εἰς τὴν ἀπόδοσιν τῆς ψυχῆς, τό τε κινεῖν καὶ τὸ γιγνώσκειν, ὡς ὁ τὴν ψυχὴν ἀποφηνάμενος ἀριθμὸν κινοῦντα ἑαυτόν, διὰ μὲν τοῦ ἀριθμοῦ τὴν γνωστικὴν δύναμιν ἐνδεικνύμενος, διὰ δὲ τοῦ κινεῖν ἑαυτὸν τὴν κινητικήν.

Ἅπαντες μέντοι γε ὅσοι τὸ γιγνώσκειν οἰκεῖον ἔθεντο τῇ ψυχῇ καὶ διὰ ταῦτα ἐκ τῶν ἀρχῶν αὐτὴν συνεστήσαντο, τῇ περὶ τῶν ἀρχῶν διαφορᾷ καὶ περὶ τῆς ψυχῆς συνδιηνέχθησαν. περὶ δὲ τῶν ἀρχῶν δια-

---

1 πραχθείη M 16 γινώσκειν A et sic saepe 17 καὶ om A παρὰ] περὶ M 19 κατάλησιν M et sic saepius

φέρονται πρὸς ἀλλήλους οὐ μόνον, τίνες εἰσίν, ἀλλὰ καὶ ὁπόσαι, καὶ καθ' ἑκάτερόν γε αὐτῶν οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον· μᾶλλον μὲν οἱ σωματικὰς ποιοῦντες τὰς ἀρχὰς τοῖς ἀσωμάτους, ἧττον δὲ πρὸς τούτους οἱ μίξαντες καὶ τὰς μὲν τοίας τὰς δὲ τοίας τὰς ἀρχὰς ἀποφηνάμενοι· καὶ πάλιν γε αὖ περὶ τοῦ πλήθους μᾶλλον μὲν οἱ μίαν τοῖς ἀπείρους, ἧττον δὲ οἱ πλείους μιᾶς πρὸς ἑκατέρους. ἑπομένως δὲ ταῖς περὶ τῶν ἀρχῶν ὑποθέσεσι καὶ περὶ τῆς ψυχῆς διορίζονται. τοῦτο δὲ ἠκολούθει μὲν μάλιστα τοῖς οἰκειότατον τῆς ψυχῆς τὴν πάντων γνῶσιν ὑπολαμβάνουσι, καὶ διὰ τοῦτο ἐκ τῶν ἀρχῶν καὶ ταύτην ποιοῦσιν, οὐ μὴν ἀλλὰ καὶ ὅσοι τὸ κινεῖν τῆς ψυχῆς σύμφυτον δύναμιν ὑπενόησαν, εἰκότως καὶ οὗτοι συγγενῆ ταῖς ἀρχαῖς αὐτὴν ἀποφαίνονται· εὔλογον γὰρ καὶ λίαν πιθανὸν τὴν κινητικωτάτην αἰτίαν ἐν ταῖς πρώταις ἀρχαῖς κατατάττειν, ὅθεν ἔδοξέ τισιν ἐκ πυρὸς εἶναι μάλιστα ἡ ψυχή, ὅτι τὸ πῦρ λεπτομερέστατον καὶ ἥκιστα σωματῶδες καὶ αὐτό τε κινεῖσθαι ἐξ ἑαυτοῦ δοκεῖ καὶ τὰ ἄλλα κινεῖν, οἷσπερ ἂν πελάσῃ. Δημόκριτος δὲ τούτων ἑκάτερον καὶ γλαφυρωτέρως ἐδείκνυ, τὸ μὲν κινεῖν διὰ τὴν σμικρομέρειαν, τὸ δὲ κινεῖσθαι διὰ τὸ σχῆμα· ἄμφω γὰρ οἴεται ὑπάρχειν ταῖς σφαιροειδέσιν ἀτόμοις, ἐξ ὧν συνίστησιν οὐ μόνον τὴν ψυχὴν ἀλλὰ καὶ τὸ πῦρ. Ἀναξαγόρας δέ, ὥσπερ καὶ τὸ πρότερον εἴπομεν, διασαφεῖ μὲν οὐδὲν φανερῶς, εἴτε ταὐτὸν τίθεται νοῦν καὶ ψυχὴν εἴτε ἕτερον, ἀλλὰ τόν γε νοῦν ἀρχήν φησι σχεδόν τι τῶν ὄντων ἁπάντων. μόνον γοῦν αὐτὸν ἁπλοῦν καὶ ἀμι-

17 κατατάσσειν A V 21 γλαφυροτέρως M 23 ταῖς] τοῖς A 24 ἀτόμοις om M V

γῆ προσαγορεύει, τὰς δὲ ὁμοιομερείας ὡς ὕλην αὐτῷ ὑποτίθησιν· οἴεται μέντοι καὶ αὐτὸς ἄμφω τῇ ψυχῇ ἀναγκαῖα, καὶ τὸ γιγνώσκειν καὶ τὸ κινεῖν, καὶ τὸ μὲν κινεῖν καὶ πάνυ σαφῶς· ἦν ὁμοῦ πάντα χρήματα, νοῦς δὲ αὐτὰ διέκρινεν ἐπελθών· τὸ γιγνώσκειν δὲ ὅτι μάλιστα νοῦ ἴδιον τοῦτο. ἔοικε δὲ καὶ Θαλῆς κινητικόν τι τὴν ψυχὴν ὑπολαβεῖν, εἴπερ διὰ τοῦτο ἔφη τὸν σίδηρον ἕλκεσθαι ὑπὸ τῆς λίθου τῆς ἡρακλείας, ὅτι ἔμψυχος ἐκείνη ἡ λίθος. οὕτως δὲ καὶ Ἀναξιμένης καὶ Διογένης καὶ ὅσοι ἀέρα λέγουσι τὴν ψυχήν, ἀμφότερα πειρῶνται διασώζειν, καὶ τὸ κινεῖν διὰ τὴν λεπτομέρειαν, καὶ τὸ γιγνώσκειν διὰ τὸ τίθεσθαι ταύτην ἀρχήν. καὶ Ἡράκλειτος δὲ ἣν ἀρχὴν τίθεται τῶν ὄντων, ταύτην τίθεται καὶ ψυχήν· πῦρ γὰρ καὶ οὗτος. τὴν γὰρ ἀναθυμίασιν ἐξ ἧς τὰ ἄλλα συνίστησιν, οὐκ ἄλλο τι ἢ πῦρ ὑποληπτέον, τοῦτο δὲ καὶ ἀσώματον καὶ ῥέον ἀεί. ἐν κινήσει δὲ εἶναι τὰ ὄντα ἅπαντα κἀκεῖνος ᾤετο καὶ οἱ πολλοί. τούτοις δὲ παραπλησίως καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης φυσικός· φησὶ γὰρ αὐτὴν ἀθάνατον εἶναι διὰ τὸ μάλιστα ἐοικέναι τοῖς ἀθανάτοις αἰεὶ κινουμένην· κινεῖσθαι γὰρ καὶ τὰ ἄλλα πάντα συνεχῶς ἥλιον σελήνην τοὺς ἀστέρας τὸν οὐρανόν. φορτικῶς δὲ Ἵππων καὶ οἵτινες Ἵππωνι παραπλησίως, ὕδωρ τὴν ψυχὴν ἀπεφήναντο διὰ τὴν γονήν, ὅτι πάντων ὑγρά. φορτικῶς δὲ καὶ ὅσοι αἷμα, καθάπερ καὶ Κριτίας, καὶ τὸ αἰσθάνεσθαι τῇ ψυχῇ οἰκειότατον ὑπολαβών, τοῦτο δὲ ὑπάρχειν διὰ τὴν τοῦ αἵματος φύσιν· τὰ γὰρ ἄναιμα, οἷον τὰ

---

3 γινώσκειν M, item v. 5. 4 καὶ πάνυ] οὐ πάνυ M χρήματα πάντα A, vid. Anaxag. fragm. I, 1. 8 ἡρακλίας A 17 ἀσωμάτου M 26 καὶ ante τὸ om A 28 τὰ ante ὀστᾶ om A

ὀστᾶ καὶ ὄνυχας καὶ ὀδόντας ἀναίσθητα εἶναι. καίτοι τά γε νεῦρα ἄναιμα ὄντα αἰσθητικώτατά ἐστι. πάντα δ' οὖν τὰ στοιχεῖα κριτὴν εἴληφε πλὴν τῆς γῆς, ταύτην δὲ οὐδεὶς ἀποπέφανται πλὴν εἴ τις αὐτὴν εἴρηκεν ἐκ πάντων εἶναι τῶν στοιχείων ἢ πάντα. ἐκ δὴ τῆς ἱστορίας δῆλόν ἐστιν, ὅτι δύο μὲν προτίθενται περὶ τὴν ψυχὴν θεωρεῖν κίνησιν καὶ γνῶσιν, ὑποφέρονται δὲ ὥσπερ καὶ ἄκοντες ἐπὶ τρίτον ἕτερον τὸ ἀσώματον· οἱ γὰρ λεπτομερέστατον αὐτὴν τιθέμενοι καὶ διὰ τοῦτο εὐκίνητον ὀνειροπολεῖν ἐοίκασι ταύτην τὴν φύσιν, λέγω δὲ τὴν ἀσώματον. ἀλλ' ὅτι γε εἰς τὰς ἀρχὰς ἀνάγουσιν ἅπαντες τὴν ψυχὴν οἱ μὲν ὡς κινοῦσαν, οἱ δὲ ὡς γιγνώσκουσαν πάντα διὰ τὴν πρὸς ἐκεῖνα συγγένειαν, δῆλόν ἐστιν. Ἀναξαγόρας δὲ μόνος τὴν συγγένειαν ταύτην αὐτῆς ἀφαιρεῖται, καὶ γιγνώσκεσθαι πάντα ὑπ' fol. 67b. αὐτῆς συγχωρῶν τὰ ὄντα, πάντῃ ἀμιγῆ καὶ ἁπλοῦν φησιν εἶναι τὸν νοῦν, καὶ οὐδενὶ ὅμοιον ὢν γιγνώσκει· διὰ τίνα δὲ ἑτέραν αἰτίαν γιγνώσκει, οὔτε ἐκεῖνος εἴρηκεν, οὔτε ἐκ τῶν εἰρημένων συμφανές ἐστιν. οἱ δὲ ἄλλοι πάντες οὐκ ἀφίενται τῶν ἀρχῶν, ἀλλὰ καὶ ὅσοι τιθέασιν ἐν ταῖς ἀρχαῖς ἐναντίωσιν, καὶ τὴν ψυχὴν συνιστᾶσιν ἐκ τῶν ἐναντίων, ὥσπερ Ἐμπεδοκλῆς. δοὺς γὰρ ἐν τοῖς στοιχείοις θερμότητα ψυχρότητα, ὑγρότητα ξηρότητα, δίδωσι καὶ τῇ ψυχῇ τὰς ἐναντιώσεις ταύτας ὑπάρχειν· γαίῃ μὲν γάρ φησι γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ· ὥσθ' ὅσοι γε ἓν τῶν στοιχείων τὴν ψυχὴν ἔθεντο τὴν ἐκείνου ποιό-

---

1 οἱ ὄνυχες καὶ ὀδόντες M 6 δὴ] δὲ A 7 προστίθενται A 12 γε om M V 16 ἀφήρηται A 18 φησιν om M V καὶ οὐδενὶ] οὐδενὶ καὶ A 19 ἑτέραν] ἕτερον? 28 τῶν om M

*τητα μόνην προστιθέασι καὶ τῇ ψυχῇ, οἱ μὲν πυρὸς τὴν θερμότητα καθάπερ Ἡράκλειτος, οἱ δὲ ὕδατος τὴν ὑγρότητα καθάπερ Ἵππων. οὕτως οὖν καὶ ἐκ τῶν ὀνομάτων κομψεύονται, οἷς ἐπὶ τῆς ψυχῆς κέχρηται ἡ συνήθεια, οἱ μὲν τὸ θερμὸν λέγοντες ὅτι καὶ τὸ ζῆν παρὰ τὸ ζέειν ὠνομάσθη, οἱ δὲ τὸ ψυχρὸν ὅτι καὶ τοὔνομα τῆς ψυχῆς ἐντεῦθεν· διὰ γὰρ τὴν κατάψυξιν ἣ σώζει τὸ ζῷον ἐκ τῆς ἀναπνοῆς. τὴν μὲν οὖν παραδοθεῖσαν ἡμῖν ἱστορίαν περὶ ψυχῆς διεληλύθαμεν, τὰ μὲν οἷς λέγουσιν ἀκολουθοῦντες, τὰ δὲ οἷς εἰκὸς αὐτοὺς βούλεσθαι λέγειν.*

3 *Ἐπισκεπτέον δὲ πρῶτον μὲν τοὺς τὴν κίνησιν οἰκειότατον θεμένους τῇ ψυχῇ καὶ διὰ τὸ κινεῖν κινεῖσθαι καὶ αὐτὴν ὑπολαμβάνοντας, ὡς καὶ τὸν ὅρον αὐτῆς τοιοῦτον ἀποδιδόναι, ψυχὴν εἶναι τὸ κινοῦν ἑαυτὸ ἢ δυνάμενον κινεῖν ἑαυτό· οὕτω γὰρ καὶ Πλάτων ἐν τῷ δεκάτῳ τῶν νόμων. ἴσως γὰρ οὐ τοῦτο μόνον ψεῦδός ἐστι τὸ τὴν ψυχὴν διὰ τὸ κινεῖσθαι κινεῖν, ἀλλ' ὅλως ἀδύνατον ὑπάρχειν αὐτῇ τὸ κινεῖσθαι. ὅτι μὲν οὖν οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, δέδεικται μὲν ἐν τοῖς Φυσικοῖς διὰ πλειόνων, ὅμως δὲ καὶ νῦν τοῦ σαφοῦς ἕνεκα ἐκεῖθεν ὀλίγα μετενεκτέον. εἰ γὰρ ἅπαν τὸ κινοῦν καὶ κινεῖται, ἤτοι ὑφ' ἑαυτοῦ κινεῖσθαι αὐτὸ ἀναγκαῖόν ἐστιν ἢ ὑπ' ἄλλου. ὑπ' ἄλλου μὲν δὴ οὐκ ἀνάγκη· εἰς ἄπειρον γὰρ ὁ λόγος προήξει. ὑφ' ἑαυτοῦ δὲ ἀδύνατον διὰ τάδε· ἢ γὰρ κατ' ἄλλο μέν τι αὐτοῦ κινεῖ, κατ' ἄλλο δὲ κινεῖται τὸ αὐτοκίνητον, ἢ κατὰ ταὐτόν. εἰ μὲν*

---

3 *οὕτως οὖν*] *οὕτω γοῦν* A 6 *παρὰ*] *περὶ* M 17 *τῶν νόμων*] pag. 896 Steph. 19 *αὐτῆς* M 21 *Φυσικοῖς*] VII, 1 VIII, 4 seqq. 27 *μέντοι* M

δὴ κατ᾽ ἄλλο, ἔσται τι αὐτοῦ κινοῦν μόνον μὴ κινούμενον δέ, ὅπερ οὐκ οἴονται δυνατόν, καὶ οὐκέτ᾽ ἂν ἀκριβῶς αὐτοκίνητον εἴη, ἀλλ᾽ ἕτερον μὲν αὐτοῦ τὸ κινοῦν ἕτερον δὲ τὸ κινούμενον. τοῦτον δὲ τὸν τρόπον οὐδὲν κωλύει καὶ τὰ ζῷα λέγειν αὐτοκίνητα καὶ τὰ φυτά· κινεῖται γὰρ καὶ ταῦτα ὑπὸ τῆς φυτικῆς ψυχῆς τρεφόμενα καὶ αὐξανόμενα. εἰ δὲ καθ᾽ ὅλον ἑαυτὸ κινεῖ καὶ κινεῖται, οὐδ᾽ ὑπονοῆσαι τις ἄν, πῶς φέροιτο ἂν ἅμα καὶ φέροι, καὶ ἀλλοιοῖτο καὶ ἀλλοιοῖ, ὥστε ἅμα διδάσκοι ἂν καὶ μανθάνοι, καὶ ὑγιάζοι καὶ ὑγιάζοιτο τὴν αὐτὴν ὑγείαν. ἄτοπα μὲν δὴ καὶ ταῦτα, ἀτοπώτερον δ᾽ ἂν μᾶλλον φανείη, ὅτι πᾶν μὲν τὸ κινούμενον ἔτι δυνάμει ἐστὶ καθὸ κινεῖται, πᾶν δὲ τὸ κινοῦν ἐνεργείᾳ καθὸ κινεῖ, ὥστ᾽ εἰ τὸ αὐτοκίνητον κινεῖται αὐτὸ ὅλον ὑφ᾽ ἑαυτοῦ, ἅμα τε ἂν δυνάμει εἴη καὶ ἐνεργείᾳ πρὸς τὸ αὐτό, καὶ ἀτελὲς ἅμα καὶ τέλειον, ὥστε ἅμα ἂν εἴη θερμὸν ἤδη καὶ οὔπω θερμόν, καὶ ἅμα ἂν οὔπω νοοῖ καὶ ἤδη νοοῖ. ταῦτα μὲν οὖν ὅπερ εἶπον, ἐπ᾽ ἀκριβὲς ἐν τοῖς Φυσικοῖς ἐξείργασται, κἀκεῖθεν τὰ λοιπὰ ληπτέον, ὅτῳ μὴ αὐτάρκη τὰ εἰρημένα· ἡμεῖς δὲ ὃ προὐθέμεθα τέως, ὅτι μὴ οἷόν τε ὅλως κινεῖσθαι τὴν ψυχὴν ἀποδείξομεν. διχῶς δὲ κινουμένου τοῦ κινουμένου παντός, ἢ γὰρ καθ᾽ αὑτὸ ἢ κατ᾽ ἄλλο· κατ᾽ ἄλλο δὲ λέγομεν ὅσα κινεῖται τῷ ἐν κινουμένοις εἶναι, οἷον ἐπὶ τῆς νεὼς καὶ τῶν πλωτήρων· ἡ μὲν γὰρ ναῦς καθ᾽ ἑαυτήν, οἱ δὲ πλωτῆρες κατ᾽ ἄλλο· κείσθωσαν γὰρ ἠρεμοῦντες ἐν τῇ νηὶ καὶ μὴ κινούμενοι τὴν οἰκείαν

---

2 οὐκ οἴονται δυνατόν] οὐχ οἷόν τε A 7 αὐξόμενα M 14 ἐνέργεια M 19 οὖν ὅπερ] ἅπερ M V 23 δὲ] δὴ A 26 πλωτηνων M, deinde 27 πλωτῆες

*κίνησιν ἀνθρώπου. οὕτω δ' ἂν φαίης καὶ τὰ συμβεβηκότα τοῖς σώμασιν, οἷον λευκότητα μελανίαν τὸ δίπηχυ καὶ τρίπηχυ κινεῖσθαι, καθ' ἕτερον δὲ τῷ ἐν κινουμένοις ὑπάρχειν· τὰ δὲ τοῦτον τὸν τρόπον κινούμενα ἐνδέχεται μήτε σώματα εἶναι μήτε προσδεῖσθαι τόπου καθ' ἑαυτά. διχῶς οὖν λεγομένου τοῦ κινεῖσθαι σκοποῦμεν νῦν ἐπὶ τῆς ψυχῆς, εἰ καθ' αὑτὴν κινεῖσθαι πέφυκε καὶ μετέχειν τοῦτον τὸν τρόπον κινήσεως, ἐπεὶ ὅτι κατὰ συμβεβηκὸς καὶ κατ' ἄλλο, καὶ ἡμεῖς ἂν συγχωροίημεν οὖσάν γε ἐν σώματι κινουμένῳ. τεσσάρων τοίνυν κινήσεων οὐσῶν φορᾶς ἀλλοιώσεως φθίσεως αὐξήσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν ἢ πλείους ἢ πάσας. ἀλλὰ δέδεικται ὡς πᾶν τὸ φύσει κινούμενον κατά τινα τῶν τεσσάρων τούτων κινήσεων μὴ κατὰ συμβεβηκὸς πάντως ἐν τόπῳ καὶ σώματι. ὅτι δὲ οὐ κατὰ συμβεβηκὸς κινοῦσιν αὐτήν, δῆλόν ἐστιν, οἵγε καὶ τὴν οὐσίαν αὐτῆς ἐξάπτουσι τῆς κινήσεως. εἰ δὴ σῶμα ἡ ψυχή, δῆλον ὅτι καὶ τόπον οἰκεῖον ἕξει. τίνα οὖν τοῦτον; εἰς ἐκεῖνον γὰρ φύσει κινήσεται καὶ γενομένη ἐν ἐκείνῳ φύσει ἠρεμήσει. τῷ δὲ ταῦτα συγχωροῦντι λόγῳ καὶ βιαίους συγχωρητέον τινὰς εἶναι κινήσεις τῆς ψυχῆς καὶ ἠρεμίας· εἰς ὃ γὰρ κινεῖται φύσει, ἐκ τούτου καὶ βίᾳ κινήσεται· ποῖαι δὲ βίαιοι τῆς ψυχῆς κινήσεις ἔσονται καὶ ἠρεμίαι, οὐδὲ πλάσαι βουλομένοις ῥᾴδιόν ἐστι· τὸ μὲν γὰρ ἔμψυχον σῶμα ὁρῶμεν καὶ βίᾳ πολλάκις καὶ παρὰ φύσιν κινούμενον, ὅταν ὠθῆται ἢ ἀναρριπτῆται, τῆς δὲ ψυχῆς οὐχ οἷόν τε ταύτας τὰς βιαίους κινήσεις λέγειν· εἶεν γὰρ αὐτῇ*

---

1 *οὕτω δ' ἂν φαίης* om M V  2 *μελανίας* A  3 *δὲ καθ' ἕτερον* M V  8 *μετέχει* A  18 *δὴ*] *δὲ* A  20 *ἐκεῖνο* A  28 *ἀναρίπτηται* A  29 *αὐτῇ*] scrib. *ἂν αὐτῇ*

κατὰ φύσιν αἱ ἀντικείμεναι. ἀλλ' ἴσως τὴν μὲν παρὰ φύσιν κίνησιν τῆς ψυχῆς ἀφαιρήσονται, κατὰ φύσιν δὲ αὐτὴν κινεῖσθαι φήσουσι πάσας τὰς κινήσεις καὶ τὰς ἐναντίας. ἀλλ' οὐθὲν ὁρῶμεν τῶν στοιχείων οὕτω κινούμενον ἐξ ὧν αὐτὴν ποιοῦσιν οἱ μὲν ἐξ ἑνός, οἱ δὲ ἐκ πλειόνων· ἀλλὰ τὸ μὲν πῦρ ἀεὶ ἄνω, τὴν δὲ γῆν κάτω, τὰ δὲ λοιπὰ στοιχεῖα μεταξύ. ἔτι δὲ εἴπερ διὰ τοῦτο ἀναγκαῖον εἶναι νομίζουσι τὸ κινεῖσθαι τὴν ψυχήν, ἐπειδὴ τὸ σῶμα κινεῖ ὡς ἀδυ- fol. 68 νάτου καθεστῶτος τοῦ κινεῖν τὸ σῶμα μὴ πρότερον αὐτὴν κινουμένην, ἑπόμενον ἂν οὕτω καὶ εὔλογον εἴη καὶ τὸν τρόπον τῆς κινήσεως τὸν αὐτὸν αὐτήν τε κινεῖσθαι καὶ κινεῖν τὸ σῶμα· εἰ δὲ τοῦτο ἀκόλουθον, δηλονότι καὶ ἀντιστρέψασιν ἀληθές, ὡς κινεῖται τὸ σῶμα, οὕτω κινεῖσθαι καὶ τὴν ψυχήν· τὸ δὲ σῶμα κινεῖται κατὰ τόπον, ὥστε καὶ ἡ ψυχὴ κατὰ τόπον ἤτοι γε ὅλη ἢ κατὰ μόρια μεθισταμένη. τούτῳ δὲ ἕπεται καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν, τούτῳ δὲ τὸ ἀνίστασθαι τὰ τεθνεῶτα τῶν ζώων.

Ὁ δὲ τῶν Ἀριστοτέλους ἐξεταστὴς ἐνίσταται τοῖς εἰλημμένοις· οὔτε γάρ φησιν ἃς αὐτὴ κινεῖται κινήσεις, καὶ τὸ σῶμα κινεῖ· κρίσεις μὲν γὰρ καὶ συγκαταθέσεις αἱ κινήσεις αἱ τῆς ψυχῆς, τοπικαὶ δὲ αἱ τοῦ σώματος· οὔτε τὴν ἀντιστροφὴν ἀναγκαίαν εἶναι· οὐ γὰρ πάντως ἣν τὸ σῶμα κινεῖται, ταύτην κινεῖσθαι καὶ τὴν ψυχήν· καὶ γὰρ ἕλκεται τὸ ξύλον ὑπὸ τῶν ἀνθρώπων, οὐχ ἕλκονται δὲ οἱ ἄνθρωποι, καὶ ἕλκει μὲν ἄνω κατ' εὐθεῖαν γραμμὴν τὰς ἀναθυμιάσεις ὁ ἥλιος, κύκλῳ δὲ αὐτὸς περίεισι. πρῶτον μὲν

11 καὶ] fort. κατα 20 ἐταστὴς M ἀνίσταται A 21 κινήσεις κινεῖται M 22 immo κινεῖν 23 αἱ ante τῆς om A

*οὖν τὰς κρίσεις αὐτῷ καὶ τὰς συγκαταθέσεις δεικτέον κινήσεις τηροῦντί γε τὰς ὑποθέσεις, ἐφ' αἷς τὴν κίνησιν ἐνοήσαμεν συνεχῆ τε εἶναι καὶ χρόνῳ παρατείνεσθαι καὶ μὴ συγκεῖσθαι ἐξ ἀμερῶν κινημάτων καὶ προϊέναι ἐκ τοῦ δυνάμει εἰς ἐντελέχειαν σῴζουσαν ἔτι τὸ δυνάμει, ὧν ἔοικεν ἐκλελῆσθαι παντάπασι καίτοι σύνοψιν ἐκδεδωκὼς τῶν περὶ κινήσεως εἰρημένων Ἀριστοτέλει. οἱ δὲ ἕλκοντες τὸ ξύλον ἄνθρωποι καὶ ὁ κύκλῳ φερόμενος ἥλιος ἣν κινοῦσι κίνησιν, καὶ αὐτοὶ κινοῦνται· κινοῦσι γὰρ καὶ κινοῦνται τὴν κατὰ τόπον· εἰ δὲ ἑτέραν τῷ ἀριθμῷ ἢ καὶ τῷ εἴδει, οὐδὲν πρὸς τὸν λόγον· οὐδὲν γὰρ πλέον πρόκειται νῦν τῷ φιλοσόφῳ ἢ ὅτι τὸ κατὰ τόπον κινοῦν, εἰ διὰ τὸ κινεῖσθαι κινεῖ, καὶ αὐτὸ ἂν κατὰ τόπον κινοῖτο. ἀλλὰ οὐδὲ τοῦτο ἀνάγκη φησίν, εἰ κατὰ τόπον ἡ ψυχὴ κινεῖται, καὶ ἐξελθοῦσαν αὐτὴν εἰσιέναι πάλιν· οὐδὲ γὰρ οἱ πνεῦμα τὴν ψυχὴν λέγοντες καὶ τὴν κίνησιν αὐτῇ τὴν κατὰ τόπον διδόντες ἐξελθοῦσαν εἰσιέναι πάλιν συγχωρήσειαν ἄν. κακῶς οὖν ὦ βέλτιστε καὶ οὐκ ἀκολούθως τῇ ὑποθέσει, ἣν δογματίζουσιν. εἰ γὰρ ὡς σῶμα ἔξεισιν ἐκ τοῦ σώματος, διὰ τί καὶ οὐκ εἴσεισι πάλιν; τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων ὁρῶμεν, οἷον τῶν ἐν τόπῳ καὶ τῶν ἐν ἀγγείῳ. ἀλλ' ὅμως Ζήνωνι μὲν ὑπολείπεταί τις ἀπολογία κεκρᾶσθαι ὅλην δι' ὅλου τοῦ σώματος φάσκοντι τὴν ψυχὴν καὶ τὴν ἔξοδον αὐτῆς ἄνευ φθορᾶς τοῦ συγκρίματος μὴ ποιοῦντι, τοῖς δ' ὡς ἐν τόπῳ τῷ σώματι περιέχεσθαι αὐτὴν τιθεμένοις καὶ ὡς ἐν ἀγγείῳ τοῦτό φησι τὸ ἄτοπον ἀκολουθεῖν Ἀριστοτέλης, οὗτοι δὲ ἂν οἱ*

---

1 *αὐτῷ* post *οὖν* A  19 *συγχωρήσειεν* A  20 *ἣν*] *ᾗ* M  27 *ποιοῦν* M

περὶ Δημόκριτον εἶεν, καὶ εἴ τις πῦρ, καὶ εἴ τις ὕδωρ τὴν ψυχὴν ἀπεφήνατο. ἀλλ' ἴσως τὰς μὲν σωματικὰς ταύτας κινήσεις διὰ τοῦτο τὴν ψυχὴν κατὰ συμβεβηκὸς ἐροῦσι κινεῖσθαι τῷ ἐνυπάρχειν τῷ σώματι· ταύτας γὰρ καὶ ὑπ' ἄλλου κινεῖσθαι αὐτὴν οὐδὲν κωλύει· καὶ γὰρ ὠθουμένου βίᾳ τοῦ ζώου συναπολαύειν ἀνάγκη τὴν ψυχὴν τῆς βιαίου ταύτης κινήσεως. ἀλλὰ τὰς τῆς ψυχῆς κινήσεις καὶ ὡς ψυχῆς ταύτας ἐροῦσιν αὐτὴν ὑφ' αὑτῆς κινεῖσθαι καὶ ταύτας εἶναι ἐκ τῆς οὐσίας τῆς ψυχικῆς, ἃς οὐχ οἷόν τε αὐτὴν ὑπ' ἄλλου κινεῖσθαι, ὡς τῆς ἔνδοθεν φύσεως ἐξηρτημένας. τίνες οὖν αὗται, διδασκέτωσαν ἡμᾶς σαφῶς· ἡ μὲν γὰρ αἴσθησις ὑπὸ τῶν ἔξωθεν σχεδὸν θυροκοπουμένη κινεῖται, ἡ δὲ ὄρεξις σύρεται ὑπὸ τῶν ὀρεκτῶν, αἱ διανοήσεις δὲ ἐξήρτηνται τῶν αἰσθήσεων, εἴπερ οὐδέποτε ἄνευ φαντασίας· εἰ δὲ καθ' αὑτάς, ἀλλ' οὐ συνεχεῖς οὐδ' ἐν χρόνῳ οὐδὲ κινήσεις. εἰ οὖν καὶ ταύτας ὑπ' ἄλλων κινεῖται, τίνας ὑφ' ἑαυτῆς; οὐ γὰρ δὴ τὰς αὐτὰς ἅμα καὶ ὑπ' ἄλλων καὶ ὑφ' ἑαυτῆς· οὐδὲν γὰρ τῶν ὑπαρχόντων τινὶ καὶ καθ' αὑτὸ καὶ ἔξωθεν ἅμα ὑπάρχει, οὐδὲ ἅμα δι' αὑτὸ καὶ δι' ἄλλο, ὥσπερ οὐδὲ τοῖς ποταμοῖς ἡ κίνησις οὐδὲ τῇ φλογὶ οὐδ' εἴ τι ἄλλο τοιοῦτον· ἀχώριστα γὰρ τὰ καθ' αὑτὰ καὶ τῆς αἰτίας τῆς ἔξωθεν οὐ δεόμενα. ἀλλ' οὐ κινεῖ φησὶ τὴν αἴσθησιν τὰ αἰσθητά, ἀλλὰ τὸν ὧν οὐκ ἄνευ λόγον ἐπέχει, καὶ παραβάλλει τοῖς ἀράχναις τὴν αἴσθησιν, οἳ προσπηδῶσι τοῖς ἐμπίπτουσι ζώοις εἰς τὰ ὑφάσματα, οὐ τῶν ἐμπιπτόντων κινούντων ἀλλὰ τῆς οἰκείας ὁρμῆς· οὕτω γὰρ τὰ αἰσθητὰ ἐμπίπτοντα τοῖς αἰσθητικοῖς ὀργάνοις τὴν

2 ἀπεφήνατο] ἀπεκρίνατο A V

ψυχὴν εἰς ἐπίκρισιν αὐτῶν ἐκκαλεῖται. ἀλλ' εἰ μέν τι δεῖ τοῖς κομψοῖς τούτοις ἀκολουθεῖν παραδείγμασιν, ὥσπερ τὸν ἀράχνην ἡ ἐμπὶς κινεῖ καὶ πᾶν θήραμα τοὺς θηρῶντας καὶ πᾶν ὀρεκτὸν τὸν ὀρεγόμενον, οὕτω καὶ τὴν ψυχὴν τὰ ἔξωθεν ἂν κινοῖεν· νῦν δὲ καὶ αὐτὸς ἔοικεν αὐτῶν ὡς μὴ οἰκείων καταψηφίζεσθαι· ἀπὸ γὰρ τῶν ἀραχνῶν ἐπὶ τοὔδαφος μεταβὰς τοῦτον ἐπέχειν τὸν λόγον φησὶ τὸ ὁρατὸν πρὸς τὴν ὅρασιν, ὃν τοὔδαφος πρὸς τοὺς περιπατοῦντας. καίτοι γελοῖον εἰ χώρα καὶ τόπος ἐστὶ τὰ αἰσθητὰ ταῖς τῶν αἰσθήσεων ἐνεργείαις, ἀλλὰ μὴ μᾶλλον ἔοικε τοῖς ἕλκουσιν ἢ καλοῦσιν ἢ νύττουσι. τοῦτο δὲ ἐπὶ τῶν ὀρεκτῶν φανερώτερον· πᾶν γὰρ τὸ ὀρεκτὸν ἀτεχνῶς ἕλκοντι καὶ σύροντι προσέοικε τὴν δύναμιν τὴν ὀρεκτικήν, καὶ οὐ τῷ τόπος αὐτῆς εἶναι καὶ χώρα. ἔτι τοίνυν τὰς ψυχικὰς ταύτας κινήσεις ἆρα καθό ἐστιν ἡ ψυχή, κινεῖσθαι αὐτὴν ἐροῦσιν ἢ κατ' ἄλλο τι; εἰ γὰρ καθὸ ψυχή, κατὰ τοῦτο γὰρ καὶ κινεῖ, ὥσπερ τὸ κινούμενον κατὰ χρῶμα ἐξίσταται τοῦ χρώματος καὶ τὸ κινούμενον κατὰ τόπον ἐξίσταται τοῦ τόπου, οὕτω καὶ ἡ ψυχή, εἰ κινεῖται καθὸ ψυχή, ἐξίσταιτο ἂν τοῦ ψυχὴ εἶναι. οἱ μὲν γὰρ κατά τι τῶν συμβεβηκότων αὐτὴν κινοῦντες, οἷον τόπον ἢ μέγεθος ἢ ποιότητα, οὐκ ἀνάγκην ἔχουσιν ἔκστασιν ὁμολογεῖν τῆς οὐσίας αὐτῆς εἶναι τὴν κίνησιν, ἀλλὰ μόνου
fol. 68b. τοῦ συμβεβηκότος καθὸ μεταβάλλει· ὅσοι δὲ κινεῖσθαι αὐτὴν καθὸ ψυχή ἐστι, λέγουσι καὶ σχεδὸν ποιοῦσι τὴν κίνησιν αὐτῆς τὴν οὐσίαν, ἀνάγκη προσίεσθαι τούτοις τὴν ἐκ τοῦ λόγου συμβαίνουσαν

---

4 τὸν] τὸ A    8 τὸν λόγον ἐπέχειν AV    15 τόπῳ M
24 ποιότητα ἢ μέγεθος A

ἀτοπίαν· εἰ γὰρ κινεῖται καθὸ ψυχή, ἡ δὲ κίνησις αὐτῆς οὐσία αὐτῆς ἐστί, κινουμένη καθὸ ψυχὴ ἐξίσταιτο ἂν τῆς οὐσίας αὐτῆς. ὥσπερ γὰρ ἡ φλὸξ καὶ οἱ ἄνεμοι καὶ οἱ ποταμοί, ἐπειδὴ κατ' οὐσίαν αὐτοῖς ἡ κίνησις, οὐδὲ ἀκαρεὶ μένουσιν ἐπὶ τῆς αὐτῆς οὐσίας· μὴ ῥέων γὰρ οὐκέτι ποταμὸς ἀλλ' ὕδωρ, καὶ μὴ κινούμενος οὐκέτ' ἄνεμος ἀλλ' ἀὴρ ἢ ἀναθυμίασις, οὕτως ἀνάγκη καὶ τῇ ψυχῇ ἐν συνεχεῖ καὶ ἀπαύστῳ ῥοῇ καθεστάναι αὐτῆς τὸ κινεῖσθαι. πόθεν οὖν ἡμῖν ἡ μνήμη; πόθεν ἡ τῶν ἐπιστημῶν βεβαιότης; τούτῳ δὲ ὥσπερ ὁμόσε χωρῶν καὶ ὁμολογῶν τὴν κίνησιν τῆς ψυχῆς οὐσίαν εἶναι καὶ φύσιν, διὰ τοῦτό φησιν, ὅσῳ ἂν μᾶλλον κινῆται, τοσούτῳ μᾶλλον τῆς οὐσίας αὐτῆς μὴ ἐξίστασθαι· ζωὴ γάρ φησιν ἐστὶν αὐτῆς ἡ κίνησις καὶ τὸ ζῆν αὐτῇ ταὐτὸν τῷ κινεῖσθαι. ὁ δὲ ταῦτα λέγων ἀγνοεῖν ἔοικε διαφορὰν κινήσεως καὶ ἐνεργείας, καὶ ὅτι τὸ μὲν ἐνεργεῖν κατ' οὐσίαν διατηρητικόν ἐστι τῆς φύσεως τοῦ ἐνεργοῦντος, οἷον καὶ τῆς ὄψεως τὸ ὁρᾶν, τὸ δὲ κινεῖσθαι κατ' οὐσίαν πάντως ἔκστασιν ἔχει τῆς οὐσίας ἐκείνης ἐξ ἧς κινεῖται, καὶ ἐνέργεια μὲν καθ' ἕκαστον μόριον τοῦ χρόνου τέλειος ἐν ᾧ γίνεται, ὥσπερ καὶ ἡ ὄψις καὶ ἡ νόησις, ἀτελὴς δὲ ἡ κίνησις ἐντελέχεια καὶ ἀεὶ τὸ ἄλλο καὶ ἄλλο προσλαμβάνουσα, τόπον μὲν εἰ κατὰ τόπον, μέγεθος δὲ εἰ κατὰ μέγεθος, οὐσίαν δὲ εἰ κατ' οὐσίαν, ὥσπερ οἱ ποταμοὶ καὶ τὰ πνεύματα, ἐπεὶ καὶ τὰ οὐράνια σώματα διὰ τοῦτ' ἄφθαρτα παντελῶς, ὅτι κινεῖται κατὰ τὸν ἔξωθεν τόπον, καὶ ἡ μὲν φύσις αὐτῶν ὡσαύτως ἔχουσα μένει, ὁ τόπος δ' ἄλλος καὶ ἄλ-

9 αὐτῇ A ἡμῖν om A 10 τοῦτο AV 14 μὴ om A
16 κινήσεως] καὶ κινήσεως M

*λος. εἰ δ' ὅπερ ἡμεῖς ἐνέργειαν ὀνομάζομεν, τοῦτο κίνησιν καλεῖν φιλονεικοῖεν, περὶ μὲν τοῦ ὀνόματος οὐ διοισόμεθα· χρῆσθαι γὰρ ἐφεῖται, ὥς τις βούλεται τοῖς ὀνόμασι, καὶ μάλιστα τοῖς εἴδεσιν ἀντὶ τῶν γενῶν· εἶδος γὰρ ἐνεργείας ἡ κίνησις, καὶ εἰ μέν τι κίνησις, καὶ ἐνέργεια· εἰ δέ τι ἐνέργεια, οὐ πάντως κίνησις, ἃ οὕτω πολλαχοῦ καὶ ὁ Πλάτων μεταλαμβάνων δῆλός ἐστι. διὸ περὶ μὲν ὀνόματος οὐ χρὴ φιλονεικεῖν, τὰ δὲ πράγματα δεῖ εἰδέναι πάμπολυ διαφέροντα τήν τε ἀτελῆ καὶ τὴν τέλειον ἐντελέχειαν. ἀλλ' οἵ γε ὑπολαμβάνοντες κινεῖσθαι τὴν ψυχήν, αὐτὴν μὲν ἴσως οὐδεπώποτε εἶδον κινουμένην καθ' ἑαυτήν, τὸ μέντοι ζῶον καὶ τὸ σῶμα ἰδόντες προσυπέλαβον αὐτὴν εἶναι τὴν πρώτην κινουμένην, ὅπερ αὐτοῖς ἐπὶ πολλῶν καὶ ἡ αἴσθησις ἐμαρτύρησε· πολλὰ γὰρ τῶν ἄλλα κινούντων καὶ αὐτὰ συνεκινεῖτο. εἰ δὲ κινεῖται ὅτε κινεῖ τὸ σῶμα, καὶ ἠρεμοῖ ἂν ὅτε ἠρεμίζει τὸ σῶμα· οὐ μᾶλλον ἄρα αὐτῇ τουτὶ πρόσεστιν ἢ τουτί· οὐκ ἄρα κατὰ τὸν ἴδιον λόγον ἐνυπάρχει κίνησις αὐτῇ, ἥκιστα δὲ ἡ ἀΐδιος καὶ ἄπαυστος. πόθεν γὰρ ἡ ἠρεμία τοῖς ζώοις; τοῦτο δὲ ἀπαντᾷ μὲν καὶ τοῖς ἀσωμάτους κινήσεις ὀνειροπολοῦσι τῆς ψυχῆς, Δημοκρίτῳ δ' ἄντικρυς διὰ τὸ κινεῖσθαι τὰς ἀτόμους ἀεὶ καὶ μηδέποτε ἠρεμεῖν κινούσας τὸ ζῶον· ὅλως γὰρ οἱ κινουμένην κατὰ τόπον τὴν ψυχὴν κινεῖν τὸ σῶμα ἀποφαινόμενοι παραπλήσιόν τι λέγουσι Φιλίππῳ τῷ κωμῳδοδιδασκάλῳ· φησὶ γὰρ ὁ Δαίδαλος παρ' αὐτῷ κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην ἐγχέας ἄργυρον χυτόν. ταὐτὸν δὴ καὶ οὗτοι λέγουσι. καίτοι γε ἐναργὲς λίαν ὅτι κινεῖται τὸ ζῶον οὐ προκινη-*

---

26 *ἀποφηνάμενοι* A 29 *δὴ*] *δὲ* M V

θείσης κατὰ τόπον ἔνδοθεν τῆς ψυχῆς, ἀλλὰ προελομένης μόνον καὶ κρινάσης εὐθὺς ὑπηρετεῖται τὸ σῶμα.

---

# ΘΕΜΙΣΤΙΟΥ ΠΕΡΙ ΨΥΧΗΣ.

## ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Δόξειε δ' ἂν τὸν αὐτὸν τρόπον καὶ ὁ Τίμαιος Δημοκρίτῳ φυσιολογεῖν περὶ ψυχῆς· καὶ γὰρ οὗτος τῷ κινεῖσθαι τὴν ψυχὴν τὸ σῶμα κινεῖν ἀποφαίνεται. διὰ γὰρ τὸ συμπεπλέχθαι πρὸς αὐτὸ συνεστηκυῖαν ἐκ τῶν ἐγκειμένων στοιχείων καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμοὺς τῇ ἑαυτῆς κινήσει καὶ τὸ σῶμα συμπεριάγειν, κινεῖσθαι δ' αὐτὴν κατὰ κύκλον. ὅτι μὲν οὖν Πλάτων οὐκ οἴεται σῶμα τὴν ψυχήν, πολλαχόθεν ἐστὶ συμφανὲς ἐκ τῶν ἐν πολλοῖς διαλόγοις αὐτῷ γεγραμμένων· Ἀριστοτέλης δὲ οὐ πρὸς Πλάτωνά φησιν ἀντιλέγειν, ἀλλὰ πρὸς Τίμαιον, ὃς εἴτε σῶμα νοεῖ τὸν κύκλον, εἴτε μὴ νοῶν σῶμα οὕτως ὠνόμαζεν, ὑπεύθυνός ἐστιν ἢ τῆς δόξης ἢ τῆς φωνῆς ὑπὸ τῶν μὴ προαιρουμένων ἐν φιλοσοφίᾳ καὶ μάλιστα ἐν τηλικούτοις προβλήμασιν ἄλλα μὲν νοεῖν, ἄλλα δὲ λέγειν. ἀγαπητὸν γὰρ ἐπὶ τῶν τοιούτων ταὐτὰ φρονοῦντας καὶ φθεγγομένους σαφεστέρους γίνεσθαι τῆς ἐν τοῖς πράγμασιν ἀσαφείας, ἄλλως τε πρὸς οὐδεμίαν

---

4 Θεμιστίου περὶ ψυχῆς β V, M ipse librum finit, sed titulo caret; in Aldo omnia arte cohaerent nullo tituli signo. 19 ὑπὸ] ὑπὲρ A

*οὕτως δόξαν ἀγωνιστέον τοῖς μήτε τὴν ψυχήν, μήτε μᾶλλον τὸν νοῦν σῶμα εἶναι πεπιστευκόσιν, ὡς πρὸς ἐκείνην ἣ πάντα τὰ ἐν ποσὶ σώματα ἀτιμάσασα ἐκ τοῦ θείου καὶ οὐρανίου σώματος καὶ τὴν ψυχὴν ποιεῖ καὶ τὸν νοῦν· πιθανότητα γὰρ ἔχει πολλὴν ἥδε ἡ δόξα, καὶ παρὰ Πλάτωνι μὲν τὸ αὐγοειδὲς ὄχημα ταύτης ἔχεται τῆς ὑπονοίας, τῷ Ἀριστοτέλει δὲ τὸ ἀνάλογον τῷ πέμπτῳ σώματι ὅ φησιν ὑπάρχειν ἐν πάσαις σχεδὸν ταῖς τῶν ζώων ψυχαῖς, ἐπεὶ τό γε μὴ εἶναι πῦρ ἢ ὕδωρ ἢ αἷμα τὴν ψυχὴν ἢ τὰς σφαιροειδεῖς ἀτόμους οὐδὲν σεμνὸν ἦν διελέγχειν, ἀλλὰ παντὶ ῥᾴδιον καὶ τῷ τῆς Ἀριστοτέλους ἀγχινοίας πολὺ λειπομένῳ. εἰ τοίνυν μέλλων κινεῖν δόξαν ἰσχυρὰν καὶ ἀρχαίαν προσιοῦσαν ἐγγὺς τῇ φύσει τῆς ψυχῆς, ἐπιφανὲς ἐν φιλοσοφίᾳ πρόσωπον προεστήσατο, ᾧ καὶ Πλάτων ἀνέθηκε τὸν διάλογον, οὐκ ἄν τις ἐπεγκαλοίη δικαίως ἢ ὡς Πλάτωνα ἢ ὡς Τίμαιον συκοφαντοῦντι· σχεδὸν γὰρ ὁ λόγος αὐτῷ πρὸς τὴν δόξαν,* [fol. 69.] *οὐ πρὸς τοὺς ἄνδρας, εἰ καὶ διδόασιν ὑπονοίας ἐξ ὧν λέγουσιν, ὡς καὶ αὐτοὶ τῆς δόξης προεστηκότες· ὑπομιμνήσκει γὰρ ἐφεξῆς τῶν εἰρημένων ὑπὸ Τιμαίου καί φησι κατασκευάσαντα τὸν δημιουργὸν ἐκ τῆς εὐθυωρίας τὴν ψυχὴν εἰς κύκλον αὐτὴν κατακάμψαι, καὶ ἐπειδὴ πλάτος περὶ τὴν εὐθυωρίαν ἦν τῆς ψυχῆς, διελεῖν τὸν ἕνα κύκλον καὶ ποιῆσαι δύο δισσαχῇ συνημμένους, τὸν μὲν ἐκτός τε καὶ περιέχοντα, τὸν δὲ ἐντὸς καὶ περιεχόμενον, καὶ τὸν εἴσω διελεῖν εἰς ἑπτὰ κύκλους καὶ διὰ τοῦτο κύκλῳ κινεῖσθαι τὸν οὐρανόν, ὅτι κύκλος ἦν ἡ ψυχή, καὶ δὴ καὶ καθ' ἀρ-*

---

7 *ὑπονοίας*] *ἐπινοίας* A 11 *ἦν* om A 16 *ἐπικαλοίη* M 19 *καὶ* om M 23 *τὴν ψυχὴν ἐκ τῆς εὐθ.* M 29 *κύκλος*] *κύκλον* A *ἦν*] *ἡ* M *δὴ καὶ*] *καὶ* om A V

μονίαν κινεῖσθαι τὰ θεῖα σώματα, διότι καὶ αὐτὴ ἡ ψυχὴ μεμέρισται κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς· δύο γὰρ τούτων ἕνεκα εἰς τοὺς λόγους τοὺς μουσικοὺς αὐτὴν διῃρῆσθαι, ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίας ἔχῃ καὶ τὸ πᾶν φέρηται συμφώνους φοράς. πρῶτον μὲν οὖν οὐκ εὖ λέγει τὴν ψυχὴν μέγεθος εἶναι, καὶ ταῦτα λογικὴν τιθέμενος· τὴν γὰρ τοῦ παντὸς δηλονότι τοιαύτην ὁ Τίμαιος εἶναι βούλεται, οἷόν ποτ' ἐστὶν ὁ καλούμενος νοῦς· οὐ γὰρ δὴ τῶν ἄλλων δυνάμεων ἡ τοῦ παντὸς ψυχὴ προσδεήσεται· οὔτε γὰρ αἰσθήσεως οὔτε ἐπιθυμίας οὔτε θυμοῦ· ταύτας γὰρ ὕστερον οἱ δεύτεροι θεοὶ προσυφαίνουσι τῇ ψυχῇ ἐπὶ τῶν ζώων τῶν μερικῶν, καὶ ὅλως τούτων ἡ κίνησις τῶν δυνάμεων οὐ κυκλοφορία· καὶ γὰρ ἡ αἴσθησις ὥσπερ κατ' εὐθεῖαν ἐπὶ τὰ ἔξω, καὶ παραπλησίως ἡ ὄρεξις. οὐκ ὀρθῶς οὖν τὸν νοῦν μέγεθος ποιοῦσιν, εἴτε ὡς κύκλον εἴτε ὡς σφαῖραν αὐτὸν σχηματίζοιεν· μέγεθος μὲν γὰρ ἅπαν συνεχές, καὶ οὕτως ἓν τῷ συνεχὲς εἶναι καὶ τῷ συνάπτειν αὐτοῦ πρός τινα κοινὸν ὅρον τὰ μόρια· ὁ δὲ νοῦς εἷς καὶ συνεχὴς κατ' ἄλλον τρόπον, εἰ δεῖ τὸ συνεχὲς ὅλως ἐπ' αὐτοῦ λέγειν. ἐπεὶ γὰρ δείξομεν ἐφεξῆς, ὅτι ταὐτὸν ὁ νοῦς τῇ νοήσει, λέγω δὲ τὸν νοῦν τὸν ἐνεργείᾳ, δῆλον δήπουθεν ὅτι, ὅπως ἂν ἡ νόησις ἔχῃ, τὸ συνεχὲς καὶ ὁ νοῦς ἕξει τὸν αὐτὸν τρόπον. ἀλλ' ἡ νόησις ταὐτὸν δείκνυται τοῖς νοήμασι, ταῦτα δὲ τῷ ἐφεξῆς τὸ ἓν ἔχει καὶ ὡς ἀριθμός, ἀλλ' οὐχ ὡς μέγεθος. ὅταν γὰρ τόδε μετὰ τόδε νοῶμεν, διωρισμένα μὲν τὰ νοήματα, τὸ δὲ ἐφεξῆς ἀλλήλοις ἔχει, [καὶ ὡς ἀριθμὸς ἀλλ' οὐχ ὡς μέγεθος,] καὶ τελευτᾷ εἰς ἓν πολλάκις τὰ πλείω,

1 ἡ om M 13 μεριστῶν M 17 εἴτε — εἴτε] εἴη — ἴη A 29 καὶ — μέγεθος om M V

ὥσπερ ἐν τοῖς συλλογισμοῖς τὰ λήμματα εἰς τὸ συμπέρασμα, ἀλλ' οὐ τῷ συνεχῆ εἶναι, οὐδὲ τῷ πρὸς ὅρον κοινὸν συνάπτειν. εἴπερ οὖν τὰ νοήματα οὕτως ἕν, δηλονότι καὶ ὁ νοῦς καὶ ἤτοι παντάπασιν ἀμερής, ὥσπερ ἔχει ὁ τῶν πρώτων ὅρων, ἢ οὐχ ὡς μέγεθος συνεχής, ἀλλ' ὡς τὸν ἀριθμὸν εἴποιμεν ἄν, εἰ ἐφεξῆς ἀριθμοίημεν μονάδα, εἶτα δυάδα, εἶτα τριάδα. καὶ γὰρ ἄλλως ἀνάξιον καὶ Τιμαίου καὶ Πυθαγόρου τὸν νοῦν μέγεθος ὑπολαμβάνειν. πῶς γὰρ δὴ καὶ νοεῖ μέγεθος ὤν, καὶ μάλιστα, εἰ καθάπερ φησὶν ὁ Τίμαιος, ἁφῆς χρεία τῇ ψυχῇ καὶ τῷ νῷ καὶ πελάσεως πρὸς τὸ νοούμενον; ἢ γὰρ τῶν μορίων ἑκάστῳ θιγγάνων τὸ ὅλον νοήσει, ἢ οὐχ ἑκάστῳ μὲν τῶν μορίων, ὅλῃ δὲ τῇ τοῦ κύκλου περιφορᾷ, ἢ ἑκάστῳ μὲν τῶν μορίων τὰ μόρια, ὅλῳ δὲ τὸ ὅλον. εἰ μὲν οὖν ἑκάστῳ τῶν μορίων τὸ ὅλον νοεῖ, ἐπειδὴ τὰ μόρια ταῦτα ἢ στιγμαί εἰσιν ἢ μεγέθη, εἰ δεῖ καὶ τὴν στιγμὴν μόριον λέγειν, εἰ μὲν κατὰ στιγμὴν αὗται δὲ ἄπειροι, δῆλον ὡς οὐδέποτε διέξεισιν· εἰ δὲ κατὰ μέγεθος, πολλάκις ἢ ἀπειράκις δῆλον ὅτι ταὐτὰ νοήσει. ἀλλὰ μὴν καὶ ἅπαξ ἀπόχρη· τὸ γὰρ εὖ οὐκ ἐν τῷ πολλάκις ταὐτόν, ἀλλ' ἐν τῷ ἅπαξ τὸ ἀληθές. εἰ δὲ ἱκανὸν θιγεῖν ὁτῳοῦν τῶν μορίων, τί δεῖ κινεῖσθαι ἢ καὶ ὅλως μέγεθος ἔχειν; ᾧ γὰρ οὐδὲν συντελεῖ τὸ μέγεθος εἰς τὴν φύσιν, τοῦτο ἀμέγεθες καθ' αὑτό, εἰ καὶ κατὰ συμβεβηκὸς διαιροῖτο· οὐδὲ γὰρ τὸ πηχυαῖον λευκὸν μᾶλλον [λευκὸν] τοῦ ποδιαίου, οὐδέ γε τὸ ποδιαῖον τοῦ σπιθαμιαίου. διὸ καὶ τὸ μέγεθος ταῖς ποιότησιν οὐ συντελεῖ, ἀλλὰ ἀδιαίρετος ἡ λευκότης ὡς λευκότης καὶ

---

11 καὶ post νῷ om A 16 νοεῖν A 20 ὅτι ταὐτὰ] ταῦτα M V 21 οὐκ ἐν Victorius, οὐκ ἂν V, οὐκ ἦν A M 27 λευκὸν om M V

ἐν τῷ μεγέθει. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ νοῦ καὶ τῆς τούτου δυνάμεως εἰ τοῦ κύκλου καὶ τοῦ μεγέθους τό τε μεῖζον ὁμοίως καὶ τὸ σμικρότερον μόριον νοήσει, οὐδὲν πρὸς τὴν οὐσίαν τοῦ νοῦ τὸ μέγεθος, εἴπερ οὐσία αὐτοῦ ἡ ἐνέργεια. οὕτω γάρ τινα καὶ ἀχρόνως γίνεσθαι λέγομεν, οἷς οὐδὲν ὁ χρόνος πρὸς τὴν τελείωσιν συνεισφέρει, ἀλλ' εὐθὺς τέλεια καὶ ὁλόκληρα γίνεται ἐν ὁτῳοῦν μορίῳ τοῦ χρόνου. εἰ δὲ ἑκάστῳ μὲν τῶν μορίων οὐκ ἐροῦσι τὸν κύκλον νοεῖν, ὅλῳ δέ, τίς αὖ γίνεται πάλιν ἡ χρεία τῆς ἁφῆς τῆς κατὰ μόριον; ἢ πῶς ἐκ μορίων μηδὲν νοούντων ὅλος νοήσει; καίτοι εἰ διὰ τοῦτο ἐφάπτεται, ἐφάπτεται δὲ τοῖς μορίοις, τοῖς μορίοις ἂν πρῶτον νοοίη. εἰ δὲ ταῦτα ἄμφω διαφυγγάνοντες ἐροῦσιν, ὅτι τὰ μὲν μόρια τοῖς μορίοις, τὸ δὲ ὅλον τῷ ὅλῳ νοήσει, πῶς τὰ ἀμερῆ γνώσεται, ἐπειδὴ πολλὰ καὶ ἀμερῆ τῶν νοουμένων; καὶ τί μάτην ταῦτα ἀκριβολογούμεθα; εἰ γὰρ μέγεθος ὅλως ὁ νοῦς καὶ ἡ νόησις διὰ θίξεως καὶ ἁφῆς, οὔτε κατὰ σημεῖον αὐτῷ θιγγάνοντι δυνατὸν νοεῖν, οὔτε κατὰ μέγεθος ἐφαπτομένῳ· κατὰ μὲν γὰρ σημεῖον θιγγάνων πῶς τῶν μεριστῶν ἀντιλήψεται; εἴπερ ἀδύνατον ἐφαρμόσαι πρὸς τὰ μεριστὰ τῷ ἀμερεῖ· κατὰ μέγεθος δὲ ἐφαπτόμενος πῶς αὖθις τὰ ἀμερῆ καταλήψεται; φαίνεται δ' ἄμφω ταῦτα ποιῶν ὁ νοῦς καὶ οὐ μᾶλλον τὰ μεριστὰ νοῶν ἢ τὰ ἀμέριστα, ὥστε οὐκ ἂν εἴη μέγεθος οὐδ' ἂν ἁφῆς δέοιτο πρὸς τὴν σύνεσιν, ἀλλά τις ἑτέρα φύσις ὁ νοῦς ἔξω παντελῶς σωματικοῦ διαστήματος, καὶ τὰ ἀμερῆ μὲν νοεῖ, διότι μηδὲ αὐτὸς ἐν μεγέθει, τὰ μεριστὰ δὲ καταλαμβάνει, ὅτι καὶ ταῦτα ἑαυτῷ συναιρεῖ καὶ ποιεῖ, ὡς οἷόν τε

5 τινα om M V 11 ὅλος V, ὅλως A M, fort. ὅλως, ὅλος

ἀμέριστα. τὸ γὰρ εἶδος ἑκάστου καὶ τὸ τί ἦν εἶναι ἀμερὲς ἑαυτῷ ποιεῖ καὶ ἁπλοῦν, καὶ οἱ πρῶτοι ὅροι, ταῦτα δὴ τὰ εἴδη, ἃ ἐκλαμβάνων τῆς ὕλης, κἂν ἐν ὕλῃ ᾖ, οὕτω νοεῖ. ὅτι δὲ ἀκολούθως τοῖς τὸν νοῦν οὕτω νοεῖν τιθεμένοις, λέγω δὲ τῷ περιφέρεσθαι fol. 69b. κύκλῳ, συγχωρεῖ τοῦτον εἶναι τὸν νοῦν κύκλον καὶ μέγεθος, δῆλον. εἰ μὲν γὰρ ἄλλως ἐνεργῶν νοεῖ, τί μάτην αὐτῷ προσάπτουσι τὴν περιφοράν; εἰ δὲ τῷ περιφέρεσθαι κύκλῳ καθάπερ φασί, κύκλος ἂν εἴη καὶ μέγεθος, εἴπερ διὰ τοῦτο εἰς κύκλον τὴν εὐθυωρίαν κατέκαμψεν ἵνα νοοίη. τὸν οὖν οὕτω νοοῦντα περιπίπτειν οἷς εἴπομέν, ἐστιν ἀναγκαῖον· ἢ γὰρ κατὰ στιγμὴν ἀνάγκη νοεῖν, ἢ κατὰ μέγεθος· ἀλλ' εἰ μὲν κατὰ στιγμήν, ἐκφεύξεται αὐτὸν ἡ νόησις τῶν μεριστῶν· εἰ δὲ κατὰ μέγεθος, ἐκφεύξεται αὐτὸν ἡ νόησις τῶν ἀμερῶν. ἀλλὰ καὶ ἀΐδιος ἡ περιφορά, ἀΐδιος οὖν καὶ ἡ νόησις. ἢ τοίνυν αἰεὶ νοεῖ καὶ διὰ τοῦτο ταὐτὸν αἰεί, ἢ ἄλλο καὶ ἄλλο. εἰ μὲν γὰρ ταὐτόν, ἠρεμήσει μᾶλλον ἡ τοιαύτη νόησις ἔοικεν· εἰ δὲ ἄλλο καὶ ἄλλο, πῶς τῆς αὐτῆς οὔσης περιφορᾶς καὶ ἅμα πότε συντελέσει τὴν νόησιν; μάτην οὖν ἔτι περιενεχθήσεται, εἰ οὐδέποτε συντελέσει. οὐδέποτε οὖν ἔσται νενοηκώς· καίτοι πάσης νοήσεώς ἐστι πέρατα καὶ τῆς πρακτικῆς· πᾶσαι γὰρ ἑτέρου χάριν καὶ τῆς θεωρητικῆς· αὕτη γὰρ τοῖς λόγοις ὁμοίως ὁρίζεται, οἷς κέχρηται πρὸς τὴν θεωρίαν, λόγος δὲ ἢ ὁρισμὸς ἢ ἀπόδειξις. καὶ οἱ μὲν ὁρισμοὶ πάντες πεπερασμένοι, ἀπόδειξις δὲ οὐδεμία τὴν πρόοδον ἐπ' ἄπειρον ἔχει, οὐδὲ ἀνακάμπτει εἰς τὰς προτάσεις

---

3 δὴ om A 4 ἀκολουθεῖ A 5 δὲ τῷ] δὴ τῷ A 6 συγχωρεῖν A 14 τῶν μεριστῶν — νόησις om M

τὰς ἐξ ἀρχῆς, ἀλλ' εὐθυπορίᾳ μᾶλλον ἐοίκασιν αἱ ἐπιστῆμαι. φαίνεται δὲ οὐχ ὅπως κατὰ φύσιν ἡ κίνησις ὑπάρχειν τῷ νῷ, ἀλλὰ παρὰ φύσιν μᾶλλον καὶ λυμαντικὴ τῆς ἐνεργείας· ἐπιστάσει γὰρ ἔοικεν μᾶλλον ἡ νόησις, ἡ μὲν τῶν ἁπλῶν ὅρων καὶ παντελῶς, οὐδὲν δὲ ἧττον καὶ ἡ χρωμένη συλλογισμῷ στάσις μᾶλλόν ἐστι πρὸς τῷ συμπεράσματι καὶ ἠρέμησις ἢ κίνησις, καὶ ἀναχώρησις τοῦ δεδειγμένου. διὰ τοῦτο δὲ καὶ οἱ νήφοντες τῶν μεθυόντων μᾶλλον νοοῦσι, καὶ ἐν νυκτὶ μᾶλλον ἢ ἐν ἡμέρᾳ, καὶ καθεστῶτος τοῦ σώματος ἢ θορυβουμένου, καὶ ἧττον οἱ νέοι τῶν πρεσβυτέρων, διότι πλείους αὐτοῖς κινήσεις τὸ σῶμα κινεῖται. μᾶλλον οὖν ἡ κίνησις παρὰ φύσιν τῷ νῷ τῆς ἠρεμίας, ὥστε οὐδὲ μακάριον τὸ μὴ ῥᾴδιον· βίαιον γὰρ ἅπαν τὸ παρὰ φύσιν. οἱ δὲ τὴν κίνησιν οὐσίαν αὐτοῦ ποιοῦντες φύσιν αὐτοῦ ποιοῦσι τὴν λυμαινομένην ταῖς ἐνεργείαις. ἔτι εἴπερ ἡ κίνησις οὐσία τοῦ νοῦ, πῶς νοήσει τὰ ἄϋλα καὶ ἀκίνητα; τοῦτο δὲ οὐχ οἷόν τε ἀντιστρέφειν. καὶ πρὸς ἡμᾶς τοὺς ἀκίνητον αὐτὸν τιθεμένους, πῶς νοήσει τὰ ἐν κινήσει; νοεῖ γὰρ καὶ τὰ κινούμενα οὐχ ὡς κινούμενα, ἀλλὰ καθόσον τὴν αὐτὴν ἔχει μορφήν. οὐ γὰρ κατὰ τὴν ὕλην ἀλλὰ κατὰ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι ὅ γε κατ' ἐνέργειαν νοῦς, καὶ ὅταν τῶν μεθ' ὕλης ἀντιλαμβάνηται, οὕτω δὴ καὶ αὐτὴν νοεῖ τὴν κίνησιν, τὸ εἶδος αὐτῆς νοῶν καὶ τὸν λόγον, ὅτι τοιάδε ἐστὶν ἡ ἐνέργεια. τοῖς δὲ τὴν κίνησιν οὐσίαν αὐτοῦ τιθεμένοις χαλεπὸν ἀποδοῦναι τὴν νόησιν τῶν ἀκινήτων, ἐπίπονον δὲ καὶ τὸ μεμῖχθαι τῷ σώματι μὴ

---

15 δὲ] δὴ A 19 ἀντεπιστρέφειν A 20 αὐτὸν] αὐτὴν M 24 τῶν] τὸ M 25 δὴ] δὲ M 27 ἡ om M

δυνάμενον ἀπολυθῆναι, καὶ προσέτι φευκτόν, εἴπερ βέλτιον τῷ νῷ τὸ μὴ μετὰ σώματος εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι καὶ πολλοῖς συνδοκεῖ καὶ τῶν πάλαι καὶ τῶν καθ' ἡμᾶς, οἳ οὐκ αἰσχύνονται τὰς τῶν ζώων ψυχὰς βελτίους ὁμολογεῖν τῆς τῶν ἀνθρώπων, εἴπερ τὰς μὲν οἷόν τε ἀπολυθῆναι τοῦ σώματος, τὴν δὲ οὐκ ἐνδέχεται. ἄδηλος δὲ ὅσον ἐκ τῶν εἰρημένων, καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανὸν ἡ αἰτία. εἰ γὰρ δεῖ προσέχειν τοῖς γεγραμμένοις, οὐκ ἔστι τῆς ψυχῆς ἡ οὐσία κυκλοφορία ἀλλ' ἐκ τῆς εὐθυωρίας εἰς κύκλον ὕστερον κατεκάμφθη, ὡς ἐκείνης μᾶλλον οὔσης αὐτῇ τῆς φύσεως οἴκοθεν ἢ τῆς τοῦ κύκλου καὶ κατὰ συμβεβηκὸς ἔξωθεν ὑπαρξάσης τῆς περιφορᾶς, οὐ διὰ τὴν οὐσίαν τὴν ἐξ ἀρχῆς, ἀλλ' ὅπως ἂν τὸ πᾶν φέρηται συμφώνους φοράς, ὥστε τὸ σῶμα αἴτιον ποιεῖ τῇ ψυχῇ τῆς κινήσεως, οὐ τῷ σώματι τὴν ψυχήν. ἀλλ' οὐδ' ὅτι βέλτιον αὐτῇ τὸ κινεῖσθαι τοῦ ἠρεμεῖν, καὶ τὸ κινεῖσθαι τοῦτον τὸν τρόπον δίδωσι λόγον ὁ Τίμαιος, καίτοι τοῦτο μάλιστα ἐν τοῖς ἔργοις τοῦ θεοῦ ζητητέον.

Ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ τούτῳ τῷ λόγῳ καὶ τοῖς πλείστοις τῶν περὶ ψυχῆς· συνάπτουσι γὰρ καὶ τιθέασιν εἰς σῶμα τὴν ψυχὴν οὐκέτι προσδιορίζοντες, διὰ τίνα αἰτίαν καὶ πῶς ἔχοντος τοῦ σώματος καὶ τίνα συγγένειαν κεκτημένου πρὸς αὐτήν. οὐδὲ γὰρ τὸ τυχὸν τῷ τυχόντι σύνεισι καὶ συνάπτεται, οὐδὲ ἅπαν εἰς ἅπαν τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει, οὐδὲ τὸ μὲν κινεῖ, τὸ δὲ κινεῖται, ἐὰν μή τις ᾖ κοινωνία καὶ συγγένεια τούτων τῶν φύσεων, ἐξ ὧν ἓν

---

4 οἳ] οἱ δ' AV 5 ἀνθρώπων] οὐρανίων A 8 οὐρανὸν] νοῦν A 18 καὶ τὸ] καὶ τοῦ A 19 τοῦτο] τοῦτο βέλτιον M, fort. τοῦτο τὸ βέλτιον

τι γίνεται ἔργον συντιθεμένων ἑκάστων. ἐκ δὲ τῶν τυχόντων οὐδαμῶς, οἷον ἐκ λίθου καὶ δένδρου, ἢ ἐξ ἀνθρώπου καὶ δένδρου. οἱ δὲ μόνον ἐπιχειροῦσι λέγειν ποῖόν τι ἡ ψυχή, ποῖον δέ τι τὸ σῶμα τὸ δεχόμενον αὐτήν, οὐκέτι προσδιορίζουσιν, ὥσπερ ἐνδεχόμενον κατὰ τοὺς Πυθαγορικοὺς μύθους, οἷς ἐκεῖνος μὲν ἐχρῆτο πολιτικῶς, οὗτοι δὲ φυσικῶς ὑπολαμβάνουσι τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν εἰσδύεσθαι σῶμα· ὁρῶμεν γὰρ ὅτι τῶν ζώων ἕκαστον, μᾶλλον δὲ τῶν ἐν τοῖς ζώοις σωμάτων ἴδιον εἶδος κέκτηται καὶ ἰδίαν μορφήν, καὶ πολὺ διέστηκε τὸ σκώληκος σῶμα πρὸς τὸ τοῦ ἵππου, καὶ τὸ ψύλλης πρὸς τὸ ἀνθρώπου. οἳ δὲ οἴονται εἰς τὸ τυχὸν σῶμα τὴν τυχοῦσαν ψυχὴν εἰσοικίζεσθαι, εἰς τὸ τοῦ ἐλέφαντος, ἂν οὕτω τύχῃ, τὴν τῆς ἐμπίδος, παραπλησίως δή τι λέγουσιν, ὥσπερ εἴ τις φαίη εἰς αὐλοὺς ἐνδύεσθαι τὴν ὑφαντικήν, ἢ τὴν χαλκευτικὴν εἰς κερκίδας· καίτοι καὶ ταῖς τέχναις, εἰ φύσις ἦν ἐξ ἑαυτῶν εἰσδύεσθαι εἰς τὰ ὄργανα, αὐλητικὴ μὲν ἂν εἰς αὐλοὺς εἰσέδυ, καὶ οὐκ εἰς λύραν καὶ κιθαριστικὴ δὲ εἰς κιθάραν, καὶ οὐκ εἰς αὐλούς· καὶ ταῖς ψυχαῖς τοίνυν, εἴπερ ὄργανά ἐστι τὰ σώματα, ἑκάστην ἂν εἰς τὸ οἰκεῖον εἰσφοιτᾶν προσήκει, μᾶλλον δὲ οὐδὲ εἰσφοιτᾶν, ἀλλὰ ποιεῖν οἰκεῖον αὐτῇ καὶ ἐπιτήδειον· (fol. 70.) πλάττει γὰρ αὐτὴ τὸ σῶμα καὶ οὐχ ἕτοιμον παραλαμβάνει, καθάπερ ἡ κιθαριστικὴ τὴν κιθάραν. τί οὖν τὸ οἰκεῖον ἑκάστη καὶ πῶς αὐτὸ καὶ τίς οὖσα

---

2 λίθου καὶ δένδρου] λίθου καὶ φωνῆς M V  14 εἰς τὸ τοῦ] τὴν τοῦ A  15 τὴν] εἰς τὸ A  παραπλήσιον M  16 φαίη] λέγοι A V  18 ταῖς om M  21 καὶ om M post κιθ.  22 ἑκάστη M  24 ποιεῖ M  25 αὐτῇ M V

*πρὸ τοῦ σώματος εὑρήσει τε καὶ ἐργάσεται, παντελῶς ὁ Τίμαιος ἀπεσιώπησε.*

4 *Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς πιθανὴ μὲν οὐδεμιᾶς ἧσσον τῶν λεγομένων, δεδωκυῖα δὲ εὐθύνας καὶ ἐξητασμένη καὶ ἐν τοῖς κοινοῖς λόγοις καὶ ἐν τοῖς ἰδίοις· λέγουσι γάρ τινες αὐτὴν ἁρμονίαν· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων. τὴν οὖν τἀναντία ταῦτα εἰς συμφωνίαν ἄγουσαν καὶ ἁρμόζουσαν, θερμὰ λέγω καὶ ψυχρὰ καὶ ὑγρὰ καὶ ξηρὰ καὶ σκληρὰ καὶ μαλακὰ καὶ ὅσαι ἄλλαι ἐναντιώσεις τῶν πρώτων σωμάτων, οὐδὲν ἄλλο εἶναι ἢ τὴν ψυχήν, ὥσπερ καὶ ἡ τῶν φθόγγων ἁρμονία τὸ βαρὺ καὶ τὸ ὀξὺ συναρμόζει. πιθανότητα μὲν οὖν ὁ λόγος ἔχει, διελήλεγκται δὲ πολλαχῇ καὶ ὑπ' Ἀριστοτέλους καὶ ὑπὸ Πλάτωνος. καὶ γὰρ ὅτι τὸ μὲν πρῶτον τοῦ σώματος, τουτέστιν ἡ ψυχή, ἁρμονία δὲ ὕστερον, καὶ ὅτι τὸ μὲν ἄρχει καὶ ἐπιστατεῖ τῷ σώματι καὶ μάχεται πολλάκις, ἁρμονία δὲ οὐ μάχεται τοῖς ἡρμοσμένοις, καὶ ὅτι τὸ μᾶλλον καὶ ἧττον ἁρμονία μὲν δέχεται, ψυχὴ δὲ οὔ, καὶ ὡς ἁρμονία μὲν σωζομένη οὐ προσίεται ἀναρμοστίαν, ψυχὴ δὲ κακίαν προσίεται, καὶ ὅτι εἴπερ τοῦ σώματος ἡ ἀναρμοστία νόσος ἐστὶν ἢ αἶσχος ἢ ἀσθένεια, ἡ ἁρμονία τοῦ σώματος κάλλος ἂν εἴη καὶ ὑγίεια καὶ δύναμις ἀλλ' οὐ ψυχή, ταῦτα μὲν ἅπαντα εἴρηται ὑπὸ τῶν φιλοσόφων ἐν ἄλλοις· ἃ δὲ νῦν Ἀριστοτέλης φησί, τοιαῦτά ἐστιν. ἡ ἁρμονία λόγος ἐστὶ τῶν ἡρμοσμένων*

---

4 *ἧσσον*] *ἧς* M 15 *πολλαχῇ*] *πολλαχοῦ* A V 17 *πρῶτον*] fort. *πρότερον* 24 *ἢ ἁρμονία* M

καὶ σύνθεσις τῶν μεμιγμένων, ἡ ψυχὴ δ' οὔτε σύνθεσις οὔτε λόγος, καὶ ἡ μὲν οὐσία ἡ δὲ οὔ, καὶ ἡ μὲν κινεῖ τὸ σῶμα, ἁρμονία δὲ οὐ κινεῖ τὰ ἡρμοσμένα, ἀλλ' ἐπιγίγνεται μὲν ἡρμοσμένοις, ἁρμόζει δὲ ἄλλο, ὥσπερ τὰς χορδὰς ὁ μουσικός. ἄλλης οὖν δεήσει τῇ ψυχῇ ψυχῆς τῆς ποιούσης αὐτῇ τὴν ἁρμονίαν. φανερῶς δ' ἄτοπος ὁ λόγος φανείη πειρωμένοις τὰ πάθη τῆς ψυχῆς καὶ τὰ ἔργα ἕκαστον εἰς ἁρμονίαν τινὰ ἀναφέρειν. ποίας γὰρ ἁρμονίας τὸ αἰσθάνεσθαι, καὶ ποίας τὸ φιλεῖν ἢ μισεῖν; ἐλήλυθε δὲ αὕτη ἡ δόξα μάλιστα μὲν ἐκ τῶν μεγεθῶν, ὅσα ἔχει θέσιν καὶ κίνησιν, ἐπειδὴ ταῦτα, ὅταν οὕτως ἀλλήλοις παρατεθῇ, ὥστε μηδὲν συγγενὲς παραδέχεσθαι, τότε λέγεται ἡρμόσθαι καλῶς, καὶ ἡ σύνθεσις αὐτῶν ὀνομάζεται ἁρμονία, ὥσπερ ξύλα καὶ λίθοι καὶ ὅσα ἁρμόζουσιν αἱ τέχναι φυσικὰ σώματα. ἐντεῦθεν δὲ καὶ τὰ μεμιγμένα κατὰ λόγον τινὰ ἢ κεκραμένα πρὸς ἄλληλα ἡρμόσθαι φαμέν, ὅτι συμφώνως μέμικται καὶ οὐ διέστηκεν οὐδὲ ἀπήρτηται οὐδὲ παραδέχεταί τινα ἕτερον μεταξὺ λόγον, ὃς μᾶλλον αὐτὰ ἁρμόσει καὶ συγκεράσει, ὥσπερ καὶ τοὺς φθόγγους τοὺς μουσικοὺς ἡρμόσθαι τηνικαῦτα οἰόμεθα, ὅταν μηδεὶς εὑρίσκηται μεταξὺ λόγος ὃς ἡδίω ποιήσει τῶν φθόγγων τὴν συμφωνίαν. κατὰ τίνα οὖν τούτων τῶν τρόπων ἁρμονίαν καλεῖν ἔνεστιν τὴν ψυχήν; οὔτε γὰρ ὡς σύνθεσιν ἢ παράθεσιν, οἷον τῶν ὀστῶν πρὸς τὰ ὀστᾶ, ἢ τῶν ὀστῶν πρὸς τὰ νεῦρα· γελοῖον γὰρ τοιούτων μορίων ἢ τὸν

---

5 ἄλλος A V  7 δ' ἄτοπος] scrib. δ' ἂν ἄτοπος.  11 θέσιν] αἴσθησιν θέσιν M  14 ὀνομάζει ἁρμονίαν M  16 φυσικαὶ A  17 κεκραμμένα M  19 καὶ οὐ διέστηκεν οὐδὲ ἀπήρτηται om M V  23 συμφωνίαν] συμμετρίαν A  24 καλεῖν ἔνεστιν ἁρμον. A

νοῦν ἢ τὴν αἴσθησιν σύνθεσιν λέγειν. ἀλλ' οὔτε ὡς τὸν λόγον τῆς μίξεως ἢ τῆς κράσεως· ἄλλης γὰρ οὔσης τῆς ἑκάστου μορίου κράσεως ἄλλη ἂν εἴη καὶ ἡ ψυχή, ὥστε πολλὰς ἕκαστον ἔχειν ψυχάς. τοῦτο δὲ καὶ παρ' Ἐμπεδοκλέους ἀπαιτητέον· κίρνησι γὰρ καὶ οὗτος ἕκαστον τῶν τοῦ σώματος μορίων τῷ ἰδίῳ λόγῳ, ἄλλως μὲν ὀστᾶ, ἄλλως δὲ σάρκας. πότερον οὖν ὁ λόγος ἔσται οὗτος κατ' αὐτὸν ἡ ψυχή, καὶ εἰ πολλοὶ οἱ λόγοι, πολλαὶ καὶ αἱ ψυχαί; ἢ ἄλλο τι οὖσα ἡ ψυχὴ παρὰ τὸν λόγον τῷ λόγῳ προβάλλοντι ἐμφύεται; ἔτι δὲ πότερον ἡ φιλία τῆς τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ λόγον; καὶ αὕτη πότερον ὁ λόγος ἢ ἕτερόν τι παρὰ τὸν λόγον; ὅτι μὲν οὖν οἱ λέγοντες ἁρμονίαν τὴν ψυχὴν οὔτε ἐγγὺς ἄγαν, οὔτε πόρρω τῆς ἀληθείας βάλλειν ἂν δόξειαν, καὶ ἐκ τῶν νῦν εἰρημένων καὶ ἐκ τῶν ἐν ἄλλοις δῆλόν ἐστι· πιθανότητα δὲ πολλὴν ὁ λόγος ἔχει, καθάπερ καὶ πρότερον ἔφην. πάλιν γὰρ εἰ παντελῶς ἕτερον ἡ ψυχὴ τῆς μίξεως καὶ τῆς κράσεως, διὰ τί τούτων φθειρομένων φθείρεται εὐθὺς ἡ ψυχή; λυομένου γὰρ τοῦ λόγου τῆς σαρκὸς καὶ τῶν ἄλλων ἑκάστου τῶν τοιούτων λύεται εὐθὺς καὶ ἡ ψυχή, ἀλλὰ καὶ ἔμπαλιν ἀπορητέον, διὰ τί τῆς ψυχῆς ἀπολιπούσης τὸ σῶμα εὐθὺς φθείρεται καὶ ἡ κράσις καὶ ἡ μίξις, ἥν φησιν ἁρμονίαν τοῦ σώματος. εἰ γὰρ καὶ τῆς κράσεως φθειρομένης φθείρεται ἡ ψυχή, καὶ τῆς ψυχῆς ἀπολιπούσης φθείρεται ἡ κράσις, οὐ πόρρω ἂν εἴη ταῦτα ἀλλήλων. ἀλλ' οὐ φθείρεταί φησιν ἡ ψυχὴ τῆς κρά-

8 ἡ ψυχὴ om M V  10 προσβάλλοντι A  11 τῆς τυχούσης αἰτία] ταύτης αἰτία τῆς M V  12 κατὰ λόγον] τυχούσης M  15 δόξειεν A  21 τῶν ante τοιούτων om M  28 φασὶν Victorius

σεως φθειρομένης, ἀλλ' ἡ ἐμψυχία, ἣν ἡ ψυχὴ τῷ σώματι ἐπιδίδωσιν, αὐτὴ μὲν οὖσα χωριστή, ἐλλάμπουσα δὲ τὴν ζωήν, ὥσπερ ὁ ἥλιος τὸ φῶς τῷ ἀέρι. ἐγὼ δὲ θαυμάζω τῶν ταῦτα λεγόντων, ὅτι πρῶτον μὲν ἀποδείξεις οἴονται τὰ παραδείγματα, καίτοι τῶν πίστεων ἀσθενέστατον τὸ παράδειγμα, ἔπειθ' ὅτι μηδὲ αὐτοῖς τούτοις ἀκολουθοῦσιν. ὁ μὲν γὰρ ἥλιος εἷς ὢν χορηγεῖ τὸ φῶς πᾶσι τοῖς σώμασι, τὴν ψυχὴν δὲ οὐκ ἂν εἴποιεν μίαν τὴν ἐλλάμπουσαν τὴν ζωὴν πᾶσι τοῖς ζώοις. διὸ καὶ ὁ ἥλιος μὲν εἷς, μεταλαμβάνει δὲ τοῦ φωτὸς οὐχ ἅπαντα παραπλησίως, ἀλλ' ἄλλως μὲν ἀήρ, ἄλλως δὲ ὕδωρ, ἄλλως δὲ ἄργυρος, ἄλλως δὲ λίθος, ἄλλως δὲ ξύλον, καὶ ἑτέρως μὲν τοδὶ τὸ χρῶμα, ἑτέρως δὲ τοδί· τὴν ψυχὴν δὲ εἰ μίαν τις λέγοι, δεῖ τὸν αὐτὸν τρόπον ἀπολαύειν αὐτῆς ἄλλως καὶ ἄλλως τὰ ζῷα, καὶ οὐ ψυχαῖς ἔτι διοίσει τὰ ζῷα ἀλλ' ἐμψυχίαις, ἔπειτα ἐκείνη ἡ μία fol. 70b. ψυχὴ τίς ἔσται; καὶ ἥτις ἂν ᾖ, τῷ γε Ἀριστοτέλους λόγῳ οὐδὲν διοίσει. φησὶ γὰρ ἐκεῖνος τὴν μὲν ψυχὴν ἐκείνην τὴν μίαν οὔτε ἐπιζητεῖν ἐν τῷ παρόντι λόγῳ οὔτε ὁρίζεσθαι, ἐπιζητεῖν δὲ τὴν τοῦ ἀνθρώπου καὶ τὴν τοῦ ἵππου καὶ τὴν τοῦ βοός, ἣν εἴτε ἐμψυχίαν ὀνομάζειν ἐθέλουσιν εἴτε ψυχήν, συγχωρήσει· ἀλλ' ὥσπερ τὸ φῶς ὁριζόμενος ἐντελέχειαν τοῦ κατ' ἐνέργειαν διαφανοῦς οὐ τὸν ἥλιον ὁρίζεσθαί φησιν, ἀλλ' ὃ δίδωσιν ὁ ἥλιος, καίτοι γε τὸν ἥλιον ἄλλως ἔχων εἰπεῖν ἐντελέχειαν τοῦ κατ' ἐνέργειαν διαφανοῦς, οὕτω καὶ νῦν τὴν ψυχὴν ὁριζόμενος οὐ τὴν ἔξωθεν καὶ μίαν ὁρίζεσθαί φησιν, ἀλλὰ τὴν παρ' ἐκείνης

---

9 εἴποιμεν A 18 ἥτις] εἴ τις M 21 τοῦ bis om A
22 τὴν τοῦ βοός] τοῦ βοός A

*ἐγγινομένην τοῖς σώμασι τοῖς ὀργανικοῖς ἐντελέχειαν, δυνάμενος ἴσως ὁρίσασθαι κἀκείνην τὸν αὐτὸν τρόπον. οὐδὲν γὰρ κωλύει τῶν ἐντελεχειῶν τῶν δυοῖν τοῦ διαφανοῦς τὴν μὲν εἶναι τελειοτέραν, οἷον τὸν ἥλιον, τὴν δὲ ἀτελεστέραν, οἷον τὸ φῶς. οὕτω τοίνυν καὶ τῆς ψυχῆς τὴν μὲν εἶναι τελειοτέραν, οἷον τὴν ἔξωθεν, τὴν δὲ ἀτελεστέραν, οἷον τὴν ἑκάστου. ταύτην οὖν τὴν ἑκάστου ψυχὴν ἣν σὺ μὲν ἐμψυχίαν ὀνομάζεις, ἐγὼ δὲ ψυχήν, ἀχώριστόν φημι καὶ φθαρτήν, φθαρτὴν δὲ οὐχ ἁπλῶς ἀλλ' ὥσπερ τὸ ἐν τῷ ὕδατι φῶς, καὶ σὺ δὲ ὡς ἔοικε παραπλησίως· περὶ γὰρ τοῦ ὀνόματος ἀμφισβητῶν τὸ πρᾶγμα καὶ λίαν σαφῶς ὁμολογεῖς. ὅτι δὲ τὴν τοῦ παντὸς ψυχὴν εἰκὸς ἐλλάμπειν τοῖς σώμασι τὴν εἴτε ψυχὴν εἴτε ἐμψυχίαν δύναμίν τινα ὑπάρχουσαν ζωτικὴν καὶ διὰ παντὸς τεταμένην, μάλιστα ἂν δόξειε δῆλον ποιεῖν τῶν ζώων τὰ αὐτομάτως γινόμενα, ἃ τῇ τοιᾷδε κράσει τοῦ σώματος ἅμα εὐθὺς ἐμπνεῖ τε καὶ ζῇ καὶ κινεῖται ἐξ ἑαυτῶν, ὥσπερ τοὺς μῦς φασὶν ἐν Αἰγύπτῳ, καὶ παρ' ἡμῖν εὐλαὶ καὶ ἐμπίδες καὶ πολλὰ εἴδη ζώων τοιαῦτα. ἀλλὰ τί τοῦτο πρὸς τὸ χωριστὰς εἶναι τὰς τοιαύτας ψυχάς; ἀλλ' ἴσως τοῦ μὲν παραδείγματος ἀμελήσουσι, φήσουσι δὲ ἑκάστῳ παρεῖναι ψυχὴν ἰδίαν τῆς ἐμψυχίας τῆς ἑκάστου ποιητικήν. λεγέτωσαν οὖν ἡμῖν, ἆρ' ἐπὶ πάντων τοῦτο τῶν ζώων ἢ ἐπὶ μόνων ἀνθρώπων; ἐπὶ πάντων μὲν γὰρ μὴ γελοιότερον ᾖ τῶν μύθων ἐφιστάναι τινὰ ψύλλης ψυχὴν ἐλλάμπουσαν τῇ ψύλλῃ τὴν ἐμψυχίαν· εἰ δὲ ἐπὶ μόνων τῶν ἀνθρώπων, τίς ἡ ἀποκλήρωσις καὶ*

2 *δυνάμενα* M 3 *δυεῖν* M 10 *τῷ* om M 12 *ὁμολογεῖς σαφῶς* M 18 *ἐμπνεῖ τε*] *ἐμπνεῖται* M 27 *ἐφεστάναι* A

πόθεν ἡ διαφορὰ ταῖς ἀνθρωπίναις ταύταις ψυχαῖς, λέγω δὲ ταῖς ἔξωθεν ἐφεστώσαις; ὁμοειδεῖς γὰρ πᾶσαι, τὸ δ' ὁμοειδὲς ἅπαν τῷ τῆς ὕλης μερισμῷ τὰς διαφορὰς προσλαμβάνει, ὅλως τε ἡ τὴν φυτικὴν ζωὴν χορηγοῦσα πῶς ἔξωθεν ἐφεστήξει τῷ σώματι, ἢ ἡ τὸν θυμόν, ἢ ἡ τὴν ἐπιθυμίαν; ὁ νοῦς μὲν γὰρ ἴσως οἷός τε καὶ ἔξωθεν ἐφεστὼς ἐλλάμπειν δύναμιν νοερὰν τῇ ψυχῇ, ταύτας δὲ ἀνάγκη τὰς φύσεις ἐνυπάρχειν καὶ ἐμπεπλέχθαι τοῖς σώμασιν, εἰ μέλλουσι τὰ αὐτῶν ἔργα παρέξεσθαι. ἀλλ' ἡ μὲν τοιαύτη κομψεία καὶ καθ' ἑαυτὴν ἴσως τεύξεται λόγου, ὅτι δὲ οὔτ' ἁρμονίαν οἷόν τε εἶναι τὴν τοιαύτην ψυχήν, οὔτε ἄνευ ἁρμονίας, παντάπασιν δῆλον ἐκ τῶν εἰρημένων.

Εὐλογώτερον δὲ ἀπορήσειεν ἄν τις περὶ αὐτῆς ὡς κινουμένης εἰς τὰ τοιαῦτα ἀποβλέψας. φαμὲν γὰρ τὴν ψυχὴν φοβεῖσθαι θαρρεῖν λυπεῖσθαι, ἔτι δὲ ὀργίζεσθαι καὶ αἰσθάνεσθαι καὶ διανοεῖσθαι, ταῦτα δὲ ἅπαντα κινήσεις εἶναι δοκοῦσιν, ὅθεν οἰηθείη τις ἂν αὐτὴν ταύτας τὰς κινήσεις κινεῖσθαι· τὸ δὲ οὐκ ἔστιν ἀναγκαῖον. διπλοῦν γὰρ ἔχει τὸν ἔλεγχον οὗτος ὁ λόγος· οὔτε γὰρ κινήσεις ταῦτα τὰ πάθη, καὶ εἰ δοθεῖεν κινήσεις εἶναι, οὐ τῆς ψυχῆς κινήσεις εἰσίν, ἀλλ' ὑπὸ ψυχῆς ὅλου τοῦ ζώου, οἷον ἐν ταῖς ὀργαῖς κρίνει μὲν ἄξιον εἶναι τὸ πρᾶγμα ὀργῆς ἡ ψυχή, τοῦ ζώου δὲ ἡ καρδία κινεῖται καὶ ζεῖ τὸ περὶ αὐτὴν αἷμα καὶ ἀνοιδαίνει. εἰ μὲν οὖν ἡ ζέσις καὶ ἡ πήδησις τῆς ψυχῆς ἐστίν, ἡ ψυχὴ κατὰ τὰς ὀργὰς ἂν κινοῖτο· εἰ δὲ ἀδύνατον τοῦτο συγχωρεῖν τοῖς ἀσώματον αὐτὴν τιθεμέ-

7 οἷος] οἷ M 22 δοθεῖεν] fort. δοθείη 29 ἀσωμάτοις M

*νοις, τὸ ζῷον μὲν ἂν κινοῖτο ὅτε ὀργίζεται, ἡ ψυχὴ δὲ κρίνοι ἂν μόνον, ἡ κρίσις δὲ οὐ κίνησις, ἀλλ' ἠρεμία καὶ στάσις μᾶλλον. οὕτω δὲ ἔχει καὶ πρὸς τοὺς φόβους. ἡ μὲν κρίνει τὸ φοβερόν, συστέλλεται δὲ μόριόν τι τοῦ σώματος καὶ καταψύχεται καὶ ἀλλοιοῦται· χλωροὶ γάρ φησιν ὑπαὶ δείους ὁ ποιητής, καὶ ὦχρός τέ μιν εἷλε παρειάς, ταῦτα δὲ τοῦ μὲν σώματος τοῦ ἐμψύχου, τουτέστι τοῦ ζώου, πάθη καὶ κινήσεις φανερῶς ἂν εἶεν, τὴν ψυχὴν δ' αὐτὴν ὠχριᾶν ἢ ἐρυθραίνεσθαι γέλοιον πάνυ. καὶ τὸ διανοεῖσθαι τοίνυν, εἴπερ κίνησις ὅλῳ ἂν τῷ ἀνθρώπῳ προσήκοι, οὐ τῇ ψυχῇ τῇ τοῦ ἀνθρώπου, μορίου τινὸς ἔνδοθεν ἀλλοιουμένου τοῦ ἀνάλογον τῷ αἵματι ἢ τῷ πνεύματι. διχῶς γὰρ ἴσως ἐν τοῖς πάθεσι τοῖς τοιούτοις ὑπὸ τῆς ψυχῆς κινεῖται τὸ ἔμψυχον σῶμα, ἢ κατὰ φοράν τινα μορίων αὐτοῦ κινουμένων, ὥσπερ τὸ αἷμα ἐν τοῖς θυμοῖς προπηδᾷ ἐπιπολῆς καὶ προεξάλλεται τοῦ λοιποῦ σώματος, ἢ κατὰ ἀλλοίωσιν, ὅταν καταψύχηται ἐν τοῖς φόβοις. ποῖα δὲ πάθη ποίας συναπολαύει κινήσεως σωματικῆς, ἕτερος λόγος. οἱ δὲ τὰς ὑπὸ τῆς ψυχῆς κινήσεις εἰς τὴν ψυχὴν αὐτὴν ἀναφέροντες ὁμοίως ποιοῦσιν, ὥσπερ εἴ τις λέγοι τὴν ψυχὴν ὑφαίνειν ἢ οἰκοδομεῖν ἢ κιθαρίζειν· καὶ γὰρ τούτων αἰτία μὲν ἡ ψυχὴ τῶν κινήσεων· ἡ γὰρ ἕξις ἡ οἰκοδομικὴ ἐν αὐτῇ, ἀλλ' ὥσπερ ὁ οἰκοδόμος οἰκοδομεῖ, οὐχ ἡ τέχνη, καὶ ὁ κιθαριστὴς κιθαρίζει, οὐχ ἡ μουσική, καίτοι ὁ μὲν οἰκοδόμος οἰκοδομεῖ τῇ οἰκοδομικῇ, ὁ δὲ κιθαριστὴς κιθαρίζει τῇ κιθαριστικῇ· οὕτω καὶ οὐχ ἡ ψυχὴ ἐλεεῖ ἀλλ' ὁ ἄνθρωπος, τῇ μέντοι ψυχῇ,*

---

6 *ὑπαὶ δείους*] *ὑπὸ δέους* A. Il. XIV, 4. 7 *ὦχρος* Il. III, 35. 10 *ἐρυθαίνεσθαι* M 18 *καταψύχεται* AV

ὡς καὶ λούεται καὶ ἀριστᾷ καὶ νήχεται ὁ ἄνθρωπος, οὐχ ἡ γνώμη ἀφ' ἧς ταῦτα ποιεῖ. ὅταν δὲ λέγω τῇ ψυχῇ, οὐχ οὕτω λέγω ὡς ἐν ἐκείνῃ τῆς κινήσεως ἐνυπαρχούσης, ὥσπερ ὅταν λέγω κινεῖσθαι τὸν ἄνθρωπον τῇ χειρί· τότε μὲν γὰρ αὐτὴ ἡ χεὶρ τὴν κίνησιν ὑπομένει, ἀλλὰ πῶς λέγω κινεῖσθαι τὸν ἄνθρωπον τῇ ψυχῇ; ἢ ὡς μέχρις ἐκείνης ἢ ὡς ἀπ' ἐκείνης. ὅταν μὲν γὰρ τῶν fol. 71. ἔξωθεν αἰσθητῶν ἀντιλαμβάνηται, μέχρι τῆς ἐπ' ἐκείνην ἀναφορᾶς τὸ σῶμα κινεῖται, τῶν αἰσθητηρίων εἰς τὴν ἀρχὴν αὐτῆς παραπεμπόντων τὰ πάθη, ἃ ἀπὸ τῶν ἔξωθεν ἀνεμάξατο, ὧν ἀντιλαμβάνεται αὐτὴ ἀκίνητος μένουσα. λεγόμεθα τοίνυν τῇ ψυχῇ ταύτην κινεῖσθαι τὴν κίνησιν, ὅτι τοῦ πάθους τῶν αἰσθητηρίων ἡ ψυχὴ ἡμῖν αἰτία, καὶ τῆς δι' αὐτῶν διαδόσεως, ἐπεὶ νεκρωθέντων γε τῶν ὀργάνων τὸ τοιοῦτον πάθος οὐχ ἅπτεται. αἱ δὲ ἀναμνήσεις οὐκέτι μέχρις ἐκείνης, ἀλλ' ἀπ' ἐκείνης· εἰς ὃ γὰρ ἐτελεύτησεν ἡ αἴσθησις, ἐντεῦθεν ἡ ἀρχὴ τῆς ἀναμνήσεως· προβάλλουσα γὰρ τὰ φαντάσματα ἀφ' αὑτῆς ἡ ψυχὴ καὶ ταῦτα ἀνελίττουσα ἐπὶ τὴν ἀνάμνησιν ἀφικνεῖται. τῷ οὖν ἀπ' ἐκείνης ἄρχεσθαι τὴν προβολὴν τῶν φαντασμάτων, ἣν ὡς θησαύρισμα ἔχει, λέγεται ἀπ' ἐκείνης ἡ ἀνάμνησις. εἰ δὲ μὴ κίνησίν τις λέγοι τὰ ἐγκαταλείμματα τῶν αἰσθητῶν, ἀλλὰ μονὴν μᾶλλον καὶ ἠρεμίαν, πρός γε τὸν παρόντα λόγον οὐδὲν διοίσει. πολλάκις μὲν γὰρ ἡ ἀνάμνησις ἀπὸ τῆς προβολῆς ἀρξαμένη τῶν φαντασμάτων εἰς αὐτὸ τοῦτο ἀπετελεύτησεν ἄνευ τοῦ κίνησιν σωματικὴν ἐφελκύσασθαι, πολλάκις δὲ ἀναμνησθέντες αἰσχροῦ τινὸς ἐρυ-

3 ἐν om A V · 5 μὲν om M V 22 θησαύρισμα] θησαυρίσασα A 26 προσβολῆς A 29 ἐρυθραινόμεθα M, sine ρ etiam V; infra et A ἐρυθαίνεσθαι

θραινόμεθα, ἢ φοβεροῦ ναυτιῶμεν, πολλάκις δὲ βαδίζομεν καὶ διαλεγόμεθα ἐξ ἀναμνήσεως. ἀλλὰ τὸ μὲν βαδίζειν καὶ διαλέγεσθαι καὶ ναυτιᾶν καὶ ἐρυθραίνεσθαι καὶ πάντα τὰ τοιαῦτα κινήσεις ἐναργῶς, τὸ δὲ κρίνειν καὶ ἀντιλαμβάνεσθαι κινήσεις μὲν οὐδαμῶς ἢ οὐ τοιαῦται, ἐνέργειαι δὲ τῆς ψυχῆς. εἰ δὲ καὶ τὰς ἐνεργείας τις κινήσεις λέγοι, πρὸς τοὔνομα ὅπερ εἶπον καὶ πρότερον, οὐ χρὴ φιλονεικεῖν, διορίζεσθαι δὲ ὅτι, εἴπερ καὶ τὰ τοιαῦτα κινήσεις, ἀλλ' ἕτερόν γε εἶδος τοῦτο κινήσεως, ὅπερ καὶ αὐτὸς διαρρήδην ἐφεξῆς συγχωρεῖ. φησὶ γὰρ ἐπὶ τοῦ θεωροῦντος καὶ φρονοῦντος καὶ διδασκομένου, ὅπερ ἢ οὐκ ἔστιν ἀλλοιοῦσθαι· εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν· ἢ ἕτερον γένος ἀλλοιώσεως. καὶ πάλιν· τὸ δὲ ἐκ δυνάμει ὄντος μανθάνον καὶ λαμβάνον ἐπιστήμην ὑπὸ τοῦ ἐντελεχείᾳ ἐπισταμένου ἤτοι οὐδὲ πάσχειν φατέον, ἢ δύο τρόπους εἶναι ἀλλοιώσεως. καὶ ἐν τῷ τρίτῳ γε αὖθις· φαίνεται δὲ τὸ μὲν αἰσθητὸν ἐκ δυνάμει ὄντος τοῦ αἰσθητικοῦ ἐνεργείᾳ ποιοῦν· οὐ γὰρ πάσχει οὐδὲ ἀλλοιοῦται, διὸ ἄλλο τοῦτο εἶδος κινήσεως· ἡ γὰρ κίνησις τοῦ ἀτελοῦς ἐνέργεια· ἡ δὲ ἁπλῶς ἐνέργεια ἑτέρα ἐστὶν ἡ τοῦ τετελεσμένου, ἐν οἷς σαφῶς τὴν μὲν κυρίως λεγομένην κίνησιν οὐχ ἁπλῶς ἐνέργειαν, ἀλλ' ἀτελοῦς ἐνέργειαν λέγει, τὴν δὲ τοῦ τετελεσμένου ἁπλῶς ἐνέργειαν, καὶ διὰ τοῦτο ἄλλο εἶδος κινήσεως, ὥστε δῆλον ὅτι μάχοιτο ἂν οὐ πρὸς τὸ κινεῖσθαι προηγουμένως τὴν ψυχήν, ἀλλὰ πρὸς τὸ μὴ κινεῖσθαι τὰς τοῦ σώματος κινήσεις. καὶ ταῦτα μὲν οὐχ οὕτω χα-

4 τὰ om M  11 φησὶ] II, 5 p. 417 b, 5.  15 πάλιν] ibidem v. 12 ubi pro ἐπισταμένου legitur ὄντος καὶ διδασκαλικοῦ  16 ἤτοι] ἢ M  18 τρίτῳ] III, 7 p. 431, 4.

λεπῶς ἂν διακριθείη, καίτοι καὶ ταῦτα οὐ πολλὴ ῥαστώνη διιδεῖν. εἰ γὰρ ὥσπερ ἡ μάχαιρα τέμνει τῷ σχήματι, καὶ ἡ σφαῖρα κυλινδεῖται τῷ σχήματι, αὐτὸ δὲ τὸ σχῆμα οὔτε τέμνει οὔτε κυλινδεῖται, οὕτω καὶ ὁ ἄνθρωπος ὀργίζεται μὲν τῇ ψυχῇ, αὐτὴ δὲ οὐκ ὀργίζεται ἡ ψυχή, ἄγαν ὁμοίαν ἐστὶ ποιούντων τοῖς συμβεβηκόσι τὴν ψυχήν. ἀλλ' ἡ μὲν σφαῖρα οὐχ οἵα τε ἐξ ἑαυτῆς ἄλλας ἀπ' ἄλλων κινεῖσθαι κινήσεις, οὐδὲ ἡ μάχαιρα τέμνει ποικίλας τομὰς ἐξ ἑαυτῆς, ἡ δὲ ψυχὴ τῶν κινήσεων αὐτὴ κατάρχει καὶ μεταβαίνειν οἵα τε ἐξ ἄλλης εἰς ἄλλην, καὶ τὸ μεταβαίνειν ἐπ' αὐτῆς, καὶ τὸ μεταβάλλειν οὐ λέγεται τὸν αὐτὸν τρόπον ὅνπερ ἐπὶ τῶν σωμάτων· ἐπὶ μὲν γὰρ τῶν σωμάτων ἅπασαι αἱ τοιαῦται φωναὶ σημαίνουσι τὸ κινεῖσθαι αὐτὰ σωματικῶς, τοῦτο δέ ἐστιν ἐν χρόνῳ καὶ συνεχεῖ κινήσει καὶ ἐξ ἀτελοῦς εἰς τέλειον· ἐπὶ δὲ τῆς ψυχῆς αἱ τοιαῦται μεταβολαὶ ἄχρονοί τε πᾶσαι καὶ διωρισμέναι καὶ οὐκ ἠρέμα προϊοῦσαι ἐκ τοῦ δυνάμει εἰς ἐνέργειαν, ἀλλὰ ἀθρόως, ὥσπερ ἡ ὄψις ἀπὸ τῶν λευκῶν εἰς τὰ μέλανα. ἀλλὰ ταῦτα μὲν ὅπερ ἔφην, οὐ λίαν ἐργώδη· ἃ δὲ ἐπάγει περὶ τοῦ νοῦ, πολλῆς δεῖται ἐπισκέψεως καὶ φροντίδος. ἀναγκαῖον δὲ αὐτὴν παραθέσθαι τοῦ φιλοσόφου τὴν ῥῆσιν μηδὲν μεταθέντας ἕνεκα τῆς σαφηνείας· οὐ γὰρ οὕτως ἀσαφῆ τὰ λεγόμενα ὡς δύσκριτα εἶναι καὶ δυσδιόριστα. λέγει τοίνυν· ὁ δὲ νοῦς ἔοικεν ἐγγίγνεσθαι οὐσία τις οὖσα καὶ οὐ φθείρεσθαι· μάλιστα γὰρ ἐφθείρετο ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως·

8 ἀπ'] ὑπ' A 10 αὐτὴ] αὐτῶν M V 12 fort. τὸ μεταβάλλειν. τὸ δὲ μεταβάλλειν 16 ἐξ om M τὸ τέλειον V 20 τὰ om M 21 ἅπερ M V οὐ] οὕτω M 26 λέγει τοίνυν] pag. 408 b, 18.

*νῦν δὲ ὅπερ ἐπὶ τῶν αἰσθητηρίων συμβαίνει. εἰ γὰρ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, βλέποι ἂν ὥσπερ καὶ ὁ νέος, ὥστε τὸ γῆρας οὐ τῷ τὴν ψυχήν πεπονθέναι, ἀλλ' ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις. καὶ τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται ἄλλου τινὸς εἴσω φθειρομένου, αὐτὸ δὲ ἀπαθές ἐστι· τὸ δὲ διανοεῖσθαι καὶ φιλεῖν ἢ μισεῖν οὐκ ἔστιν ἐκείνου πάθη, ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο ᾗ ἐκεῖνο ἔχει· διὸ καὶ τούτου φθειρομένου οὔτε μνημονεύει, οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ κοινοῦ ὃ ἀπόλωλεν, ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν. ἐν γὰρ τούτοις πρῶτον μὲν ἐπιζητητέον ὑπὲρ τῆς ἀκολουθίας τῶν λεγομένων· περὶ γὰρ τοῦ μὴ κινεῖσθαι τὴν ψυχὴν λέγων τὸν νοῦν οὐσίαν φησὶν οὖσαν ἐγγίγνεσθαι καὶ μὴ φθείρεσθαι, οὐδεμιᾶς οὔσης ἀνάγκης περὶ φθορᾶς νῦν ἐπισκοπεῖν τοῦ νοῦ, διότι μηδὲ περὶ τῆς ἄλλης ψυχῆς, ἀλλ' εἴπερ ἄρα περὶ τοῦ κινεῖσθαι τὸν νοῦν ἢ μὴ κινεῖσθαι. εἶτα ἃ φέρει εἰς σύστασιν τοῦ μὴ φθείρεσθαι τὸν νοῦν, πῶς οὐ ταῦτα ἁρμόσει καὶ ἐπὶ τῶν αἰσθήσεων ἄντικρυς; καὶ οὐχ ἡμᾶς τοῦτο δεῖ προσαπορεῖν, ἀλλ' αὐτός φησι διαρρήδην· μάλιστα γὰρ ἐφθείρετ' ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως, νῦν δὲ ὅπερ ἐπὶ* fol. 71b. *τῶν αἰσθητηρίων συμβαίνει. εἰ γὰρ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, βλέποι ἂν ὥσπερ καὶ ὁ νέος καὶ τὰ ἑξῆς· ἐξ ὧν δῆλόν ἐστι, καθάπερ τὴν αἴσθησιν τίθεται μὴ συμπάσχειν καμοῦσι τοῖς ὀργάνοις ὑπὸ τοῦ γήρως, οὕτω καὶ τὸν νοῦν μὴ συγκάμνειν τῷ ἔνδον ὀργάνῳ, καὶ οὐδὲ ἐπὶ τῆς αἰσθήσεως ἵσταται*

1 *δὲ ὅπερ*] *δ' ἴσως ὅπερ* Ar. alii *δ' ὥσπερ* 3 *τῷ*] *τὸ* M *ψυχὴν*] *ψυχήν τι* Arist. 4 *ἐν νόσοις καὶ μέθαις* M 8 *ᾗ ἐκεῖνο ἔχει* om M V 26 *δῆλος* A 28 *οὕτω*] *οὔτε* A

μόνης. ἀλλὰ τί φησι· ὥστε τὸ γῆρας οὐ τῷ τὴν ψυχὴν πεπονθέναι, ἀλλ' ἐν ᾧ καθάπερ ἐν μέθαις καὶ νόσοις; εἰ οὖν μάλιστα μὲν ὁ νοῦς ἐφθείρετ' ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως, οὐ φθείρεται δέ, ἀλλὰ ἄλλου τινὸς εἴσω φθειρομένου αὐτὸς ἀπαθὴς καὶ ἀθάνατος, ταὐτὸν ἁρμόζει καὶ ἐπὶ τῆς ψυχῆς· εἰ γὰρ τὸ γῆρας οὐκ ἐν τῷ τὴν ψυχὴν πεπονθέναι, ἀλλ' ἐν ᾧ καθάπερ ἐν μέθαις καὶ νόσοις, εἰ δὲ τοῦτο, καὶ ἡ φυτικὴ ἀπαθὴς ἂν εἴη καὶ ἡ ψυχή, καὶ διὰ τοῦτο ἀθάνατος. ἀλλὰ καὶ τὸ ὄργανον τοῦ νοῦ τί ποτ' ἂν εἴη τὸ τοῖς ὄμμασιν ἀναλογοῦν, οὗ φησιν εἴσω φθειρομένου τὸν νοῦν ἀπαθῆ διαμένειν; καὶ τοῦτό γε τὸ ὄργανον ἆρα μόνον ἐν ἀνθρώπῳ ἢ καὶ ἐν τοῖς ἄλλοις ζώοις ὑπάρχει; καὶ ὅλως εἰ χρῆται τῷ ὀργάνῳ ἀφανεστέρῳ, πῶς οὐκ εὔλογον καὶ τὴν ψυχὴν τὴν αἰσθητικὴν χωριστὴν ποιεῖν τῶν ὀργάνων; οὐ γὰρ δὴ ὅτι τοῦ μὲν εἴσω τὸ ὄργανον, τῆς δὲ ἔξω καὶ ἐν προδήλῳ, τοῦτο ἀρκέσει πρός γε τοσαύτην διαφοράν. τί δὲ δὴ διαφέρει τὸ διανοεῖσθαι τοῦ νοεῖν; ἆρα τὸ νοεῖν μὲν ὅταν τοὺς ἁπλοῦς ὅρους καταλαμβάνῃ, τὸ διανοεῖσθαι δὲ ἐν τῷ συντιθέναι τούτους καὶ διαιρεῖν; τίς οὖν ἀμείνων δύναμις; ἆρα ἡ τῶν ἁπλῶν ἀντιλαμβανομένη ἢ ἡ τὰ ἁπλᾶ ταῦτα συντιθεῖσα καὶ διαιροῦσα; δόξειε γὰρ ἂν τοῦτο μείζονος εἶναι δυνάμεως, ὥσπερ καὶ ἐπὶ τῶν τεχνῶν. τὸ μὲν γὰρ τὰ ἁπλᾶ γιγνώσκειν ξύλα καὶ λίθους, οὐ τέχνης· τὸ δὲ τὴν τούτων σύνθεσιν, τοῦτο ἤδη τέχνης. ἢ τοῦτο μὲν οὐ χαλεπὸν ἀπολύσασθαι; τὸ γὰρ ψεῦδος ἐν τῇ συνθέσει καὶ τὸ ἀληθές, καὶ νοεῖν μὲν οὐχ οἷόν τε

1 οὐ τῷ] οὕτω M 8 εἰ δὲ τοῦτο καὶ ἡ φυτικὴ om M 14 τῷ om A 16 χωριστὴν om M 17 δὴ ὅτι] διότι AV 23 ἢ ἡ] ἢ A 28 ἀπολύσασθαι] ἐπιλῦσαι M 29 νοεῖν] νοεῖ M

ψευδῶς, διανοεῖσθαι δὲ οἷόν τε· κἀκεῖνο μὲν ἐπιβολὴ καὶ θίξις ἐστὶ τοῦ νοουμένου, τοῦτο δὲ ὥσπερ κίνησις περὶ αὐτὸ καὶ ἐπέλευσις καὶ ἀσθένεια τοῦ κατασχεῖν ἄθρουν, ὥσπερ καὶ οἱ τυφλώττοντες παρὰ τοὺς ὀξὺ ὁρῶντας. ἀλλ' ἃ μὲν ἀπορήσειεν ἄν τις, ταῦτα καὶ τοιαῦτά ἐστιν· ἃ δ' ἄν τις περὶ αὐτῶν θαρρήσειεν ὑπονοῆσαι, εἰς ἕτερον χρὴ καιρὸν ταμιεύεσθαι, ἐν ᾧ καὶ ὁ φιλόσοφος φανερόν τι περὶ αὐτῶν διορίζεται. νῦν γὰρ ἀποροῦντι καὶ αὐτὸς μᾶλλον ἢ διδάσκοντι προσέοικε.

Μετὰ δὲ ταῦτα διελέγχει τὸν Ξενοκράτους ὁρισμὸν τῆς ψυχῆς, οὐ πρὸς τοὔνομα τοῦ ἀριθμοῦ μαχόμενος, ὥς φησιν Ἀνδρόνικος καὶ Πορφύριος, ἀλλὰ καὶ πάνυ τὴν διάνοιαν ἐπιζητῶν τὴν Ξενοκράτους, ὡς δῆλόν ἐστιν ἐκ τῶν περὶ φύσεως αὐτῷ γεγραμμένων, ἐν οἷς ἂν δόξειε μοναδικὸν ποιεῖν ἀριθμὸν τὴν ψυχὴν ὁ Ξενοκράτης. τοῦτον γὰρ τὸν λόγον φησὶ πολὺ τῶν εἰρημένων ἀλογώτατον εἶναι· ὑπάρχειν γὰρ τὰ ἀδύνατα τοῖς οὕτω λέγουσι, πρῶτον μὲν τὰ ἐκ τοῦ κινεῖσθαι συμβαίνοντα, ἰδίᾳ δὲ τὰ ἐκ τοῦ λέγειν αὐτὴν ἀριθμόν. πῶς γὰρ χρὴ νοῆσαι μονάδας κινουμένας; καὶ πότερον αἱ μὲν κινοῦσιν αὐτῶν, αἱ δὲ κινοῦνται; ἢ ἑκάστη ἅμα κινεῖ καὶ κινεῖται; εἰ μὲν γὰρ ἑκάστη ἅμα, πῶς ἀμερὴς καὶ ἀδιάφορος οὖσα κινητική τε ἅμα ἂν εἴη καὶ κινητή; ταῦτα γὰρ πολὺ διαφέρει. εἰ δὲ αἱ μὲν κινοῦσι τῶν μονάδων, αἱ δὲ κινοῦνται, οὐ τὸ σύστημα αὐτῶν ὅλον ψυχή, ἀλλ' εἴπερ ἄρα αἱ κινοῦσαι μόνον ἐν τῷ συστήματι. ὅλως

6 περὶ om A  8 τι om M  10 προσέοικε] ἔοικεν M ἔοικε V  11 δὲ om M V  19 τὰ om M  πρῶτον] sic in Ar. cod. X, ceteri πρῶτα  23 κινεῖ — ἅμα om M  25 ἅμα om A

δὲ εἰ κινεῖται μονάς, ἀναγκαῖον δήπου θέσιν ἔχειν αὐτήν, θέσιν δὲ προσλαμβάνουσα μονὰς στιγμὴ γίνεται, στιγμῆς δὲ κίνησις γραμμὴν μὲν ποιεῖ, ζωὴν δὲ οὔ. ἀναγκαῖον δὲ τὴν ἐν τῇ ψυχῇ μονάδα θέσιν ἔχειν, καὶ ἤδη που εἶναι· καὶ γὰρ καὶ ἡ ψυχή. ἔτι δὲ ἀπ' ἀριθμοῦ μὲν ἐὰν ἀφέλῃ ἀριθμὸν ἢ μονάδα, λείπεται [ἄλλος] ἀριθμός· τὰ δὲ φυτὰ καὶ τῶν ζώων πολλὰ οἷον τὰ ἔντομα διαιρούμενα ζῇ καὶ δοκεῖ τὴν αὐτὴν ἔχειν ψυχὴν τῷ εἴδει. πρὸς δὲ τούτοις εἰ θέσιν ἔχουσιν αἱ μονάδες αἱ τῆς ψυχῆς, οὐδὲν διοίσει μονάδας λέγειν, ἢ σώματα σμικρὰ τὴν ψυχήν, οἷα καὶ Δημόκριτος τὰ σφαιρικά· καὶ γὰρ εἴ τις ὑπόθοιτο τὰς Δημοκρίτου σφαίρας μηκέτι σφαίρας, ἀλλὰ στιγμάς, μόνον δὲ αὐτῶν τηροίη τὸ ποσόν, οὐδὲν κωλύει τὰς μὲν κινεῖν αὐτῶν, τὰς δὲ κινεῖσθαι, ὥσπερ εἰ σμικρὰ σώματα ἦσαν. οὐ γὰρ διὰ τὸ μεγέθει διαφέρειν ἢ σμικρότητι αἱ μὲν ἔσονται ψυχαί, αἱ δ' οὔ. ἀλλ' εἰ τὸν ἀριθμὸν φυλάττοιεν, ἡ σμικρότης γε αὐτὰς οὐδὲν κωλύσει. πῶς δὲ δὴ καὶ δυνατὸν μονάδας εἶναι τὴν ψυχήν; τίνι γὰρ διοίσουσι τῶν ἄλλων μονάδων; εἰ γὰρ μόνῃ τῇ θέσει καὶ τῷ κινεῖσθαι, στιγμὰς αὐτὰς ἤδη προσήκει καλεῖν, οὐχὶ μονάδας. ἐπειδὴ τοίνυν ἅπαν σῶμα στιγμὰς ἔχει, καὶ πρὸ τῆς ψυχῆς δῆλον ὅτι αἱ τῆς ψυχῆς στιγμαὶ ἐν τῷ αὐτῷ ἔσονται τόπῳ ταῖς ἐν τῷ σώματι, καὶ καθέξει χώραν ἑκάστη στιγμὴ τῆς ψυχῆς τῆς στιγμῆς τῆς ἐν τῷ σώματι, καὶ τί κωλύσει ἐν τῷ αὐτῷ εἶναι καὶ δύο; καὶ εἰ δύο, διὰ τί μὴ καὶ πλείους ἢ καὶ ἀπείρους; ὧν

---

1 *ἀναγκαῖον — μονὰς* om M 3 *ζωὴν*] *ζῶον* A 6 *ἀφέλῃς* A 7 *ἄλλος* om M V 14 *τὸν ποσὸν* M 16 *διὰ τὸ μεγέθει διαφέρειν*] *δῆτα μεγέθει* M 27 *καὶ τί*] *καίτοι τί* Aristot.

*γὰρ ὁ τόπος ἀδιαίρετος, καὶ αὐτὰ συντιθέμενα διαιρετὸν οὐ ποιεῖ μέγεθος, οὐδὲ δεῖ πλείονος τόπου. εἰ δὲ ὁ τῶν ἐν τῷ σώματι στιγμῶν ἀριθμός ἐστιν ἡ ψυχή, διὰ τί οὐ πάντα ψυχὴν ἔχει τὰ σώματα; ἔτι δὲ πῶς ἂν ἀπολύοιντο τῶν σωμάτων, εἴπερ μηδὲ αἱ στιγμαὶ τῶν γραμμῶν, μηδὲ αἱ γραμμαὶ τῶν ἐπιπέδων;*

5 *Συμβαίνει γὰρ τοῖς οὕτω τιθεμένοις τὸ μέν τι κοινὸν ἄτοπον, ὃ καὶ τοῖς σῶμα λεπτομερὲς τὴν ψυχὴν ποιοῦσιν, ἕτερον δὲ παρὰ τούτους, ὃ καὶ τοῖς συνιστᾶσιν αὐτὴν ἐκ μικρῶν σφαιρίων, ὥσπερ Δημόκριτος. τὸ μὲν οὖν κοινὸν τοῖς σῶμα αὐτὴν τιθεμένοις, ὅτι ἐκεῖνοι μὲν δύο σώματα ποιοῦσι ἐν τῷ αὐτῷ τόπῳ, οὗτοι δὲ ἐν μιᾷ στιγμῇ πολλὰς στιγμάς· ἴδιον δέ, ὅτι κινοῦσι τὸ ζῷον ὑπ' ἀριθμοῦ, καθάπερ καὶ Δημόκριτον ἔφαμεν ὑπὸ τοῦ ἀριθμοῦ τῶν σφαιρῶν·* fol. 72. *τί γὰρ διαφέρει σφαίρας μικρὰς ὑποτίθεσθαι τῆς κινήσεως αἰτίας τῷ μεταρρεῖν ἢ μονάδας, εἴτε μεγάλας εἴτε μικράς, ἀλλ' ὅμως κινουμένας, καὶ κατὰ τοῦτο κινούσας; τοῖς δὴ συμπλέξασιν εἰς τὸ αὐτὸ κίνησιν καὶ ἀριθμὸν ταῦτά τε συμβαίνει καὶ πολλὰ ἕτερα τοιαῦτα· οὐ γὰρ ὅλως τοῦ εἴδους τῆς ψυχῆς εἰς ἔννοιαν ἐλθεῖν ἐκ τοῦ τοιούτου λόγου δυνατόν, ὅπερ βούλεται πᾶς ὁρισμός, ἀλλ' οὐδὲ τῶν συμβεβηκότων τι λαβεῖν. δῆλον δὲ εἴ τις ἐπιχειρήσειεν ἐκ τοῦ λόγου τούτου τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἀποδιδόναι, οἷον λογισμοὺς αἰσθήσεις ἡδονὰς λύπας, ὅσα ἄλλα τοιαῦτα· ὡς γὰρ εἴπομεν πρότερον, οὐδὲ μαντεύσασθαι ῥᾴδιον ἐξ αὐτῶν.*

---

1 *συντεθημένα* M, *συντεθιμενα* V, pro *συντεθειμένα* 20 *τε*] *γε* M 22 *ἐκ*] *καὶ* M V 24 *λόγου τούτου*] *τοιούτου* M V 28 *ῥᾴδιον*] *τι ῥᾴδιον* A

Ἃ μὲν οὖν Ἀριστοτέλης ἀπορεῖ πρὸς τὸν Ξενοκράτους ὁρισμὸν τῆς ψυχῆς, ταῦτ' ἔστιν· ἃ δὲ ὁ τὰ Ἀριστοτέλους ἀδιανόητα ὀνομάζων, καὶ τὰ καλῶς ἄλλοις εἰρημένα καὶ ἐν καιρῷ οὔτε καλῶς οὔτε ἐν καιρῷ μεταφέρων αὐτός, ἄλλης ἂν εἴη σχολῆς ἐξετάζειν, ἀλλὰ χρὴ παραβάλλειν τὰ Ἀνδρονίκου πρὸς τὰ ἐκείνου, ὅσῳ καὶ σαφέστερα καὶ πιθανώτερα πρὸς σύστασιν τοῦ λόγου τοῦ Ξενοκράτους. ἀριθμὸν γὰρ ἐκάλουν φησὶ τὴν ψυχήν, ὅτι μηδὲν ζῷον ἐξ ἁπλοῦ σώματος, ἀλλὰ κατά τινας λόγους καὶ ἀριθμοὺς κραθέντων τῶν πρώτων στοιχείων. σχεδὸν οὖν ταὐτὸν ἀπεφαίνοντο τοῖς ἁρμονίαν αὐτὴν τιθεμένοις, πλὴν ὅσῳ σαφέστερον οὗτοι τῇ προσθήκῃ τὸν λόγον ἐποίουν, οὐ πάντα ἀριθμόν, ἀλλὰ τὸν κινοῦντα ἑαυτὸν τὴν ψυχὴν ἀφοριζόμενοι, ὥσπερ ἂν εἰ καὶ ἐκεῖνοι μὴ πᾶσαν ἁρμονίαν, ἀλλὰ τὴν ἁρμόζουσαν ἑαυτήν· αὐτὴ γάρ ἐστιν ἡ ψυχὴ τῆς κράσεως ταύτης αἰτία καὶ τοῦ λόγου καὶ τῆς μίξεως τῶν πρώτων στοιχείων. ἀλλ' ὅπερ εἶπον, ὅπως μὲν ἔλεγε τὴν ψυχὴν ἀριθμὸν εἶναι κινοῦντα ἑαυτὸν Ξενοκράτης, ἐκ τῶν ἐκείνου ληπτέον καὶ μάλιστα ἐκ τοῦ πέμπτου τῶν περὶ φύσεως τἀνδρὶ γεγραμμένων.

Τὰ δὲ ἐφεξῆς ὑπόμνησιν ἔχει τῶν ἀκολουθούντων ἀτόπων τοῖς τε κινεῖσθαι λέγουσι τὴν ψυχὴν καὶ τοῖς σῶμα αὐτὴν τιθεμένοις, κἂν τὸ λεπτομερέστατον αὐτὸ ποιῶσι, κἂν τὸ τῶν ἄλλων ἀσωματώτατον. λείπεται δέ φησιν ἐπισκέψασθαι, πῶς λέγεται τὸ ἐκ τῶν στοιχείων αὐτὴν εἶναι· λέγουσι μὲν γάρ, ἵνα αἰσθάνηται τῶν ὄντων καὶ ἕκαστον ὅπως ἔχει γνωρίζῃ,

---

2 ὁρισμὸν] ἀριθμὸν M V 8 γὰρ om A 13 ὅσον A 16 ἑαυτήν] ἑαυτῷ M 19 ἀριθμὸν τὴν ψυχὴν M 29 ἔχῃ A

*ἀναγκαῖον δὲ μηδ' οὕτω συμβαίνειν ὅ προαιροῦνται. θέμενοι γὰρ ὅτι γνωρίζεται τῷ ὁμοίῳ τὸ ὅμοιον, διὰ τοῦτο ποιοῦσιν αὐτὴν ἐκ τῶν στοιχείων οἰόμενοι πάντα αὐτὴν οὕτω τὰ πράγματα γνωριεῖν. εἰ μὲν οὖν τὰ στοιχεῖα μόνα ἦν τὰ ὄντα, καλῶς· νῦν δὲ πολλῷ πλείω τὰ ἐκ τῶν στοιχείων, μᾶλλον δὲ ἴσως καὶ ἄπειρα· γαίῃ μὲν οὖν γαῖαν ὀπώπαμεν καὶ ὕδατι ὕδωρ, θεὸν δὲ πῶς; ἄνθρωπον πῶς; τὰ δὲ ἄλλα σύνθετα οἷον σάρκας καὶ ὀστοῦν; οὐ γὰρ δήπου τῷ ἐν ἡμῖν ἵππῳ τὸν ἔξω ἵππον; οὐ γὰρ ὁπωσοῦν ἔχοντα τὰ στοιχεῖα τούτων ἕκαστον, ἀλλὰ λόγῳ τινὶ καὶ συνθέσει, καθάπερ φησὶν Ἐμπεδοκλῆς τὸ ὀστοῦν*

*ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι*
*τῶν δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης*
*τέσσαρα δ' Ἡφαίστοιο, τὰ δ' ὀστέα λευκ' ἐγένοντο.*

*οὐδὲν οὖν ὄφελος εἶναι τὰ στοιχεῖα τὴν ψυχήν, εἰ μὴ καὶ ὁ λόγος ἑκάστου ἐνέσται καὶ ἡ σύνθεσις ἡ ἑκάστου· γνωριεῖ γὰρ οὕτως ἑκάστῳ τὸ ὅμοιον, τοῖς μὲν στοιχείοις ἐξ ὧν αὐτή, τὰ στοιχεῖα ἐξ ὧν τὸ πρᾶγμα, τῇ δὲ συνθέσει τῇ ἐν αὐτῇ τὴν σύνθεσιν τὴν ἐν τῷ πράγματι. τοῦτο δὲ ὅτι ἀδύνατον, οὐδὲν δεῖ λέγειν. τίς γὰρ ἂν ἀπορήσειεν, εἰ ἐν τῇ ψυχῇ λίθος ἢ ἄνθρωπος, καὶ εἰ πλάτανος, καὶ εἰ συκῆ, ὁμοίως δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ μὴ ἀγαθόν, καὶ ὅλως πάντα τὰ ὄντα, καὶ οὐ τοὺς λόγους αὐτῶν μόνον, ἀλλὰ καὶ αὐτὰ ὅλα τὰ πράγματα. τὰ δὲ γένη καὶ τὰ καθόλου πῶς γνωριεῖ, ἃ διηρίθμηται ἐν κατηγορίαις, οἷον οὐσίαν ποσὸν ποιὸν καὶ τὰ ἐφεξῆς; οὐ γὰρ δὴ καὶ τὰ γένη στοιχεῖα, ἀλλ' οὐδὲ ἐκ τῶν στοιχείων, ἀλλὰ τὰ*

---

8 *πῶς τὰ δὲ*] *δὲ πῶς τὰ* A. fort. *τά τε* 13 *εὐστέρνοις*] *εὐρυστέρνης* A 19 *αὐτή* Victorius, *αὕτη* libri 24 *τὸ* ante *μὴ* om M V 25 *καὶ* post *ἀλλὰ* om A 28 *ποιὸν*] *καὶ πρός τι* M V

μὲν πλείω τῶνδε καὶ πόρρω παντάπασι τοῦ καὶ νομισθῆναι στοιχεῖα, οἷον τὸ πρός τι ἢ τὸ ποιεῖν ἢ τὸ πάσχειν ἢ τὸ κινεῖσθαι ἢ τὸ ἔχειν, τὸ ποιὸν δὲ εἴπερ ἄρα καὶ τὸ ποσὸν ἀμφισβητήσιμα· ἀλλ' οὐδὲ ταῦτα. νοήματα γὰρ ἦν ἡμέτερα τὰ γένη καὶ οὐ στοιχεῖα τῶν ὄντων. ἀλλ' ἔστωσαν καὶ αἱ κατηγορίαι στοιχεῖα. πότερον οὖν ἐξ ἁπασῶν ἔσται ἡ ψυχή; ἀλλ' οὐ δοκεῖ κοινὰ πασῶν εἶναι τὰ στοιχεῖα, οἷον ἀνθρώπου καὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν καὶ τῶν ἐφεξῆς, ἀλλ' ἐκ μόνης τῆς οὐσίας. πῶς οὖν γνωριεῖ τὸ ποσόν; ἢ φήσουσιν ἑκάστου γένους εἶναι στοιχεῖα καὶ ἀρχὰς ἰδίας ἐξ ὧν τὴν ψυχὴν συνεστάναι; ἀλλ' ἡ μὲν ψυχὴ οὐσία, ἐκ δὲ τῶν τοῦ ποσοῦ στοιχείων ποσὸν γίγνεται καὶ οὐκ οὐσία, καὶ ἐκ τῶν τοῦ πρός τι πρός τι γίνεται καὶ οὐκ οὐσία. τοῦ δὲ δὴ ποιεῖν καὶ τοῦ πάσχειν καὶ τοῦ κινεῖσθαι καὶ τοῦ ἔχειν στοιχεῖα ζητεῖν μὴ γέλοιον ᾖ, εἰ δεῖ γέλοιον λέγειν τὸ ἀδύνατον. ἑτέραν οὖν αἰτίαν ζητητέον τοῦ τὴν ψυχὴν γιγνώσκειν τὰ ὄντα καὶ τοῦ τὰ ὄντα πῶς εἶναι· τοῖς γὰρ διὰ τοῦτο λέγουσιν ἐκ πάντων αὐτήν, ἵνα πάντα γνωρίζῃ καὶ ἅπαντα ᾖ, ταῦτα καὶ τοιαῦθ' ἕτερα ἄτοπα συμβαίνει.

Ἀτοπώτεροι δὲ τούτων οἱ δόντες μὲν ἀπαθὲς εἶναι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, αἰσθάνεσθαι δὲ πάλιν τιθέμενοι τὸ ὅμοιον τοῦ ὁμοίου, εἶτα [καὶ] τὸ αἰσθάνεσθαί τι λέγοντες πάσχειν καὶ τὸ νοεῖν καὶ τὸ γιγνώσκειν. θαυμαστὸς δὲ Ἐμπεδοκλῆς, γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν λέγων, οὐχ ὁρῶν δὲ ὅτι καὶ ἐν τοῖς τοῦ ζώου μορίοις ὅσα γῆς ἁπλῶς, οἷον ὀστᾶ νεῦρα

---

9 τοῦ ante πάσχειν om AV 14 καὶ ἐκ — οὐσία om M 15 πάσχειν] ἐπέχειν M 21 συμβαίνει ἄτοπα A 25 καὶ om M V 26 πάσχειν τι λέγοντες M

*τρίχες, ταῦτα τῶν ἄλλων ἀναισθητότατα, καίτοι προσῆκε τῶν γοῦν ὁμοίων ταῦτα αἰσθάνεσθαι. ἔτι δὲ ἑκάστῳ τῶν στοιχείων ἄγνοια πλείων ἢ σύνεσις ὑπάρξει· γνώσεται μὲν γὰρ ἕν, πολλὰ δ' ἀγνοήσει· πάντα γὰρ τὰ ἄλλα. συμβαίνει δὲ Ἐμπεδοκλεῖ καὶ ἀφρονέστατον ποιεῖν τὸν θεόν· ὁ μὲν γὰρ σφαῖρος αὐτῷ ὁ θεὸς παριὼν ἐκ τῆς κατὰ τὴν φιλίαν συγκρί-* fol. 72b. *σεως, ἀμέτοχος δὲ ὢν τοῦ νείκους οὐ γνωριεῖ μόνος τὸ νεῖκος, τὰ δὲ ζῶα καὶ θνητὰ πάντα τῷ πάντων μετέχειν ἅπαντα γνωριεῖ· ἐκ πάντων γὰρ τὰ θνητὰ τῶν στοιχείων. ὅλως τε διὰ τίνα αἰτίαν οὐχ ἅπαντα ψυχὴν ἔχει τὰ ὄντα, ἐπειδὴ πάντα ἢ στοιχεῖά ἐστιν ἢ ἐκ στοιχείων; πῶς δὲ δὴ καὶ ἓν ἔσται κατ' αὐτοὺς ἡ ψυχή; πλῆθος γὰρ τὰ στοιχεῖα. διὸ καὶ μᾶλλον ὕλῃ ἔοικεν, εἰδοποιεῖ δὲ ταῦτα καὶ κίρνησιν ἄλλη τις φύσις κυριωτέρα ἡ καὶ συνέχουσα ταῦτα καὶ ἑνοποιοῦσα. ἐκείνην οὖν μᾶλλον εἶναι τὴν ψυχὴν θετέον ἢ τὰ στοιχεῖα· τὸ γὰρ βέλτιον καὶ κρεῖττον ψυχή· κρεῖττον δὲ ἀεὶ τὸ συνέχον τοῦ σκεδαννυμένου. οἱ δὲ οὐκ αἰσχύνονται καὶ τοῦ νοῦ τὰ στοιχεῖα ποιοῦντες στοιχεῖα· τὸ γὰρ βέλτιον αἰεὶ ποιεῖ, ὥσπερ ἂν εἰ καὶ τοῦ τεχνίτου τὴν ὕλην, καίτοι γε εὔλογον τὸ βέλτιον εἶναι καὶ προγενέστατον καὶ κυριώτατον, οὐ τὰ στοιχεῖα. κοινῇ δὲ ἅπασιν ἄν τις τοῦτο ἐπικαλέσειεν, ὅτι μὴ περὶ πάσης λέγουσι τῆς ψυχῆς, ἀλλ' οἱ μὲν ἐπὶ τὴν κινητικὴν δύναμιν αὐτῆς ἀπενεχθέντες τῶν λοιπῶν ὠλιγώρησαν, οἱ δὲ ἐπὶ τὴν καταληπτικὴν καὶ γνωριστικήν, τὰς δ' ἄλλας οὐ προσπεποίηνται. καίτοι γε ἔστι πολλὰ τῶν ζώων φανερῶς μὲν ἔμψυχα,*

7 ὁ θεὸς] ὁ om A 15 ὕλῃ ἔοικεν M 18 τὸ γὰρ] καὶ γὰρ A 21 βέλτιον] βέλτιστον A (V?) 23 εἶναι καὶ] καὶ om A 26 ἐπενεχθέντες A

μόνιμα δὲ κατὰ τόπον, ὥστε οὐκ ἂν ἔχοι τὴν κινητικὴν ψυχὴν ἧς οὐκ ἀπολαύει. δυοῖν τοίνυν θάτερον ἀναγκαῖον· ἢ γὰρ ἄψυχα ταῦτα θετέον, ἢ εἴπερ ἔμψυχα ὡς δοκεῖ, ζητητέον, τί δήποτε οὐ κινεῖται κατὰ τόπον, ἀλλὰ τρέφεται μὲν καὶ αὔξεται καὶ αἰσθάνεται, μεταβαίνει δὲ οὐκέτι. καίτοι ταύτας μὲν τὰς κινήσεις, λέγω δὲ τὴν αὔξησιν καὶ τὴν αἴσθησιν, εἰ καὶ κινεῖται ὡς ἔμψυχα, ἀλλ' οὐχ ὑπὸ μόνης τῆς ψυχῆς, ἀλλὰ συναίτια γίνεται αὐτοῖς καὶ τὰ ἔξωθεν τοῦ μὲν τρέφεσθαι τὰ τρέφοντα, τοῦ δὲ αἰσθάνεσθαι τὰ αἰσθητά· τῆς δὲ κατὰ τόπον κινήσεως ἡ ψυχὴ μάλιστα κυρία εἶναι δοκεῖ. ὁμοίως δὲ καὶ ὅσοι τὸν νοῦν καὶ τὴν αἴσθησιν ἐκ τῶν στοιχείων ποιοῦσι, καὶ μάλιστα ἰδίας εἶναι ὑπέλαβον τῆς ψυχῆς ταύτας τὰς δυνάμεις, ἀμελοῦσι τῆς φυτικῆς. ἐκ ποίας οὖν λέγεται ζῆν τὰ φυτά; οὐκ ἔχει γὰρ αἴσθησιν οὐδὲ νοῦν ταῦτα μέν γε οὐδὲ κίνησιν τὴν κατὰ τόπον. ὅταν δὲ δὴ καὶ ταὐτὸν λέγωσιν αἴσθησίν τε καὶ νοῦν, ὥσπερ Δημόκριτος, πῶς οὐ λέγουσι παρὰ τὰ λίαν ἐναργῆ; δῆλα γὰρ δὴ πολλὰ τῶν ζώων αἰσθήσεως μὲν κοινωνοῦντα, διανοίας δὲ μή. εἰ δὲ οὖν τις καὶ τοῦτο συγχωρήσειεν Ἀναξαγόρᾳ καὶ θείη τὸν νοῦν ἐνυπάρχειν ἁπάσῃ ψυχῇ, καὶ μέρος τι εἶναι ταύτης τῆς φύσεως, καὶ πᾶσαν εἶναι ψυχὴν ἐκ πασῶν τῶν δυνάμεων· οὕτω γὰρ ἂν δόξειεν ὑπολαμβάνειν καὶ ὁ οὕτω λέγων

ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε κόρος τε
θάμνος τ' οἰωνός τε

---

2 ψυχὴν κἀπολάβει. δυοῖν M 3 ἄψυχα om M ἔμψυχα] οὐκ ἄψυχα M 16 ἔχει γὰρ] ἔχουσιν M 17 οὐδὲ ante κίνησιν om M 27 κόρος] κοῦρός A. Empedoclis versus 362 Sturz.

ὅμως οὐδ' ἂν οὗτοι λέγοιεν καθόλου περὶ πάσης ψυχῆς· οὐδὲ γὰρ ἐπεξίασιν ἁπάσαις ταῖς δυνάμεσιν, οὐδὲ περὶ ὅλης οὐδεμιᾶς διαλέγονται.

Τοῦτο δὲ πέπονθε καὶ ὁ λόγος ὁ λεγόμενος ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσι· φησὶ γὰρ τῆς ψυχῆς μεταλαμβάνειν τὰ ζῷα παρὰ τὴν πρώτην ἀναπνοήν. πόθεν οὖν τὰ μὴ ἀναπνέοντα ζῇ; λέγω δὲ τὰ φυτὰ καὶ τὰ καλούμενα ζωόφυτα καὶ τὰ ἔντομα. καὶ τοῦτο δὲ λέληθε τοὺς διὰ τοῦτο ἐκ τῶν στοιχείων ποιοῦντας τὴν ψυχήν, ἵνα γινώσκῃ τὰ ὄντα, ὡς οὐκ ἐχρῆν γε ἐξ ἁπάντων διὰ ταύτην τὴν αἰτίαν αὐτὴν συντιθέναι· ἱκανὸν γὰρ θάτερον μέρος τῆς ἐναντιώσεως ἑαυτό τε κρίνειν καὶ τὸ ἀντικείμενον· καὶ γὰρ τῷ εὐθεῖ καὶ τὸ εὐθὺ κρίνομεν καὶ τὸ καμπύλον· κριτὴς γὰρ ἀμφοῖν ὁ κανών, τὸ δὲ καμπύλον οὔτε καμπύλου κριτήριον οὔτ' εὐθέος.

Ἔστι δὲ καὶ ἑτέρα τις δόξα παρὰ τὰς εἰρημένας περὶ ψυχῆς ἐν παντὶ τῷ ὄντι μεμῖχθαι λέγουσα τὴν ψυχὴν καὶ διὰ παντὸς διήκειν τοῦ κόσμου καὶ πᾶν αὐτοῦ μόριον ἔμψυχον εἶναι. διὰ γὰρ ταύτην τὴν δόξαν καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι. τοιοῦτον δὲ καὶ τὸ

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί

τάχα δὲ καὶ τοῖς ἀπὸ Ζήνωνος σύμφωνος ἡ δόξα, διὰ πάσης οὐσίας πεφοιτηκέναι τὸν θεὸν τιθεμένοις, καὶ ποῦ μὲν εἶναι νοῦν, ποῦ δὲ ψυχήν, ποῦ δὲ φύσιν, ποῦ δὲ ἕξιν, τάχα δὲ καὶ αὐτῷ Πλάτωνι· ψυχὴν γάρ φησιν εἰς τὸ μέσον θεὶς διά παντός τε ἔτεινε

11 ὡς] καὶ M ἐξ om A 20 αὐτοῦ] αὐτῷ M 23 μεσταὶ] Aratus v. 2. 25 ἀπὸ] ὑπὸ A 29 φησιν] Timaeus p. 34 St. 30 Bekk.

καὶ ἔτι ἔξωθεν τὸ σῶμα αὐτῇ περιεκάλυψεν. ἔχει δὲ καὶ αὕτη ἡ δόξα πολλὰς ἀπορίας. διὰ τίνα γὰρ αἰτίαν ἐν μὲν τῷ ἀέρι καὶ τῷ πυρὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐ ποιεῖ ζῷον, ἐν δὲ τοῖς μικτοῖς; καίτοι φασὶ τὴν ἐν τῷ ἀέρι βελτίω, μηδὲ αὐτοῦ τούτου τὴν αἰτίαν ἀποδιδόντες, διὰ τί βελτίων ἡ ἐν τοῖς ἁπλοῖς σώμασι ψυχὴ τῆς ἐν τοῖς συνθέτοις. ἀλλ' ἀμφοτέρως γε ἄτοπόν τι καὶ παράλογον ἀπαντᾷ· καὶ γὰρ τὸ λέγειν ζῷον τὸ πῦρ ἢ τὸν ἀέρα τῶν παραλογωτέρων ἐστί, καὶ τὸ μὴ λέγειν ζῷα σώματα ἔμψυχα ὄντα οὐδὲν ἧττον καὶ αὐτὸ ἄτοπον. ὑπολαβεῖν δὲ ἐοίκασι τὴν ψυχὴν εἶναι ἐν ὅλοις τοῖς ἁπλοῖς σώμασιν, οἷον ἐν ὅλῳ τῷ ἀέρι καὶ ἐν ὅλῳ τῷ ὕδατι, ὅτι ἑώρων ἕκαστον τούτων τοῖς ἑαυτοῦ μορίοις ὁμοειδές, ὥστε εἴπερ τὸ ἐν ἡμῖν ὕδωρ ἔμψυχον, καὶ τὸ πᾶν ὕδωρ· ὥσπερ γὰρ τὰ μόρια τῶν ἁπλῶν σωμάτων ἐναπολαμβανόμενα τοῖς ζῴοις σύνθετα αὐτὰ ἐκ πάντων ποιεῖ, οὕτω καὶ τὰ μόρια τῆς ἑκάστου τῶν στοιχείων ψυχῆς ἔμψυχα αὐτὰ ἀπεργάζεται. ἆρ' οὖν ὥσπερ τὸ σῶμα ὁμοειδὲς τοῦ ἀέρος τό τε ἐν ἡμῖν καὶ τὸ τοῦ ὅλου, οὕτω καὶ τῆς ψυχῆς τῆς ἐν τῷ ὅλῳ ἀέρι ὁμοειδὲς μόριον τὸ ἐν ἡμῖν; ἀλλὰ ὁμοειδὲς μὲν οὔ φασι· βελτίω γὰρ ἐκείνην καὶ ἀθανατωτέραν τιθέασιν. ἀνομοειδὲς δὲ εἴπερ εἴη, οὐκέτ' ἂν αὐτοῖς ὁδῷ προβαίνοι τὸ εὔλογον τοῦ λόγου ᾧ ἠκολούθησαν, ὅτι διὰ τοῦτο ἔμψυχος ὁ ὅλος ἀήρ, ἐπειδὴ καὶ τὸ μόριον αὐτοῦ τὸ ἐν ἡμῖν, εἴπερ ἄλλο μὲν ἐν τούτῳ εἶδος ψυχῆς, ἄλλο δὲ ἐν ἐκείνῳ ἐστί, καὶ τὸ μέν τι ὑπάρχει τῆς ψυχῆς εἶδος τῷ ἀέρι τῷ ἐν ἡμῖν, τὸ δέ τι οὐκέτι, fol. 73.

---

6 ἡ om A 9 παραλογωτέρων] παραβολωτέρων M V, cf. Trendelenb. p. 30. 27 εἴπερ] εἰ γὰρ A

ἀλλὰ τῷ ὅλῳ. ἢ οὖν οὐ ῥητέον τὴν μὲν ἐν τῷ ὅλῳ τῷ ἀέρι ἀθάνατον, τὴν δὲ ἐν ἡμῖν οὐκέτι, ἢ οὐδεμία ἀνάγκη, ὅσον ἐκ τῶν παρ' αὐτῶν λεγομένων, ἐπειδὴ τὰ ἐν ἡμῖν στοιχεῖα ἔχει ψυχήν, καὶ τὰ ἐν τῷ παντὶ στοιχεῖα ἔμψυχα εἶναι. ταύτης δὲ τῆς λέξεως ὅτι μὴ κατεκράτησαν οἱ πρὸ ἡμῶν, ῥᾴδιον συνιδεῖν τοῖς βουλομένοις. ἄλλην οὖν αἰτίαν ζητητέον τοῦ γινώσκειν τὰ ὄντα τὴν ψυχὴν καὶ μὴ τὴν σύνθεσιν τὴν ἐκ τῶν στοιχείων, ἄλλον δὲ καὶ τρόπον κινήσεως αὐτῇ δοτέον, εἴπερ ἄρα ἀναγκαῖον αὐτῇ τὸ κινεῖσθαι καὶ μὴ τούτων τινά, ὧν ὑπ' αὐτῆς κινεῖται τὰ σώματα, μηδὲ ὅλως τὴν τοῦ τέλους ἐντελέχειαν, ἀλλ' εἴπερ τὴν ἐνέργειαν τοῦ τετελεσμένου.

Ἐπειδὴ δὲ τὸ ἐπίστασθαι καὶ τὸ αἰσθάνεσθαι καὶ τὸ δοξάζειν τῷ ἀνθρώπῳ ὑπάρχει διὰ τῆς ψυχῆς, ἔτι δὲ τὸ θυμοῦσθαι καὶ τὸ ἐπιθυμεῖν καὶ τὸ βούλεσθαι, καὶ ὅλως ἡ δύναμις ἡ ὀρεκτική, γίνεται δὲ καὶ ἡ κατὰ τόπον κίνησις τοῖς ζῴοις ὑπὸ τῆς ψυχῆς, καὶ πρὸς τούτοις δὲ αὔξησις καὶ ἀκμὴ καὶ φθίσις, ἀλλὰ αὔξησις μὲν καὶ ἀκμὴ προηγουμένως, φθίσις δὲ κατὰ συμβεβηκός, ὅταν περιῇ τῆς ἐπιρροῆς ἡ ἀπορροή· ταῦτα δὴ ἅπαντά τις ἐννοήσας τὰ ἔργα τῆς ψυχῆς καὶ ὁπόσην ἔχει πρὸς ἄλληλα διαφοράν, εἰκότως ἂν ἀπορήσειε, πότερον ὅλῃ τῇ ψυχῇ τούτων ἕκαστον ἐνεργοῦμεν, καὶ πᾶσα ἡμῖν ὁμοίως αἰσθήσεώς τε αἰτία καὶ ἐπιστήμης καὶ δόξης καὶ ἐπιθυμίας καὶ θυμοῦ καὶ βουλήσεως καὶ τῶν ἄλλων ἃ διηρίθμηται, καὶ δι' ὅλης ἑαυτῆς ταῦτα ἅπαντα ἀποδίδωσι, καὶ τὸ ζῆν δὲ πότερον ἐξ ἑνὸς τούτων ἐστὶν ἢ πλειόνων ἢ

1 τῷ ὅλῳ] τὸ ὅλον M V 8 τὴν ἐκ] τῆς ἐκ A V 16 βούλεσθαι Victorius, βουλεύεσθαι libri 19 καὶ ante πρὸς om A

καὶ ἐκ πάντων, ἢ τούτων μὲν οὐδενός, ἄλλης δέ τινος αἰτίας συνυπαρχούσης. ὅπερ οὖν εἶπον, ἢ διὰ πάσης ἅπαντα, ἢ τὸ μέν τι μόριον αὐτῆς αἰσθητικόν, τὸ δὲ ἐπιστημονικόν, [τὸ δὲ ἐπιθυμητικόν,] ὡς δόξειεν ἂν ποιεῖν καὶ ὁ Τίμαιος ἄλλῳ μὲν ἐννοεῖν ἡμᾶς λέγων, ἄλλῳ δὲ ἐπιθυμεῖν, ἄλλῳ δὲ θυμοῦσθαι, καὶ διοικίζων γε ταῦτα τὰ μόρια τῆς ψυχῆς τὸ μὲν ἐν κεφαλῇ, τὸ δὲ ἐν καρδίᾳ, τὸ δὲ ἐν ἥπατι. τί οὖν δήποτε συνέχει τὴν ψυχὴν καὶ μίαν ποιεῖ καὶ μάλιστα, εἴπερ τοσοῦτον ἐξήλλακται αὐτῆς τὰ μόρια, ὅσονπερ καὶ αἱ ἐνέργειαι, ὧν αἱ πλείους οὐδὲ ἀλλήλων ἀντιλαμβάνονται; τί οὖν τὸ συνέχον τὰς τοσοῦτον διεστηκυίας δυνάμεις; οὐ γὰρ δὴ τὸ σῶμα συνέχει τὴν ψυχὴν καὶ ἑνοῖ· δοκεῖ γὰρ τοὐναντίον αὐτὸ μᾶλλον συνέχεσθαι ὑπὸ τῆς ψυχῆς. ἀπολιπούσης οὖν αὐτὸ σκίδναται εὐθὺς καὶ διαπνεῖται καὶ διασήπεται. εἰ οὖν ἕτερόν τι μίαν αὐτὴν ποιεῖ, ἐκεῖνο μάλιστα ἂν εἴη ψυχή, δεήσει τε πάλιν κἀκεῖνο ζητεῖν, ἆρα ἓν ἢ πολυμερές. εἰ μὲν γὰρ ἕν, διὰ τί οὐκ εὐθὺς καὶ ἡ ψυχὴ ἕν; αἰτίαν γὰρ ἀποδοτέον, δι' ἣν ἐκεῖνο μὲν συνέχον τὰ διεστῶτα μέρη τῆς ψυχῆς ἑνοῖ, ψυχὴ δὲ αὐτὴ συνέχουσα τὰ τοῦ σώματος μόρια πολλῷ μᾶλλον διεστηκότα οὐχ ἕν. εἰ δὲ μεριστόν, ἐξ ἀνάγκης ἅπαν ὅπερ ἂν συνεκτικὸν ᾖ τοῦ μεριστοῦ, μεριστὸν ὂν ὑπ' ἄλλου συνέχεται δηλονότι καὶ τὸ τὴν ψυχὴν συνέχον ὑπ' ἄλλου τινὸς συσχεθήσεται, κἀκεῖνο ὑπ' ἄλλου, καὶ οὕτω δὴ πρόεισιν ἐπ' ἄπειρον, καὶ οὐ στήσεται εἰς τὸ ἓν οὔτε ὁ λόγος οὔτε ἡ ψυχή, ἐπεὶ κἂν τῷ

4 τὸ δὲ ἐπιθ. om M V  13 δὴ om M  14 ἑνοῖ] ἐν οἷς M  15 τῆς om A  οὖν] γὰρ M V  24 μεριστὸν ὂν ὑπ' ἄλλου συνέχεται δηλονότι om M V  27 οὐ στήσεται] συστήσεται V

*ὑποκειμένῳ τις μίαν αὐτὴν λέγῃ, πλείοσι δὲ χρῆσθαι δυνάμεσιν, ὥσπερ τὸ μῆλον τῷ μὲν ὑποκειμένῳ ἕν, διαφόρους δὲ ἔχει δυνάμεις, τὴν εὐωδίαν τὴν εὔχροιαν τὸ σχῆμα τὸ χρῶμα, ἀλλ' οὐδ' αὕτη γε ἡ ὑπόθεσις ἀναμφισβήτητος, καὶ μάλιστα κατ' ἐκείνους, ὅσοι τὴν μέν τινα δύναμιν ἀθάνατον αὐτῆς ποιοῦσι τὰς δέ τινας θνητάς, ὅ μοι δοκοῦσιν ὑπειδόμενοι Πλάτων καὶ Ἀριστοτέλης, ὁ μὲν εὐθὺς ἐν τῇ συστάσει τὸν νοῦν τῶν ἄλλων διοικίζειν, ὁ δ' ἐπεισκρίνεσθαι θύραθεν, ὅπως ἂν περὶ τῆς ἀφθαρσίας αὐτοῦ ὁ λόγος ὑπὸ τῶν φθαρτῶν εἴτε μερῶν εἴτε δυνάμεων μὴ διοχλῆται. τοῦτο γὰρ δὴ καὶ τοῖς ἐκ μερῶν αὐτὴν ποιοῦσιν ὁμοίως ἐμποδών, τὸ διηλλάχθαι τοσοῦτον αὐτῆς τὰ μέρη, ὅσον τὰ θνητὰ τῶν ἀθανάτων. χαλεπὸς δὲ ὢν ὁ λόγος κατ' ἄμφω, καὶ εἰ πολυδύναμος εἴη καὶ εἰ πολυμερὴς ἡ ψυχή, ὅμως χαλεπώτερος, εἰ πολυμερής. εἰ γὰρ ὅλη ἡ ψυχὴ ὅλον τὸ σῶμα συνέχει, προσήκει δὴ καὶ τῶν μερῶν αὐτῆς ἕκαστον συνέχειν τι μέρος τοῦ σώματος, ποῖον δὲ μόριον ἢ πῶς ὁ νοῦς συνέξει, δύσκολον καὶ πλάσαι. καίτοι γε ὅτι τοῖς μέρεσι τοῖς τοῦ σώματος οὐ συνδιῴκισται τὰ μέρη τῆς ψυχῆς, δῆλον μάλιστα ἐπὶ τῶν φυτῶν· οὐ γὰρ ἐν ταῖς ῥίζαις μὲν ἄλλο μόριον τῆς φυτικῆς ψυχῆς, ἐν τῷ στελέχει δὲ ἕτερον, καὶ ἕτερον αὖ ἐν τοῖς κλάδοις, ἀλλ' ἐν ὅλῳ τῷ φυτῷ πᾶσα καὶ ἡ αὐτή. ζῇ γοῦν διατεμνόμενα, καὶ φυτευθέντα ὁμοειδὲς φυτὸν ἀποδίδωσιν. ὁρῶμεν δέ, ὅτι καὶ τῶν ζώων τινὰ τῶν ἐντόμων διακοπτόμενα ὅμως ἐπὶ πολὺ ζῇ καὶ κινεῖται ἑκατέρῳ χωρὶς τῶν μερῶν ὡς ἐνυπαρχούσης τῆς ψυχῆς ἀριθμῷ μὲν οὐκέτι μιᾶς·*

---

6 *αὐτῆς*] *αὐτὴν* M   10 *ἂν*] *ἂν ὁ* A   18 *δὴ*] *δὲ* A

πῶς γὰρ ἐν τοῖς μέρεσι τοῖς διῃρημένοις; εἴδει δὲ μιᾶς. πάσας γὰρ ἑκάτερον τῶν μερῶν τὰς δυνάμεις ἀποδίδωσιν ἐπί τινα χρόνον· καὶ γὰρ αἰσθανόμενα δῆλά ἐστι καὶ κινούμενα κατὰ τόπον. εἶδον δὲ ἐγὼ τοῦτο καὶ ἐπὶ ἰχθύων τινῶν συμβαῖνον ὡς δυσκάθεκτα εἶναι τὰ μέρη τοῦ ὅλου διακοπέντος, ἑτέρων δὲ οὐραὶ δῆλαί εἰσιν ἰλυσπώμεναι ἐπὶ πολύ, ἑτέρων δὲ τὸ ἄλλο σῶμα ἄνευ τῆς κεφαλῆς, ὥσπερ τῆς στρουθοῦ τῆς καταγαίου, ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὅτι ὁμοειδῆ τὰ μόρια τῆς ψυχῆς καὶ ἀλλήλοις καὶ τῇ ὅλῃ, ἀλλήλοις μὲν τὰ ἐν τοῖς μέρεσι τοῖς διῃρημένοις τοῦ σώματος, ὅλῃ δὲ τῇ πρὸ τῆς διαιρέσεως ἐνυπαρχούσῃ τῷ ζῴῳ, καὶ φαίνονται ἐν ταὐτῷ μὲν ἅπασαι εἶναι καὶ περὶ ἕν τι ὑποκείμενον καὶ ἀχώριστοι ἀλλήλων, διαιρεῖσθαι δὲ ἡ ψυχὴ μὴ καθ' ἑαυτήν, μηδὲ κατὰ τὰς ἰδίας δυνάμεις, ἀλλὰ fol. 73b. κατὰ τὸν ὄγκον τοῦ σώματος, ἐν ᾧ ὑπάρχει. εἰ δὲ μὴ διατελεῖ τὰ μέρη τῶν ἐντόμων καὶ τῶν ἰχθύων ζῶντα καὶ κινούμενα, οὐδὲν θαυμαστόν· ὄργανα γὰρ αὐτοῖς οὐχ ὑπάρχει, ὥστε σῴζειν τὴν φύσιν, ἀλλ' οὐδὲν ἧττον ἑκατέρῳ τῶν μορίων ἅπαντα ὑπάρχει τὰ καὶ ἐν ὅλῳ τῷ σώματι προϋπάρχοντα μόρια τῆς ψυχῆς, τὰ δὲ δὴ φυτὰ καὶ διατελεῖ ζῶντα καὶ ὁλόκληρον ἀποδίδωσι τὴν ζωήν· οὐ γὰρ δὴ ἄξιόν γε ἀμφισβητεῖν περὶ τῆς φυτικῆς δυνάμεως, εἰ παρὰ ψυχῆς, καὶ ψυχῆς ἐστιν ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ γεννητική· ἧς γὰρ μόνης κοινωνεῖ ψυχῆς τὰ ζῷα καὶ τὰ φυτά, αὕτη ἐστί. πῶς οὖν ἡ αὐτὴ ἐν ζῴῳ μὲν οὖσα ψυχή, ἐν φυτῷ δὲ οὔ; πόθεν δὲ τὸ ζῆν τοῖς φυτοῖς, εἰ μὴ

---

3 αἰσθανόμεθα M 21 ἅπαντα om M V ὑπάρχειν M
22 μόρια τῆς ψυχῆς om M V 25 παρὰ] περὶ M et p. 70 v. 1.
26 καὶ γεννητική om A

*παρὰ ψυχῆς; διαφέρει γοῦν καὶ ἐπὶ τούτων τὰ ζῶντα τῶν μὴ ζώντων τῷ δύνασθαι [καὶ] τρέφεσθαι καὶ αὔξεσθαι καὶ γεννᾶν· εἰ δὲ χωρίζεται ἐπὶ τῶν φυτῶν καὶ καθ' ἑαυτὴν ἐνεργεῖ, οὐδὲν θαυμαστόν· καὶ γὰρ ἡ αἰσθητικὴ τῆς κινητικῆς κατὰ τόπον ἐπί τινων ζώων χωρίζεται, ἀλλ' ὅμως ψυχή, μήποτε δὲ καὶ ᾗ ζῶμεν δυνάμει, αὕτη πρώτη ἐστίν, ὡς ὕστερον ἀκριβέστερον ἐπιδειχθήσεται.*

---

2 *τῶν* om A V *καὶ* om M V

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

---

## ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

*Ἃ μὲν οὖν παρὰ τῶν πρότερον εἴχομεν παραδεδομένα περὶ ψυχῆς, εἴρηται ἱκανῶς. νῦν δὲ ἀρχὴν ἄλλην ποιησάμενοι πειραθῶμεν αὐτοὶ διορίσαι τί ἐστι ψυχὴ καὶ τίς ἂν εἴη κοινότατος λόγος αὐτῆς, ὃς ἁπάσῃ τῇ ψυχῇ ἐφαρμόσει καὶ οὐ μόνῃ τῇ τοῦ ἀνθρώπου, εἰς οἵους λόγους οἱ πρὸ ἡμῶν οἱ μὲν ἄκοντες, οἱ δὲ ἑκόντες ὑπεφέροντο. λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὸ πρῶτον καὶ κυριώτατον τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην φαμέν, τὸ δὲ ὡς εἶδος, καὶ τρίτον τὸ ἐξ ἀμφοῖν. περὶ τούτων δὲ ἱκανῶς μὲν εἴρηται ἐν τοῖς περὶ τῶν ἀρχῶν τῆς ὅλης φύσεως, καὶ νῦν δὲ ὑπομνηστέον, ὅτι ἡ μὲν ὡς ὕλη οὐσία δυνάμει ἐστὶν οὐσία καὶ οὔπω τόδε τι καθ' αὑτήν, ἀλλ' οἷον εὐφυΐα πρὸς τοῦτο καὶ παρασκευὴ πρὸς τὸ*

---

1 Titulum praebet A, praeter *λόγος τρίτος* quae ex V sumsimus in quo est *Θεμιστίου περὶ ψυχῆς λόγος γ̄*. Versus vacuus in M  5 *οὖν* om M V  *παρὰ*] *περὶ* M  *ἔχομεν*?  15 *εἴρηται μὲν ἱκανῶς* M

γενέσθαι τόδε τι, τὸ δὲ εἶδος ἡ τελειότης καὶ ὥσπερ ἀναπλήρωσις τῆς εὐφυΐας καὶ τοῦ δυνάμει πρὸς τὸ τέλος προαγωγή, καὶ τοῦτό ἐστι καθὸ λέγεται ἤδη τόδε τι. τρίτον δὲ ἦν τὸ ἐκ τούτων ὥσπερ συγκείμενον, ᾧ πάρεστι μὲν ὕλη, πάρεστι δὲ μορφή, καὶ τοῦτό ἐστι τὸ σύνολον, καὶ οὐκ ἔστι μόνως τῷ λόγῳ, ἀλλὰ καὶ τῇ αἰσθήσει τόδε τι ἀπολαβὸν τὸ μὲν γίνεσθαι παρὰ τῆς ὕλης, τὸ δὲ εἶναι παρὰ τοῦ εἴδους. ἀλλ' οὖν λέγεται τηνικαῦτα τέλειον εἶναι καὶ ἐντελεχῶς ἔχειν, ἡνίκα ἂν ἀπολάβῃ τὴν οἰκείαν μορφήν, ἐφ' ἣν ἐσπουδάκει. ταύτην οὖν τὴν μορφὴν καὶ τὸ εἶδος εἴ τις ἐντελέχειαν ὀνομάζοι, οὐ δικαίως ἂν συκοφαντοῖτο ὡς πάνυ ξένῳ τῷ ὀνόματι κεχρημένος. εἰ γὰρ τὰ προειρημένα ἀληθῆ, καὶ ἡ τελείωσις ἑκάστῳ παρὰ τοῦ εἴδους καὶ τὸ ἐντελεχῶς ἔχειν παρὰ τῆς μορφῆς, σημαίνοι ἂν οὐδὲν ἄλλο ἡ ἐντελέχεια ἢ τὴν ἕξιν τῆς τελειότητος. ἀλλὰ διχῶς γε ἡ ἐντελέχεια ἐφ' ἑκάστου, ἡ μὲν ὡς ἐπιστήμη, ἡ δὲ ὡς τὸ θεωρεῖν, καὶ ἔστι τὸ μὲν ὡς ἕξις, τὸ δὲ ὡς ἔργον τῆς ἕξεως. ταῦτ' οὖν ἀναμνήσαντες τοὺς ἀκροωμένους προαγάγωμεν εἰς τὸ ἐφεξῆς.

Οὐσίαι τοίνυν μάλιστα δοκοῦσιν εἶναι τὰ σώματα, καὶ τούτων τὰ φυσικά, οἷον γῆ πῦρ ὕδωρ ἀήρ, καὶ ὅσα ἐκ τούτων ἡ φύσις ἀπεργάζεται· ταῦτα γὰρ τῶν ἄλλων ἀρχαί· κλίνη δὲ καὶ πρίων καὶ ἱμάτιον καὶ ὅλως τὰ τεχνικὰ συμβεβηκότος χώραν ἔχει πρὸς τὰ τῆς φύσεως. ἐπισυμβαίνει γὰρ τὸ μὲν ξύλοις, τὸ δὲ σιδήρῳ, τὸ δὲ ἐρίοις, καὶ πᾶν σῶμα τεχνικὸν ἐν ὑποκειμένῳ τῷ φυσικῷ θεωρεῖται. τὰ μὲν

---

6 μόνης M 7 ἀπολαβὸν] ἀπολαῦον A V τὸ — τὸ] τοῦ — τοῦ A 9 ἐντελεχῶς] ἐντελῶς M 15 ἐντελῶς M 26 ὅλως om M V

οὖν τεχνικὰ ἀφείσθω, τῶν δὲ φυσικῶν σωμάτων τὰ μὲν ἔχει ζωήν, τὰ δὲ οὐκ ἔχει. ζωὴν δὲ λέγομεν τὴν δι' ἑαυτοῦ τροφήν τε καὶ αὔξησιν. δῆλον τοίνυν, ὅτι πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία, οὐσία δ' οὕτως ὡς συνθετή, συνθετὴ δὲ ἐξ ὕλης καὶ εἴδους. ἐπεὶ τοίνυν οὐχ ἁπλῶς σῶμα τὸ ζωὴν ἔχον, ἀλλὰ σῶμα τοιονδὶ καὶ ἔστιν ἐν αὐτῷ τὸ μὲν σῶμα, ὥσπερ ὑποκείμενόν τι καὶ ὕλη, τὸ δὲ τοιονδὶ ἡ μορφὴ καὶ τὸ εἶδος· οὐδεὶς γὰρ ἂν εἴποι τὸ σῶμα εἶδος τοῦ ζῶντος σώματος· τοῦτο γὰρ ὑποκειμένου χώραν ἔχει καὶ ὕλης, καὶ ἡ διαφορὰ αὐτῷ πρὸς τὰ μὴ ζῶντα σώματα οὐχ ᾗ σῶμα, ἀλλ' ᾗ τοιόνδε, τουτέστιν ᾗ ζῇ καὶ ψυχὴν ἔχει· ἀναγκαῖον ἄρα τὴν ψυχὴν εἶδος εἶναι καὶ ἐντελέχειαν καὶ οὕτως οὐσίαν ὡς εἶδος. ὅτι γὰρ οὐ σῶμα ἡ ψυχὴ οὐδὲ ὑποκειμένου χώραν ἔχει, δέ- fol.
δεικται μὲν [καὶ] ἤδη καὶ πρόσθεν, οὐ χαλεπὸν δὲ 74.
καὶ νῦν ὑπομνῆσαι. τὰ γὰρ ἔμψυχα τῶν ἀψύχων διαφέρει μὲν τῷ ζωὴν ἔχειν, οὐ διαφέρει δὲ τῷ σώματα εἶναι, ὥστε οὐ σῶμα ἡ ζωή, οὐδ' ἄρα ἡ ψυχή, ἡ τῆς ζωῆς ταύτης αἰτία. ἔτι καὶ ὧδε ταὐτὸ τοῦτο γένοιτ' ἂν φανερόν. ἐπεὶ γὰρ ἐν τῇ συνθέτῳ οὐσίᾳ οὔτε ἄμφω ὑποκείμενα οἷόν τε εἶναι, οὔτε ἄμφω εἴδη, τὸ σῶμα δὲ ὑποκείμενον, δῆλόν ἐστιν ἐν τῷ ὅλῳ. τὸ γὰρ ἀγόμενον καὶ πλασσόμενον καὶ μορφούμενον καὶ κρατούμενον καὶ ἕτοιμον πρὸς σκέδασιν καὶ φθοράν, εἰ μὴ συνέχοιτο ὑπὸ ψυχῆς, τοῦτό ἐστιν ἀνάγκη πᾶσα τὸ εἶδος εἶναι τὴν ψυχὴν καὶ ἐντελέχειαν· καὶ γὰρ οὐδ' ἂν ἄλλως ἔχοιμεν εἰπεῖν τὸ ζῶον ἐκ σώματος καὶ ψυχῆς, εἰ μὴ ὡς ἐξ ὕλης καὶ εἴδους. τριχῶς

---

2 λέγωμεν A 16 καὶ om M V. 19 ἡ ζωὴ οὐδ' ἄρα ἡ ψυχή] ἡ ψυχή, ἀλλ' A 20 καὶ] δὲ M

*γὰρ τὸ ἐκ τῶνδε ὡς ἐνυπαρχόντων, φανερώτατα μὲν ὡς ἐκ τῶν μερῶν, ὅταν τὴν οἰκίαν ἐκ τῶν πλίνθων ἢ [ἐκ] τῶν τοίχων λέγωμεν, καὶ τὸ ζῶον ἐξ ὀστέων καὶ σαρκός. εἷς μὲν δὴ τρόπος οὗτος. ἄλλος δέ, ὅταν ἐξ ὕδατος καὶ μέλιτος τὸ μελίκρατον, καὶ ὅλως ἐκ τῶν κερασθέντων τὸ κεκερασμένον. διαφέρει δὲ οὗτος τοῦ προτέρου, ὅτι ἐπ' ἐκείνου μὲν καὶ τὰ μέρη καὶ τὸ ὅλον τόπῳ κεχώρισται, ἐπὶ δὲ τούτου τὰ κεχωρισμένα κατὰ τόπον οὔπω κέκραται. δοκεῖ μὲν γὰρ ἐν τῷ αὐτῷ τόπῳ καὶ τὸ ὅλον εἶναι καὶ τὰ μέρη, τῇ δὲ ἀληθείᾳ τὰ μὲν διέφθαρται, τὸ δέ ἐστι. τρίτος δέ, ὅταν ἐκ τοῦ χαλκοῦ καὶ τοῦ σχήματος τὸν ἀνδριάντα φῶμεν, καὶ ἐκ τῶν πλίνθων καὶ ἐκ τῆς συνθέσεως τὴν οἰκίαν, ὥστε καὶ τὸ ζῶον, ἐπειδή φαμεν ἐκ ψυχῆς καὶ σώματος, εἰ μὲν κατὰ τὸν πρῶτον τρόπον, οὐκ ἂν εἴη τὸ σῶμα ἔμψυχον ὅλον δι' ὅλου, οὐδ' ἂν αἰσθάνοιτο ὅλον δι' ὅλου, οὐδὲ ἂν τρέφοιτο, ἀλλὰ παρακείσεται ἡ ψυχὴ ἢ ὅλη ὅλῳ τῷ σώματι, ἢ τὰ μόρια τοῖς μορίοις, ὅπερ οὐδ' ἐννοῆσαι δυνατόν. καὶ εἰς τὸ ποσὸν συντελέσει τῷ ζώῳ ἡ ψυχή, οὐκ εἰς τὸ ποιὸν ὥσπερ τὰ μέρη τῷ ὅλῳ. οὐ μὴν οὐδὲ κατὰ τὸν δεύτερον τρόπον· οὐ γὰρ φθειρομένης τῆς ψυχῆς οὐδὲ φθειρομένου τοῦ σώματος τὸ ζῶον γίγνεται, ἀλλὰ τοὐναντίον σῴζοντος ἑκατέρου τὴν ἑαυτοῦ φύσιν καὶ ἐνέργειαν. λείπεται τοίνυν τὸν τρίτον τρόπον ἐκ ψυχῆς καὶ σώματος εἶναι τὸ ζῶον. ἦν δὲ οὕτω τὸ μὲν ὕλη, τὸ δὲ εἶδος, καὶ οὐ τὸ σῶμα τῆς ψυχῆς [τὸ] εἶδος. αὕτη ἄρα εἶδος τοῦ σώματος. ὥσπερ οὖν ἀνδριὰς ὀνομάζεται κατὰ τὴν μορφήν, οὕτω καὶ τὸ*

3 *ἐκ* om M V  6 *κεκρασμένον* A, fort. *κεκραμμένον*, conf. Alex. Aphrod. fol. 124 b. fine.  13 *καὶ* post *φῶμεν* om M  28 *τὸ* om M V

ζῷον. κατὰ γὰρ τὴν ψυχὴν τὸ μὲν ζῷον λέγεται, τὸ δὲ νεκρὸν εἶναι· ἅμα γὰρ ταύτῃ πάρεστι καὶ ἄπεστι τὸ ζῆν αὐτοῖς. εἶδος ἄρα τι καὶ ἐπὶ τοῦ ζῴου καὶ μορφὴ ἡ ψυχή. αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη, ἡ δὲ ὡς τὸ θεωρεῖν, καὶ ἡ μὲν ὡς ἕξις, ἡ δὲ ὡς ἐνέργεια τῆς ἕξεως. καὶ ταύτην οὖν ἐστιν εὑρεῖν ἐπὶ τῆς ψυχῆς τὴν διπλόην· ὁ μὲν γὰρ ὕπνος οἷον ἕξις τις τῆς ψυχῆς, ἡ δὲ ἐγρήγορσις οἷον ἐνέργεια, καὶ οὐ τοῦτο λέγω, ὅτι ἐν τοῖς ὕπνοις σύμπασα παύεται ἡ ἐνέργεια τῆς ψυχῆς, μόνη δὲ μένει ἡ ἕξις· τὸ γὰρ θρεπτικὸν αὐτῆς καὶ ἡ δύναμις ἡ τοιαύτη ἀκοίμητος καὶ ἐν τοῖς ὕπνοις, ἀλλὰ πολλαί γε δυνάμεις αὐτῆς καθευδόντων τῶν ζῴων οὐκ ἐνεργοῦσι, λέγω δὲ τὴν αἰσθητικὴν καὶ τὴν κατὰ τόπον κινητικήν. ἐντελέχεια οὖν ἡ ψυχὴ τοῦ ζωὴν ἔχοντος σώματος καὶ ὡς ἡ πρώτη, οὐχ ὡς ἡ δευτέρα. προτέρα γὰρ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ ἐπιστήμη· πρότερον γὰρ λαμβάνει τὴν ἐπιστήμην Σωκράτης, εἶθ' οὕτω θεωρεῖ. ὁ οὖν λέγων, ὅτι εἴπερ ἐντελέχεια ἡ ψυχή, οὐκ ἂν ὕπνος ἐγένετο, θαυμαστός, εἰ μὴ συνίησι τὰ διαρρήδην ὑπ' Ἀριστοτέλους λεγόμενα. ἐν γὰρ τῷ ὑπάρχειν φησὶ τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσις. ἀλλ' ἐκεῖνό γε ἐπισκεπτέον. ὅταν γὰρ προσθῶμεν τῇ ἐντελεχείᾳ τὴν πρώτην, μήποτε τὴν μὲν ἄλλην ψυχὴν ὁ λόγος περιλαμβάνῃ, τὴν θρεπτικὴν δὲ οὐκέτι· ἐπ' ἐκείνης γὰρ οὐ χωρίζεται ἡ ἕξις τῆς ἐνεργείας, ᾗ ὅπου μὲν ἡ ἐνέργεια, πάντως καὶ ἡ ἕξις, καὶ μάλιστα ἐν τοῖς φυσικοῖς, ἃ γίνεται οὐκ ἔξωθέν τινος ἐπιστατοῦντος οὐδὲ διδάσκοντος· ὅπου δὲ ἡ ἕξις, οὐ πάντως καὶ ἡ ἐνέργεια, ὥστε ὁ πρώτην ἐν-

---

10 μένει δὲ δὴ μόνη M    ἡ om AV    16 οὐχ] καὶ M V
22 φησὶ] φύσει M    25 scrib. περιλαμβάνει

*τελέχειαν ὁριζόμενος τὴν ψυχὴν ἁπάσας τὰς δυνάμεις περιλαμβάνει. ἐν γὰρ τοῖς ὕπνοις τῶν μὲν ἡ ἕξις ἐστὶ μόνη, τῆς θρεπτικῆς δὲ μετὰ τῆς ἕξεως ἡ ἐνέργεια. τί μὲν οὖν ἐστιν ἡ ψυχὴ κατὰ τὸ γένος, εἴρηται· οὐσία γὰρ ἡ κατὰ [τὸν] λόγον καὶ ἐντελέχεια ἡ πρώτη. τίνος δὲ αὕτη, λοιπὸν ἀποδοῦναι. ὅτι μὲν [δὴ] σώματος, δῆλον· ὁποίου δέ, σαφέστερον ἐφεξῆς διοριστέον. φαίνεται δὴ τῶν σωμάτων τὰ μὲν εἶναι φυσικά, τὰ δ' οὔ, λέγω δὲ φυσικὰ μὲν ὅσα ἔχει καθ' ἑαυτὰ κινήσεως ἀρχήν, οἷον γῆ καὶ ὕδωρ καὶ φυτὰ καὶ ζῶα, οὐ φυσικὰ δὲ ὅσα μὴ ἔχει, οἷον κλίνη καὶ ναῦς καὶ ἱμάτιον. καὶ ταῦτα διώρισται σαφῶς καὶ ἡμῖν καὶ πρώτῳ Ἀριστοτέλει ἐν τοῖς περὶ τῶν ἀρχῶν τῆς ὅλης φύσεως. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δὲ οὐκ ἔχει. τίνα δὲ λέγομεν τὴν ζωήν, ἔφθημεν εἰπόντες, ὅτι τὴν δι' ἑαυτοῦ τροφήν τε καὶ αὔξησιν. ταῦτα δὲ ἦν τὰ ζῶα καὶ τὰ φυτά· τὰ γὰρ λεγόμενα στοιχεῖα φυσικὰ μέν, ὅτι κινήσεως ἀρχὴν ἔχει, οὐ ζῶντα δέ, ὅτι μὴ τρέφεται δι' ἑαυτῶν· ἡ γὰρ τῶν λίθων αὔξησις ὁμώνυμος, ὅτι προσθήκη, ἢ εἴπερ καὶ οἱ λίθοι διόλου αὔξονται, εἴη ἂν καὶ ἐν τούτοις εἶδος ζωῆς, ἀλλὰ λίαν γε ἀμυδρᾶς, ἐπεὶ καὶ γεννᾶν τινὲς λίθοι λέγονται, ὡς Κλέαρχός φησιν. ἀλλὰ καὶ ἐπὶ τούτων ἢ ὁμώνυμος ἡ γένεσις ἢ ἄλλον τρόπον· πολλαχοῦ γὰρ ἡ φύσις δήλη γίνεται κατὰ σμικρὸν μεταβαίνουσα, ὥστε ἀμφισβητεῖσθαι ἐπί τινων, πότερον ζῶον ἢ φυτόν, καὶ πότερον φυτὸν ἢ λίθος· ἀλλ' ἐπεὶ τῶν σωμάτων τὰ μὲν φυσικὰ τὰ δὲ οὐχί, καὶ τῶν φυσικῶν τὰ μὲν ἔχει ζωὴν τὰ δὲ οὐχί, οὔτε παντὸς σώματος ἐντελέχεια ἡ ψυχή, ἀλλὰ τοῦ φυσι-*

5 *τόν* om M V    7 *δὴ* om M V

κοῦ, οὔτε παντὸς φυσικοῦ, ἀλλὰ τοῦ καὶ ζῶντος. πᾶν fol. 74b. δὲ τὸ ζωῆς μετέχον ὀργανικόν, λέγω δὲ ὅσα θνητὰ καὶ ἐν γενέσει· πάντα γὰρ ταῦτα προσδεῖται τροφῆς καὶ οὐδὲν αὐτῶν γέγονε καὶ ἔστιν ἁπλῶς, ἀλλ' αἰεὶ καὶ συνεχῶς γίνεται τῆς τοιαύτης ψυχῆς οὐ δυναμένης ποτὲ ἠρεμῆσαι, διόπερ ὀργάνων προσδεῖται τῶν πρὸς τοῦτο διακονούντων. καὶ ἐπὶ μὲν τῶν ζώων δῆλον· στόμα γὰρ καὶ γαστὴρ καὶ φλέβες καὶ τὰ λοιπὰ ὄργανα τῆς τροφῆς, ἐπὶ δὲ τῶν φυτῶν τὸ ἀνάλογον θηρευτέον ἐκ τῶν ἔργων· αἱ μὲν γὰρ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν, ἶνες δὲ καὶ ἐντεριῶναι φλεψί, καὶ φλοιὸς μὲν καὶ ξύλον ὥσπερ ὀστοῦν καὶ σάρξ, καὶ φύλλον δὲ οἷον σκέπασμα περικαρπίου, τὸ δὲ περικάρπιον καρποῦ, λέγω δὲ περικάρπιον μέν, ᾧ τὰ σπέρματα ἀμφιέννυσιν ἡ φύσις, εἴτε ἐδώδιμον τοῦτο εἴτε καὶ μή, καρπὸν δὲ τὸ σπέρμα. εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἡ ψυχὴ ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ, διὸ καὶ οὐ δεῖ ζητεῖν, πῶς ἓν ὁ κηρὸς καὶ τὸ σχῆμα, οὐδ' ὅλως τὴν ἑκάστου ὕλην καὶ τὸ ἐπικείμενον αὐτῇ πῶς ἕν· ὥσπερ γὰρ τὸ εἶναι παρὰ τοῦ εἴδους, οὕτω καὶ τὸ ἓν παρ' ἐκείνου. πολλαχῶς δὲ καὶ τὸ εἶναι καὶ τὸ ἓν εἶναι· δεκαχῶς γάρ, ἀλλ' ὅμως ἐφ' ἁπάντων τὸ εἶδος ἀμφοῖν αἴτιον καὶ ἣν λέγομεν ἐντελέχειαν, οἷον εἰ φυσικὸν σῶμα ὁ πέλεκυς ἦν καὶ τὸ εἶδος τοῦτο εἶχεν, ὡς δύνασθαι τέμνειν οὐ παρὰ τῆς τέχνης ἀλλὰ παρὰ τῆς φύσεως, ζῷον ἂν ἦν, καὶ τὸ μὲν σῶμα αὐτοῦ ὁ σίδηρος, ἡ ψυχὴ δὲ τὸ τοιόνδε σχῆμα καὶ ἡ ἀκμὴ καὶ τὸ τέμνειν·

---

13 καὶ φύλλον] τὸ φύλον A  14 τὸ δὲ περικάρπιον καρποῦ om M

*τοῦτο γὰρ ἦν τὸ πελέκει εἶναι, ἀμβλυνθέντος δὲ καὶ μεταβαλόντος τὸ σχῆμα, οὐκέτι πέλεκυς ἀλλ' ὁμωνύμως, ὥσπερ οὐδὲ Σωκράτης ἄνθρωπος μετὰ τὸ κώνειον ἀλλ' ὁμωνύμως. νῦν δὲ κἂν σώζηται ἡ μορφή, πέλεκυς μέν ἐστι, ζῷον δὲ οὐκ ἔστιν· οὐ γὰρ τεχνικοῦ ὀργάνου τὸ εἶδος καὶ ὁ λόγος ἡ ψυχή, ἀλλὰ φυσικοῦ ζωὴν ἔχοντος, τοῦτο δὲ ἦν τὸ ὀργανικόν. εἰ δὲ ἀντὶ τοῦ ὀργανικοῦ τὸ δυνάμει ζωὴν ἔχοντος ἐθέλοις λαμβάνειν, ληπτέον ἐνταῦθά σοι δυνάμει τῇ παρούσῃ, ᾗ δὴ ὑποβέβληται ἐνέργεια, ὡς λέγεται δυνατὸν εἶναι βαδίζειν, ὅτι βαδίζει, καὶ ὅλως δυνατὸν εἶναι, ὅτι ἤδη ἐστὶ κατ' ἐνέργειαν· ἦν γὰρ καὶ οὗτος ὁ τρόπος τοῦ δυνατοῦ, ὥσπερ εἴρηται ἐν τοῖς περὶ προτάσεων. τοῦ ζῶντος οὖν ἤδη καὶ τοῦ οὕτω ζῆν δυναμένου ὡς ἐντελέχεια πρώτη ἡ ψυχή, τοῦτο δὲ ἦν τὸ σύνθετον καὶ τὸ ὅλον καὶ τὸ ἐξ ἀμφοῖν, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ζῷον· τὰ γὰρ εἴδη γίνεται μὲν ἐν τῇ ὕλῃ, οὐκ ἔστι δὲ εἴδη τῆς ὕλης, ἀλλὰ τοῦ συνθέτου· τούτων γὰρ ἕκαστον ἤδη τόδε τι. ἐξήγησιν οὖν τὸ ὀργανικὸν νομιστέον τοῦ δυνάμει ζωὴν ἔχοντος, καὶ οὐχ ὡς ἄλλο μὲν τούτου, ἄλλο δὲ ἐκείνου σημαίνοντος. θεώρει δὲ καὶ ἐπὶ τῶν μερῶν τὸ λεχθέν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ἡ ψυχὴ ἂν αὐτοῦ ἡ ὄψις ἦν· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ καὶ εἶδος καὶ μορφή, ὁ δὲ ὀφθαλμὸς τὸ σύνολον, τὸ δὲ σῶμα τοῦ ὀφθαλμοῦ ὕλη τῆς ὄψεως, ἧς ἀπολιπούσης οὐκέτ' ὀφθαλμὸς πλὴν ὁμωνύμως, καθάπερ ὁ λίθινος καὶ ὁ γεγραμμένος. δεῖ δὴ λαβεῖν τὸ ἐπὶ μέρους λεχθὲν ἐφ' ὅλου τοῦ ζῶντος σώματος· ἀνάλογον γὰρ ἔχει τὸ μέρος πρὸς τὸ μέρος, τουτέστιν ἡ ὄψις πρὸς*

---

1 *ἀμβλυθέντος* M V 19 *τούτων*] *τοῦτο* M V

τὸν ὀφθαλμόν, καὶ ἡ ὅλη αἴσθησις πρὸς τὸ ὅλον σῶμα τὸ αἰσθητικόν, καὶ ἡ ψυχὴ πρὸς τὸ ἔμψυχον σῶμα. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὡς οὔτε τοῦ νεκροῦ σώματος ἐντελέχεια ἡ ψυχή, οὔτε τοῦ σπέρματος· τὸ μὲν γὰρ οὐκ ἔχει ζωήν, τὸ δὲ οὐδέπω, καὶ τὸ μὲν οὔτε δύναται ζῆν ἔτι, τὸ δὲ δύναται μὲν ἀλλ' ὕστερον. καὶ τὸ δυνάμει ἐπ' αὐτοῦ, ὅτι δύναται γενέσθαι ὀργανικὸν καὶ δέξασθαι ζωήν· ὥσπερ γὰρ ὁ σίδηρος ὁ ἀμόρφωτος δυνάμει πρίων, ὅτι δέξασθαι δύναται τοιόνδε σχῆμα, ἀλλ' ὅμως οὐδέπω πρίων, ἀλλ' ἡνίκα ἂν μορφωθῇ καὶ ἔχῃ τὸ σχῆμα τὸ τμητικόν, οὕτω καὶ τὸ σπέρμα δυνάμει ζῶον, ὅτι δύναται γενέσθαι ὀργανικὸν σῶμα, ἀλλ' ὅμως οὐδέπω ζῶον, ἀλλ' ἡνίκα ἂν δι' αὐτοῦ τρέφεσθαι δύνηται. ὡς μὲν οὖν ἡ πρίσις καὶ ἡ ὅρασις, οὕτω καὶ ἡ ἐγρήγορσις ἐντελέχεια· ὡς δὲ ἡ τοιάδε κατασκευὴ καὶ ἡ ἕξις, ἀφ' ἧς τὸ πρίειν καὶ τὸ ὁρᾶν, οὕτως ὁ ὕπνος. τούτων δὲ τὸ μὲν ἡ πρώτη ἦν ἐντελέχεια, τὸ δὲ ἡ δευτέρα. ψυχὴ μὲν οὖν ἄμφω αἱ ἐντελέχειαι καὶ μᾶλλον ἡ πρώτη, τὸ δὲ σῶμα τὸ ὑποκείμενον. πάλιν δὲ ὥσπερ ἐκεῖ ὁ πρίων, ὅτε σίδηρος ἦν καὶ τὸ τοιονδὶ σχῆμα ὁμοῦ, καὶ ὀφθαλμὸς αὖθις ἥ τε κόρη καὶ ἡ ὄψις, οὕτω καὶ τὸ ζῶον ἥ τε ψυχὴ ὁμοῦ καὶ τὸ σῶμα. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος, ἢ ὅλη, εἴπερ ὅλη εἶδος τοιοῦτον, οἷον ἦν καὶ τὸ σχῆμα τοῦ σιδήρου, ἢ μέρη τινὰ αὐτῆς εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον· ἐνίων γὰρ μερῶν τοῦ σώματος ἔνια μέρη τῆς ψυχῆς προφανῶς ἐντελέχεια καὶ τελειότης, ὥσπερ ἡ ὄψις τοῦ ὀφθαλμοῦ. οὐ μὴν ἀλλ' ἔνιά γε

---

2 πρὸς τὸ] τὸ om A 11 ἔχει M 15 ἡ ante ἐγρήγορσις om A V

*οὐδὲν κωλύει τῶν μερῶν τῆς ψυχῆς δύνασθαι καὶ χωρίζεσθαι τοῦ σώματος, ὅσα μήτε ὅλου τοῦ σώματος μήτε μερῶν τινῶν τοιαύτη ἐστὶν ἐντελέχεια, ὡς τὸ σχῆμα καὶ ἡ μορφή. οὕτω δὲ καὶ ὁ νοῦς ἔχειν δοκεῖ. οὔπω γὰρ δῆλον, εἰ καὶ οὗτος σώματός τινος ἐντελέχεια ἄρα τοιαύτη, ὥστε ἀχώριστος εἶναι, ἢ ὥστε χωρίζεσθαι, ὥσπερ ὁ κυβερνήτης τοῦ πλοίου. οὗτος γὰρ ἐντελέχεια μέν, ἀλλὰ χωριστή. τάχα δὲ καὶ περὶ πάσης τῆς ψυχῆς τύπῳ μὲν ἤδη διώρισται, ἀκριβῶς δ' οὔ· ἀλλ' ὑπογραφῇ προσέοικε τέως ὁ λόγος, ἕως ἂν ἐπέλθωμεν πάσαις τῆς ψυχῆς ταῖς δυνάμεσιν· οὕτω γὰρ ἂν γένοιτο δῆλον, εἴτε ὅλη χωριστὸν εἶδος τοῦ σώματος, εἴτε τὰ μέν τινα μέρη χωριστὰ αὐτῆς, τὰ δὲ οὔ.*

2

*Λέγομεν οὖν, ὃ πολλάκις εἰώθαμεν λέγειν, ὅτι τὸ πρὸς ἡμᾶς σαφὲς καὶ τὸ πρὸς τὴν φύσιν τοὔμπαλιν* fol. 75. *ἔχει, καὶ τὰ μὲν σύνθετα ἡμῖν σαφῆ, τὰ δὲ ἁπλᾶ τῇ φύσει. καὶ τῷ λόγῳ πρότερον [οὖν] προϊτέον ἀπὸ τῶν ἡμῖν φανερῶν ἐπὶ τὰ τῇ φύσει τοιαῦτα, ὥστε καὶ περὶ ψυχῆς ὁμοίως ὑποληπτέον, αὐτὴν μὲν ἁπλῆν, τὸ δὲ ζῶν σῶμα τὸ σύνθετον εἶναι. ἐκ τούτου οὖν ἐπ' ἐκείνην ἡμῖν βαδιστέον· οὕτω γὰρ γένοιτο ἂν ἡμῖν ὁ ὁρισμός, οὐ τὸ ὅτι μόνον δηλῶν, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων ποιοῦσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνσημαινόμενος. νῦν δ' ὥσπερ συμπεράσματα ἀποδείξεων οἱ πλείους τῶν ὅρων εἰσίν, οἷον τί ἐστι τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει τετράγωνον κατασκευάσασθαι, καὶ οὗτος μὲν ὥσπερ συμπέρασμα, ὁ δὲ*

---

11 *ἀπέλθωμεν* M 15 *λέγομεν*] *λέγωμεν* V *λέγω μὲν* A 18 *οὖν* om M V 22 *ἂν γένοιτο* A 23 *ὁ* om A *ὥσπερ*] *ὅπερ* A 26 *πλείους*] *πλεῖστοι* A

λέγων ὅτι ἐστὶ τετραγωνισμὸς μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον. λέγομεν οὖν ἀρχὴν ποιησάμενοι φανερωτέραν ἡμῖν πρὸς τὴν εὕρεσιν τῶν ἀφανεστέρων. διώρισται δὴ τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν, πολλὰς δὲ ἐχούσης δυνάμεις τῆς ψυχῆς, ἃς πολλάκις ἀπηριθμήσαμεν, πρὸς μὲν τὸ ζῆν αὐτὸ ἀποχρῶσαν καὶ μίαν ὁρῶμεν, οἷον τὴν καλουμένην φυτικήν, ἧς ἔργα πρῶτον μὲν τὸ θρέψαι, δεύτερον δὲ τὸ αὐξῆσαι, τὸ τελευταῖον δὲ τὸ γεννῆσαι. διὸ καὶ τὰ φυόμενα πάντα δοκεῖ ζῆν· φαίνεται γὰρ ἐν αὑτοῖς ἔχοντα δύναμιν καὶ ἀρχὴν τοιαύτην, δι' ἧς κινεῖται ἅμα [καὶ] ἐπὶ τοὺς ἐναντίους τόπους· τὸ γὰρ αὐξανόμενον ἅμα τοῖς κλάδοις ἐπὶ τὸν ἄνω τόπον αὐξάνεται καὶ ταῖς ῥίζαις ἐπὶ τὸν κάτω, ὅπερ οὐδενὶ τῶν μὴ ζώντων φυσικῶν δὲ σωμάτων συμβαίνει. ἀλλὰ μοναχῶς τούτων ἡ κίνησις, τὰ δὲ φυτὰ οὐκ αὔξεται μόνον ἐπὶ τοὺς ἐναντίους τόπους, ἀλλὰ καὶ φθίνει καὶ μειοῦται. ἀλλ' οὖν πρὸς τὸ ζῆν ἀποχρῶσά ἐστιν ἡ δύναμις αὕτη ἡ καλουμένη φυτική, καὶ ταύτης μάλιστα τὸ θρεπτικὸν μέρος· πολλὰ γὰρ μήτε αὐξανόμενα ἔτι μήτε γεννῶντα ὅμως ζῇ καὶ φυτὰ καὶ ζῷα. χωρίζεσθαι δὲ αὕτη μὲν ἡ δύναμις τῶν ἄλλων δύναται, αἱ δὲ ἄλλαι ταύτης οὐχ οἷαί τε, λέγω δὲ ἔν γε τοῖς θνητοῖς, ἐπεὶ ταῖς γε φύσεσι ταῖς θειοτέραις εἰκὸς εἶναι τὸν νοῦν οὐκ ἄνευ φυτικῆς μόνης, ἀλλὰ καὶ τῶν ἄλλων δυνάμεων. ὅτι δὲ ἐπὶ τῶν θνητῶν χωρίζεται αὕτη ἡ δύναμις, φανερὸν ἐκ τῶν φυομένων· οὐδεμία γὰρ αὐτοῖς ὑπάρχει δύναμις ἄλλη ψυχῆς. τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει πᾶσι τοῖς

12 καὶ om M V 20 αὐξόμενα M 23 οἷον A 26 τῶν post ἐπὶ om A 27 ἐκ] ἐπὶ A

ζῶσι, τὸ δὲ ζῶον διὰ τὴν αἰσθητικὴν πρώτως. καὶ γὰρ τὰ μὴ κινούμενα κατὰ τόπον, ἔχοντα δὲ αἴσθησίν τινα, ὥσπερ τὰ ὄστρεα, ἤτοι ζωόφυτα ἢ [καὶ] ζῶα. αἰσθήσεως δὲ πρώτη πᾶσιν ὑπάρχει τοῖς ζῶσιν ἁφή. ὥσπερ δὲ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς αἰσθήσεως, οὕτως αὖ πάλιν ἡ ἁφὴ τῶν λοιπῶν αἰσθήσεων χωρίζεται ἐπὶ τῶν ζωοφύτων, καὶ ταύτην ἅπαντα φαίνεται τὴν αἴσθησιν ἔχειν, λέγω δὲ τὴν ἁπτικήν· δι' ἣν δὲ αἰτίαν ἡ μὲν φυτικὴ τῆς αἰσθητικῆς, ἡ δὲ ἁφὴ τῶν ἄλλων αἰσθήσεων χωρίζεσθαι δύναται, ὕστερον ἐροῦμεν. ὅτι δὲ τῆς αἰσθήσεως προσγενομένης οὐκέτι φυτόν, ἀλλὰ ζῶον ἤδη, φανερὸν ἐκ τῶν ὀνομάτων, οἷς χρώμεθα πρὸς τὴν δήλωσιν τούτων τῶν πραγμάτων. ζῆν μὲν γὰρ ἄμφω καὶ τὰ φυτὰ καὶ τὰ ζῶά φαμεν, ὅτι τρέφεται ἐξ αὑτῶν, ζῶα δὲ οὐκέτ' ἄμφω καλεῖται, ὅτι οὐκ ἄμφω αἰσθάνεται, ἀλλὰ τὸ μὲν φυτόν, τὸ δὲ ζῶον· τὸ δὲ ζῆν ἐπ' ἀμφοτέρων οὐχ ὁμώνυμον, ὡς οἴονταί τινες, ὅτι τὸ μέν ἐστι φύσει χρῆσθαι, τὸ δὲ ψυχῇ. εἰ γὰρ τὸ τρέφειν καὶ αὐξάνειν φύσεώς ἐστι καὶ οὐ ψυχῆς, ἤτοι ῥητέον μηδὲ ζῆν ἡμᾶς, ὅταν μὴ αἰσθανώμεθα, ἢ δύο ζωὰς ἡμῖν ὑπάρχειν, ὧν ἑκάτερον ἄτοπον. ἔτι δὲ καὶ πολλὰ κινούμενα κατὰ φύσιν, ὥσπερ τὰ ἁπλᾶ φύσει μὲν χρῆται, οἷον γῆ καὶ ὕδωρ, ζῆν δὲ οὐ λέγεται, ὥστε οὐκ ἂν εἴη τὸ φύσει χρῆσθαι τὸ ζῆν, ἀλλὰ τὸ ψυχῇ καὶ ταύτης τῷ πρώτῳ καὶ θρεπτικῷ. πῶς δὲ ὁμολογούμενον τὸ μὲν γεννητικὸν μέρος αὐτοὺς ποιεῖν ψυχῆς μέρος, τὴν φυτικὴν δὲ αὐτὴν δύναμιν, ἧς ἔργον καὶ τέλος τὸ γεννῆσαι, μηκέτι λέγειν ψυχήν,

3 καὶ om M 6 πάλιν] πᾶσιν M 15 ἐξ αὑτῶν] ἑαυτῶν M 28 φυτικὴν] φυσικὴν A

ἀλλὰ φύσιν; ῥητέον τοίνυν καὶ τὰ φυτὰ ψυχῆς μόριον ἔχοντα καὶ ζῆν καὶ ἔμψυχα εἶναι, ζῷα δὲ οὐκέτι. καὶ τούτου λόγον οὐκ ἀπαιτητέον διὰ τί ζῶντα οὐ ζῷα λέγεται, ἀλλ' ἐπικλητέον τὴν κοινὴν συνήθειαν μόνην, ὅτι ζῆν μὲν τὰ φυτὰ λέγομεν, ζῷα δὲ μὴ εἶναι· οὐδὲ γὰρ τὸν τρέχοντα πάντα δρομέα, οὐδὲ τὸν παλαίοντα παλαιστήν, ἀλλὰ τῆς τελειοτέρας τοῦ πράγματος ἕξεως ταῦτα ὀνόματα. μέσος τοίνυν Πλάτωνος καὶ τῶν ἀπὸ τῆς στοᾶς Ἀριστοτέλης, ἔμψυχα μὲν τὰ φυτὰ λέγων, ζῷα δὲ μή· ἐκείνων δὲ ὁ μὲν ἄμφω, οἱ δὲ οὐδέτερον.

Ὅτι μὲν οὖν τὰς πρώτας ταύτας δυνάμεις, καθ' ἃς ἔμψυχα λέγεται καὶ ζῷα, λέγω δὲ τήν τε φυτικὴν καὶ τὴν αἰσθητικήν, ἐντελεχείας εἶναι σώματος φυσικοῦ ὀργανικοῦ ἀναγκαῖον, οὐ πολλοῦ ἂν δεοίμεθα λόγου· ἀλλ' ἐπειδὴ καὶ ἑτέρων ἐστὶν ἡ ψυχὴ δυνάμεών τε καὶ ἔργων ἀρχή, λέγω δὲ ὀρέξεως διανοίας κινήσεως τῆς κατὰ τόπον, ἐπεξιτέον ἁπάσαις, εἴτε καὶ ταύτας ἐντελεχείας εἶναι παραπλησίως ταῖς εἰρημέναις ἐστὶν ἀναγκαῖον, ἢ τὰς μὲν τὰς δ' οὔ. τοῦτο δὲ γένοιτ' ἂν φανερόν, εἰ πρότερον διακρίναιμεν, πότερον ἑκάστη τούτων τῶν προειρημένων δυνάμεών ἐστιν ἡ ψυχὴ καθ' ἑαυτήν, ἢ μόριόν τι ψυχῆς, καὶ εἰ μόριον, πότερον οὕτως, ὥστε εἶναι χωριστὸν τῷ λόγῳ μόνον, ἢ καὶ τῷ τόπῳ. περὶ μὲν [οὖν] τινῶν οὐ χαλεπὸν ἰδεῖν, ὅτι λόγῳ μὲν κεχώρισται, τόπῳ δὲ οὔ· τὸ γὰρ θρεπτικὸν καὶ αὐξητικὸν καὶ γεννητικὸν οὔτε ἐπὶ τῶν ζῴων κεχώρισται, οὔτε μᾶλλον ἐπὶ τῶν φυτῶν, ἀλλὰ διὰ παντὸς τοῦ σώματος τῶν τριῶν

6 οὐδὲ γὰρ] οὐ γὰρ M V 18 εἴτε] εἴγε M V 23 ἡ om A 25 τῷ ante τόπῳ om M οὖν om M V 27 γεννητικὸν καὶ αὐξητικὸν A

ἅμα πεφοίτηκεν ἡ τοιαύτη ἀρχή. δῆλον δέ, ὅτι καὶ διαιρούμενα ζῇ καὶ κεχωρισμένα ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν αὐτοῖς ψυχῆς ἐντελεχείᾳ μὲν μιᾶς ἐν fol. 75b. ἑκάστῳ φυτῷ, δυνάμει δὲ πλειόνων. ὁμοίως δὲ καὶ τὸ αἰσθητικὸν τοῦ κινητικοῦ χαλεπὸν τόπῳ διαστῆσαι, ἀλλ' ὅπουπερ ἴχνος αἰσθήσεως, πάντως ἐκεῖ καὶ ἴχνος κινήσεως, ὥσπερ ἔφαμεν ἐπὶ τῶν ἐντόμων. καὶ γὰρ αἴσθησιν ἑκάτερον τῶν μερῶν ἔχει καὶ κίνησιν τὴν κατὰ τόπον. εἰ δὲ αἴσθησιν, καὶ κρίσιν τινὰ τοῦ οἰκείου καὶ [τοῦ] ἀλλοτρίου, [καὶ κίνησίν τινα καὶ φαντασίαν δήπου,] καὶ διὰ τοῦτο λύπην καὶ ἡδονήν, καὶ διὰ ταῦτα ὄρεξιν, ὥστε ὅπερ εἶπον, ταύτας ἁπάσας τὰς δυνάμεις τῷ λόγῳ μὲν ῥᾴδιον διαστῆσαι, (ὧν γὰρ ἕτερα τὰ ἔργα περιφανῶς, οὐκ ἄδηλον ὡς καὶ αὐτὰ ἕτερα) τόπῳ δὲ ἀδύνατον. περὶ μέντοι τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς ἕτερον γένος εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι, καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. τῇ μὲν οὖν πρώτῃ διαφορᾷ τὰ ζῷα ταύτῃ διήνεγκεν, ὅτι τοῖς μὲν ἅπασαι τῆς ψυχῆς ὑπάρχουσιν αἱ εἰρημέναι δυνάμεις, τοῖς δὲ πλείους, τοῖς δὲ ἐλάττους, τοῖς δὲ καὶ μία μόνη, ἅπερ οὐ ζῷά φαμεν, ἀλλὰ ζῶντα. δευτέρα δέ, ὅτι τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον ἀκριβής, ἀλλ' ὕστερον περὶ τούτων. νῦν δὲ τοσοῦτον λάβωμεν ἐκ τῶν εἰρημένων. εἴρηται δέ, ὅτι τὸ μὲν ἔμψυχον τοῦ ἀψύχου διώρισται τῷ ζῆν, τὸ δὲ ζῷον τοῦ μὴ ζώου καὶ τῷ αἰσθάνεσθαι. ᾧ τοίνυν ζῶμεν καὶ ᾧ αἰσθανόμεθα, διχῶς λέγεται, ὥσπερ καὶ ᾧ ἐπιστάμεθα· διχῶς γὰρ καὶ ᾧ

---

3 *ἐν ἑκάστῳ*] *ὡς ἑκάστῳ* M V 10 *τοῦ* om M V *καὶ — δήπου* om M V 17 *γένος ἕτερον* M *καὶ* om M (cum Arist. cod. S) 18 *χωρίζεσθαι* om M (cum Arist. cod. X)

ἐπιστάμεθα· καὶ γὰρ τῇ ψυχῇ καὶ τῇ ἐπιστήμῃ. διχῶς δὲ καὶ ᾧ ὑγιαίνομεν· καὶ γὰρ τῷ σώματι καὶ τῇ ὑγιείᾳ, καὶ ἔστι τούτων τὸ μὲν ᾧ δεδέγμεθα, τὸ δὲ ὃ δεδέγμεθα, καὶ τὸ μὲν οἷον ὕλη, τὸ δὲ οἷον εἶδος. ἐπιστάμεθα δὲ πρῶτον τῇ ἐπιστήμῃ· κατὰ γὰρ ταύτην ἐπίστασθαι καὶ τῇ ψυχῇ λεγόμεθα, καὶ ὑγιαίνομεν πρῶτον τῇ ὑγιείᾳ· διὰ γὰρ ταύτην καὶ τῷ σώματι. καὶ τοίνυν ζῶμεν τῇ ψυχῇ πρώτῃ καὶ αἰσθανόμεθα τῇ ψυχῇ. πρώτη ἄρα αὕτη αἰτία τοῦ ζῆν οὐχ ὡς ὑποκείμενόν τι καὶ ὕλη, ἀλλ' ὡς εἶδος καὶ ἐντελέχεια. ὡς γὰρ ἐπ' ἐκείνων ἡ ἐπιστήμη καὶ ἡ ὑγίεια μορφή τις καὶ εἶδος καὶ λόγος καὶ ἐντελέχεια τῶν δεκτικῶν τοῦ τε ἐπίστασθαι δυναμένου καὶ τοῦ ὑγιαίνειν, οὕτω καὶ ἐπὶ τῶν ζώντων ἡ ψυχή. καὶ γὰρ εἰ παρ' ἄλλων ἐνίοτε ἡ ἐπιστήμη καὶ ἡ ὑγίεια, οἷον παρὰ τοῦ διδάσκοντος καὶ τοῦ ἰατροῦ, ἀλλ' ἔν γε τῷ πάσχοντι καὶ διατιθεμένῳ τὰς τῶν ποιούντων ἐνυπάρχειν ἐνεργείας ἔφθημεν ἐν τοῖς περὶ φύσεως ἀποδείξαντες, ὥστε καὶ ἡ ψυχὴ ἐν τῷ σώματι ὡς εἶδος ἐν ὕλῃ. τριχῶς γὰρ λεγομένης τῆς οὐσίας (πολλάκις γὰρ τὰ αὐτὰ ὑπομνηστέον εὐλαβουμένους, μή τι παρίδωμεν) τὸ μὲν ὕλη, τὸ δὲ εἶδος, τὸ δὲ ἐξ ἀμφοῖν. τούτων δὲ ἡ μὲν ὕλη δύναμις, τὸ δὲ εἶδος ἐντελέχεια, τὸ δὲ ἐξ ἀμφοῖν τόδε τι καὶ τὸ σύνθετον ἤδη. ἐπεὶ δὲ τὸ ἔμψυχον ἐξ ἀμφοῖν, οὐχ ἡ ψυχὴ δήπουθέν ἐστιν ὑποκείμενον τῷ σώματι, ἀλλὰ τῇ ψυχῇ τοῦτο· καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν, οἷς δοκεῖ μήτε σῶμα εἶναι μήτε ἄνευ σώματος ἡ ψυχή· σῶμα μὲν γὰρ οὐκ ἔστι, σώματος δέ τι, καὶ ἐν σώματι ὑπάρχει καὶ σώματι τοιούτῳ, λέγω δὲ φυσικῷ

18 ὑπάρχειν A    περὶ] παρὰ M    20 πολλάκις] πολλὰ M
29 μὲν om M

καὶ ὀργανικῷ, καὶ οὐχ ὥσπερ οἱ πρότεροι τὴν τυχοῦσαν εἰς τὸ τυχὸν σῶμα ἐνήρμοζον, καίπερ οὐδαμοῦ φαινομένου τοῦ τυχόντος δέχεσθαι τὸ τυχόν. οὐδὲ γὰρ λίθος φωνὴν δέξαιτο ἂν οὐδὲ φυτὸν ἐπιστήμην. νῦν δὲ γίνεται κατὰ λόγον· οὐ γὰρ πᾶσα ψυχὴ παντὸς σώματος εἶδός ἐστιν, ἀλλὰ τοῦ πρὸς αὐτὴν ὀργανικῶς κατεσκευασμένου καὶ ἔχοντος πρὸς τὰς ὑπαρχούσας τῇ ψυχῇ δυνάμεις ἐπιτηδείως. ὁρῶμεν γὰρ ταῖς ζωαῖς καὶ τοῖς βίοις τὸ σῶμα ἐπιτηδείως πλασσόμενον ἑκάστου ζώου καὶ οἰκείως ἔχον πρὸς τὰς ἐνεργείας τῆς ψυχῆς, καὶ ἔστιν ἁπλῶς οἰκεία ὕλη ἑκάστῳ εἴδει οἰκεία μὲν ἡδί, κοινὴ δὲ ἡδί, καὶ ζώῳ μὲν ἁπλῶς τὸ φυσικὸν σῶμα καὶ ὀργανικόν, τοιῷδε δὲ ζώῳ τὸ τοιόνδε ὄργανον. ὅτι μὲν οὖν ἐντελέχειά τίς ἐστι καὶ λόγος τοῦ δύναμιν ἔχοντος εἶναι τοιούτου, φανερὸν ἐκ τῶν εἰρημένων.

3 Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ λεχθεῖσαι τοῖς μὲν ὑπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ μία μόνον. καὶ πάλιν γε αὐτὰς ἐν κεφαλαίῳ τοῦ προϊέναι τὸν λόγον ἐφεξῆς ἀναληπτέον. δυνάμεις δὲ εἴπομεν θρεπτικὴν αἰσθητικὴν ὀρεκτικὴν κινητικὴν κατὰ τόπον, διανοητικήν. ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς ἡ θρεπτική, τοῖς δὲ ζώοις καὶ ἡ αἰσθητική, ᾗ ἀκολουθεῖν ἀναγκαῖον τὴν ὀρεκτικήν. ὀρεκτικὴ δέ ἐστιν ὄρεξις θυμὸς καὶ ἐπιθυμία καὶ βούλησις, καὶ οὐ τοῦτο λέγω, ὅτι τοῖς αἰσθανομένοις ἅπασιν ἡ ὀρεκτικὴ πᾶσα ὑπάρχει· πολλοῖς γὰρ οὔτε θυμὸς οὔτε βούλησις, ἀλλ᾽ ἐπιθυμία μόνον. ὅσοις

---

1 ὥσπερ] ὡς A    19 μόνον] μόνη A    25 ὄρεξις fort. delendum

γὰρ οὐδὲ ἡ αἴσθησις ὁλόκληρος, τούτοις οὐδὲ ἡ ὄρεξις ὅλη. τοῖς δὲ καλουμένοις ζωοφύτοις ἀφὴν μόνην προσοῦσαν ὁρῶμεν. ὥσπερ οὖν τῆς ἐσχάτης αὐτοῖς μέτεστι τῶν αἰσθήσεων, οὕτω καὶ τῆς ἐσχάτης τῶν ὀρέξεων καὶ κοινοτάτης, λέγω δὲ τῆς ἐπιθυμίας· ἅπασα γὰρ αἴσθησις κρίνει τό τε οἰκεῖον καὶ τὸ ἀλλότριον, ἀκολουθεῖ δὲ τοῖς μὲν οἰκείοις ἡδονή, τοῖς δὲ ἀλλοτρίοις λύπη καὶ ἀποστροφή, καὶ ἡδονῇ μὲν ἐπιθυμία, λύπῃ δὲ ἀποστροφή. αἰσθάνεται δὲ τὰ ζωόφυτα τῆς γε τροφῆς· τῇ γὰρ ἀφῇ χρῆται καὶ ἀντὶ γεύσεως. ξηροῖς γὰρ καὶ ὑγροῖς καὶ θερμοῖς καὶ ψυχροῖς τρέφεται τὰ ζῶντα πάντα, τούτων δὲ ἡ αἴσθησις ἀφή. ἁπτόμενα οὖν τῶν ξηρῶν καὶ τῶν ὑγρῶν καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν καὶ οὐχ ὡς ἁπτῶν μόνον, ἀλλὰ καὶ ὡς γευστῶν συναισθανόμενα τὰ μὲν οἰκεῖα προσίεται, τὰ δὲ ἀλλότρια ἀποσκευάζεται, ὥστε καὶ τῶν μὲν ὀρέγεται, τὰ δὲ ἐκκλίνει ὡς οἷόν τε. δῆλον δὲ [καὶ] τοῦτο ἐπὶ τῶν ὀστρεωδῶν ἁπάντων. ὅτι δὲ ἐκ τῶν ἁπτῶν τούτων ἐναντιώσεων (fol. 76.) προηγουμένως ἐστὶν ἡ τροφή, λέγω δὲ τῶν θερμῶν τε καὶ ψυχρῶν καὶ τῶν ὑγρῶν καὶ ξηρῶν, δῆλον ποιοῦσιν αἱ τῆς τροφῆς ἐπιθυμίαι, πεῖνα καὶ δίψα καὶ οἱ λόγοι αὐτῶν· πεῖνα μὲν γάρ ἐστιν ἐπιθυμία ξηροῦ καὶ θερμοῦ, δίψα δὲ ἐπιθυμία ψυχροῦ καὶ ὑγροῦ, τῶν δὲ ἄλλων αἰσθητῶν κατὰ συμβεβηκὸς ταῖς τροφαῖς ὀρεγόμεθα· οὐδὲν γὰρ εἰς τροφὴν συμβάλλεται ψόφος οὐδὲ χρῶμα οὐδὲ ὀσμή, ὁ δὲ χυμὸς μάλιστα μὲν καὶ ἁπτός, εἴπερ γευστός· γεῦσις γὰρ ἅπασα δι' ἀφῆς, ἀλλ' οὐδὲ τροφὴ ὁ χυμός, ἀλλ' ἥδυσμα τροφῆς. διασαφητέον δὲ περὶ αὐτῶν ὕστε-

---

1 ἡ ante αἴσθησις om A 12 ἡ om M 18 καὶ om M V
21 καὶ τῶν ξηρῶν M 24 alterum ἐπιθυμία om A

ρον. νῦν δὲ τοσοῦτον διωρίσθω, ὅτι τῶν ζώων τοῖς ἔχουσιν ἁφὴν καὶ ὄρεξις ὑπάρχει. εἰ δὲ καὶ φαντασία, μετὰ ταῦτα ἐπισκεπτέον. τοῖς δὲ τελειοτέροις τῶν ζώων πρὸς ταύταις ὑπάρχει καὶ ἡ κατὰ τόπον κινητική, ἑτέροις δὲ καὶ ἡ διανοητική τε καὶ ὁ νοῦς, οἷον ἀνθρώποις καὶ εἴ τι τοιοῦτόν ἐστιν ἕτερον ἢ καὶ τιμιώτερον. οὔπω γὰρ φανερόν, εἰ δύναιντο εἶναι φύσεις ἄλλαι τοιαῦται, αἷς μετὰ τοῦ νοῦ καὶ τῶν ὑποκειμένων τινὲς δυνάμεων ἀκολουθοῦσι. πέφηνε τοίνυν, ὅτι καθάπερ ἐν τοῖς σχήμασι τάξις ἐστὶ καὶ τὸ ἐφεξῆς, οὕτω καὶ ἐπὶ τῶν δυνάμεων τῆς ψυχῆς. ὥσπερ οὖν οὐδὲ ἐπὶ τῶν σχημάτων τούτων ἐστὶ κοινὸν λαβεῖν γένος καὶ μίαν ὁμοίως ἁπάντων διήκουσαν φύσιν, οὕτως οὐδὲ ἐπὶ τῶν ψυχικῶν τούτων δυνάμεων. ἐν οἷς γὰρ τὸ πρότερον καὶ τὸ ὕστερον, ἐν τούτοις τὸ κοινῇ κατηγορούμενον οὐ γένος οὐδὲ φύσιν μίαν σημαίνει, ἣν δυνατὸν ἐπινοῆσαι χωρίσαντα τῶν ὑπ' αὐτῆς δηλουμένων. διόπερ καὶ τοὺς ὁρισμοὺς αὐτῶν ἐξαριθμήσει μᾶλλον ἐοικότας ἀποδιδόασιν, ἢ γενικήν τινα φύσιν δηλοῦντας. τοιοῦτος γὰρ καὶ ὁ τοῦ σχήματος ὁρισμός, τοιοῦτος καὶ ὁ τῆς προτάσεως. δῆλον δὲ ἐκ τοῦ μηδὲ ὁλοκλήρως αὐτοὺς ἐφαρμόζειν ἑκάστῳ τῶν εἰδῶν. ὅμως δὲ καίπερ οὕτως ἐχόντων πολλῶν οὐ χρὴ δυσκολαίνειν, ἀλλὰ δέχεσθαι τοὺς ἀποδεδομένους λόγους ἑπομένους τῇ φύσει τῇ τῶν πραγμάτων. ὥσπερ οὖν ὁ τοῦ σχήματος νῦν ἀποδεδομένος λόγος περιείληφε μὲν πάντα τὰ σχήματα, ἴδιος δὲ οὐκ ἔστιν οὐδενός, οὕτω καὶ ὁ τῆς ψυχῆς λόγος ὁ εἰρημένος περιείληφε μὲν ἁπάσας τὰς

1 τοσούτου A 2 εἰ] ἡ M 4 ταύταις] ταῖς τοιαύταις M V 15 καὶ ὕστερον M 17 ἐπινοῆσαι] ἐστι νοῆσαι A 20 φύσιν om A 25 ἀποδιδομένους M V

δυνάμεις αὐτῆς, ἴδιος δὲ μιᾶς οὐκ ἔστι· τοῦτον δὲ ἀφέντας χαλεπὸν εὑρεῖν ἕτερον παραπλήσιον. εἴτε γὰρ ἀπὸ τῆς κινήσεως ὁριούμεθα τὴν ψυχήν, μιᾶς οἰκεῖος ἔσται δυνάμεως τῆς κινητικῆς, εἴτε ἀπὸ τῆς αἰσθήσεως, μιᾶς ὁμοίως τῆς αἰσθητικῆς. διὸ γελοῖον ἐπὶ τῶν οὕτω κοινῇ κατηγορουμένων, ὡς μᾶλλον ἐοικέναι τοῖς πολλαχῶς λεγομένοις ἢ τοῖς γένεσι, τοιοῦτον ζητεῖν τὸν κοινὸν λόγον, ὃς οὐδενὸς ἴδιος ἔσται τῶν ὑπὸ τῆς κοινῆς φωνῆς δηλουμένων, οὐδὲ οἰκεῖός τινος τῶν ἀτόμων εἰδῶν, ἀλλὰ πᾶσιν ὁμοίως ἐφαρμόσει τοῖς εἴδεσιν, εἴπερ εἴδη χρὴ καλεῖν τὰ τοιαῦτα, ἐφ᾽ ὧν μία κοινὴ φύσις οὐ θεωρεῖται. ἀγαπᾶν δὲ τὸν ἐνδεχόμενον τρόπον τῶν κοινῶν λόγων, οἵῳ καὶ νῦν ἡμεῖς ἐχρησάμεθα· καὶ γὰρ εἰ μηδὲ οὗτός γε τελείως ἁπάσης ψυχῆς, ἀλλὰ κοινότατός γε ἁπάντων τῶν νῦν λεγομένων. διὸ καθάπερ ἐπὶ τῶν σχημάτων καὶ τῶν ἀριθμῶν ἀεὶ τῷ ἐφεξῆς ἐνυπάρχει δυνάμει τὸ πρότερον, οἷον τετραγώνῳ τρίγωνον, καὶ δυάδι μονάς, οὕτω καὶ ἐπὶ τῶν ἐμψύχων ἐν αἰσθητικῷ μὲν τὸ θρεπτικόν, ἐν ὀρεκτικῷ δὲ τὸ αἰσθητικόν. τύπῳ μὲν οὖν εἴρηται περὶ ψυχῆς καὶ ὡς οἷόν τε ἦν εἰπεῖν, καθόλου περὶ τοῦ μὴ ὄντος καθόλου· τὸν δὲ μέλλοντα ἀκριβέστερον ὁριεῖσθαι ἀποδοτέον ἰδίᾳ, τίς ἐστι λόγος ἑκάστης ψυχῆς, οἷον τῆς φυτοῦ, ὅτι ἐντελέχεια τοῦ πρὸς τροφὴν ὀργανικοῦ, καὶ αὖ πάλιν τῆς θηρίου, οἷον ἐντελέχεια τοῦ πρὸς τροφήν τε καὶ ὄρεξιν ὀργανικοῦ· οὕτω δὴ ταῖς τελειοτέραις ἐφεξῆς τὰς ἀτελεστέρας περιληπτέον μέχρι τῆς τελευταίας μὲν τῇ γενέσει, πρώτης δὲ τῇ δυνάμει τῆς λο-

6 οὕτω] τοιούτων M V 13 τῶν κοινῶν λόγων] τῷ κοινῷ λόγῳ M γρ τοῦ κοινοῦ λόγου V 22 ἦν om M 23 ὁριεῖσαι M 24 φυτοῦ] φυτικῆς A 25 καὶ αὖ — 27 ὀργανικοῦ om A

γικῆς, εἰς ἣν προελθοῦσα ἐπὶ τῶν φθαρτῶν ἡ φύσις ἀπεπαύσατο. οἷς μὲν γὰρ ἔδωκε λογισμὸν τῶν θνητῶν, τούτοις καὶ τὰς λοιπὰς ἁπάσας δυνάμεις εἰς δορυφορίαν τοῦ λόγου προϋποβάλλεται· οἷς δὲ ἐκείνας, οὐ πᾶσι λογισμόν, ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασίαν, τὰ δὲ τελειότερα τῶν ἀλόγων ταύτῃ μόνῃ ζῶσι. περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος· μήποτε γὰρ οὗτος οὔτε δύναμις οὔτε μέρος τῆς προειρημένης ψυχῆς, οὐσία δὲ ἑτέρα βελτίων ἐγγιγνομένη τῇ χείρονι. ὅτι μὲν οὖν οἰκειότερον ἀποδίδωσιν ὁ τὰς δυνάμεις τῆς ψυχῆς χωρὶς ἑκάστην ἀφοριζόμενος, ἢ ὁ φιλονεικῶν ἐξευρεῖν τινὰ λόγον, ὥσπερ μιᾶς φύσεως ἁπάσης ψυχῆς, φανερὸν ἐκ τῶν εἰρημένων.

4 Ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν ποιήσασθαι λαβεῖν ἑκάστης τῶν δυνάμεων τῆς ψυχῆς πρῶτον τὸ τί ἐστι καὶ τὸν ὁρισμόν, εἶθ' οὕτω περὶ τῶν ἐχομένων ἐπιζητεῖν. ἐχόμενα δέ ἐστι τὰ καθ' αὑτὰ ὑπάρχοντα ἑκάστῃ δυνάμει. εἰ δὲ χρὴ λέγειν, τί ἕκαστον τούτων, οἷον τί τὸ νοητικόν, ἢ τί τὸ αἰσθητικόν, ἢ τί τὸ θρεπτικόν, πρότερον ἐπισκεπτέον τί τὸ νοεῖν καὶ τί τὸ αἰσθάνεσθαι· πρότεραι γὰρ καὶ σαφέστεραι πρὸς ἡμᾶς τῶν δυνάμεών εἰσιν αἱ ἐνέργειαι· προεντυγχάνομεν γὰρ αὐταῖς, καὶ τὰς δυνάμεις ἀπὸ τούτων ἐπινοοῦμεν καὶ τὸ εἶδος δὲ ἑκάστης καὶ ὁ λόγος κατὰ τὸ ἔργον· τοῦτο γὰρ αὐτῶν τὸ τέλος ἐστίν. εἰ δὲ ἡ φύσις προϋποβάλλεται τὰς δυνάμεις καὶ προτέρας ἐκείνας ἐνδίδωσι τῶν ἐνεργειῶν, οὐδὲν θαυμαστόν. ἄλλο γὰρ τὸ τῇ φύσει πρότερον καὶ ἄλλο τὸ πρὸς ἡμᾶς. πάλιν τοίνυν, ἐπειδὴ

---

2 μὲν om A    3 ἁπάσας om M V    5 τελεώτερα M V
14 τοῦτον M    25 τοῦτο] τούτων A

τὸ ἔργον ἑκάστης δυνάμεως περί τι ὑποκείμενον θεωρεῖται, καὶ οὐ πάσης περὶ ἅπασαν ὕλην ἐστὶν ἡ ἐνέργεια, ἀλλὰ τῇ μὲν ὁρατικῇ περὶ τὸ ὁρατόν, τῇ δὲ ἀκουστικῇ περὶ τὸ ἀκουστόν, καὶ ταῦτα, ὥσπερ ἀντίκειται ἀλλήλοις κατὰ τὸ πρός τι, τάχα ἴσως ἂν προσήκοι τὰ ὑποκείμενα ταῖς ἐνεργείαις πρὸ τῶν ἐνεργειῶν διορισθῆναι. ταῦτα γὰρ σαφέστερα ἡμῖν τῶν ἐνεργειῶν. πρὸ τοίνυν τοῦ νοεῖν τί τὸ νοητὸν fol. 76b. ἐξεταστέον, καὶ πρὸ τοῦ αἰσθάνεσθαι τί τὸ αἰσθητόν, καὶ πρὸ τοῦ τρέφειν τίς ἡ τροφή.

Ὅτι μὲν οὖν τὸ αἰσθητὸν καὶ ἡ τροφὴ σαφέστερα τῆς θρεπτικῆς δυνάμεως καὶ τῆς αἰσθήσεως καὶ τῶν κατὰ ταύτας ἐνεργειῶν, δῆλον· τὰ μὲν γὰρ τῇ αἰσθήσει πρόκειται εἰς τοὐμφανές, αἱ δὲ ἐνέργειαι καὶ ἔτι μᾶλλον αἱ δυνάμεις τῷ λόγῳ μόνῳ θηρεύονται. εἰ δὲ καὶ τὸ νοητὸν τοῦ νοεῖν πρότερον, οὐ ῥᾴδιον ἀποφήνασθαι. ἀλλὰ τοῦτο μὲν ἐπισκεπτέον προϊόντος τοῦ λόγου, νῦν δὲ ἀκολουθοῦντες Ἀριστοτέλει τὴν κοινοτάτην καὶ πρώτην τῶν τῆς ψυχῆς δυνάμεων προχειρισώμεθα καὶ τοὔργον αὐτῆς καὶ τὴν ὕλην, περὶ ἣν πραγματεύεται· ἀπὸ γὰρ ταύτης ἀρκτέον. κοινοτάτη δὲ ἡ θρεπτικὴ ψυχὴ καὶ πᾶσιν ὑπάρχουσα τοῖς ζῶσι· παρὰ ταύτης γὰρ τὸ ζῆν πρῶτόν ἐστιν, ἧς ἐστὶν ἔργα θρέψαι τε καὶ αὐξῆσαι καὶ γεννῆσαι καὶ ἕτερα παραπλήσια· τοῦτο γὰρ ὥσπερ τέλος καὶ τῶν ἄλλων ἔργων τῆς θρεπτικῆς ψυχῆς καὶ φυσικώτατον ἁπάντων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα, μηδὲ τὴν γένεσιν αὐτομάτην ἔχει, ἢ καὶ ἐκ τέχνης πεπορισμένην, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό,

---

2 ἡ om A   6 πρὸ] πρὸς A   11 σαφεστέρα M   17 ἐπισκέψεται προϊὼν ὁ λόγος M V   20 προχειρισόμεθα M

*ζῷον μὲν ζῷον, φυτὸν δὲ φυτόν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν ᾗ δύναται τὰ ἐν γενέσει. πάντα γὰρ ἐκείνου ὀρέγεται, καὶ ἐκείνου ἕνεκα πράττει, ὅσα πράττει κατὰ φύσιν, τὸ δ' οὗ ἕνεκα δισσόν, τὸ μὲν ὅ, τὸ δὲ ᾧ· ὥσπερ γὰρ καὶ ἐν τοῖς Ἠθικοῖς ἐλέγετο, διττὸν τὸ τέλος, ὡς μὲν τὸ ὃ εὐδαιμονία, ὡς δὲ τὸ ᾧ αὐτὸς ἕκαστος αὐτῷ. καὶ γὰρ τὴν εὐδαιμονίαν δι' αὐτὸν αἱρεῖται, καὶ ὥστε ἑαυτῷ ταύτην περιποιήσασθαι, ὥσπερ καὶ ἐπὶ ἰατρικῆς ὃ μὲν ἡ ὑγίεια, ᾧ δὲ τῷ κάμνοντι. οὕτω δὴ καὶ ἐν τῇ φύσει τὴν διπλόην ταύτην θετέον τοῦ τέλους, καὶ ὅ μέν ἐστι, ῥητέον τοῦτο εἶναι τὸ θεῖον καὶ τὸ ἀΐδιον, ᾧ δὲ τοῦτο εἶναι τὸ ἔμψυχον καὶ τὸ ἐν γενέσει· τούτῳ γὰρ περιποιῆσαι βούλεται εἰκόνα θειότητος καὶ ἀϊδιότητος ἡ φύσις, καθόσον δύναται· δύναται δὲ τῇ συνεχείᾳ μόνῃ διὰ τὸ μηδὲν ἐνδέχεσθαι τῶν φθαρτῶν ταὐτὸ καὶ ἓν ἀριθμῷ διαμένειν. ᾗ οὖν δύναται μετέχειν ἕκαστον, ταύτῃ κοινωνεῖ τοῦ θείου τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον· μᾶλλον μὲν ὅσων ἡ γένεσις ἐξ ἀλλήλων οὐδεπώποτε διαλείπει, ἧττον δὲ ὡς ἐπί τινων ζῴων, ἃ ταῖς ὥραις δοκεῖ ποτὲ μὲν φθείρεσθαι ὁλόκληρα, ποτὲ δὲ γίνεσθαι. διαμένει τοίνυν οὐκ αὐτὸ ἕκαστον, ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δὲ ἕν. ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή. πλεοναχῶς δὲ λεγομένης τῆς ἀρχῆς καὶ τῆς αἰτίας ὁμοίως ἡ ψυχὴ κατὰ τοὺς διωρισμέ-*

---

5 ὅ] οὗ A, legit Themistius in Arist..p. 415 b, 21 *τό τε ὃ καὶ τὸ ᾧ* ut Alexander Aphrod. fol. 154 b. *Ἠθικοῖς*] Nicom. I, 1. conf. Eudem. p. 1249 b, 15. At Philoponus de anima II, 4 p. 128 *διὰ τοῦτό φησιν ὅτι οὗ ἕνεκα τουτέστι τὸ τέλος διττόν ἐστι τὸ μὲν οὗ ἕνεκα τὸ δὲ ᾧ, ὅπερ καὶ ἐν τῇ ποιητικῇ καὶ ἐν τῷ περὶ γενέσεως εἶπεν.* 6 ὃ] οὗ A 8 *ἑαυτῷ*] *ἑαυτῶν* M 9 ὃ] οὗ A 11 ὃ] οὗ A 12 alterum *τὸ* om A 19 *ὅσον* M

νους ἐν τοῖς περὶ τῶν ἀρχῶν τρόπους τριχῶς ἐστὶν αἰτία τοῦ ζῶντος σώματος· καὶ γὰρ ὅθεν ἡ κίνησις αὐτή, καὶ οὗ ἕνεκα, καὶ ὡς εἶδος. ὅτι μὲν οὖν ὅθεν ἡ κίνησις αἴτιον ἡ ψυχή, γένοιτ' ἂν δῆλον, εἰ τὰ εἴδη πρῶτον τῆς κινήσεως ἀριθμήσαιμεν. πάντων γὰρ εὑρεθήσεται τοῖς ζώοις αἰτία καὶ τῆς κατὰ τόπον, εἰ καὶ μὴ πᾶσι, καὶ τῆς κατὰ ἀλλοίωσιν (ἡ μὲν γὰρ αἴσθησις ἀλλοίωσίς τις εἶναι δοκεῖ, αἰσθάνεται δὲ οὐδέν, ὃ μὴ ψυχὴν ἔχει) ὁμοίως δὲ καὶ αὐξήσεως αὕτη αἰτία· οὐδὲν γὰρ αὔξεται φυσικῶς μὴ τρεφόμενον, τρέφεται δὲ οὐδέν, ὃ μὴ κοινωνεῖ ζωῆς. Ἐμπεδοκλῆς δὲ οὐκ ὀρθῶς ποιεῖ τὴν αἰτίαν τῆς αὐξήσεως ἀνάπτων ταῖς ῥοπαῖς τῶν στοιχείων, οὐ τῇ ψυχῇ· τὰ γὰρ φυτά φησι κάτω μὲν ῥιζοῦσθαι διὰ τὸ τὴν γῆν φέρεσθαι κάτω, καὶ ὅσον ἐν αὐτοῖς μᾶλλον γεῶδες, ἄνω δὲ τοῖς κλάδοις καὶ ὅσον ἐν αὐτοῖς μᾶλλον πυρῶδες. οὔτε γὰρ τὸ ἄνω καὶ κάτω καλῶς λαμβάνει· οὐ γὰρ τὸ αὐτὸ πᾶσι τὸ ἄνω καὶ κάτω, ἀλλ' ἡμῖν μὲν ταὐτὸν τὸ ἄνω, ὅπερ [καὶ ἐν] τῷ παντί, τοῖς φυτοῖς δὲ τοὔμπαλιν ἔχει· τὸ γὰρ κάτω τοῦ παντὸς ἐκείνοις ἄνω ἐστίν· ὃ γὰρ ἡ κεφαλὴ τῷ ζώῳ, τοῦτο ἡ ῥίζα τῷ φυτῷ, εἰ χρὴ τὰ ὄργανα λέγειν ἕτερα καὶ ταὐτὰ τοῖς ἔργοις. ὥσπερ οὖν τοῖς ζώοις ἡ κεφαλὴ ἄνω, ἐν ᾗ τὸ στόμα καὶ τὰ ὄργανα τὰ πρὸς τροφήν, οὕτω τοῖς φυτοῖς αἱ ῥίζαι ἄνω, δι' ὧν ἕλκουσι τὴν τροφήν. ἔτι δὲ καὶ τοῦτο ἄν τις παρὰ Ἐμπεδοκλέους οὕτω λέγοντος ἐπιζητήσειε, τί τὸ συνέχον εἰς τἀναντία φερόμενα τό τε πῦρ καὶ τὴν γῆν; διασπασθήσεται γὰρ ἐπὶ τὰ ἀντικείμενα γιγνομένης

---

8 αἰσθάνεται] αἰσθήσεται A 14 φησι κάτω] φυσικὰ τῷ M 19 καὶ ἐν om M. ἐν om V 24 ᾗ] ἧς M 25 ἄνω] κάτω M V 29 γιγνομένης] γενομένης A

τῆς φορᾶς τῶν στοιχείων, εἰ μὴ τὸ συνέχον ἄμεινον ἔσται καὶ διακρατήσει τὰς ἀντικειμένας ῥοπάς. τοῦτο δὲ οὐ τῶν στοιχείων ἄν τι εἴη, ἀλλὰ ψυχή. εἰ δὲ τοῦτο, αὕτη αἰτία τοῦ αὐξάνεσθαι καὶ τοῦ τρέφεσθαι, οὐ τὰ στοιχεῖα. Ἐμπεδοκλῆς μὲν οὖν τὴν γῆν καὶ τὸ πῦρ τῆς αὐξήσεως αἰτιᾶται, ἄλλοι δὲ οὐ συναριθμοῦσι τὴν γῆν, ἀλλὰ τὴν τοῦ πυρὸς φύσιν καθ' ἑαυτὴν ἀποχρῆν ὑπολαμβάνουσι πρὸς τὰς αὐξήσεις· φαίνεται γὰρ μόνον τῶν στοιχείων τὸ πῦρ τρεφόμενον καὶ αὐξανόμενον, ὥστε καὶ τοῖς ζώοις καὶ τοῖς φυτοῖς ἐν τούτῳ θετέον τὴν αἰτίαν τῆς αὐξήσεως, τὸ δὲ συναίτιον μέν πώς ἐστιν, οὐ μὴν καθ' αὐτό γε αἴτιον, ἀλλ' ἡ χρωμένη τούτῳ ψυχή· ἡ μὲν γὰρ τοῦ πυρὸς αὔξησις ἀόριστος, ἕως ἂν ἔχῃ τὴν ὕλην τὴν πρὸς τὸ καίεσθαι ἐπιτηδείαν, τῶν δὲ φύσει συνισταμένων πάντων ἐστὶ πέρας καὶ λόγος καὶ μεγέθους καὶ αὐξήσεως, λόγος δὲ οὐ πυρὸς ἔργον, ἀλλὰ ψυχῆς καὶ εἴδους μᾶλλον ἢ ὕλης.

Ἀλλ' οὖν ἐπειδὴ ἡ δύναμις αὕτη τῆς ψυχῆς ἄρχεται μὲν ἐκ τοῦ τρέφειν, τελευτᾷ δὲ εἰς τὸ γεννᾶν, περὶ τροφῆς ἀναγκαῖον διορίσασθαι πρῶτον· τούτῳ γὰρ τῷ ἔργῳ πρώτῳ διενήνοχε τῶν λοιπῶν δυνάμεων τῆς ψυχῆς. τοῖς μὲν οὖν ἔδοξεν εἶναι τροφὴ τὸ ἐναντίον τῷ ἐναντίῳ, οὐ πᾶν δὲ ἐναντίον παντὶ ἐναντίῳ, ἀλλ' ὅσα τῶν ἐναντίων μὴ μόνον γίνεται ἐξ ἀλλήλων, ἀλλὰ καὶ τρέφεται ἢ καὶ αὔξεται· ἔστι γάρ τινα ἃ γίνεται μέν, οὐ τρέφεται δέ, οἷον τὸ κάμνον ἐκ τοῦ ὑγιαίνοντος, τὸ λευκὸν ἐκ τοῦ μέλανος· ἔστι δὲ ἃ πρὸς τῷ γίνεσθαι καὶ τρέφεται ἐξ οὗ γίνεται, ὥσπερ τὸ πῦρ· fol. 77. τρέφεται γὰρ ὑπὸ τοῦ ὑγροῦ καὶ τῆς φύσεως τῆς


26 καὶ αὔξεται] αὐξάνεται A    29 τρέφεσθαι M]

ὑδατώδους· καὶ γὰρ τὸ ἔλαιον ὕδατός ἐστι καὶ ἀέρος, ταῦτα δὲ ὑγρά, καὶ πάντα ὅσα λιπαρὰ καὶ τηκτά. οὐκ ἀνακάμπτει μὲν οὖν οὐδὲ ἐπὶ τούτων ἡ τροφή, ἀλλὰ τὸ μὲν ὑγρὸν τροφὴ τοῦ πυρός, τὸ πῦρ δ' οὐκέτι ὑγροῦ. αἴτιον δὲ ὅτι εἰδικώτερον μὲν τὸ πῦρ, ὑλικώτερον δὲ τὸ ὕδωρ. εἴδει μὲν οὖν ὕλη τροφή, τῇ ὕλῃ δὲ οὐκέτι τὸ εἶδος. ὅσα τοίνυν τῶν ἐναντίων φασὶν οὕτως ἔχει πρὸς ἄλληλα, ὡς ὕδωρ καὶ πῦρ, ἐπὶ τούτων ἡ τροφὴ φαίνεται οὖσα τοῦ ἐναντίου τῷ ἐναντίῳ.

Τοῖς μὲν οὖν οὕτως ἀρέσκει, τοῖς δὲ ἔμπαλιν· τρέφεσθαι γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, καθάπερ καὶ αὐξάνεσθαι. λόγους δὲ ἔχουσιν ἑκάτεροι βοηθοῦντας ὧν ἀκουστέον. ὁ μὲν δὴ ἐκ τῶν ἐναντίων τρέφεσθαι λέγων ἀπαθὲς εἶναί φησι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, τὴν δὲ τροφὴν δεῖ παθεῖν καὶ μεταβαλεῖν· ἡ γὰρ πέψις μεταβολή, ἡ δὲ μεταβολὴ πᾶσιν εἰς τὸ ἀντικείμενον καὶ τὸ μεταξύ, ὥστε ἐκ τῆς ἐναντίας ὁρμηθῆναι προσήκει φύσεως εἰς τὴν ὁμοίαν, ἵνα προσκριθῇ, ἀμήχανον δὲ προσκριθῆναι μηδὲν παθοῦσαν τὴν τροφήν, ἀλλὰ μείνασαν ἐν τῇ αὐτῇ φύσει, οἷον τὸν ἄρτον ἢ τὸ κρέας· μεταβάλλει γὰρ ἡ τροφὴ ὑπὸ τοῦ σώματος τοῦ τρεφομένου, ἀλλ' οὐ τὸ σῶμα ὑπὸ τῆς τροφῆς· ἕλκει γὰρ αὐτὴν τὸ σῶμα καὶ ἀλλοιοῖ, λέγω δὲ τὸ ἔμψυχον ζῶον καὶ σῶμα. ὥσπερ οὖν ὁ τέκτων οὐ μεταβάλλεται ὑπὸ τῶν ξύλων, ἀλλ' ὑπ' ἐκείνου μεταβάλλεται τὰ ξύλα, οὕτω καὶ τὸ σῶμα τὸ ἔμψυχον ἔχει πρὸς τὴν τροφήν. εἰ δὲ καὶ τοῦτο μεταβάλλειν φιλονεικοίη τις, συγχωρητέον μὲν τοὔνομα, ἕτερον δὲ εἶδος τοῦτο θετέον εἶναι τῆς μεταβολῆς,

---

4 οὐκέτι] οὐκ ἔστιν M V  6 οὐκέστι M  16 ἡ δὲ μεταβολὴ om M  21 γὰρ] δὲ M V  24 λέγω] λέγει M V  ζῶον καὶ σῶμα] σῶμα καὶ ζῶον Victorius



*καθὸ μεταβάλλει εἰς ἐνέργειαν ἐξ ἀργείας· οὕτω γὰρ καὶ τὸ ἔμψυχον σῶμα περὶ τὴν τροφὴν καὶ ὁ τέκτων μεταβάλλει περὶ τὰ ξύλα. οὕτω μὲν οὖν ὁ ἐξ ἐναντίων, ὁ δὲ ἐκ τῶν ὁμοίων ἰσχυρίζεται τῇ προσκρίσει· προσκρίνεσθαι γὰρ οὐ τὸ ἐναντίον τῷ ἐναντίῳ, ἀλλὰ τὸ ὅμοιον τῷ ὁμοίῳ. ἃ μὲν οὖν ἑκάτεροι λέγουσι, ταῦτά ἐστιν· ἡμᾶς δὲ ὥσπερ διαιτῶντας αὐτοῖς ἄξιον προσανέρεσθαι, τί λέγουσι τὴν τροφήν; πότερον τὸ τελευταῖον προσκρινόμενον τῷ σώματι, ἢ τὸ πρῶτον, οἷον πότερον τὸν ἄρτον ἢ τὸ αἷμα; ὁ μὲν γὰρ ἄρτος ἡ πρώτη τροφή, τὸ δὲ αἷμα ἡ ἐσχάτη. δῆλον οὖν ὡς οἱ μὲν τὸ οἱ δὲ τὸ ἐροῦσιν· ἡμεῖς δὲ ἀμφότερον κατά τινα τρόπον· τὴν μὲν γὰρ ἄπεπτον τροφὴν τὴν δὲ πεπεμμένην, οὕτω δὲ ἀμφοτέρους ἐνδέχοιτο ἂν λέγειν ὀρθῶς· ᾗ μὲν γὰρ ἄπεπτος, ὡς ἐναντίον ἂν εἴη τροφὴ τῶν ἐναντίων, ᾗ δὲ πεπεμμένη ὡς τὸ ὅμοιον. ὥσπερ οὖν ἐξ ἡμισείας ἑκάτεροι καὶ ψεύδονται καὶ ἀληθεύουσιν, ἀληθεύει δὲ ὁ ἄμφω συνάγων. εἰ δὲ οὐδὲν τρέφεται μὴ μετέχον ζωῆς, τὸ ἔμψυχον ἂν εἴη σῶμα τὸ τρεφόμενον, ᾗ ἔμψυχον, καὶ οὐχ ᾗ λευκὸν ἢ μέλαν, ὥστε καὶ ἡ τροφὴ πρὸς τὸ ἔμψυχόν ἐστι, καὶ οὐ πρὸς τὰ συμβεβηκότα τῷ τοιούτῳ σώματι. ἔστι δὲ ἕτερον τροφῇ καὶ αὐξητικῷ εἶναι, καὶ τῷ μὲν ὑποκειμένῳ ταὐτόν, τῷ λόγῳ δὲ διενήνοχε. τρέφει μὲν γὰρ καθὸ τὴν οὐσίαν διαφυλάττει, αὔξει δὲ καθὸ τῷ ποσῷ προστίθησιν, οὐκ ἀεὶ δὲ ἄμφω ταῦτα συναύξεται, ἀλλ' ἐνίοτε τρέφει μὲν αὔξει δ' οὔ· τοῦ μὲν γὰρ τρέφεσθαι δεῖται, ἕως ἂν ᾖ τὸ ἔμψυχον σῶμα, τοῦ αὔξεσθαι*

---

13 *ἀμφότερα* M 21 *ᾗ*] *οὐδὲ* M V 23 *τροφὴ* A 29 *αὐξάνεσθαι* A

δὲ οὐκ ἀεί. ἣ μὲν οὖν τόδε τί ἐστιν, οἷον ἵππος ἢ ἄνθρωπος, τοῦ τρέφεσθαι δεῖται, ἣ δὲ πῶλος καὶ μειράκιον, καὶ τοῦ αὔξεσθαι· ὅταν δὲ ἤδη εἰς ἀκμὴν ἔλθῃ τὸ ἔμψυχον σῶμα, τοῦ μὲν αὔξειν παύεται ἡ τροφή, τοῦ τρέφειν δὲ οὐδαμῶς, ἀλλ' ἤδη ποιεῖ καὶ γεννητικὸν τοῦ ὁμοίου· τὸ γὰρ σπέρμα περίττωμα ἦν τῆς ἐσχάτης τροφῆς. γίνεται οὖν τηνικαῦτα καὶ γενέσεως αἰτία τροφή, γενέσεως δὲ οὐ τοῦ τρεφομένου· τοῦτο γάρ ἐστιν, ἀλλὰ τοῦ ἐξ αὐτοῦ γεννωμένου. τριῶν οὖν ἔργων τῆς τροφῆς ὄντων, τοῦ τρέφειν τοῦ αὔξειν τοῦ γεννᾶν, τὸ πρῶτόν ἐστι τὸ ἀναγκαιότατον τῷ ζῶντι σώματι· πρὸς γὰρ τὸ εἶναι αὐτῷ συντελεῖ καὶ πρὸς τὴν οὐσίαν· τὰ δὲ πρὸς τὸ ποσὸν εἶναι ἢ ποιητικὸν ἄλλου ὁμοίου. ὀρέγεται γοῦν ἡ δύναμις αὕτη τοῦ θείου καὶ μιμεῖται ἐκεῖνο, ὡς ἐνδέχεται, σώζουσά γε τὸ ὑποκείμενον καὶ συνείρουσα τὴν γένεσιν. διὸ στερηθὲν τροφῆς τὸ ζῶον οὐ δύναται εἶναι· οὐ γὰρ οἵα τε ἐνεργεῖν ἡ σώζουσα αὐτὸ δύναμις χωρὶς τῆς ὕλης. τρία δέ ἐστιν οὐ μόνον ἔργα ταύτης τῆς δυνάμεως, ἀλλὰ καὶ ἁπλῶς τρία, ἃ περὶ αὐτὴν θεωρεῖται. τὸ γὰρ τρεφόμενόν ἐστι καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον. τὸ μὲν οὖν τρέφον ἐστὶν ἡ πρώτη ψυχή, λέγω δὲ πρώτην τὴν θρεπτικήν, τὸ δὲ τρεφόμενον τὸ ἔμψυχον σῶμα καὶ τὸ ταύτην ἔχον τὴν ψυχήν, ᾧ δὲ τρέφεται, τοῦτ' ἔστιν ἡ τροφή, ὥστε ἀνάγκη τὰ τρία ὑπάρχειν εἰς σύστασιν τοῦ γεννητικοῦ ζῴου. εἴτε δὲ γεννητικὸν λέγεις τὸ τοιοῦτον ζῶον, εἴτε θρεπτικόν, οὐ λίαν τῷ λόγῳ διοίσει, πλὴν ὅσον γε ἀπὸ τοῦ τέλους μᾶλλον ἅπαντα προς-

---

6 ὁμοίου] ὁμοίου γὰρ M V    8 γενέσεως δὲ] γένεσις δὲ A
12 τὸ] τῷ A    27 εἴτε δὲ θρεπτικὴν λέγεις τὴν τοιαύτην ζωὴν εἴτε γεννητικὴν A

αγορεύειν δίκαιον, τέλος δὲ τὸ γεννῆσαι οἷον αὐτό, ὥστε καὶ τὴν τοιαύτην ψυχὴν γεννητικὴν ἂν δικαιότερον καλοίημεν τοῦ ὁμοίου ἢ φυλακτικὴν τοῦ ὄντος· τέλος γὰρ ἐκεῖνο καὶ οὗ χάριν, καὶ τὸ φυλάττειν. ἔστι δὲ δύο οἷς χρῆται ἡ ψυχὴ πρὸς τὸ τρέφειν τὸ ἔμψυχον σῶμα, τῇ τε δυνάμει τῇ θρεπτικῇ καὶ τῷ θερμῷ τῷ ἐμφύτῳ, ἀλλὰ τῇ μὲν ἑαυτῇ συμφυεῖ, τῷ δὲ ὥσπερ ἔξωθεν ὑποβεβλημένῳ ὀργάνῳ, καθάπερ ἂν καὶ τὸν κυβερνήτην εἴποις χρῆσθαι πρὸς τὸ κινεῖν τὴν ναῦν τῇ τε χειρὶ καὶ τῷ πηδαλίῳ, ἀλλὰ τῇ μὲν συμφυεῖ, τῷ δ' ἔξωθεν κεχωρισμένῳ. ἡ μὲν οὖν δύναμις ἀκίνητος οὖσα κινεῖ μόνον, τὸ θερμὸν δὲ κινεῖται μὲν ὑπὸ τῆς δυνάμεως, κινεῖ δὲ τὴν τροφήν, ἡ τροφὴ δὲ αὖθις κινεῖται μόνον ὥσπερ τὸ πλοῖον. πᾶσαν δὲ ἀναγκαῖον τροφὴν δύνασθαι πέψεσθαι· ἡ γὰρ μὴ τοῦτο πάσχειν δυναμένη οὐδὲ τροφή. ἐργάζεται δὲ τὴν πέψιν τὸ ἔμφυτον θερμόν, fol. 77b. διὸ πᾶν ἔμψυχον ἔχει τοιαύτην θερμότητα. τύπῳ μὲν οὖν τί ἐστιν ἡ τροφή, εἴρηται· διασαφητέον δέ ἐστιν ὕστερον περὶ αὐτῆς ἐν τοῖς οἰκείοις λόγοις. νῦν δὲ τοσοῦτον ἔστω δῆλον, ὅτι ἔστιν ἡ θρεπτικὴ δύναμις τῆς ψυχῆς σωστικὴ τοῦ ἔχοντος αὐτὴν διὰ τῆς οἰκείας ἐνεργείας παρουσίᾳ τροφῆς, ἣ πρώτη δύναμις τῆς ψυχῆς γεννητικὴ τοῦ ὁμοίου τῷ ἔχοντι.

5

Διωρισμένων δὲ τούτων λέγομεν κοινῇ πρῶτον περὶ πάσης αἰσθήσεως, εἶτα οὕτω περὶ ἑκάστης ἰδίᾳ. δοκεῖ δ' ἅπασα αἴσθησις ἐν τῷ κινεῖσθαί πως καὶ πάσχειν συμβαίνειν, χρὴ δὲ ἁπλούστερον τέως ἀκούειν

---

12 θερμὸν δὲ] δὲ θερμὸν M  14 κινεῖται μόνον] non aliud legit in Ar. Themistius, conf. Trend. p. 359.  15 δὲ om M  πέψεσθαι] πεύσσεσθαι M  19 ἡ τροφὴ τί ἐστιν M

τοῦ πάσχειν τε καὶ τοῦ κινεῖσθαι· ὕστερον γὰρ πῶς ἐπὶ τῆς αἰσθήσεως ταῦτα λέγομεν, διορισθήσεται· πᾶν γὰρ τὸ ἀλλοιούμενον διὰ πάθους τινὸς καὶ κινήσεως ἀλλοιοῦται, ἡ δὲ αἴσθησις ἀλλοιουμένη δοκεῖ τὰ εἴδη τῶν αἰσθητῶν ἀναμάττεσθαι, ὥστε καὶ πάσχουσα. δείξει δὲ ὁ λόγος προϊὼν καὶ τὴν ἀλλοίωσιν ἐπ' αὐτῆς, ὅπως χρὴ λέγειν. καὶ τὸ πάσχειν ἐπ' αὐτῆς, ὅτι μὴ κυρίως· τέως δὲ ὅπερ ἔφην, ἁπλούστερον ἀκουστέον τούτων ἁπάντων τῶν ὀνομάτων. ἐπεὶ δὲ καὶ πάσχειν τὴν αἴσθησιν οἱ μὲν ὑπὸ τοῦ ὁμοίου φασίν, οἱ δὲ ὑπὸ τοῦ ἀνομοίου, ταῦτα δὲ διωρίσθη τε ἤδη ἐν τοῖς κοινοῖς λόγοις περὶ γενέσεως καὶ φθορᾶς, ὅτι ἀμφότερά πώς ἐστιν ἀληθῆ οὐκ ἐπὶ τῆς αἰσθήσεως μόνης, ἀλλ' ἐπὶ πάντων ὁμοίως ἃ ἐλέγομεν πάσχειν, καὶ νῦν δὲ διορισθήσεται. ἐπειδὴ γὰρ τὸ πάσχον ὑπό τινος δυνάμει ἐστίν, οἷον τὸ ποιοῦν, πεπονθὸς μὲν ὅμοιόν ἐστι τῷ ποιοῦντι, πάσχον δὲ ἀνόμοιον, ἀλλ' ὅπερ εἶπον, περιμένειν προϊόντα προσήκει τὸν λόγον· διοριεῖ γὰρ ταῦτα ἅπαντα ἀκριβῶς, πῶς ἐπὶ τῆς αἰσθήσεως λέγεται· πρότερον δὲ ὅσα ἄν τις ἀπορήσειεν ὑπὲρ αὐτῆς, ἐπεξίωμεν.

Εἰ τοίνυν ἡ αἴσθησίς ἐστιν ἡ ἀντιληπτικὴ τῶν αἰσθητῶν, ἔστι δὲ καὶ τῶν αἰσθητηρίων ἕκαστον αἰσθητόν· σῶμα γὰρ ἕκαστον καὶ ἐκ τῶν στοιχείων, οἷον ὀφθαλμὸς καὶ γλῶττα καὶ οὖς, διὰ τί οὐχὶ καὶ τῶν αἰσθητηρίων αὐτῶν ἡ αἴσθησις ἀντιλαμβάνεται, ὡς καὶ μηδενὸς ἔξωθεν παρόντος ὑπὸ τῶν αἰσθητηρίων κινεῖσθαι; πῶς οὖν οὐχ ὁρῶμεν τοὺς ὀφθαλμούς, ἢ τὰ χρώματα τῶν ὀφθαλμῶν, ἀλλὰ τοῖς ὀφθαλμοῖς τὰ ἄλλα; καὶ πῶς οὐχ ἁπτόμεθα τῆς σαρκὸς καὶ τῆς περὶ τὴν σάρκα θερμότητος, ἀλλὰ τῇ σαρκὶ τῶν ἄλλων; δῆλον οὖν ὅτι τὸ αἰσθητὸν καὶ ἡ αἴσθησις συνείληπται ἐν τοῖς

ὀργάνοις καὶ δυνάμει ἐστὶν ἑκάτερον, οὐκ ἐνεργείᾳ. καθάπερ οὖν τὸ καυστὸν οὐ κάεται ὑφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ὑφ᾽ ἑτέρου τοῦ καυστικοῦ· ἔκαε γὰρ ἂν ἑαυτὰ δήπου τὰ ξύλα, νῦν δὲ δεῖται πυρός· οὕτω καὶ τὸ αἰσθητικὸν οὐχ οἷόν τε, καθ᾽ ἣν ἔχει δύναμιν, ἐνεργῆσαι μὴ κινοῦντος αὐτὴν τοῦ αἰσθητοῦ, κινεῖ δὲ ὅταν ἔξωθεν ᾖ καὶ μὴ συνειλημμένον καὶ ὥσπερ ἕν· οὐδὲ γὰρ ἡ σφύρα αὐτάρκης κινῆσαι τὴν τέχνην οὐδὲ τὸ τρύπανον οὐδὲ ὁ πρίων, ἂν μὴ τὸ μέλλον πρίεσθαι ἢ τὸ μέλλον τρυπᾶσθαι ἔξωθεν ᾖ. δοκεῖ δέ μοι ταύτην μὴ ἁπλῶς κινεῖν τὴν ἀπορίαν [ταύτῃ] Ἀριστοτέλης, ἀλλ᾽ ὡς καθαπτομένην μάλιστα τῶν καὶ χωρισθεῖσαν τὴν ψυχὴν τοῦ σώματος αἰσθητικὴν εἶναι λεγόντων. εἰ γὰρ οἵα τε καὶ χωρὶς τῶν ὀργάνων αἰσθάνεσθαι, διὰ τί οὐχὶ καὶ αὐτῶν αἰσθάνεται τῶν ὀργάνων; ἐπεὶ οὖν τὸ αἰσθάνεσθαί λέγομεν διχῶς· καὶ γὰρ τὸν καθεύδοντα ἀκούειν καὶ ὁρᾶν λέγομεν ἀλλὰ δυνάμει, καὶ τὸν ἀκούοντα ἤδη καὶ ὁρῶντα ἀλλ᾽ ἐνεργείᾳ, διχῶς ἂν λέγοιτο καὶ ἡ αἴσθησις καὶ τὸ αἰσθάνεσθαι, τὸ μὲν δυνάμει, τὸ δὲ ἐνεργείᾳ. ἔστι δὲ τὸ ἐνεργεῖν καὶ τὸ κινεῖσθαι οὐχὶ τὸ αὐτό, ἀλλ᾽ οὐδὲ τὸ ἐνεργεῖν ταὐτὸν καὶ τὸ πάσχειν, ἀλλ᾽ εἴ τι μὲν κινεῖται, πάντως καὶ ἐνεργεῖ, τὸ δὲ ἐνεργοῦν οὐ πάντως κινεῖται, ἀλλ᾽ ὃ τὰ γένη πέπονθε πρὸς τὰ εἴδη, τοῦτο πάσχει καὶ ἡ ἐνέργεια πρὸς τὴν κίνησιν· τῆς γὰρ ἐνεργείας ἡ μέν τις ἀεὶ τελεία καὶ ἐν ὁτῳοῦν μέρει τοῦ χρόνου, καθ᾽ ὃν γίνεται ἡ αὐτή, ἡ δὲ ἀτελὴς καὶ ἀεὶ ἄλλη· ἡ δὲ κίνησις οὐκ ἦν ἡ τέλειος ἐνέργεια, καθάπερ εἴρηται καὶ πρότερον, ἀλλ᾽ ἡ

---

2 καίεται M V, item ἔκαιε 11 ταύτῃ om M V 29 εἴρηται] Phys. III, 2.

ἀτελής. πάσχει δ' αἰεὶ τὰ δυνάμει τοιαῦτα ὑπὸ τῶν ἐνεργείᾳ τοιούτων, διὸ ἔστι μὲν ὡς ὑπὸ τοῦ ὁμοίου, ἔστι δὲ ὡς ὑπὸ τοῦ ἀνομοίου. πάσχει μὲν γὰρ το ἀνόμοιον, πεπονθὸς δὲ ὅμοιον γίνεται. τοῦτό τε οὖν διαιρετέον, ὅτι οὐ ταὐτὸν τὸ ἐνεργεῖν καὶ τὸ κινεῖσθαι, οὐδὲ δὴ τὸ ἐνεργεῖν καὶ τὸ πάσχειν, καὶ ἔτι πρὸς τούτῳ καθόλου περὶ δυνάμεως καὶ ἐντελεχείας, ὅτι οὐχ ἁπλῶς λέγεται. λέγεται μὲν γὰρ καὶ οὕτως ἐπιστήμων ὁ ἄνθρωπος, ὅτι πέφυκε δέχεσθαι τὴν ἐπιστήμην, λέγεται δὲ ἐπιστήμων καὶ ὁ γεωμέτρης, ὅτι ἔχει ἤδη τὴν ἐπιστήμην· ἑκάτερος δὲ τούτων οὐ τὸν αὐτὸν τρόπον δυνατός ἐστιν, ἀλλ' ὁ μὲν ὅτι τὸ γένος τοιοῦτον καὶ ἡ φύσις ἡ τοῦ ἀνθρώπου, ὡς εἶναι δεκτικὴ ἐπιστήμης, ὁ δὲ ὅτι βουληθεὶς θεωρεῖν εὐθὺς δύναται, εἰ μή τι κωλύει τῶν ἔξωθεν. τρίτος δ' ἐπὶ τούτοις ἐστὶν ὁ γεωμετρῶν ἤδη καὶ θεωρῶν ἐντελεχείᾳ τις ὤν. οὗτος ἐπιστήμων καὶ τέλειος μόνος, οἱ δὲ πρότεροι ἀμφότεροι μὲν κατὰ δύναμιν ἐπιστήμονες, ἀλλ' ὁ μὲν δεῖται μαθήσεως καὶ τῆς κατὰ τὴν μάθησιν ἀλλοιώσεως καὶ τοῦ μεταβάλλειν ἐκ τῆς ἕξεως τῆς ἐναντίας· ἐκ γὰρ [τῆς] ἀγνοίας εἰς γνῶσιν καὶ ἐξ ἀνεπιστημοσύνης εἰς ἐπιστήμην κινεῖται· ὁ δὲ ἔχει μὲν τὴν ἕξιν, οἷον τὴν ἀριθμητικὴν ἢ τὴν γραμματικήν, δεῖται δὲ μόνου τοῦ ἐνεργῆσαι. οὐκ ἔστιν οὖν ὁ αὐτὸς τρόπος ἀμφοῖν τῆς ἐνδείας, τοῦ τε μὴ ἔχειν ὅλως ἀλλὰ πεφυκέναι, καὶ τοῦ ἔχοντα μὴ κεχρῆσθαι, καὶ οὐ ταὐτὸν τὸ πάσχειν ἐπ' ἀμφοτέρων τοῦ τε μανθάνοντος τὴν ἐπιστήμην καὶ τοῦ ἔχοντος ἠρεμοῦσαν, ἀλλ' ὁ μὲν ἣν ἔχει διά-

---

9 τὴν om M 13 ἀνθρώπου] οὐρανοῦ A 14 δεκτικὴν A 17 ἐντ. τίς οὗτος ὢν M 21 τῆς om M 25 τόπος A

*θεσιν, ταύτην ἀπόλλυσι· φθείρεται γὰρ ἡ ἄγνοια καὶ ἐκχωρεῖ ἐπεισιούσης τῆς ἐπιστήμης, ὁ δὲ ἡνίκα* fol. 78. *ἂν ἐνεργῇ κατὰ τὴν ἐπιστήμην, ἣν ἔχει, ταύτῃ χρῆται, ὥστε ἐκεῖ μὲν φθορὰ τῆς προϋπούσης ποιότητος, ἐνταῦθα δὲ τελείωσις μᾶλλον· θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν ἐπιστήμην, τοῦτο δὲ οὐκ ἀναιρεῖ τὴν ἐπιστήμην, ἀλλὰ τελειοῖ. διὰ ταῦτα οὖν οὐδὲ ἀλλοίωσιν ταῦτα θετέον, εἴπερ ἀλλοίωσις πᾶσα ἐξίστησι τοῦ προϋπάρχοντος, ἐνταῦθα δὲ εἰς αὐτὸ ἡ ἐπίδοσις καὶ εἰς τὴν τελειότητα τοῦ προϋπάρχοντος. εἰ δέ τις τοὔνομα ἀγαπῴη τῆς ἀλλοιώσεως καὶ ἐπὶ τούτων, ἀλλὰ διοριστέον γε ἀκριβῶς, ὅτι τὸ [μὲν] ὄνομα ἴσως ταὐτόν, τὸ δὲ πρᾶγμα οὐχὶ ταὐτόν, ἀλλ' ἕτερον τοῦτο γένος ἀλλοιώσεως. διὸ οὐ καλῶς ἔχει λέγειν τὸν ἔχοντα τὴν φρόνησιν, ὅταν φρονῇ ἀλλοιοῦσθαι· οὐδὲ γὰρ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ, οὐδὲ τὸν χαλκοτύπον ὅταν χαλκεύῃ, μήποτε δὲ οὐδὲ τὸν μανθάνοντα καὶ λαμβάνοντα τὴν ἐπιστήμην ὑπὸ τοῦ κατ' ἐνέργειαν ἐπιστήμονος οὐδὲ τοῦτον πάσχειν κυρίως θετέον, ἀλλὰ δύο τρόπους εἶναι τοῦ τε πάσχειν καὶ τοῦ ἀλλοιοῦσθαι, καὶ τὸν μὲν κυρίως, τὸν δὲ οὐ πάνυ· οὐ γὰρ ὁμοίως πάσχειν ῥητέον τὸν μεταβάλλοντα ἐξ ἐπιστήμης εἰς ἄγνοιαν, καὶ τὸν ἐξ ἀγνοίας εἰς ἐπιστήμην, ἀλλ' ἐκεῖνον μὲν πάσχειν κυρίως. μεταβάλλει γὰρ ἐπὶ τὴν στέρησιν, τοῦτο δὲ οὐκέτι· πρόεισι γὰρ ἐπὶ τὴν ἕξιν καὶ τὴν τῆς φύσεως τελειότητα, εἰς ἣν ἡ κίνησις. ὥσπερ οὖν ἐπὶ τῆς ἐπιστήμης ὁ μὲν ἄρτι μανθάνων τὴν πρώτην κινεῖται μεταβολήν, ὁ δὲ μεμαθηκὼς ἔχει μὲν ἤδη τὴν ἕξιν, προς-*

---

2 τῆς om M 5 θεωρῶν A 8 ταῦτα] τοῦτο A 10 δὲ om A 12 μὲν om M V

δεῖται δὲ τῆς ἐνεργείας, οὕτω καὶ ἐπὶ τῆς αἰσθήσεως τὸ μὲν σπέρμα τοῦ ζώου καὶ τὸ ᾠὸν τὴν πρώτην μεταβάλλει μεταβολήν, καθ' ἣν γίνεται αἰσθητικόν· ὅταν δὲ γένηται ζῶον, ἔχει ἤδη τὴν ἕξιν, ἐλλείπει δὲ αὐτῷ ἡ ἐνέργεια. διαφέρει δὲ τοσοῦτον τῆς ἐπιστήμης ἡ αἴσθησις, ὅτι τῇ μὲν ἔξωθεν δεῖ παραγενέσθαι τὰ προαξόμενα αὐτὴν εἰς ἐνέργειαν τὸ ὁρατὸν καὶ τὸ ἀκουστὸν καὶ τὸ ἁπτόν· ἡ δὲ ἐπιστήμη οἴκοθεν ἔχει τὰ ἐπιστητά· τὰ γὰρ νοήματα ἐπιστητά ἐστι τὰ καθόλου, ἅπερ αὐτὴ συναθροίζει καὶ ἑαυτῇ θησαυρίζεται· καὶ ἐπ' αὐτῇ προχειρίζεσθαι, ὅταν βούληται, τῇ δὲ αἰσθήσει τὰ καθέκαστα. ὑπέκειτο καὶ τὰ ἐν μέρει, ταῦτα δ' ἔξωθεν καὶ τῆς φύσεως ἔργα οὐ τῆς ψυχῆς. διὸ νοῆσαι μὲν ἐφ' ἡμῖν, ὅταν βουλώμεθα, αἰσθάνεσθαι δὲ οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἀνάγκη ἔξωθεν ὑπάρχειν τὸ αἰσθητόν. διὰ δὲ τοῦτο καὶ ὅσαι τῶν τεχνῶν ποιητικώτεραι, ἃς τῶν αἰσθητῶν ἐπιστήμας ὠνόμασεν Ἀριστοτέλης, καὶ περὶ τὸ καθ' ἕκαστον μᾶλλον ἢ περὶ τὸ καθόλου, οὐδὲ αὗται ἐνεργοῦσιν, ὅταν προαιρῶνται. ἡ γὰρ ὕλη καὶ ταύταις ἔξωθεν, ὡς χαλκευτικῇ μὲν ὁ χαλκός, οἰκοδομικῇ δὲ οἱ λίθοι. ἀλλὰ περὶ μὲν τούτων ὕστερον, νῦν δὲ λέγομεν, ὅτι ἔστι τὸ αἰσθητικὸν δυνάμει, οἷον τὸ αἰσθητὸν ἐντελεχείᾳ. τὸ δὲ δυνάμει, ὅπως ἀκουστέον; προείρηται, ὅτι οὐχ ὡς τὸν παῖδα λέγομεν δυνάμει στρατηγόν, ἀλλ' ὡς τὸν ἐν ἡλικίᾳ ὄντα καὶ ἕξιν ἔχοντα. πάσχον μὲν οὖν οὐχ ὅμοιον, πεπονθὸς δὲ ὡμοίωται, καὶ ἔστιν οἷον ἐκεῖνο.

---

8 καὶ post ὁρατὸν om A 12 βούλεται A 13 ἐν μέρει] μέρη M 18 ἐπιστήμας] ἐπιστήμονας A 27 πάσχον μὲν] πάσχομεν M

6 *Πῶς δὲ ἐπ' αὐτοῦ τὸ πάσχειν ἀκουστέον, καὶ ὅτι μὴ κυρίως, προείρηται. τίνα γάρ ἐστι τὰ πάσχοντα κυρίως, καὶ τίνα τὰ ἀλλοιούμενα, διώρισται ἐν τοῖς προτέροις λόγοις ἱκανῶς. ἀλλ' ἐπειδὴ μήτε τῆς δυνάμεως ἔχομεν ὄνομα ἴδιον ἐπὶ τῶν τὴν ἕξιν ἐχόντων, μήτε τοῦ τὴν ἕξιν μεταβάλλειν εἰς ἐνέργειαν, χρώμεθα μὲν ἐπ' αὐτῶν τῇ κοινῇ λεγομένῃ δυνάμει καὶ τῷ κοινῇ λεγομένῳ πάσχειν, διαστελλόμεθα δὲ τὰ σημαινόμενα. ὅτι γὰρ οὐ πάσχουσα κυρίως ἡ αἴσθησις ὑπὸ τῶν αἰσθητῶν, ἀλλ' οὐδὲ ἀλλοιουμένη δέχεται αὐτῶν τὰ εἴδη, δῆλον ἐκεῖθεν· οὐ γὰρ λευκὴ γινομένη τῶν λευκῶν ἀντιλαμβάνεται, οὐδὲ θερμὴ τῶν θερμῶν, οὐδὲ γλυκεῖα τῶν γλυκέων, ἀλλ' ἐκμάττεται μὲν τὰ εἴδη τῶν αἰσθητῶν καὶ τοὺς λόγους ἄνευ τῆς ὕλης, ὥσπερ ὁ κηρὸς τὸ εἶδος τῆς χρυσῆς σφραγῖδος ἄνευ τοῦ χρυσοῦ, οὐ μὴν ὕλη γινομένη τῷ εἴδει, οὐδὲ τρεπομένη σωματικῶς, ἀλλ' οὐδὲ σχηματιζομένη ἐπιπολῆς· ὁ γὰρ κηρός, εἰ καὶ μὴ τὴν ὕλην δέχεται τῆς σφραγῖδος, ἀλλ' ἐπιπολῆς ἐσχηματίζετο, ἡ δὲ αἴσθησις ὅλη δι' ὅλης τὸ εἶδος ἀναλαμβάνει τοῦ αἰσθητοῦ καὶ οὐ μεταβάλλουσα ἐκ τῆς ἕξεως, ἧς πρότερον εἶχεν, ἀλλὰ τοὐναντίον ἣν ἔχει τελειοῦσα καὶ βεβαιουμένη τῷ ἐνεργεῖν. τοιοῦτο μὲν οὖν ἡ καθόλου αἴσθησις, καθ' ἑκάστην δὲ ἰδίᾳ ῥητέον· οὐδὲ γὰρ ὁ κοινὸς λόγος αὐτὸς ἀκριβῶς ἂν εἴη κοινός, ἐπειδὴ καὶ ἐν τῇ αἰσθήσει τὸ πρότερον καὶ τὸ ὕστερον, τοῦ δὲ περὶ ἑκάστης αἰσθήσεως λόγου πρότερον τὰ αἰσθητὰ διαιρετέον. τῶν τοίνυν αἰσθητῶν τὰ μὲν καθ' αὑτά ἐστιν αἰσθητά, τὰ δὲ κατὰ συμβε-*

---

7 *κοινῇ*] *κοινῶς* M V, ita et paulo post 19 *ἐσχηματίζεται* A, *σχηματίζεται* Victorius 25 *αὐτὸς*] *αὐτῆς* A

βηκός. καὶ τῶν καθ' αὑτὰ τὰ μὲν κοινά ἐστιν ἁπασῶν, τὰ δὲ ἴδια καθ' ἑκάστην· ἴδια μὲν ἑκάστης, ὧν οὐχ οἷόν τε ἄλλην ἀντιλαμβάνεσθαι καὶ περὶ ἃ ἥκιστα ἀπατᾶται, εἴ καὶ κατὰ φύσιν τε ἔχοι καὶ μηδὲν ἐμποδίζοι τῶν ἔξωθεν, οἷον ἢ θέσις ἢ διάστημα ἀσύμμετρον· ἀνεξαπάτητος γὰρ περὶ τὰ χρώματα ἡ ὄψις, ὅταν αὐτή τε ἔχῃ εἰλικρινῶς, καὶ διὰ καθαροῦ τοῦ ἀέρος τὰς ἐνεργείας ποιῆται καὶ ἀπὸ συμμέτρου διαστήματος καὶ τῶν χρωμάτων οὕτω κειμένων. οὕτω δὲ ἔχει καὶ ἡ ἀκοὴ περὶ τοὺς ψόφους· δεῖ γὰρ αὐτήν τε ὑγιαίνειν καὶ τὸ μεταξὺ ἠρεμοῦν εἶναι καὶ τὸ διάστημα σύμμετρον. οὕτω καὶ περὶ χυμοὺς ἡ γεῦσις. ἡ δὲ ἁφὴ πλείους μὲν ἔχει διαφορὰς καὶ οὐχ οἷόν τε ἑνὶ περιλαβεῖν ὀνόματι τὸ ὑποκείμενον ταύτῃ τῇ αἰσθήσει, ὡς τὸ χρῶμά ἐστιν ἐπὶ τῆς ὄψεως καὶ οἱ ψόφοι ἐπὶ τῆς ἀκοῆς· καὶ γὰρ λείων καὶ τραχέων καὶ σκληρῶν καὶ μαλακῶν καὶ βαρέων καὶ κούφων καὶ θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν ἀντιλαμβάνεται, καὶ ἔστι πεντὰς αὕτη συζυγιῶν ἀνώνυμος ἑνὶ καθάπερ εἶπον, ὀνόματι. οὐ μὴν εἰ καὶ πλείω ταύτῃ τὰ ὑποκείμενα ἕτερον τρόπον ἐνεργεῖ περὶ αὐτά, ἢ ὅνπερ ἑκάστη τῶν λοιπῶν περὶ τὰ ἴδια, ἀλλὰ καὶ αὐτὴ περὶ τὰ αὑτῆς ἥκιστα εὐεξαπάτητος, καὶ ὥσπερ ἡ fol. 78b.
ὄψις οὐκ ἐξαπατᾶται, τί τὸ χρῶμα, ἀλλὰ τί τὸ κεχρωσμένον, οὐδὲ ἡ ἀκοὴ τίς ὁ ψόφος, ἀλλὰ τί τὸ ψοφοῦν ἢ ἐν ποίῳ τόπῳ, πότερον ἐν δεξιᾷ ἢ ἐν ἀριστερᾷ, ἢ ὄπισθεν ἢ ἔμπροσθεν· οὕτω καὶ ἡ ἁφὴ τοῦ σκληροῦ μὲν ἀντιλαμβάνεται καθ' αὑτήν, τί δὲ τὸ σκληρόν, οὐχ οἵα τε εἰπεῖν καθ' αὑτήν. τὰ μὲν οὖν

---

4 καὶ post εἰ om M    9 ἡ om M    12 δὲ om A    16 μαλακῶν καὶ σκληρῶν M

*τοιαῦτα λέγεται ἴδια ἑκάστης εἶναι αἰσθήσεως, κοινὰ δὲ πλειόνων κίνησις ἠρεμία ἀριθμὸς σχῆμα μέγεθος. ἀλλὰ κίνησις μὲν ἁπασῶν κοινόν τι τῶν αἰσθήσεων· ἀντιλαμβάνεται γὰρ αὐτῆς καὶ ὄψις καὶ ἀκοή· ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει. ἀλλὰ καὶ ὄσφρησις προσιόντος καὶ ἀπιόντος τοῦ ὀσφρητοῦ, καὶ γεῦσις ὁμοίως. ἡ δὲ ἁφὴ καὶ σαφέστερον, τάχα δὲ οὐ μόνον κίνησις, ἀλλὰ καὶ ἠρεμία καὶ ἀριθμὸς κοινὰ πασῶν αἰσθητὰ τῶν αἰσθήσεων· ἑκάστη γὰρ οἵα τέ ἐστι τῶν ἰδίων αἰσθητῶν συμπαρατηρεῖν τὸν ἀριθμόν, μέγεθος δὲ καὶ σχῆμα κοινὰ μάλιστα τῇ τε ὁράσει καὶ τῇ ἁφῇ. κατὰ συμβεβηκὸς δὲ λέγεται αἰσθητὰ ἃ καθ' αὑτὰ μὲν οὐκ ἔστιν αἰσθητά, τῷ δὲ συμβεβηκέναι τοῖς ἁπλῶς αἰσθητοῖς· αἰσθητὸς γὰρ ὁ Διάρους υἱὸς ἢ ὁ Διάρης οὐχ ᾗ Διάρης, ἀλλ' ᾗ συμβέβηκε τῷ Διάρει καὶ λευκῷ εἶναι. Ἀριστοτέλης δὲ τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ οὕτως ἑρμηνεύει· κατὰ συμβεβηκὸς γὰρ τούτου αἰσθάνεται, διότι τῷ λευκῷ οὗ αἰσθάνεται, τοῦτο συμβέβηκεν, ὥσπερ ἂν εἰ λέγοι ὅτι κατὰ συμβεβηκὸς τοῦ Διάρους αἰσθάνεται, ὅτι τῷ λευκῷ συμβέβηκε Διάρει εἶναι. ἔθος γὰρ αὐτῷ πολλάκις καὶ ἐπὶ τῶν ὑποκειμένων τῷ τοῦ συμβεβηκότος ὀνόματι κεχρῆσθαι, ὥσπερ καὶ ἐν κατηγορίαις. περιαιρουμένων γάρ φησι τῶν ἄλλων, ὅσα συμβεβηκότα ἐστὶ τῷ δεσπότῃ, οἷον τοῦ ἄνθρωπον εἶναι καὶ τὰ ἑξῆς. διὸ καὶ οὐδὲν πάσχει φησὶν ὑπὸ τῶν τοιούτων ἡ αἴσθησις ᾗ τοιαῦτά ἐστιν, οἷον ἡ ὄψις ὑπὸ τοῦ Διάρους ᾗ Διάρης ἐστίν· οὐ γὰρ ὁ Διάρης ἐστίν,*

4 *ἵππων*] Iliad. *K*, 535.. 5 *μ'*] *μὲν* A 15 *ἀλλ' ᾗ*] *ἀλλ' ὅτι* M 17 *τὰ κατά*] *τὰ* om M 18 *διότι*] *ὅτι* Arist., tum *συμβ. τοῦτο οὗ αἰσθ.* 20 *ὅτι τῷ λευκῷ* om M 21 *γὰρ*] *δὲ* M V 23 *κατηγορίαις*] cap. 7 pag. 7, 35. 28 *ἐστὶν* ante *ἀλλὰ* om M

ἀλλὰ τὸ χρῶμα Διάρους. τῶν δὲ καθ' αὑτὰ αἰσθητῶν τὰ ἴδια κυρίως αἰσθητά, καὶ πρὸς ἃ ἡ ἑκάστης πέφυκεν οὐσία τε καὶ ἐνέργεια. περὶ ὧν καὶ δὴ λέγομεν τὴν ἀρχὴν ἀπὸ τῆς ὄψεως ποιησάμενοι.

---

# ΘΕΜΙΣΤΙΟΥ ΠΕΡΙ ΨΥΧΗΣ.

## ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Τῆς ὄψεως ἴδιον αἰσθητὸν τὸ ὁρατόν· ἡ γὰρ ὄψις ὅρασις, ἡ δὲ ὅρασις πρὸς τὸ ὁρατόν. ὁρατὸν δὲ λέγω πρώτως τὸ χρῶμα· εἰ δέ τι καὶ ἄλλο ἐστὶν ὁρατόν, προϊὼν ὁ λόγος μηνύσει· δοκεῖ γάρ τινα ἐν φωτὶ μὲν οὐχ ὁρᾶσθαι, ὅπερ ἴδιον τῶν χρωμάτων, ἐν σκότει δὲ λάμπειν, ἀνώνυμα δὲ ἑνὶ ὀνόματι. ἀλλὰ ταῦτα μὲν ὥσπερ ἔφην, προϊὼν ὁ λόγος διακρινεῖ, νῦν δὲ τοσοῦτον κείσθω τὴν πρώτην, ὅτι τὸ ὁρατόν ἐστι χρῶμα. τοῦτο δὲ εἶναι πέφυκε αἰεὶ ἐπὶ τῆς τῶν σωμάτων ἐπιφανείας, ἥ ἐστι καθ' αὑτὴν ὁρατή, καθ' αὑτὴν δὲ οὐχ ὅτι ἐνυπάρχει αὐτῆς ἐν τῷ λόγῳ τὸ ὁρατόν, οὐδὲ ὅτι αὐτὴ ἐν τῷ λόγῳ τοῦ ὁρατοῦ περιέχεται, οἵπερ ἦσαν δύο τρόποι τῶν καθ' αὑτὰ ὑπαρχόντων, ἀλλ' ὅτι πάντως ἐν ἑαυτῇ ἔχει τὸ χρῶμα, καὶ οὐχ οἷόν τε ἄνευ χρώματος ἐπιφάνειαν σώματος οὔτε εὑρεῖν οὔτε νοῆσαι. ἐπεὶ τοίνυν τὸ αἴτιον τοῦ ὁρατὴν εἶναι τὴν ἐπιφάνειαν ἐν αὐτῇ ἐστι τῇ ἐπιφα-

---

2 ἑκάστη M  5 Θεμιστίου περὶ ψυχῆς λόγος δ̄ V, in M libri finis, sed titulus deest, nullum signum in A.  11 οὐχ] μὴ A  15 τοῦτο] οὕτω M V  16 ἥ ἐστι] ἢ M ἧ V

νείᾳ, διὰ τοῦτο λέγοιτ' ἂν ἡ ἐπιφάνεια καθ' αὑτὴν ὁρατή. τῷ μὲν οὖν ὑποκειμένῳ ταὐτὸν τό τε ὁρατὸν καὶ τὸ χρῶμα, τῷ λόγῳ δὲ ἕτερον· τὸ μὲν γὰρ ὁρατὸν πρὸς τὴν ὅρασιν λέγεται, τὸ χρῶμα δὲ καθ' αὑτό, καὶ ὁρατὸν μὲν οὐκ ἔστιν ἀπελθούσης τῆς ὁράσεως, εἰ μὴ δυνάμει, χρῶμα δὲ οὐ κωλύεται εἶναι, κἂν μὴ ὁρᾶται. πᾶν δὲ χρῶμα κίνησίς ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, καὶ τοῦτό ἐστιν αὐτοῦ ἡ φύσις, καὶ οὐκ ἔστιν ὁρατὸν ἄνευ φωτός, ἀλλὰ πάντως ἕκαστον χρῶμα ἐν φωτὶ ὁρατόν. διὸ περὶ φωτὸς πρῶτον λεκτέον, τί ἐστιν, εἴπερ διὰ τοῦτο γίνεται ὁρατὸν τὸ χρῶμα. πρῶτον δὲ τί ἐστι τὸ διαφανές· τούτου γὰρ τὸ φῶς οἷον ἐνέργειά τις καὶ τελειότης. λέγω τοίνυν εἶναι διαφανὲς ὅ ἐστι μὲν ὁρατόν, οὐ καθ' αὑτὸ δὲ ὁρατὸν ὡς ἁπλῶς εἰπεῖν, ἀλλὰ δι' ἀλλότριον χρῶμα. τοιοῦτον δέ ἐστιν ἀὴρ καὶ ὕδωρ, εἴποις δ' ἂν καὶ λίθους τινάς, οἳ καὶ αὐτῷ τούτῳ τῷ ὀνόματι προσαγορεύονται, καὶ τὴν ὕελον καὶ τὰ κέρατα καὶ ἄλλας φύσεις σωμάτων, μάλιστα δὲ τὸ ἀΐδιον καὶ θεῖον σῶμα. καὶ τοῦτο μὲν πρώτως διαφανές, δευτέρως δὲ ὁ ἀήρ, τρίτον δὲ τὸ ὕδωρ, ἔπειτα ὅσα ἐφεξῆς ἠριθμήσαμεν, καὶ τούτων ἕκαστον διαφανές, οὐχ ᾗ ὕδωρ οὐδ' ᾗ ἀήρ, ἀλλ' ᾗ κοινῆς τινὸς φύσεως ἅπαντα κεκοινώνηκε, δι' ἣν ἐνυπάρχουσαν αὐτοῖς καὶ ἔστι διαφανῆ καὶ ὀνομάζεται. γίνεται οὖν ἅπαντα ταῦτα ὁρατὰ οὐ δι' οἰκεῖον χρῶμα· οὐ γὰρ ἂν εἴη τι διαφανὲς κεχρωματισμένον, ἀλλ' ὅσα μάλιστα ἀχρωμάτιστα, ταῦτα μάλιστα διαφανῆ. ὁρᾶται οὖν, εἴπερ ὁρᾶται, δι' ἀλλότριον ὡς ἔφην χρῶμα· κινεῖται γὰρ ὑπὸ τῶν ἀλλοτρίων χρωμάτων, κινεῖται δὲ οὐχ ὡς

---

8 ἡ om M   12 ἐστι om A V

ἀλλοιοῦσθαι, οὐδ' ὡς μεταβάλλειν εἰς αὐτά, οὐδ' ὥσπερ ὁ κηρὸς τῶν σφραγίδων δέχεται τὰ γλύμματα. οὗτος μὲν γὰρ ἐπιπολῆς, ὁ δ' ἀὴρ ὅλος δι' ὅλου παραπέμπει τῇ ὄψει τὰ χρώματα, καὶ ὁ αὐτὸς ἐνίοτε ἅμα τὰ ἐναντία πλείοσιν ὄψεσιν, ὅπερ οὐχ οἷός τ' ἂν ἦν, εἰ συνετρέπετο τοῖς χρώμασι καὶ συνηλλοιοῦτο, παραπέμπει δὲ οὐκ ἀεὶ τὰ χρώματα πρὸς τὴν ὄψιν οὔτε ὁ ἀὴρ οὔτε τὰ ἄλλα προειρημένα διαφανῆ, ἀλλ' ἡνίκα ἂν γένηται ἐνεργείᾳ διαφανῆ· γίνεται δὲ ἐνεργείᾳ διαφανῆ φωτὸς παρουσίᾳ. τὸ μὲν οὖν θεῖον σῶμα ἀεὶ διαφανὲς ἐνεργείᾳ· ἀεὶ γὰρ αὐτῷ πάρεστι καὶ τὸ φῶς, ὁ δὲ ἀὴρ καὶ τὰ λοιπὰ ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ διαφανῆ. ἐν οἷς οὖν δυνάμει τὸ φῶς, ἐν τούτοις ἐστὶ καὶ τὸ σκότος· οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ σκότος ἢ τὸ δυνάμει διαφανές, τὸ δὲ φῶς ἐντελέχειά τις καὶ τελειότης τοῦ διαφανοῦς ᾗ διαφανές. οὐ γὰρ ἡ ἀήρ, οὐδὲ ἡ ὕδωρ· ἑτέρα γὰρ ἑκάστου καθ' ὅ ἐστιν ἕκαστον τελειότης, ἡ δὲ διαφανῆ πάν- fol. 79. των τελειότης τὸ φῶς· οἷον γὰρ χρῶμά ἐστι τοῦ διαφανοῦς, τὸ δὲ οἷον εἶπον, ὅτι οὐ χρωματίζει τὸν ἀέρα τὸ φῶς, ὥσπερ ἡ λευκότης τὴν χιόνα, ἀλλ' αἴτιόν ἐστι τῷ ἀέρι τοῦ γενέσθαι αὐτὸν ὁρατόν, ὥσπερ τὰ χρώματα τοῖς σώμασι τοῦ ὁρᾶσθαι αἴτια γίνεται, καὶ προάγει τὸ δυνάμει διαφανὲς εἰς τὸ γίγνεσθαι ἐντελεχείᾳ. ἔστι δὲ οὔτε τὸ πῦρ αὐτὸ [τὸ] φῶς οὔτε ὁ ἥλιος οὐδὲ τὰ λοιπὰ ἄστρα, ἀλλ' ἡ ἐν τῷ διαφανεῖ αὐτῶν παρουσία, καὶ τοῦτο κοινὸν ὑπάρχει τοῖς τοιούτοις ἅπασι σώμασι τὸ δύνασθαι τὰ δυνάμει δια-

---

4 τὰ om M V 6 ἂν om M 8 προειρημένα] τὰ προδιειρημένα M V, fort. προδιῃρημένα 17 ἡ ante ὕδωρ om M ἑκάστου καθ' ὅ] ἕκαστον καὶ ὁ A 18 ἕκαστον] ἑκάστου A 22 γενέσθαι] γίνεσθαι A 25 τὸ om M V

*φανῇ ἐνεργείᾳ ποιεῖν, καὶ μάλιστα τῷ ἡλίῳ καὶ τοῖς λοιποῖς θείοις σώμασι, δεύτερον δὲ τῷ πυρὶ καὶ εἴ τι ἄλλο πυρῶδες. ἔοικεν οὖν οὐχ ᾗ πῦρ ὑπάρχειν αὐτῷ τὸ φωτίζειν, ἀλλ' ᾗ τινὸς ἄλλης φύσεως κεκοινώνηκε. δῆλον δὴ καὶ ἐκ τῶν παρ' ἡμῖν ζώων, οἷον τῶν καλουμένων πυγολαμπίδων, ἃ πῦρ μὲν οὐκ ἔχει, φωτίζει δὲ ὅμως κατὰ τὸ μέγεθος τοῦ σώματος τὸν πέριξ ἀέρα.*

*Τί μὲν οὖν τὸ διαφανὲς εἴρηται, εἴρηται δὲ ὁμοίως καὶ τί τὸ φῶς, ὅτι οὔτε πῦρ οὔτε ὅλως σῶμα οὐδὲ ἀπορροὴ σώματος οὐδενός· εἴη γὰρ ἂν καὶ οὕτως σῶμα, ἀλλὰ πυρὸς ἢ τοιούτου τινὸς ἐν τῷ διαφανεῖ παρουσία, παρουσία δὲ οὐχ ὡς ἡ τῶν κιρναμένων πρὸς ἄλληλα, οὐδ' ὡς τῶν ἐν τῷ αὐτῷ τόπῳ παρακειμένων ἀλλήλοις· ἅπαντα γὰρ ταῦτα σωμάτων τὰ πάθη, ἀλλ' ὡς ἡ τοῦ δρῶντος ἐνέργεια ἐν τῷ πάσχοντι, μᾶλλον δὲ τελειουμένῳ. οὔτε γὰρ σῶμα διὰ σώματος χωρεῖν ὅλον δι' ὅλου δυνατόν, οὔτε δύο σώματα ἅμα κατέχειν τὸν αὐτὸν τόπον, ὡς διὰ πολλῶν ἔμπροσθεν ἀποδέδεικται. ἐχρῆν δὲ καὶ παχύτερον εἶναι τὸν ἀέρα, ἡνίκα ἂν ἔχῃ τὸ φῶς ἢ ὁπηνίκα ἂν ἔχῃ τὸ σκότος, νῦν δὲ τὸ ἐναντίον δοκεῖ, ἄλλως δέ, εἰ τὸ σκότος στέρησις ἐν τῷ διαφανεῖ τῆς τοῦ πυρὸς παρουσίας, ἡ τούτου παρουσία τὸ φῶς ἐστί. παρουσία δὲ ἅπασα σχέσις τοῦ παρόντος πρὸς ἐκεῖνο, ᾧ πάρεστι, καὶ οὐχὶ σῶμα. ἔτι δὲ εἰ σῶμα τὸ φῶς, κἂν ἐκινεῖτο ὑπὸ τῶν πνευμάτων. ἀλλ' οὐδ' ἂν ἡ κίνησις αὐτοῦ κατὰ φύσιν ἦν ἡ εἰς τὸ κάτω, εἴγε καὶ λεπτότερον τοῦ πυρὸς τὸ φῶς. ἔτι ἐχρῆν ἐν*

---

2 *εἴ τι*] *εἰ* A  7 *ὅμως*] *ἴσως* M V  16 *τὰ πάθη* om M V
18 *ὅλον*] *ὅλως* A  20 *καὶ* om M

χρόνῳ κινεῖσθαι τὸ φῶς, εἴπερ σῶμα ἦν, νῦν δὲ ἀθρόως ἅπας ὁ οἶκος πυρὸς εἰσκομισθέντος φωτίζεται, μᾶλλον δὲ ἅπας ὁ ἀὴρ ἀνατείλαντος τοῦ ἡλίου.

Ἐμπεδοκλῆς δ' οὐκ ὀρθῶς λέγει, οὐδ' εἴ τις ἄλλος οὕτω λέγει, ὡς κινουμένου τοῦ φωτὸς καὶ γινομένου πρῶτον μεταξὺ τῆς γῆς, εἶθ' οὕτω πρὸς τὴν γῆν, ἡμᾶς δὲ λανθάνοντος διὰ τὴν ταχύτητα τῆς κινήσεως· τοῦτο γάρ ἐστι καὶ παρὰ τὴν ἐν τῷ λόγῳ ἀλήθειαν καὶ παρὰ τὰ φαινόμενα. ἐν μικρῷ μὲν γὰρ διαστήματι καὶ μικροῦ φωτὸς κίνησις λάθοι ἄν, ἀπ' ἀνατολῆς δὲ εἰς δυσμὰς λανθάνειν τηλικούτου σώματος κίνησιν μέγα λίαν τὸ αἴτημα. ἔστι δὲ χρώματος μὲν δεκτικὸν τὸ ἄχρουν, ψόφου δὲ τὸ ἄψοφον, ὥσπερ σχήματος τὸ μὴ ἔχον οἰκεῖον σχῆμα, καὶ χυμοῦ τὸ μὴ ἔχον οἰκεῖον χυμόν. ἄχρουν δέ ἐστι τὸ διαφανὲς οἰκείου χρώματος· διὰ τοῦτο γὰρ διαφανὲς καὶ κινεῖται ὑπὸ τῶν ἀλλοτρίων χρωμάτων, ὡς εἴπερ οἰκεῖον εἶχεν, ἐκεῖνο ἂν ἀντιφράττον ἐκώλυε τὴν αἴσθησιν τῶν ἀλλοτρίων. ἀλλ' ὅταν μὲν ἐνεργείᾳ γένηται διαφανὲς ὑπὸ τοῦ φωτός, τότε γίνεται αὐτοῦ οἷον χρῶμα τὸ φῶς, καὶ τηνικαῦτα γίνεται καὶ αὐτό πως ὁρατὸν καὶ αἴτιον τοῖς σώμασι τοῦ ὁρᾶσθαι· ὅταν δὲ δυνάμει, οἷον δοκεῖ τὸ σκότος εἶναι, τότε καὶ αὐτὸ ἀόρατον καὶ ἀφαιρεῖται τῶν ἄλλων χρωμάτων τὴν θέαν. ἀόρατον δ' ἔφαμεν τὸ σκότος οὐχ ὅτι παντελῶς οὐχ ὁρᾶται, ἀλλ' ὅτι μόλις· διακρίνει γὰρ καὶ τὸ σκότος ἡ ὄψις, ὥσπερ καὶ ἅπασα αἴσθησις τὴν στέρησιν τοῦ αὐτῆς αἰσθητοῦ, ἡ δὲ αὐτὴ φύσις

---

7 πρῶτον] ποτὲ A  8 παχυτῆτα A. conf. Ideler ad Meteor. I, 361.

*καὶ τὸ αὐτὸ ὑποκείμενον ὁτὲ μὲν σκότος, ὁτὲ δὲ φῶς ἐστίν, ὥσπερ τὸ αὐτὸ ὑποκείμενον ὁτὲ μὲν ὁρᾷ, ὁτὲ δὲ τυφλοῦται. οὐ πάντα δὲ τὰ ὁρατὰ ἐν φωτὶ ὁρατά, ἀλλὰ τὸ μὲν οἰκεῖον ἑκάστου χρῶμα ἐν φωτὶ μόνον, ἔνια δὲ ἐν μὲν τῷ φωτὶ οὐχ ὁρᾶται, ἐν δὲ τῷ σκότῳ κινεῖ τὴν αἴσθησιν, ἅπερ ἢ οὐ χρώματα ῥητέον, εἴπερ ὀρθῶς ἀφώρισται ἴδιον χρώματος εἶναι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς ἢ ἄλλον τρόπον, οἷον τὰ πυρώδη φαινόμενα καὶ ἐν νυκτὶ λάμποντα, ὧν ἓν μὲν γένος οὐκ ἔστι, διόπερ οὐδὲ ὀνομάζεται ἑνὶ ὀνόματι, πολλοῖς δὲ οὖσι καὶ διαφέρουσι κατ' εἶδος ἀλλήλων ἓν κοινὸν ὑπάρχει τὸ πυρώδη εἶναι δοκεῖν καὶ λάμπειν ἐν σκότει· τοιοῦτοι δὲ καὶ οἱ μύκητες καὶ κέρατα τινῶν ζώων καὶ ἰχθύων κεφαλαὶ καὶ λεπίδες καὶ ὀφθαλμοί, καὶ ξύλα δέ τινα σεσηπότα. καὶ τούτων δὲ ἑκάστου τὸ μὲν οἰκεῖον χρῶμα ἐν φωτὶ ὁρᾶται, τὸ δὲ πυρῶδες τοῦτο καὶ ἐκλάμπον ἐν τῇ νυκτὶ ἴσως οὐδὲ χρῶμα, ἀλλὰ τῶν ἡμετέρων πάθος ὀφθαλμῶν. δι' ἣν μὲν οὖν αἰτίαν ταῦτα ὁρᾶται, ἄλλον εἶναί φησι λόγον καὶ προσήκοντα μᾶλλον τοῖς περὶ αἰσθήσεως καὶ αἰσθητῶν· λέγει δὲ αὐτὸν Σωσιγένης ὁ Ἀλεξάνδρου διδάσκαλος ἐν τῷ τρίτῳ περὶ ὄψεως, εἴ τῳ πιθανὸς ὁ Σωσιγένης, μετέχειν καὶ ταῦτα φάσκων φύσεώς τινος ἐπ' ὀλίγον τοιαύτης, οἵας καὶ τὸ πέμπτον σῶμα καὶ τὸ πῦρ· αὕτη δέ ἐστι τὸ δύνασθαι λάμπειν τε καὶ φωτίζειν τὸν παρακείμενον ἀέρα ἢ τὸ σῶμα τὸ διαφανές. φωτίζεσθαι οὖν πως καὶ ὑπὸ τούτων τὸν ἀέρα νύκτωρ, ὅταν μὴ ὑπὸ τοῦ μᾶλλον φωτίζοντος καταλάμπηται*

5 *σκότῳ*] scrib. *σκότει* 14 *κέρατα*] *κρέα* M V 16 *ἕκαστον* A 26 *τε* om A 28 *καὶ* om A 29 *ὅταν*] *ὅτε* M V

καὶ ἀφανὲς τὸ παρὰ τούτων γίνηται φῶς ἀμαυρούμενον τῷ λαμπροτέρῳ· ἐν μέντοι τῇ νυκτὶ μέχρι τινὸς οἷά τε φωτίζειν τὸν πλησίον αὐτῶν ἀέρα, οὐχ ὥστε καὶ ἄλλα ποιεῖν ὁρατά, ἀλλ' ὡς αὐτὰ ἀγαπητῶς διαφαίνεσθαι διὰ τὸ τὴν οὐσίαν ἐκείνην ὀλίγην αὐτοῖς ὑπάρχειν, παρ' ἧς τὸ φῶς. καὶ τὸ πῦρ δὲ αὐτὸ τὸν μὲν πλησίον ἀέρα οὕτω φωτίζει, ὥστε καὶ τὰ τῶν ἄλλων χρώματα ποιεῖν ὁρατά, τὸν πόρρω δὲ οὕτως, ὥστε ἑαυτὸ μόνον ποιεῖν ὁρατόν. νῦν δὲ ἐπὶ fol. 79b. τοσοῦτον ἔστω δῆλον, ὅτι τὸ μὲν ἐν φωτὶ ὁρώμενον τοῦτο κυρίως χρῶμά ἐστι· τοῦτο γὰρ ἦν αὐτῷ χρώματι εἶναι τὸ κινητικῷ εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, τὸ δὲ ἐν σκότει ἢ οὐ χρῶμα, ἢ ἕτερον τρόπον, ὥστε δύο εἶναι διαφορὰς ταύτας τῶν ὁρατῶν τε καὶ χρωμάτων, ὅτι τὰ μὲν ἐν φωτὶ ὁρᾶται ἐν σκότει δ' οὔ, τὰ δὲ ἐν σκότει μὲν ἐν φωτὶ δ' οὔ, τὸ πῦρ δὲ ἐν ἀμφοῖν ὁρᾶται. καὶ εἰκότως· τὸ γὰρ διαφανὲς ὑπὸ τούτου γίνεται διαφανές, καὶ τὸ φῶς τοῦ πυρὸς ἦν τις δύναμις καὶ παρουσία, ὥστε ἀναγκαίως καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ τὸ πῦρ ὁρατόν· φῶς γὰρ πάντως περὶ αὐτὸ καὶ τοῦτο μόνῳ τῷ τοῦ πυρὸς χρώματι ὑπάρχει τὸ φωτίζειν δύνασθαι τὸν πλησίον ἀέρα, τοῖς λοιποῖς δὲ χρώμασιν οὐκέτι, τάχα δὲ οὐδὲ τῷ τοῦ πυρὸς χρώματι ᾗ πῦρ, ἀλλ' ᾗ τινὸς ἄλλης φύσεως κεκοινώνηκε· διὸ ἐκεῖνο μὲν ὁρᾶται καὶ ἐν τῷ σκότει, τὰ λοιπὰ δ' οὔ. ὅτι δὲ τὸ χρῶμα κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, σημεῖον· ἐὰν γάρ τις θῇ τὸ ἔχον χρῶμα ἐπ' αὐτὴν τὴν ὄψιν, οὐκ ὄψεται, ἀλλὰ τὸ μὲν χρῶμα κινεῖ τὸ διαφανές, οἷον τὸν ἀέρα, ὑπὸ

8 τὸ πόρρω M V   10 ἔστω] ἐστὶν Arist.   14 διαφορὰς εἶναι M   16 τὸ πῦρ — ὁρᾶται om M V

*τούτου δὲ ἤδη συνεχοῦς ὄντος κινεῖται τὸ αἰσθητήριον. εἰ δὲ μὴ χρεία τοῦ διαφανοῦς ἦν, ὥστε διαπορθμεύειν τὸ χρῶμα τῇ ὄψει, καὶ ἐπ' αὐτὴν ἂν τὴν ὄψιν τιθέμενον ἑωρᾶτο. οὐ καλῶς οὖν λέγει Δημόκριτος οἰόμενος, εἰ γένοιτο κενὸν τὸ μεταξύ, ὁρᾶσθαι ἂν ἀκριβέστερον· τοῦτο γὰρ ἀδύνατον· ἀλλοιουμένης γὰρ τῆς αἰσθήσεως καὶ οἷον πασχούσης γίνεται τὸ ὁρᾶν. ὑπ' αὐτοῦ μὲν οὖν τοῦ ὁρωμένου χρώματος οὐ πάσχει· ἢ γὰρ ἂν μᾶλλον ἔπασχεν ἐπιτιθεμένου τῇ κόρῃ, λείπεται δὲ ὑπὸ τοῦ μεταξύ· τοῦτο δέ ἐστι τὸ διαφανές, ὥστε οὐχ ὅπως ἂν ἀκριβέστερον ἑωρῶμεν διὰ τοῦ κενοῦ, ἀλλ' οὐδὲ ἂν ἑωρῶμεν ὅλως μηδενὸς ὄντος, ὃ πρῶτον αὐτὸ ἀλλοιούμενον οὕτω τὴν αἴσθησιν ἀλλοιοῖ. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ ψόφου καὶ περὶ ὀσμῆς ἐστίν· οὐδὲ γὰρ οὐδὲ τούτων οὐδὲν ἁπτόμενον τῶν ὀργάνων κινεῖ τὴν αἴσθησιν, ἀλλ' ὑπὸ μὲν ὀσμῆς καὶ ψόφου τὸ μεταξὺ κινεῖται, ὑπὸ δὲ τούτων τὰ αἰσθητήρια. ἐὰν δὲ αὐτοῖς τις τοῖς ὀργάνοις ἢ ψόφον ἢ ὀσμὴν προσαγάγῃ, οἷον τῷ πόρῳ τῶν ὤτων ἢ τῷ πόρῳ τῶν μυκτήρων, ἢ οὐδ' ὅλως ἂν κινήσειε ταύτας τὰς αἰσθήσεις ἢ οὐχ ὁμοίως. περὶ δὲ ἁφῆς καὶ γεύσεως ἔχει μὲν ὁμοίως, οὐ δοκεῖ δέ· δι' ἣν δὲ αἰτίαν, ὕστερον λεχθήσεται. τὸ δὲ μεταξὺ ψόφου καὶ ὀσμῆς ἀὴρ καὶ ὕδωρ, οὐχ ἡ ἀὴρ καὶ ὕδωρ, ἀλλ' ὥσπερ τὸ διαφανὲς κοινὸν ἦν πάθος τῶν δύο μάλιστα τούτων στοιχείων, δι' οὗ παραπέμπει τὰ χρώματα, οὕτως ἄλλο τι ὑποληπτέον κοινὸν εἶναι πάθος τῶν αὐτῶν τούτων στοιχείων, ὃ παρα-*

---

9 *ἢ γὰρ*] nam *ᾗ* vel *εἴπερ*? 11 *ἂν* post *ὅπως* om A 15 *οὐδὲν*] *οὐδὲ* A 19 *τῷ πόρῳ*] *τὸ πόρρω* M, et sic infra 24 *ἀὴρ καὶ ὕδωρ*] conf. Trendelenb. p. 377 sed non aliud legit Themistius in Ar. *οὐχ*] *καὶ οὐχ* M

πέμπει τοὺς ψόφους, καὶ αὖ ἄλλο, ὃ παραπέμπει τὰς ὀσμάς. ὀνομάζουσι δὲ οἱ ἐξηγηταὶ τὸ μὲν διηχές, τὸ δὲ δίοσμον· οὐ γὰρ αὐτός γε Ἀριστοτέλης· φαίνεται γὰρ καὶ τὰ ἔνυδρα τῶν ζώων ἔχειν αἴσθησιν ὀσμῆς, ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ τῶν ζώων ὅσα ἀναπνεῖ, ἀδυνατεῖ ὀσμᾶσθαι μὴ ἀναπνέοντα, τὰ δὲ ἔνυδρα καὶ μὴ ἀναπνέοντα ὅμως ὀσμᾶται. ἡ δὲ αἰτία καὶ περὶ τούτων ὕστερον λεχθήσεται, νῦν δὲ ἐκ τῶν εἰρημένων δῆλόν ἐστι, τί ποτέ ἐστιν ἡ ὄψις· ἡ γὰρ δύναμις ἡ δεχομένη τοὺς τῶν χρωμάτων λόγους ἄνευ τῆς ὕλης διὰ τοῦ μεταξὺ διαφανοῦς ὄψις ἂν εἴη.

Μετὰ δὲ τὴν ὄψιν περὶ ἀκοῆς ῥητέον καὶ πρό γε 8 τῆς ἀκοῆς περὶ ψόφου. ἔστι δὲ διττὸς ὁ ψόφος ὁ μὲν ἐνεργείᾳ τις, ὁ δὲ δυνάμει· τὰ μὲν γὰρ οὐδ' ὅλως φαμὲν ἔχειν ψόφον οὔτε δυνάμει οὔτε ἐνεργείᾳ, οἷον σπόγγους καὶ ἔρια, τὰ δὲ ἔχειν, ἀλλὰ ποτὲ μὲν δυνάμει ποτὲ δὲ καὶ ἐνεργείᾳ, οἷον χαλκὸν καὶ λίθους καὶ ὅσα στερεά τε καὶ λεῖα, ἅπερ ὅταν μὲν ἠρεμῇ, δυνάμει τὸν ψόφον ἔχει, ὅταν δὲ πλήττηται ὑπ' ἀλλήλων, τότε δὴ καὶ ἐνεργείᾳ ψοφεῖ. ψοφεῖ δέ, ὅταν δύνηται ἑαυτοῦ μεταξὺ καὶ τῆς ἀκοῆς ἐμποιῆσαι τὸν κατ' ἐνέργειαν ψόφον, γίνεται δὲ ὁ κατ' ἐνέργειαν ψόφος ἀεί τινος πρός τι καὶ ἔν τινι· σώματος γὰρ στερεοῦ πρὸς σῶμα στερεὸν καὶ ἐν ἀέρι· οὐ γὰρ οἷόν τε ἄνευ φορᾶς πληγὴν γενέσθαι, αὕτη δὲ πάντως ἐν ἀέρι, πληγὴ δὲ οὐχ ἡ τυχοῦσα ποιεῖ τὸν ψόφον οὐδὲ τῶν τυχόντων σωμάτων, οἷον καὶ ἐρίου καὶ σπόγγου, ἀλλὰ δεῖ εἶναι στερεὰ καὶ λεῖα ἢ κοῖλα ἢ πλατέα τὰ

---

9 εἰρημένων] ὁρατῶν M V ἐστιν] ἐστι καὶ M 12 πρός M
17 δὲ καὶ] δὲ A V 19 πλήττεται A 24 ἐν om M V

*μέλλοντα ποιήσειν τὸν ψόφον· ἡ μὲν γὰρ λειότης αἰτία τοῦ μὴ θρύπτεσθαι τὸν ἀέρα· δεῖ γὰρ ἀθρόον καὶ μὴ διῃρημένον προσπεσεῖν, ὥστε κινῆσαι τὴν ἀκοήν, ἡ πλατύτης δὲ τοῦ πλείω τὸν ἀέρα καταλαμβάνεσθαι ὑπὸ τῶν ψοφούντων, τὰ κοῖλα δὲ ὅτι πολλὰς ἤδη πληγὰς ποιεῖ μετὰ τὴν πρώτην ἀδυνατοῦντος ἐξελθεῖν τοῦ κινηθέντος ἀέρος, ἀλλ᾽ ἐνειλουμένου καὶ ἐπὶ πολὺ σειομένου, ὃ μάλιστα ἐπὶ τῶν χαλκῶν ἀγγείων συμβαίνει καὶ τῶν ὁμοίων, ἐφ᾽ ὧν καὶ ἡ λειότης συντρέχει. ψόφος δὲ καὶ ἐν ἀέρι καὶ ἐν ὕδατι, ἀλλ᾽ ἧσσον ἐν ὕδατι. ὅμως δ᾽ εἰ καὶ μᾶλλον τοῦ ὕδατος ὁ ἀὴρ συντελεῖ πρὸς ψόφον, ἀλλὰ οὐκ αὐτάρκης ὁ ἀήρ, οὐδὲ κύριος τοῦ ψόφου, ἀλλὰ δεῖ καὶ ποιῶν σωμάτων καὶ ποιᾶς πληγῆς καὶ ποιῶν μὲν στερεῶν τε καὶ λείων καὶ πλατέων καὶ κοίλων, ὡς προειρήκαμεν, ποιὰν δὲ τὴν πληγὴν ὅτι σφοδρὰν καὶ ταχεῖαν, ἵνα μὴ φθάσῃ διαιρεθεὶς ὁ ἀὴρ καὶ διαφύγῃ τὴν κίνησιν τοῦ ῥαπίζοντος· εὔθρυπτος γὰρ καὶ εὐόλισθος, διὸ καὶ ταχείας δεῖ τῆς πληγῆς, ἐπεὶ εἰ καὶ τύμπανον τυμπάνῳ ἠρέμα προσάγοις, οὐ ποιήσεις ψόφον, αἱ δὲ μάστιγες ποιοῦσι τὸν ψόφον καὶ αἱ ῥάβδοι παραπλησίως αὐτὸν τύπτουσαι τὸν ἀέρα, κἂν τῇ ταχυτῆτι προλαμβάνουσαι αὐτοῦ τὴν θρύψιν, ὥσπερ καὶ εἰ ἄμμου σωρὸν φερόμενον παίσοι τις προλαμβάνων τῇ πληγῇ τὴν φοράν· τηνικαῦτα δὲ τοὺς δύο ἀναδέχεται λόγους ὁ ἀὴρ τόν τε τοῦ τυπτομένου σώματος καὶ τὸν τοῦ ἐν ᾧ τύπτεται. ἠχὼ δὲ* fol. 80. *γίνεται, ὅταν ὁ πληγεὶς ἀὴρ ὑπὸ τοῦ ψοφήσαντος ἢ φωνήσαντος προσπεσὼν στερεῷ τε καὶ λείῳ καὶ ἑνὶ*

1 *ἡ*] *ἢ* A   2 *τοῦ μὴ*] *μὴ* om M   11 *δ᾽ εἰ*] *δὲ* M V   22 *ῥάνδοι* M

ὄντι διὰ τὸν τόπον τὸν ὁρίζοντα αὐτὸν καὶ κωλύοντα θρύπτεσθαι εἰς τοὐπίσω πάλιν ἀποπάλληται, ὥσπερ καὶ σφαῖρα. ἔοικε δὲ ἀεὶ μὲν γίγνεσθαι ἠχώ, ἀλλ' οὐκ ἀεὶ σαφής· ἀνακλᾶται μὲν γὰρ ἀεὶ ὁ πληγεὶς εἰς ἀήρ· οὐδὲ γὰρ οἷόν τε ἂν ἦν αὐτόν τινα ἀκούειν ἑαυτοῦ φωνοῦντος, ἀλλὰ τὰ πολλὰ συμβαίνει τὴν ἀνάκλασιν διαλανθάνειν, καθάπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ φῶς ἀεὶ μὲν ἀνακλᾶται· οὐ γὰρ ἂν ἐγένετο φῶς καὶ ἐν ταῖς σκιαῖς, ἀλλὰ σκότος παντελὲς ἔξω τοῦ ἡλιουμένου ἀέρος. ἀλλ' οὐχ οὕτως ἀνακλᾶται ἁπανταχόθεν, ὥσπερ ἀπὸ τῶν λείων οἷον ὕδατος ἢ ἀργύρου· διὰ τοῦτο δὲ οὐδὲ ἀνακλᾶσθαι δοκεῖ· ἐκ γὰρ τῶν λείων καὶ στιλπνῶν ἡ ἀνάκλασις ἐκδηλοτέρα διὰ τὸ καὶ σκιὰν δύνασθαι ποιεῖν τὸ ἀποπαλλόμενον φῶς, ὅπερ ἐπὶ τῶν ἄλλων ἀνακλάσεων οὐ συμβαίνει. οὕτω [γοῦν] καὶ ἠχὼ πανταχόθεν μὲν γίνεται τοῦ ἀέρος ἀνακλωμένου, οὐ πανταχόθεν δὲ γεγωνεῖ, ἐὰν μὴ ὁ πληγεὶς ἀὴρ λείῳ καὶ κοίλῳ προσπέσῃ καὶ ἓν ἐπίπεδον ἔχοντι· ἓν γὰρ τὸ τοῦ λείου ἐπίπεδον. τότε δὲ καὶ αὐτὸς εἷς γίνεται ἅμα καὶ συνεχὴς καὶ ἀποπάλλεται ὡς εἷς καὶ ἅμα. ἡ δὲ τραχύτης διαιρεῖ καὶ ὥσπερ πλείω ποιεῖ τὰ ἐπίπεδα τοῦ ἀέρος ψαθυροῦ κατὰ φύσιν ὄντος καὶ εὐδιαιρέτου. κύριος μὲν οὖν οὐκ ἔστιν ὁ ἀὴρ τοῦ ψόφου, κυριώτατος δὲ τῶν ἄλλων στοιχείων· διὸ καὶ ὅσοι τὸ κενὸν κύριον ὑπολαμβάνουσι τοῦ ἀκούειν, κενὸν ἡγούμενοι τὸν ἀέρα, οὐ πάνυ διαμαρτάνουσι. ψοφητικὸν μὲν οὖν ἐστὶ τὸ κινητικὸν ἑνὸς ἀέρος συνεχοῦς μέχρις ἀκοῆς, ἀκοὴ δὲ συμφυὴς ἀέρι· ἐγκατῳκοδόμη-

---

3 καὶ om M 4 ἀεὶ post γὰρ om M 6 ἑαυτὸν A 9 ἐγίνετο A 10 ἡλιωμένου A 11 πανταχόθεν M 16 γοῦν om M V 22 τὰ om A 27 πάνυ] πάντη M

*ται γὰρ ἐν τοῖς ὠσὶν ἀὴρ ὑπὸ τῆς φύσεως τῇ μήνιγγι συμφυὴς καὶ τῷ ἐν αὐτῇ πνεύματι ἐν ᾧ πρώτῳ ἡ αἴσθησις. κινουμένου τοίνυν τοῦ ἔξω ἀέρος γίνεται διάδοσις εἰς τὸν εἴσω συνεχῆ αὐτῷ γινόμενον· συνεχὴς γὰρ ἀὴρ ἀέρι, καὶ οὐχ ἅπτεται, ὥσπερ οὐδὲ ὕδωρ ὕδατος, ἀλλ' ἓν γίγνεται. παραπέμπει οὖν ὁ ἔξω διὰ τοῦ εἴσω τὴν φωνήν, διόπερ οὐκ ἐκ παντὸς μορίου τὸ ζῶον ἀκούει, ἀλλ' ἐν ᾧ μόνῳ ὑπὸ τῆς φύσεως ὁ ἀὴρ ἐγκατῳκοδόμηται. αὐτὸς μὲν δὴ ἄψοφον ὁ ἀήρ· οἰκείαν γὰρ ἀρχὴν ψόφου οὐκ ἔχει, ἀλλ' εὔθρυπτος καὶ εὐδιαίρετος καὶ εὔεικτος ἅπαντι σώματι. ὅταν δὲ κωλυθῇ θρύπτεσθαι καὶ διαχεῖσθαι, ἡ τούτου κίνησις ψόφος. ὁ δὲ ἐν τοῖς ὠσὶν ἀὴρ γίνεται μὲν συνεχὴς καθάπερ ἔφην, τῷ ἔξω, ἄψοφος δὲ μᾶλλον αὐτὸς τῇ οἰκείᾳ φύσει, ὥστε ἀκριβῶς αἰσθάνεσθαι πάσας τὰς διαφορὰς τῶν ἔξωθεν ψόφων μὴ ταραττόμενος ὑπὸ οἰκείου σάλου· γίνεται γὰρ ὥσπερ μεθόριον ὁ τῇ μήνιγγι συμφυὴς ἀὴρ τοῦ τε εἴσω πνεύματος τοῦ αἰσθητικοῦ καὶ τοῦ ἔξωθεν ἀέρος, καὶ οὐκ ἐᾷ τὸν ἀέρα τὸν ἔξωθεν πλήττειν τὴν μήνιγγα, ἀλλὰ αὐτὸς ὑποδεχόμενος τὰ εἴδη τῶν ψόφων διὰ τὸ εἷς καὶ ἤρεμος καὶ ἄθρυπτος εἶναι τῇ αἰσθητικῇ ἀρχῇ διαπέμπει. ὅτι δὲ οὐκ εἰσιόντος τοῦ ἔξωθεν ἀέρος οὐδὲ τὴν μήνιγγα αὐτοῦ πλήττοντος, ἀλλὰ τὸν ἐν τοῖς ὠσὶν ἀέρα τὸ ἀκούειν συμβαίνει, δῆλον μάλιστα, ὅταν ἀκούωμέν καὶ ἐν ὕδατι. οὐ γὰρ εἴσεισι τὸ ὕδωρ ἄχρι τῆς μήνιγγος, ἀλλ' ἅπτεται τοῦ ἐν τοῖς ὠσὶν ἀέρος. ἀλλὰ ἐνταῦθα μὲν ἡ διαφορὰ τῶν στοιχείων τὴν ἀφὴν ἔνδηλον ποιεῖ· ἀέρος δὲ πρὸς ἀέρα ἀφὴ*

---

14 τῷ] *ἐν τῷ* M 15 *αἰσθάνεται* M V 25 *συμβαίνειν* A
29 *ἔκδηλον* A

οὐκ ἔστιν, ἀλλ' εὐθὺς συνεχὴς γίνεται ὁ ἁπτόμενος, ἀλλ' ὥσπερ τὸ ὕδωρ, εἴπερ εἰς τὸ οὖς παραρρύῃ, κωλυόμεθα ἀκούειν, οὕτω καὶ ὁ ἔξωθεν ἀήρ, ὅταν διὰ σφοδρότητα πληγεὶς αὐτῆς ἅψηται τῆς μήνιγγος καὶ τοῦτο ἡ φύσις εὐλαβουμένη ἐν τῷ διὰ τῶν ὤτων πόρῳ τὰς ἕλικας ἐμηχανήσατο, ὥστε μὴ ῥᾳδίαν εἶναι τὴν εἴσδυσιν μήτε τοῦ ὕδατος μήτε τοῦ ἔξωθεν ἀέρος εἰς τὴν ἀκοήν. ὥσπερ οὖν τὸ ὕδωρ τὸ ἐπὶ τῆς κόρης καὶ αὐτὸ διαφανὲς ὑπάρχον δέχεται παρὰ τοῦ ἔξωθεν διαφανοῦς τοὺς τύπους τῶν χρωμάτων καὶ παραπέμπει τῇ ὄψει, οὕτως ὁ ἐν τοῖς ὠσὶν ἀὴρ δέχεται παρὰ τοῦ ἔξωθεν τοὺς ψόφους καὶ τῇ ἀκοῇ παραπέμπει, ἀλλὰ τοῦ μὲν ὑγροῦ τοῦ ἐπὶ τῆς κόρης προεβάλλετο ὑμένας ἡ φύσις τὴν σκέδασιν αὐτοῦ φυλαττομένη· οὐ γὰρ οἷόν τε ἦν τὸ ὑγρὸν συμμένειν μὴ ὥσπερ ἀγγείῳ τινὶ συνειλημμένον, ἡ μῆνιγξ δὲ αὐτὴ περιέχει μᾶλλον τὸν ἐν τοῖς ὠσὶν ἀέρα· ἔδει γὰρ αὐτὸν συνεχῆ εἶναι τῷ ἔξω. ἀντὶ σκεπάσματος δὲ αἱ ἕλικες οὐκ ἐῶσαι θρύπτεσθαι αὐτὸν καὶ διαχεῖσθαι· κάματος δὲ μήνιγγος βλάβη τῆς ἀκοῆς, ὥσπερ καὶ κάματος τοῦ ἐπὶ τῇ κόρῃ ὑμένος βλάβη τῆς ὄψεως. οὐ μὴν ἐπεί γε ἀκίνητον ἔφην τὸν ἐν τοῖς ὠσὶν ἀέρα, παντελῶς αὐτὸν ὑποληπτέον ἀκίνητον εἶναι, ἀλλὰ ἀκίνητος οὕτως, ὅτι οὐ μεθίσταται ὅλος οὐδὲ ἄλλος καὶ ἄλλος ὑπάρχει, ἀλλ' ὁ αὐτὸς ἀεὶ διαμένει συμφυὴς ὢν τῇ μήνιγγι καὶ τῇ ἀκοῇ, ἐπεὶ τοῖς γε μορίοις οἰκείαν τινὰ κίνησιν ἀεὶ κινεῖται ἤρεμον καὶ ἀτάραχον· διὸ καὶ ἠχεῖ τὸ οὖς ἀεὶ ὑπὸ τῆς τοιαύτης κινήσεως. ὁ δὲ ψόφος οὐχ ἡ τοιαύτη

---

2 παραρρυῇ M, scrib. παραρρύει vel παρεῤῥύη 9 ἔξωθεν] ἔξω AV 13 ἀλλὰ] καὶ A

*κίνησις ἦν, ἀλλ' ὁ ἀλλότριος καὶ μὴ ἴδιος. κατὰ φύσιν δὲ ἀέρι παντὶ τὸ κινεῖσθαι, διὸ καὶ ἐν ταῖς μάλιστα νηνεμίαις κινεῖται ὁ ἀήρ, καὶ τοῦτο γίνεται ἔκδηλον διὰ τῶν ξυσμάτων· οὐδεπώποτε γὰρ ἠρεμεῖ· διὰ τοῦτο δὲ κἂν προσθῶμεν κέρας τοῖς ὠσίν, ἀκούομεν ψόφου· κινεῖται γὰρ ὁ ἐν τῷ κέρατι τὴν οἰκείαν κίνησιν. σημεῖον δὲ τοῦ ὑγιαίνειν τὴν ἀκοὴν τὸ ἠχεῖν τὸ οὖς· δῆλος γὰρ ὁ ἀὴρ ὁ συμφυὴς τῇ μήνιγγι κατὰ φύσιν ἔχων καὶ οἷον ζῶν. πότερον δὲ ψοφεῖ τὸ τυπτόμενον ἢ τὸ τύπτον; ἢ δῆλον ὡς ἄμφω; ἀλλὰ τὸ μὲν ὡς πάσχον, τὸ δὲ ὡς ποιοῦν, πεῖσις δὲ ποιήσει τῷ μὲν ὑποκειμένῳ ταὐτόν, τῷ λόγῳ δὲ διενήνοχεν. ἔστι δὲ ὁ ψόφος ὡς ἁπλῶς εἰπεῖν πάθος ἀέρος, διττὸς δὲ οὗτος· ὁ μὲν γὰρ τοῦ μεταξὺ τῶν συναραττόντων σωμάτων, ὁ δὲ κατὰ [τὴν] ἐκείνου κίνησιν* fol. 80b. *ἐκ διαδοχῆς ἀποπαλλόμενος ὅπερ ἐστὶ τὸ ἀκουόμενον, ὅταν ἀκοῆς ἐπιλάβηται. οὐδὲ τὸ παράδειγμα ᾧ κέχρηται Ἀριστοτέλης πάντη ἔοικε· φησὶ γὰρ τὸν ψόφον εἶναι κίνησιν τοῦ δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον, ὃν τὰ ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν τις κρούσῃ. τὰ μὲν γὰρ ἀφαλλόμενα χωρίζεται, ὧν ἀφάλλεται, ὁ δὲ πρώτως ψοφήσας ἀὴρ οὐκ αὐτὸς ἀφάλλεται ἐπὶ τὴν ἀκοήν, ἀλλὰ τὸν συνεχῆ ἀέρα κινεῖ, καὶ ἔοικε μᾶλλον τοῖς κύμασιν, ὧν ἄλλο ὑπ' ἄλλου προωθεῖται. αἱ δὲ διαφοραὶ τῶν ψόφων ἐν τοῖς κατ' ἐνέργειαν ψόφοις δηλοῦνται, ἐπεὶ μέχρις ἂν ᾖ ψοφητικὰ τῇ δυνάμει, ἄδηλος ἡ τῶν ψόφων τῶν παρ' αὐτῶν γινομένων διαφορά. ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, ὅταν αἰσθητὰ γένηται ἐνεργείᾳ, τότε καὶ τὰς διαφορὰς παραδείκνυσιν, οὕτως ἔχει*

---

14 *συνταραττόντων* A 15 *τὴν* om M V 21 *μὲν* om A

καὶ ἐπὶ τοῦ ψόφου. ψόφου δὲ πρῶται διαφοραὶ τὸ ὀξὺ καὶ τὸ βαρύ, ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν γὰρ ὀξὺ τῷ σχήματι κινεῖ τὴν σάρκα ἢ τὸ σῶμα ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ ἀμβλὺ ἐπ' ὀλίγον ἐν πολλῷ χρόνῳ. οὕτω δὲ ἔχει καὶ ἐπὶ τῆς ἀκοῆς τὸ ὀξὺ καὶ τὸ βαρύ· τὸ μὲν γὰρ ὀξὺ οἷον κεντεῖ, τὸ δὲ βαρὺ οἷον ὠθεῖ, ὥσπερ καὶ τὸ ἀμβλύ, διὰ τὸ κινεῖν τὸ μὲν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ ἐν πολλῷ χρόνῳ ἐπ' ὀλίγον. οὐ ταὐτὸν οὖν τὸ ὀξὺ τῷ ταχεῖ, οὐδὲ τὸ βραδὺ τῷ βαρεῖ, ὡς οἴονταί τινες, ἀλλ' ὅτι συμβαίνει τοῦ μὲν ὀξέος ταχεῖαν εἶναι τὴν κίνησιν, τοῦ δὲ ἀμβλέος ἢ τοῦ βαρέος βραδεῖαν, διὰ τοῦτο ἀπὸ τῶν λειοτέρων καὶ λεπτοτέρων καὶ μᾶλλον τεταμένων ὀξύτερος ἦχος ἀποτελεῖται, ὅτι θᾶττον τὴν κίνησιν ἐνδίδωσι τῷ ἀέρι καὶ διὰ τοῦ ἀέρος τῇ ἀκοῇ. φωνὴ δέ ἐστι ψόφος ἐμψύχου· τῶν γὰρ ἀψύχων οὐδὲν φωνεῖ, ἀλλ' ὅταν λέγηται εὔφωνος ὁ αὐλὸς καὶ ἡ λύρα, καθ' ὁμοιότητα λέγεται τῷ ὑπὸ τοιούτων ὀργάνων ἐνίοτε καὶ τὰς λέξεις ἀποσαφεῖσθαι. πολλὰ δὲ τῶν ζώων οὐκ ἔχει φωνήν, οἷον τά τε ἄναιμα πάντα, ταῦτα δέ ἐστι τὰ ἔντομα καὶ τὰ ὀστρακόδερμα καὶ τὰ μαλακόστρακα· ὁ γὰρ ἀπὸ τῶν τεττίγων ἀποτελούμενος ἦχος ὑμένος τινός ἐστι ψόφος. ἀλλ' οὐδὲ οἱ ἰχθύες φωνοῦσι, καὶ τοῦτο εὐλόγως· ἀέρος γὰρ κίνησίς ἐστιν ἡ φωνή, οἱ δὲ οὐ δέχονται τὸν ἀέρα ἅτε ἐν ὕδατι διαιτώμενοι. τοὺς δὲ ἐν τῷ Ἀχελώῳ ψοφεῖν τοῖς βραγχίοις μᾶλλον ἢ φωνεῖν ἄν τις νομίσειεν. ζώου μὲν οὖν ψόφος ἡ φωνή, οὐ παντὸς δὲ ὥσπερ ἔφην, ἀλλ' οὐδὲ παντὶ

---

11 ὀξέως A 18 λέγηται] λέγεται AV λάθηται M καὶ] ἢ A 22 μαλακόστρακα] μαλακόσαρκα M V

*μορίῳ· οὐ γὰρ τῷ τυχόντι· ψοφοῦμεν γὰρ καὶ τὰς χεῖρας συμπαταγοῦντες· τινὶ οὖν καὶ πῶς. ἐπειδὴ οὖν τρία ταῦτά ἐστι, δι' ὧν ἅπας ψόφος, τὸ τύπτον τὸ τυπτόμενον καὶ ἐν ᾧ τύπτεται, τὸ μὲν ἐν ᾧ τύπτεται, οὐκ ἐπὶ τῆς φωνῆς μόνον, ἀλλὰ καὶ ἐφ' ἅπαντος ψόφου ἐστὶν ὁ ἀήρ, οὐχ ἁπλῶς δὲ ἐπὶ τῆς φωνῆς ὁ ἀήρ, ἀλλ' ὃν ἐκπνέομεν καὶ ὃν εἰσπνέομεν. τούτῳ γὰρ χρῆται ἐπὶ δύο ἔργα, καθάπερ τῇ γλώττῃ ἐπί τε τὴν γεῦσιν καὶ τὴν διάλεκτον, ὧν ἡ μὲν γεῦσις ἀναγκαία· πρὸς γὰρ τὸ εἶναι συμβάλλεται, διὸ καὶ πλείοσιν ὑπάρχει, ἡ δὲ ἑρμηνεία χάριν τοῦ εὖ. διὸ καὶ τοῖς τελειοτέροις ὑπάρχει τῶν ζώων. οὕτω δὴ καὶ τῷ ἀναπνεῖν χρῆται ἡ φύσις πρός τε τὴν θερμότητα τὴν ἐντὸς ὡς ἀναγκαίῳ καὶ πρὸς τὴν φωνήν, τοῦτο δὲ τοῦ βελτίονος ἕνεκεν. ὄργανον δὲ τῆς ἀναπνοῆς ὁ φάρυγξ. ἀναπνέομεν δὲ εἰσπνέοντες καὶ ἐκπνέοντες. φάρυγξ δὲ ἕνεκεν πνεύμονος, τούτῳ δὲ τῷ μορίῳ, φημὶ δὴ τῷ πνεύμονι, πλεῖον ἔχει τὸ θερμὸν τὰ πεζὰ καὶ τὰ ἔναιμα ζῷα· παράκειται γὰρ τῇ καρδίᾳ πηγῇ οὔσῃ τῆς θερμότητος. αὐτός τε οὖν δεῖται τῆς καταψύξεως καὶ πολλῷ μᾶλλον ἡ καρδία, διόπερ ἀναγκαία ἡ ἀναπνοή· εἴσεισι γὰρ διὰ τοῦ φάρυγγος ἑλκόμενος ὁ ἔξωθεν ἀὴρ καταψύχων τὴν θερμότητα. τούτου δὲ τοῦ ἀέρος ὃν ἀναπνέομεν, ἡ κατὰ τὴν ὁρμὴν τῆς ψυχῆς ὑπὸ τῶν ἀναπνευστικῶν ὀργάνων γινομένη πληγὴ πρὸς τὴν καλουμένην ἀρτηρίαν φωνή ἐστιν. ἀναπνευστικὰ δὲ ὄργανα γλῶττα καὶ ὑπερῷα καὶ φάρυγξ. ἡ βῆξις δὲ οὐκ ἔστι φωνή, εἰ καὶ διὰ τούτων γίνεται τῶν ὀργάνων· οὐ γὰρ καθ' ὁρμήν,*

---

4 *καὶ ἐν*] *ἐν* M 11 *ὑπάρχειν* A 16 *φάρυξ* A M, sic et infra 22 *διὰ τῆς* M 28 *φάρυγξ* omnes sic h. l. *βῆξις*] *βὴξ* M

ἀλλ᾽ οὐδὲ τὸ χρέμπτεσθαι οὐδὲ τὸ ποππύζειν φωνεῖν ἐστίν· οὐ γὰρ γίνεται μετὰ φαντασίας τινός· δεῖ γὰρ τοῦτο προσεῖναι τῷ ὅρῳ τῆς φωνῆς· σημαντικὸς γάρ τις ψόφος ἐστὶν ἡ φωνή, ἀλλὰ τῶν μὲν φύσει, οἷον ὁ τῶν ἀλόγων ζώων· σημαίνει γὰρ καὶ τὰ ἄλογα τὰ πρῶτα πάθη τὸ ἥδεσθαι ἢ τὸ λυπεῖσθαι, τῶν δὲ κατὰ συνθήκην οἷον ἡ τῶν ἀνθρώπων. καὶ ἄλλως δὲ ἡ βῆξις οὐκ ἔστι φωνή· τοῦ γὰρ ἀναπνεομένου ἀέρος ἐστὶ πληγή, ἡ φωνὴ δὲ οὐχὶ τούτου πληγή, ἀλλὰ τούτῳ· τούτῳ γὰρ πλήττει τὸν ἀπειλημμένον τῇ ἀρτηρίᾳ· ὧδε γὰρ χρὴ νοῆσαι τὸ συμβαῖνον. ὁ μὲν ἀναπνεόμενος ἀὴρ τὸν ἐν τῇ ἀρτηρίᾳ πλήττει, οὗτος δὲ αὐτὴν τὴν ἀρτηρίαν, ὥσπερ ἐν ταῖς ἀκοαῖς ὁ ἐν τοῖς ὠσὶν ἐγκατῳκοδομημένος ἀὴρ ὑπὸ τοῦ ἔξωθεν πληττόμενος αὐτὸς ἔπληττε τὴν μήνιγγα. σημεῖον δὲ τοῦ τὸν ἀναπνεόμενον ἀέρα χρησιμώτατον εἶναι τῇ φωνῇ τὸ μήτε εἰσπνέοντα μήτε ἐκπνέοντα δύνασθαι φωνεῖν· δεῖ γὰρ κατασχεῖν τὸν εἰσπνεύσαντα ἀέρα καὶ οὕτω πλῆξαι τὸν εἴσω· ὁ γὰρ ἐπὶ πολὺ τοῦτο δυνάμενος μακροφωνότατος· οὐ γὰρ συγχωρεῖ ἡ ἔνδον θερμότης δεομένη συνεχοῦς καταψύξεως. συνελόντι δ᾽ οὖν εἰπεῖν ἡ φωνή ἐστι ψόφος ὑπ᾽ ἐμψύχου γινόμενος διὰ τῶν ἀναπνευστικῶν μορίων τοῦ ἀναπνεομένου ἀέρος πρὸς τὸν ἐν τῇ ἀρτηρίᾳ περιειλημμένον ἢ πρὸς αὐτὴν τὴν ἀρτηρίαν κατά τινα ὁρμὴν τῆς ψυχῆς μετὰ φαντασίας σημαντικῆς.

Ἡ δὲ ὀσμὴ καὶ τὸ ὀσφραντὸν τί ποτέ ἐστιν, οὐχ 9
οὕτω ῥᾴδιον ἀποδοῦναι, ὥσπερ καὶ τὸ χρῶμα καὶ τὸ

---

2 φωνεῖν] φωνὴ A 7 κατὰ συνθήκην] καὶ συνθήκῃ M V 8 βὴξ M τοῦ] οὐ M V 10 πλήττει] τύπτει M ἀπειλημένον M, et sic saepe

*διαφανὲς καὶ τὸν ψόφον. διὰ τοῦτο γὰρ οὐδὲ ὀνόματι δηλῶσαι τὸ ὀσφραντόν ἐστι, καθάπερ τὸ ἀκουστὸν ὅτι φωνή, καὶ τὸ ὁρατὸν ὅτι φῶς ἢ χρῶμα. αἴτιον* fol. 81. *δέ, ὅτι τὴν αἴσθησιν ταύτην ἀσθενεστάτην κεκτήμεθα καὶ πολλὰ τῶν ζώων ἀκριβεστέραν ἡμῶν τὴν ὄσφρησιν ἔχει, ὥσπερ τῶν πεζῶν κύνες καὶ τῶν πτηνῶν γῦπες. οὔκουν οὐδὲ τοσαύτας διαφορὰς καταλαμβάνομεν τῶν ὀσφραντῶν, ὅσας τῶν ψόφων ἢ τῶν χρωμάτων, καὶ οὐδενὸς αἰσθανόμεθα τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπεῖσθαι ἢ ἥδεσθαι, οὐχ ὡς ἡ ὄψις οὐδ' ὡς ἡ ἀκοὴ πολλῶν αἰσθάνονται χρωμάτων καὶ ψόφων ἄνευ τῶν τοιούτων παθῶν. τοῦτο δὲ σημεῖον [τοῦ] πρὸς τὴν χρείαν μόνην ἡμῖν μεμηχανῆσθαί τινές φασι ταύτην, τὴν δὲ ἔξω τῆς χρείας ἀκρίβειαν μὴ προσειληφέναι, καὶ διὰ τοῦτο, πῶς ἔχει πρὸς ἡμᾶς, οὐ πῶς ἐστὶ τὰ ὀσφραντά, διαγινώσκομεν. εὔλογον δὲ οὕτω καὶ τὰ σκληρόφθαλμα τῶν χρωμάτων αἰσθάνεσθαι, καὶ μὴ δήλας αὐτοῖς εἶναι τὰς διαφορὰς τῶν χρωμάτων πλὴν τοῦ φοβεροῦ καὶ τοῦ ἀφόβου διὰ τὴν παχύτητα τοῦ ὀργάνου· ὅμως δέ, ἐπειδὴ μήτε τὰ ὀνόματα τῶν διαφορῶν τῆς ὀσμῆς μήτε τὴν φύσιν αὐτῶν καταλαμβάνομεν, ἐκ τῶν γευστῶν μεταφέρομεν τὰς ἐπικλήσεις καὶ ταῖς τῶν χυμῶν προσηγορίαις ἀνάλογον χρώμεθα ἐπὶ τῶν ὀσφραντῶν· οὐδεμία γὰρ λανθάνει χυμοῦ διαφορὰ τὴν γεῦσιν τὴν ἀνθρωπίνην, ἀλλ' ἀκριβῆ ταύτην ἔχομεν τὴν αἴσθησιν· ἔστι γὰρ οἷον ἁφή τις ἡ γεῦσις, τῇ δὲ τῆς ἁφῆς ἀκριβείᾳ σύμπαντα πλεονεκτοῦμεν τὰ ζῷα. διὸ καὶ φρονιμώτατόν ἐστι τῶν ζώων ὁ ἄνθρωπος· μαλακώτερον γὰρ*

---

11 *οὐδ' ὡς*] *ὡς* om M V    13 *τοῦ* om M V    20 *ἐπειδὴ* om A    23 *ἐπιλήσεις* M

ἡμῶν ἡ σὰρξ παρὰ τὰ λοιπὰ ζῶα, αὕτη δὲ ἡ κρᾶσις πρὸς φρόνησιν μᾶλλον ἐπιτηδεία. σημεῖον δέ, ὅτι καὶ ἐν αὐτῷ τῷ γένει τῶν ἀνθρώπων οἱ μαλακόσαρκοι τῶν σκληροσάρκων ὡς ἐπίπαν εὐφυέστεροι, λέγω δὲ τὴν κατὰ φύσιν κρᾶσιν καὶ μή, εἴ τῳ δι' ἄσκησιν ἢ γυμνασίαν. αἴτιον δὲ ἴσως τὸ τὴν μαλακότητα τῆς σαρκὸς εὔλυτον καὶ εὐδίοδον εἶναι τῷ πρώτῳ πνεύματι τῆς ψυχῆς, τὴν σκληρὰν δὲ οἷον δεσμὸν μᾶλλον καὶ ἔμφραξιν, καὶ τὰ μὲν ἄλλα αἰσθητήρια μορίῳ τινὶ τοῦ πνεύματος ὑπηρετεῖται οἷον κεχωρισμένα τῆς πρώτης. οὐκ ἔστιν οὖν γνωρίσματα τῆς ὅλης ψυχῆς, ἡ σὰρξ δὲ τῷ δι' ὅλης διήκοντι, πλὴν ὅπερ εἶπον, οὐκ εὐποροῦντες τῶν οἰκείων ὀνομάτων ἐπὶ τῆς ὀσμῆς ἀπὸ τῆς γεύσεως αὐτὰ μεταφέρομεν, καὶ ὥσπερ τῶν χυμῶν τοὺς μὲν γλυκεῖς, τοὺς δὲ πικροὺς ὀνομάζομεν, οὕτω καὶ τῶν ὀσμῶν τὰς μὲν γλυκείας, τὰς δὲ πικράς. ἐνίοτε μὲν οὖν ἐπὶ τῶν αἰσθήσεων ἀμφοτέρων συντρέχει καὶ τὰ ὀνόματα καὶ τὰ πράγματα, καὶ ὁ γλυκὺς τῇ γεύσει χυμὸς καὶ τῇ ὀσμῇ γλυκύς, ὥσπερ τοῦ μέλιτος· πολλὰ δὲ ἡδέα μὲν τῇ ὀσμῇ, πικρὰ δὲ τῇ γεύσει, ὥσπερ τὰ πολλὰ τῶν μύρων. ὁμοίως δὲ καὶ αὐστηρὰ ὀσμὴ καὶ λιπαρὰ λέγεται καὶ ὀξεῖα καὶ πάντα ταῦτα ἀπὸ τῶν γευστῶν μετελήλυθεν.

Πῶς δέ ποτε καὶ τοῖς γευστοῖς παρακολουθούσης ἡδονῆς καὶ λύπης ὅμως ἀκριβεστέρα ἡ γεῦσις τῆς ὀσφρήσεως, οὐδὲ ὁ φιλόσοφος αὐτὸς οὐδὲ τῶν ἐξηγουμένων τις ἐπεζήτησεν· ἔστι δὲ ὥσπερ ἡ ἀκοὴ καὶ ἡ ὄψις, ἡ μὲν τοῦ ἀκουστοῦ καὶ ἀνηκούστου, ἡ δὲ

---

10 οἷον κεχωρισμένα τῆς πρώτης om M V 28 ἔστι] ἐπεὶ M V

*τοῦ ὁρατοῦ καὶ ἀοράτου, οὕτω καὶ ἡ ὄσφρησις τοῦ ὀσφραντοῦ καὶ ἀνοσφράντου· τῆς γὰρ αὐτῆς κρῖναι καὶ τὴν παρουσίαν τοῦ οἰκείου αἰσθητοῦ καὶ τὴν στέρησιν, ἀλλὰ τὴν μὲν καθ' αὑτό, τὴν δὲ κατὰ συμβεβηκός. ἀνόσφραντον δὲ ὥσπερ καὶ ἀόρατον πολλαχῶς· καὶ γὰρ τὸ ἀόρατον τὸ μὲν διὰ τὸ μηδ' ὅλως τῆς φύσεως εἶναι τῶν ὁρατῶν, ὥσπερ ἡ φωνὴ καὶ ὁ ψόφος, τὸ δὲ διὰ τὸ μόλις ὁρᾶσθαι ὥσπερ τὸ σκότος, τὸ δὲ καὶ διὰ τὸ βλάπτειν τὴν ὄψιν ὡς τὰ λίαν στιλπνὰ καὶ ἀνταυγοῦντα τοῖς ὄμμασιν. οὕτω δὴ καὶ τὸ ἀνόσφραντον καὶ τὸ μηδ' ὅλως πεφυκὸς ἔχειν ὀσμὴν καὶ τὸ μικρὰν ἔχον, καὶ τὸ φαύλην λίαν, καὶ οὗ ἡ ὄσφρησις οὐκ ἀνέχεται. τὰ αὐτὰ δὲ καὶ ἐπὶ γευστοῦ καὶ ἀγεύστου διαιρετέον, δεῖται δὲ καὶ ἡ ὄσφρησις ὥσπερ καὶ ἡ γεῦσις καὶ ἡ ἀκοή, μεταξύ τινος ἑτέρου σώματος τοῦ διαπέμποντος πρὸς αὐτὴν τὰς τῶν ὀσφραντῶν διαφοράς, καὶ ἔοικε καὶ πρὸς ταύτην ὑπηρετεῖσθαι ταὐτὰ στοιχεῖα ἅπερ καὶ πρὸς τὴν ἀκοὴν καὶ πρὸς τὴν ὄψιν, λέγω δὲ ἀέρα καὶ ὕδωρ· καὶ γὰρ τὰ ἔνυδρα τῶν ζώων ὀσμῆς αἰσθάνεσθαι πέφυκε, καὶ ὥσπερ ἐπὶ τῆς ὄψεως ἦν τὸ διαφανὲς κοινόν τι πάθος ἀέρος καὶ ὕδατος, οὕτως ἐπὶ τῆς ὀσφρήσεως ἄλλο ἂν εἴη τι πάθος κοινόν, ὃ καθάπερ ἔφην, δίοσμόν τινες ὀνομάζουσιν. ἀλλὰ τοῦτο μὲν οὐδὲν θαυμαστόν, εἰ ἐοίκασιν ἀλλήλαις αἱ αἰσθήσεις, ἐκεῖνο δὲ ἄξιον ἀπορίας· ἐπειδὴ γὰρ ὁρῶμεν καὶ τὰ ἔντομα τῶν ζώων αἰσθανόμενα τῆς ὀσμῆς ὥσπερ τὰς μελίσσας· πόρρωθεν γοῦν ἀπαντῶσιν ἐπὶ τὴν τροφὴν καὶ φεύγουσιν αὖθις καπνοῦ θυμιωμένου, ἐπε-*

---

16 *τῶν* om M V 21 *πέφυκε*] *φαίνεται* A 25 *αἱ* om M V 28 *γοῦν*] *οὖν* A

ται ζητεῖν, τί δήποτε ἄνθρωπος μὲν καὶ τὰ ἔναιμα σύμπαντα ὀσφραίνεται ἀναπνέοντα, μὴ ἀναπνέοντα δὲ ἢ κατέχοντα τὸ πνεῦμα οὐδαμῶς οὔτε πόρρωθεν οὔτε ἐγγύθεν, οὐδ᾽ ἂν ἐπὶ τοῦ μυκτῆρός τις ἐπιθῇ. καὶ τοῦτο μὲν οὐκ ἄτοπον· κοινὸν γὰρ ἦν καὶ πρὸς τὰς εἰρημένας αἰσθήσεις· οὐδὲ γὰρ ἐκεῖναι τοῖς ὀργάνοις αὐτοῖς ἐπιτιθεμένων τῶν αἰσθητῶν ἀντελαμβάνοντο. ἀλλὰ τί τὸ ἄξιον ἀπορίας, πῶς ὀσμᾶται τὰ ἔντομα μὴ ἀναπνέοντα· εἷς γὰρ ὁ τρόπος ἐφ᾽ ἁπάσης αἰσθήσεως τοῖς ἔχουσιν αὐτήν. ἢ οὖν ἑτέραν τινὰ αἴσθησιν ἂν ἔχοι τὰ τοιαῦτα ζῷα παρὰ τὴν τοιαύτην ὄσφρησιν, ἢ ῥητέον τὴν αἰτίαν τῆς διαφορᾶς. ἀλλ᾽ ἑτέραν μὲν οὖν οὐκ ἂν ἔχοι· τῶν γὰρ ὀσφραντῶν ἡ ἀντίληψις ὄσφρησις ἦν, ὥσπερ τῶν ὁρατῶν ὄψις καὶ τῶν ἀκουστῶν ἀκοή. ἀδύνατον οὖν ἀντιλαμβάνεσθαι μὲν ταῦτα τὰ ζῷα τῶν ὀσφραντῶν καὶ τὸ εὐῶδες ἑαυτοῖς καὶ τὸ δυσῶδες διαγινώσκειν, ἑτέρᾳ δὲ αἰσθήσει χρώμενα καὶ μὴ ὀσφρήσει. ἔτι δὲ φθειρόμενα φαίνεται ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν καὶ ταῦτα τὰ ζῷα, ὑφ᾽ ὧνπερ καὶ τὰ ἀναπνέοντα, οἷον ἀσφάλτου καὶ θείου καὶ τῶν τοιούτων, ὥστε ὅτι μὲν ὀσ- fol. 81b.
φραίνεται δῆλον, πῶς δὲ μὴ ἀναπνέοντα, τοῦτο ῥητέον. ἔοικεν οὖν τοῖς ἐναίμοις διαφέρειν τὸ αἰσθητήριον τοῦτο τῶν ἐντόμων, καὶ ὥσπερ ἐπὶ τῆς ὄψεως τὰ μὲν χρῆται βλεφάροις ὥσπερ περιφράγμασι καὶ ἐλύτροις, ἃ μηδὲ κινήσαντα μηδὲ ἀνασπάσαντα οὐχ ὁρᾷ, τὰ δὲ οὐδὲν ἔχει προκάλυμμα ἐπικείμενον, ὡς τὰ σκληρόφθαλμα, ἀλλ᾽ εὐθὺς ὁρᾷ ὡς οἷόν τ᾽ ἐστὶν ὁρᾶν τὸ γινόμενον ἐν τῷ διαφανεῖ χρῶμα. οὕτω δὲ

---

8 τὶ τὸ] fort. ἐστὶν vel τοῦτο 11 παρὰ] περὶ M 13 οὖν om A 19 ὀσμῶν om M 23 ἐναίμοις] ἀνέμοις M • ἀναισθητήριον A 26 μηδὲ κινήσαντα] μὴ κινήσαντα M V

ἄρα ἔχει καὶ ἐπὶ τῆς ὀσφρήσεως τοῖς μὲν ἐντόμοις ἀκάλυφες εἶναι τὸ ὀσφραντικὸν ὄργανον, ὥσπερ τὸ ὄμμα τοῖς σκληροφθάλμοις, τοῖς δὲ ἀναπνέουσιν ἔχειν τι ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀναπετάννυται διευρυνομένων τῶν φλεβῶν καὶ τῶν πόρων. διὰ τοῦτο οὖν τὰ ἀναπνέοντα οὐκ ὀσμᾶται ἐν τῷ ὕδατι· οὐδὲ γὰρ ἀναπνεῦσαι αὐτοῖς δυνατόν, ὥστε μὴ δυναμένων ἀναπετασθῆναι τῶν πόρων εἰκότως οὐ δύναται τηνικαῦτα χρῆσθαι τῇ ὀσφρήσει. τὸ τοίνυν ἀναπνεῖν οὐ τοῦ ὀσμᾶσθαι αἴτιον θετέον, ὥσπερ οὐδὲ τὰ βλέφαρα τοῦ ὁρᾶν, ἀλλὰ τῆς τοῦ πόρου τοῦ ὀσφραντικοῦ ἀνακαλύψεως. ἔστι δὲ ἡ ὀσμὴ τοῦ ξηροῦ, ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ· δοκεῖ γὰρ τὰ θυμιώμενα καὶ θερμαινόμενα μᾶλλον ὀδωδέναι. δείξει δὲ ταῦτα ἐν τοῖς περὶ τῆς αἰσθήσεως ἀκριβῶς, καὶ ἐκεῖνα περιμενετέον, τὸ δὲ αἰσθητήριον τὸ ὀσφραντικὸν τὸ δυνάμει τοιοῦτόν ἐστιν οἷον τὸ ὀσφραντόν, ὅταν δὲ ὀσφραίνηται ἤδη, οὐκέτι ὀσφραντικὸν ἀλλ' ὀσφραινόμενον γίνεται.

10

Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι, ὥστε καὶ ἡ γεῦσις ἁφή τις. ὅτι γὰρ τὸ γευστὸν ἁπτόν, οὕτως ἂν λάβοις· ἐπεὶ γὰρ τὸ γευστὸν οὐδὲν ἄλλο ἐστὶν ἢ χυμός, πᾶς δὲ χυμὸς ἐν ὑγρῷ, τὸ δὲ ὑγρὸν ἁφῇ κρίνεται, ἀνάγκη τὸ γευστὸν καὶ ἁπτὸν εἶναι. διὰ τοῦτο ἄρα, ἐπειδὴ ἁφή τις καὶ ἡ γεῦσίς ἐστιν, οὐ δεῖταί τινος μεταξὺ ὄντος ἀλλοτρίου σώματος τοῦ μέλλοντος αὐτῇ παραπέμψειν τὰς διαφορὰς τῶν χυμῶν, ὥσπερ ἡ ὅρασις τοῦ διαφανοῦς ἐδεῖτο, καὶ ἡ ἀκοὴ τοῦ διηχοῦς, καὶ ἡ ὄσφρησις τοῦ διόσμου· πᾶσαι γὰρ αὗται δέον-

---

9 τηνικαῦτα] τὰ τοιαῦτα A 27 παραπέμπειν A

ται μεταξύ τινος ἀλλοτρίου, δι' οὗ ποιοῦνται τὰς ἀντιλήψεις τῶν αἰσθητῶν, καὶ οὐκ ἔστιν αὐτῶν τι τὸ μεταξὺ τοῦτο, ἀλλ' ἀπολέλυται τῆς αἰσθήσεως. ἡ δὲ γεῦσις οὐχ οὕτως· οὐδὲ γὰρ ἡ ἁφή. ἀλλ' εἰ καὶ δέοιντό τινος καὶ αὗται μεταξὺ ὄντος, ὡς ἐπιδείξομεν, ἀλλὰ τοῦτο τὸ μεταξὺ ὁ λόγος εὑρήσει αὐτῶν τι ὂν τῶν αἰσθήσεων· τοιοῦτο γὰρ ἡ σὰρξ ἢ τὸ τῇ σαρκὶ ἀνάλογον. διὰ τοῦτο κἂν ἐν ὕδατι ὦμεν, αἰσθάνεσθαι δυνάμεθα τοῦ χυμοῦ, ὅντινα ἂν ἔχῃ τὸ ὕδωρ, καθάπερ καὶ οἱ ἐν τῇ θαλάττῃ καταδυόμενοι· αἰσθάνονται γὰρ καὶ οὗτοι τῆς ἁλμυρότητος, ἀλλ' οὐ τῇ ἁφῇ ἀλλὰ τῇ γεύσει, καὶ οὐ διὰ τοῦ ὕδατος μεταξὺ ὄντος, ἀλλὰ τῷ μεμῖχθαι τῷ ὕδατι τὸν χυμόν· καὶ γὰρ τῶν πομάτων γευόμεθα ἐν ὑγρῷ ὄντων, ἀλλ' οὐ τοῦ ὑγροῦ μεταξὺ ὄντος ἀλλ' αὐτοῦ δεξαμένου τὸν χυμόν, δεξαμένου δὲ οὐχ ὡς τὸ διαφανὲς τὰ χρώματα· οὐ γὰρ οὕτως ὁρᾶται τὰ χρώματα τῷ ἀναμίγνυσθαι πρὸς τὸν ἀέρα ἢ ἀπορρεῖν τι αὐτῶν καὶ ἀνακίρνασθαι πρὸς τὸ διαφανές. τὸν χυμὸν δὲ κερασθῆναι δεῖ τῇ ὑγρότητι καὶ μιχθῆναι καὶ ὥσπερ ἐν ὕλῃ εἶδος γενέσθαι· ποιότης γὰρ ὑγροῦ ὁ χυμός, ἀλλ' οὐχ ἡ ὑγρόν· ἄλλαι γὰρ ποιότητες ὑγροῦ ἡ ὑγρόν, οἷον τὸ εὔεικτον καὶ εὐόλισθον καὶ εὐδιαίρετον, ὁ χυμὸς δὲ ποιότης ὑγροῦ, ὅτι πάντως ἐν ὑγρῷ. καὶ οὕτω [καὶ] καθ' αὑτὸ ὑπάρχει τῷ ὑγρῷ ὁ χυμός, ὅτι τῷ εἶναι αὐτοῦ ἐμπεριέχεται ἡ ὑγρότης, ἐμπεριέχεται δὲ ἢ δυνάμει ἢ ἐνεργείᾳ· οἱ γὰρ ἅλες δυνάμει ὑγροί. ἅμα γὰρ τῷ πελάσαι τῇ γλώττῃ ξυντήκονται καὶ ἐξυγραίνουσι τὴν γλῶτταν. τὸ μὲν οὖν μεταξύ, λέγω δὲ τὸ τοιοῦτο

---

3 τοῦτο om A 4 ἡ om AV 24 καὶ om M V
25 τὸ εἶναι M

*μεταξὺ τὸ ἀλλότριον, ἐπὶ τῶν αἰσθήσεων τούτων ἐλλείπει, τὰ μέντοι γε λοιπὰ ἀνάλογόν ἐστιν· ὡς γὰρ τὸ χρῶμα ἦν ὁρατόν, οὕτω γευστόν ἐστιν ὁ χυμός· καὶ ὥσπερ ἡ ὄψις τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου· τὸ γὰρ σκότος ἀόρατον, κρίνει δὲ καὶ τοῦτο ἡ ὄψις· οὕτω καὶ ἡ γεῦσις τοῦ τε γευστοῦ καὶ τοῦ ἀγεύστου· τῆς γὰρ οἰκείας στερήσεως ἑκάστη τῶν αἰσθήσεων ἀντιληπτική, καὶ οὐ μόνον γε τῆς στερήσεως, ἀλλὰ καὶ τῆς ὑπερβολῆς, ἀλλὰ ταύτης γε σὺν βλάβῃ· οὐ γὰρ ὁμοίως αἰσθάνεται σιγῆς ἡ ἀκοὴ καὶ τῶν μεγάλων καὶ βιαίων ψόφων, ἀλλ' ἐκείνης μὲν τῷ μὴ κινεῖσθαι, τούτων δὲ τῷ φθείρεσθαι· γίνονται γάρ πως καὶ αἱ ὑπερβολαὶ τῶν αἰσθήσεων ἀναίσθητοι διὰ τὸ τὴν δύναμιν ὑπερτείνειν τῆς αἰσθήσεως, καὶ διὰ τοῦτο οὐ μόνον ὁ μικρὸς ψόφος ἀνήκουστος, ἀλλὰ τρόπον τινὰ καὶ ὁ μέγιστος καὶ ὁ βίαιος. οὕτως οὖν διττὸν καὶ τὸ ἄγευστον τὸ μὲν τῷ λίαν ἐλλείπειν, ὥσπερ οἱ λίθοι, τὸ δὲ τῷ λίαν ὑπερβάλλειν καὶ φθείρειν τὴν γεῦσιν, ὥσπερ καὶ τὰ ἄγαν δριμέα καὶ ὀξέα καὶ αὐστηρά. τρίτος δέ ἐστι τρόπος ἀγεύστου τοῦ παντάπασι χυμὸν δέχεσθαι μὴ πεφυκότος, οἷον φωνῆς ἢ ἀέρος. οὕτω δὲ εἶχε καὶ ἐπὶ τοῦ ἀοράτου καὶ ἀνηκούστου· ἦν γὰρ ἐπ' αὐτῶν καὶ οὗτος ὁ τρόπος τοῦ ἀδυνάτου. τῶν γευστῶν τοίνυν ἀρχὴ τὸ ὑγρόν· ὕλη γὰρ τοῦτο γίνεται τοῖς χυμοῖς, ἀρχὴ δέ τις ἦν καὶ ἡ ὕλη, τῶν γευστῶν δὲ καὶ τὸ ποτόν· ὑγρὸν γὰρ καὶ τοῦτο καθὸ χυμὸν ἔχει ἢ πλείονα ἢ ἐλάττονα, ἀλλ' ἤδη τὸ μὲν κατὰ φύσιν τοῖς ζῴοις, ὅπερ καὶ κυρίως ποτόν, τὸ δὲ λυ-*

---

6 *τε γευστοῦ*] *γευστοῦ τε* M  12 *αἱ* om A V  15 *τρόπον τινὰ* om M  18 *τὸ δὲ*] *τῷ δὲ* A M.  19 *ὥσπερ καὶ*] *καὶ* om M  27 *τὸ μὲν* om A  28 *καὶ* post *ὅπερ* om M

μαντικὸν μᾶλλον καὶ φθαρτικόν, ὅπερ καὶ ἄποτον μᾶλλον ἂν εἴποις· φθείρει γὰρ [καὶ] τὴν γεῦσιν, καὶ χρὴ πρῶτον αὐτὸ γευστόν, εἶθ' οὕτω καὶ ποτὸν γενέσθαι. κοινὸν δὲ ἁφῆς καὶ γεύσεως τὸ ποτόν· καὶ γὰρ ὑγρὸν καὶ ἔγχυμον, ὧν τοῦ μὲν ἡ ἁφή, τοῦ δὲ ἡ γεῦσις ἀντιλαμβάνεται. εἰ οὖν ὑπερβάλλει τὴν συμμετρίαν, ὡς μὲν γευστὸν φθείρει τὴν γεῦσιν, ὡς δὲ ἁπτὸν ὅλον τὸ ζῷον. ἐπεὶ οὖν ἐν ὑγρῷ τὸ γευστόν, ἀνάγκη τὸ αἰσθητήριον αὐτοῦ, λέγω δὲ τὸ ὄργανον ᾧ κέχρηται ἡ ψυχὴ πρὸς τὴν γεῦσιν, μήτε ὑγρὸν εἶναι ἐντελεχείᾳ μήτε ἀδύνατον ὑγραίνεσθαι· πάσχει γὰρ ἡ γεῦσις ὑπὸ τοῦ γευστοῦ ᾗ γευστόν· δεῖ οὖν αὐτὸ δυνάμει μὲν εἶναι ὑγρόν, ὑγραίνεσθαι δὲ ἐνεργείᾳ, ὑγραίνεσθαι δὲ οὕτως, ὥστε σώζεσθαι αὐ- fol. 82.
τοῦ τὴν οἰκείαν κατασκευὴν καὶ ὁπηνίκα ὑγραίνεται. σημεῖον δὲ τὸ μήτε κατάξηρον οὖσαν τὴν γλῶτταν αἰσθάνεσθαι, μήτε λίαν ὑγράν, ὥσπερ ἐπὶ τῶν καμνόντων· τότε γὰρ διὰ τὴν περικεχυμένην ὑγρότητα τῆς πρώτης ἀντιλαμβάνεται, τοὺς δὲ ἄλλους χυμοὺς μόλις διακρίνει, καὶ φαίνεται τοῖς κάμνουσι πάντα πικρά, διότι τῇ γλώσσῃ περικέχυται τοιοῦτος χυμός, ὥσπερ καὶ ὅταν προγευσάμενοι χυμοῦ ἰσχυροῦ γευσώμεθα εὐθὺς ἑτέρου, οὐχ ὁμοίως δ' αἰσθανόμεθα τῆς διαφορᾶς τῷ προκατέχεσθαι τῷ σφοδροτέρῳ. ἔστι δὲ καὶ τὰ εἴδη τῶν χυμῶν ἀνάλογον τοῖς τῶν χρωμάτων, ἁπλᾶ μὲν τὰ ἐναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐχόμενα δὲ τοῦ μὲν γλυκέος τὸ λιπαρόν, τοῦ πικροῦ δὲ τὸ ἁλμυρόν, μεταξὺ δὲ τούτων τὸ δριμὺ καὶ αὐστηρὸν καὶ στρυφνὸν καὶ ὀξύ· σχεδὸν γὰρ αὗται δοκοῦσιν εἶναι διαφοραὶ χυμῶν. συγκε-

2 καὶ om M V

*φαλαιοῦται δὲ καὶ ἐπὶ ταύτης ὁμοίως ὁ λόγος, καθάπερ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, ὅτι τὸ μὲν γευστικὸν ὄργανόν ἐστι τὸ δυνάμει τοιοῦτο, [οἷον τὸ γευστόν,] γευστὸν δὲ τὸ ποιοῦν ἐντελεχείᾳ τὸ ὄργανον οἷον αὐτό.*

11 *Περὶ δὲ ἁφῆς δύο ταῦτα ἄν τις ἀπορήσειεν· ἓν μὲν πότερον μία αἴσθησίς ἐστιν ἢ πλείους, ἕτερον δὲ τί ταύτης τὸ ὄργανον τῆς αἰσθήσεως, ἆρα ἡ σὰρξ καὶ τὸ ἀνάλογον ἐπὶ τῶν μὴ σάρκας ἐχόντων, ἢ οὔ, ἀλλὰ τοῦτο μέν ἐστι μεταξύ, τὸ δὲ ὄργανον ἄλλο τι καὶ εἴσω; ὅτι μὲν οὖν οὐκ ἔστι μία αἴσθησις ἡ ἁφή, σημεῖον ἄν τις νομίζοι τὸ μὴ μιᾶς ἐναντιώσεως εἶναι κριτικὴν ταύτην τὴν αἴσθησιν, ὥσπερ τὴν ὄψιν λευκοῦ καὶ μέλανος μόνον καὶ τῶν μεταξύ, καὶ τὴν ἀκοὴν ὀξέος καὶ βαρέος καὶ τῶν μεταξύ, καὶ τὴν γεῦσιν πικροῦ καὶ γλυκέος· ἐν δὲ τοῖς ἁπτοῖς πολλαί εἰσιν ἐναντιώσεις καὶ πᾶσαι ἔμμεσοι μεσότητος καθ' ἑκάστην οἰκείας θεωρουμένης, οἷον θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, σκληρὸν μαλακόν, βαρὺ κοῦφον, λεῖον τραχύ. τοῦτο μὲν οὖν ἴσως ἄν τις οὐκ ἀποχρώντως μὲν ἀλλὰ πιθανῶς διαλύσειεν, ὅτι καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων πλείους μιᾶς φαίνονται ἐναντιώσεις, οἷον ἐν φωνῇ οὐ μόνον ὀξύτης καὶ βαρύτης, ἀλλὰ καὶ μέγεθος καὶ σμικρότης καὶ λειότης καὶ τραχύτης φωνῆς, εὕροι δ' ἄν τις καὶ περὶ τὸ χρῶμα διαφορὰς ἴσως τοιαύτας, ἀλλ' οὐχ ἱκανὴ καθάπερ εἶπον, ἡ παραμυθία· μέγεθος μὲν γὰρ καὶ σμικρότης κοινὰ πασῶν εἰσὶ τῶν αἰσθήσεων καὶ τοῦ καθ' ἑαυτὴν ἑκά-*

---

1 *δὲ*] *δὴ* M V   3 *οἷον τὸ γευστόν* om M V   15 *ὀξέως καὶ βαρέως* A   19 *κοῦφον βαρὺ* M   21 *διαλύσειεν*] *διαλύσει* libri   *καὶ* om M   27 *μὲν* om A   28 *εἰσὶ*] *ἐστὶ* M

στη μεγάλου καὶ μικροῦ αἰσθάνεται, λειότης δὲ καὶ τραχύτης ἤτοι λέγονται ἐκ μεταφορᾶς τῶν ἁπτῶν, ἢ τοῦ σχήματος καὶ αὗται ἂν εἶεν, εἴπερ καὶ φωνῆς σχῆμα θετέον διὰ τὸν πληττόμενον ὑπ' αὐτῆς ἀέρα, τὸ δὲ σχῆμα κοινὸν ἦν καὶ αὐτὸ αἰσθητόν. οὐχ οὕτω δὲ ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὸ σκληρὸν καὶ τὸ μαλακόν, καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον, ἀλλὰ καὶ πάντα ταῦτα ἴδια τῆς ἀφῆς αἰσθητὰ καὶ οὐδὲν αὐτῶν ἑτέρᾳ αἰσθήσει προσήκει. τί οὖν τὸ γένος ἢ τίς ἡ φύσις ἡ ὑποκειμένη ταύτῃ τῇ αἰσθήσει; καὶ πότερον μία ἢ πλείους; οὐδὲ γὰρ τοὔνομα αὐτῆς πρόχειρον, ὥσπερ ἐπὶ τῆς ἀκοῆς ὁ ψόφος, καὶ ἐπὶ τῆς ὄψεως τὸ χρῶμα, καὶ ἐπὶ τῆς γεύσεως ὁ χυμός. αὕτη μὲν οὖν τοιαύτη τίς ἐστιν ἀπορία.

Πότερον δέ ἐστι τὸ αἰσθητήριον τῆς ἀφῆς εἴσω τῆς σαρκός, ἢ οὐδαμῶς, ἀλλ' εὐθὺς ἡ σάρξ, οὐκ ἀκριβεῖ ἄν τις χρῷτο σημείῳ ἐκ τοῦ γίνεσθαι τὴν αἴσθησιν ἅμα θιγγάνοντι· καὶ γὰρ νῦν εἴ τις περὶ τὴν σάρκα περιτείνειεν οἷον ὑμένα ποιήσας ἢ λεπτὴν ὀθόνην, ὅμως εὐθὺς ἁψαμένοις γίνεται ἔνδηλος ἡ θερμότης ἢ ἡ ψυχρότης ἢ ἡ σκληρότης ἢ ἡ μαλακότης ἢ ἑκάστη τῶν λοιπῶν ἐναντιώσεων· καίτοι δῆλον ὡς οὐκ ἔστιν ὁ ὑμὴν αἰσθητήριον· οὐδὲ γὰρ εἰ συμφυὴς γένοιτο, ὥσπερ οἱ μῦθοί φασι τὸν χιτῶνα τῷ Ἡρακλεῖ, οὐδὲν ἧττον ἀλλὰ καὶ μᾶλλον ἡ αἴσθησις ἂν διικνοῖτο. τάχα οὖν καὶ νῦν τὸ τοιοῦτον μόριον τοῦ σώματος οἷόν ἐστιν ἡ σάρξ, ἔνδον οὖσι τοῖς ὀργάνοις τοῖς πρὸς ἑκάστην τῶν ἐναντιώσεων πεφυκόσι καὶ τοσούτοις γε, ὅσαιπερ καὶ αἱ ἐναντιώσεις

---

3 ἂν om M V 20 ἁψαμένοις] hoc igitur, non ἁψάμενος Themistius in Arist. p. 423, 4 invenit, conf. Trend. dativum habet etiam Alexander fol. 133 b. ἔνδηλος] ἔκδηλος A 24 συμφυὲς A

*εἰσί, περιπέπλασται ἓν καὶ ὅμοιον ἅπασιν ὥσπερ ἔλυτρον, καθάπερ εἰ καὶ ἀὴρ ἐν κύκλῳ ἡμῖν περιεπεφύκει καὶ συμφυὴς ἦν καὶ ἀχώριστος ἄχρι τινὸς ἐν τῷ σχήματι τοῦ στερεοῦ τούτου σώματος περικεχυμένος, ἐν ᾧ τὸ ζῷον· ἐδοκοῦμεν γὰρ ἂν τηνικαῦτα δι᾽ ἑνὸς ἀντιλαμβάνεσθαι αἰσθητηρίου καὶ ψόφων καὶ χρωμάτων καὶ ὀσμῶν, καὶ μίαν τινὰ αἴσθησιν εἶναι ὄψιν ἀκοὴν ὄσφρησιν μὴ διακρινομένων τῶν ὀργάνων ἐν τῷ περικεχυμένῳ ἀέρι, ἀλλὰ διὰ παντὸς ὁμοίως καὶ τὰ χρώματα ὁρώντων ἡμῶν, καὶ τοὺς ψόφους ἀκουόντων, καὶ τὰς ὀσμὰς ὀσμωμένων. νῦν δὲ ὅτι διώρισται τὰ ὄργανα πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν τοῦ σώματος, δι᾽ ὧν γίνονται αἱ αἰσθήσεις, φανερὰ τὰ εἰρημένα αἰσθητήρια ἕτερα ὄντα· ἐπὶ δὲ τῆς ἁφῆς ἄδηλον εἰ πλείω ἢ ἕν. τί γὰρ κωλύει πλείω μὲν εἶναι, τὴν σάρκα δὲ ἅπασιν ἔξωθεν ὁμοίαν οὖσαν ὥσπερ ἔλυτρον περιπεπλάσθαι, τὸ δὲ ὥσπερ ἔλυτρον εἶπον, ὅτι ἐξ ἀέρος ἢ ὕδατος ἀδύνατον ἦν συστῆναι τὸ ἔμψυχον σῶμα. δεῖ γὰρ στερεὸν εἶναι ᾧ χρῆται τὸ γεννητὸν καὶ φθαρτὸν ζῷον. λείπεται δὴ μικτὸν εἶναι ἐκ τῆς γῆς καὶ τῶν ἄλλων στοιχείων, οἷον βούλεται εἶναι ἡ σὰρξ καὶ τὸ ἀνάλογον. εἰ δέ τις ὑπόθοιτο ζῷα εἶναι πύρινα ἢ ἀέρινα, ἐπὶ τοιούτων χαλεπὸν διακρῖναι ὥσπερ ἔφην, τὰς πέντε αἰσθήσεις καὶ τὰ ὄργανα, οἷς χρῆται ἑκάστη. θέα δὲ καὶ τὸν λόγον, εἰ μὴ προσάγεται. εἰ γὰρ πᾶσα αἴσθησις διὰ τοῦ μεταξύ, καὶ ἡ ἁφή· τοῦ δὲ ἁπτοῦ καὶ [τοῦ] ἁπτικοῦ οὐδὲν ἕτερόν ἐστι μεταξὺ ἢ τὸ σῶμα, τὸ σῶμα ἄρα*

---

1 *εἰσὶ* om A  2 *περιπεφύκει* M V  9 *παντὸς*] *πάντων* A  15 *εἰ*] *ἢ* A V  16 *ἅπασιν*] *ἅπασαν* A  22 *ἡ* om A  23 *τοιούτων*] *τούτων* M  25 *θέα*] *θεὰ* A, conf. III, 7. Orat. p. 53. 174 Dind.  27 *τοῦ* om M

τὸ μεταξύ, δι' οὗ γίνεται ἡ ἀντίληψις. διοίσει δὲ τοῦ ἀέρος τε καὶ τοῦ ὕδατος, ἅπερ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἦν μεταξύ, ὅτι μὴ κεχώρισται ὥσπερ ἐκεῖνα, ἀλλ' ἔστι συμφυὲς τῷ ζῴῳ. ὅτι δ' οὐχ ἱκανὸν τεκμήριον τοῦ μίαν εἶναι αἴσθησιν τὴν ἁφὴν τὸ τὴν σάρκα εἶναι μίαν, δι' ἧς τῶν ἁπτῶν λεγομένων ποιούμεθα τὰς ἀντιλήψεις, δηλοῖ ἡ ἐπὶ τῆς γλώττης fol. 82b. ἁφή. ἁπάντων γὰρ τῶν ἁπτῶν αἰσθάνεται κατὰ τὸ αὐτὸ μόριον καὶ χυμοῦ. εἰ μὲν οὖν καὶ ἡ ἄλλη σὰρξ ᾐσθάνετο τῶν τε ἄλλων ἐναντιώσεων καὶ τοῦ χυμοῦ, ἐδόκει ἂν ἡ αὐτὴ καὶ μία αἴσθησις γεῦσις καὶ ἁφή· νῦν δὲ δύο φαίνονται διὰ τὸ μὴ ἀντιστρέφειν τὰ ὄργανα, ἀλλὰ δι' οὗ μὲν μορίου τῶν χυμῶν αἰσθανόμεθα, διὰ τοῦ αὐτοῦ καὶ τῶν ἁπτῶν· δι' οὗ δὲ τῶν ἁπτῶν, οὐ διὰ παντὸς καὶ τῶν χυμῶν· ἐπεὶ καὶ τοῦτο ἄν τις περὶ τῆς ἁφῆς ἀπορήσειεν· εἰ γὰρ πᾶν σῶμα βάθος ἔχει, τοῦτο δέ ἐστι τὸ τρίτον μέγεθος, ὧν δέ ἐστι σωμάτων μεταξὺ ἕτερον σῶμα, οὐκ ἐνδέχεται ταῦτα ἀλλήλων ἅπτεσθαι, εἴπερ ἅπτεται ἀλλήλων, ὧν τὰ πέρατά ἐστιν ἅμα, τοῖς δὲ ὑγροῖς περίκειται πάντως ὑγρότης καὶ τοῖς διεροῖς, πῶς ἂν ἅπτοιτο ἐν τῷ ὕδατι στερεὰ σώματα ἀλλήλων; ἢ γὰρ ἀνάγκη ξηρὰ εἶναι τὰ ἄκρα καὶ ταῦτα ἐν ὕδατι ὄντα, ἢ ὕδωρ γίνεσθαι αὐτῶν μεταξύ, οὗ ἀνάπλεα τὰ ἔσχατα. εἰ δὲ τοῦτο ἀληθές, ἀδύνατον ἄλλο ἄλλου ἅψασθαι ἐν ὕδατι, ὥστε οὐδὲ τὰ ἄγκιστρα ἅπτεται τῶν ἰχθύων, οὐδὲ οἱ ἰχθύες ἀλλήλων. εἰ δὲ ὅτι ὀλίγον τὸ μεταξύ, οὐδὲν πρὸς τὸν λόγον. εἴποι δ' ἄν τις ταὐτὸν καὶ ἐπὶ τῶν ἐν τῷ

---

2 τε om A  9 ἡ om AV  26 ἅψασθαι ἄλλο ἄλλου M
28 εἰ δὲ] οὐδὲ A

*ἀέρι δοκούντων ἅπτεσθαι, ὅτι πάντως μὲν ὁ ἀὴρ μεταξὺ παρεμπίπτει τῶν τε ἁπτικῶν καὶ τῶν ἁπτῶν, λανθάνει δὲ μᾶλλον ἡμᾶς· ἧττον γὰρ αἰσθητὸς ὁ ἀὴρ πρὸς τὴν ἁφήν, ἢ τὸ ὕδωρ. αὕτη δὲ ἡ ἀπορία τὸ μέν τι πιθανῶς ἂν λέγοι, τὸ δέ τι καὶ σφόδρα ἂν παρορῴη. αὐτοῦ γὰρ τοῦ ὕδατος πῶς ἅπτεται τὰ ἐν ὕδατι, καὶ αὐτοῦ τοῦ ἀέρος πῶς ἅπτεται τὰ ἐν ἀέρι; οὐ γὰρ δήπου δι' ἑτέρου καὶ τούτων εἴτε πλείονος εἴτε ἐλάττονος, ἀλλ' εὐθὺς ἡ σὰρξ τοῖς στοιχείοις τούτοις προσπίπτει. ἀλλ' ὅ γε ἐξ ἀρχῆς προὐθέμεθα ζητεῖν, οὐ τοῦτο ἦν, ἀλλ' εἰ ἡ σὰρξ αὐτὴ αἰσθητήριον τῶν ἁπτῶν, ὥσπερ ἡ κόρη τῶν ὁρατῶν, ἢ τὸ μὲν αἰσθητήριον εἴσω, ἡ σὰρξ δὲ μεταξὺ τοῦ τε ὀργάνου τοῦ πρώτου καὶ τῶν ἁπτῶν. δοκεῖ γὰρ δυσωπεῖν ἡμᾶς ὁ λόγος τὸ ὅμοιον ἀπαιτῶν ἐπὶ τῆς ἁφῆς, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, καὶ ἀξιῶν καὶ τὴν γεῦσιν καὶ τὴν ἁφὴν μὴ τῷ ἅπτεσθαι καὶ θιγγάνειν αὐτὰς τῶν αἰσθητῶν, ἀλλὰ διά τινος μέσου τὰς ἀντιλήψεις ποιεῖσθαι, τὴν διαφορὰν δὲ εἴπερ ἄρα ὑπάρχειν ἐν μόνῳ τῷ πόρρωθεν καὶ ἐγγύθεν. ἐκείνας μὲν γὰρ διὰ πλείονος τοῦ μεταξύ, ταύτας δὲ δι' ἐλάττονος ἐνεργεῖν. διὸ καὶ λανθάνειν τὸ μέσον οὐ μόνον, ὅτι ὀλίγον, ἀλλ' ὅτι καὶ συμφυὲς ταῖς αἰσθήσεσι. πῶς δὲ ἅμα ἁφήν τε ῥητέον τὴν αἴσθησιν ταύτην καὶ διὰ μέσου τινός, οὐ χρὴ θαυμάζειν. πλεοναχῶς γὰρ ἡ ἁφή, καὶ ἄλλον μὲν τρόπον κοινῶς ἐφ' ἁπάντων τῶν μεγεθῶν ἐάν τε σώματα, ἐάν τε ἀσώματα ᾖ. λέγονται γὰρ καὶ γραμμαὶ ἅπτεσθαι κύκλων, καὶ κύκλοι ἀλλήλων· ἑτέρως δ' ἐπὶ τῶν αἰσθητῶν καὶ τῶν αἰσθήσεων· ἐπ' ἐκείνων μὲν γὰρ κατὰ πα-*

---

1 ὁ om A  7 ἀέρι] τῷ ἀέρι M

ράθεσιν μόνον λέγομεν τὴν ἀφήν, ὅταν ὁμοῦ τὰ πέρατα ᾖ, ἐπὶ δὲ τῆς ὡς αἰσθήσεως ἀφῆς κατὰ ἀντίληψιν ὥστε ἐπ' ἐκείνων μὲν οὐχ οἷόν τε εἶναι μεταξύ, τὴν δὲ ὡς ἀφὴν αἴσθησιν ἅτε οὐ ψιλὴν παράθεσιν οὖσαν, ἀλλ' ἀντίληψιν τοῦ προκειμένου οὐδὲν κωλύει καὶ διά τινος μέσου ἀντιλαμβάνεσθαι, τὸ δὲ μέσον λανθάνειν ἡμᾶς, ὥσπερ καὶ νῦν, ἡνίκα ἂν ἐν ὕδατι ἁπτώμεθα, λανθάνει ἡμᾶς ἡ ὑγρότης ἡ περικεχυμένη τοῖς ἐσχάτοις τῶν ἁπτομένων σωμάτων, καὶ ἐν ἀέρι παραπλήσιον μὲν τὸ συμβαῖνον, ἡμᾶς δὲ μᾶλλον ἐκφεύγει τὸ μέσον. ταὐτὸν δ' ἂν συνέβαινεν ἡμῖν, καθάπερ καὶ τὸ πρότερον εἶπον, εἰ καὶ δι' ὑμένος αἰσθανοίμεθα τῶν ἁπτῶν λανθάνοντος, ᾗ διείργει. ἀλλ' ὥσπερ ἐν τῷ ὕδατι θιγγάνειν μὲν δοκοῦμεν τῶν ἁπτῶν, λανθάνει δὲ τὸ μεταξύ, οὕτως ἴσως καὶ ἐπὶ τῆς πρώτης ἁφῆς, λέγω δὲ πρώτην τὸ ἐντὸς αἰσθητήριον. ἅπτεσθαι μὲν γὰρ αὐτῷ δοκοῦμεν ἐκείνων, λανθάνει δὲ τὸ μέσον καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ συμφυέστερον τῷ ὀργάνῳ. μέσον μὲν οὖν τι εἶναι θετέον καὶ ταύτης τῆς αἰσθήσεως, καὶ μὴ κατὰ τοῦτο εἶναι τὴν διαφορὰν τῆς ἁφῆς καὶ τῆς γεύσεως πρὸς τὰς ἄλλας, ἀλλὰ κατ' ἐκεῖνο μᾶλλον, ὅτι ἐπ' ἐκείνων μὲν οὐ τὸ μέσον αὐτὸ ἀλλοιοῦται, ἀλλὰ διὰ τοῦ μέσου τὸ αἰσθητήριον, τὸ δὲ ὅπως ἀκουστέον τοῦ ἀλλοιοῦσθαι, προείρηται· ἐνταῦθα δὲ ἅμα πάσχει τό τε αἰσθητικὸν καὶ τὸ μέσον· ψύχεται γὰρ αὐτὴ ἡ σὰρξ καὶ θερμαίνεται. ὥσπερ οὖν ὁ τὴν ἀσπίδα πλήξας ἅμα πλήττει καὶ τὸν ὁπλίτην, οὕτω τὸ αὐτὸ ἅμα τὴν σάρκα καὶ τὴν ἁφήν. τὸ διαφανὲς

---

13 αἰσθανώμεθα A 19 οὖν τι εἶναι] εἶναί τι M 23 ἐκείνου M V 26 αἰσθητικὸν] αἰσθητήριον A

δὲ οὐκ ἠλλοιοῦτο λευκὸν αὐτὸ ἢ μέλαν γιγνόμενον, οὐδὲ ὁ ἐν τοῖς ὠσὶν ἐγκατῳκοδομημένος ἀὴρ αὐτὸς ὀξὺς ἢ βαρὺς γινόμενος ἀπὸ τοῦ ψόφου. οὐχ ὅτι οὖν αἱ μὲν χρῶνται μέσῳ, ἡ δὲ οὐ χρῆται, διενηνόχασιν, ἀλλ' ὅτι τοῖς μὲν ἄλλο ἴσως, τοῖς δὲ ἄλλο ὑπηρετεῖται τὸ μέσον, ἐπεὶ ταὐτόν γε ἡ σὰρξ πρὸς τὴν ἁφήν, ὅπερ ἀὴρ καὶ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοήν. σκόπει δὲ καὶ τοῦτο· τῇ μὲν κόρῃ εἴ τις ἐπιθείη τι λευκὸν ἢ τῷ ἐν τοῖς ὠσὶν ἀέρι τὸν ψόφον ἢ τῷ πόρῳ τῷ διὰ τῶν μυκτήρων τὴν ὀσμήν, οὐ γίνεται ταῖς αἰσθήσεσι ταύταις ἀντίληψις, τῇ σαρκὶ δὲ αὐτῇ ἐπιτιθεμένων τῶν ἁπτῶν αἰσθανόμεθα. δῆλον ἄρα, ὡς οὐδὲ αὕτη τὸ πρῶτον αἰσθητήριον τῶν ἁπτῶν· ταὐτὸν γὰρ ἂν ἔπασχε τοῖς λοιποῖς, ἀλλ' ἐκεῖνο μὲν εἴσω, αὕτη δὲ μεταξύ. οἱ λόγοι δὲ οἱ περὶ τῆς ἁφῆς οἱ σύμπαντες ὧδε ἔχουσιν, ἐπειδὴ καὶ φιλοτιμότερον ἀνέστραπται περὶ τὸν τόπον Ἀριστοτέλης. πᾶσα αἴσθησις διὰ τοῦ μεταξύ, ὥστε καὶ ἡ ἁφή, καὶ οὐδὲν ἄλλο μεταξὺ εὑρίσκεται τῆς τε ἁφῆς καὶ τῶν ἁπτῶν, εἰ μὴ ἡ σάρξ, ὥστε αὕτη μεταξύ. εἰ δι' ὑμένος ἁπτοίμεθα ἢ δι' ὕδατος, λανθάνει τὸ μέσον. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ νῦν λανθάνει τὸ μέσον, ὅσῳ καὶ συμφυέστερον οὐδενὶ τῶν αἰσθητηρίων προστιθεμένου τοῦ αἰσθητοῦ γίνεται ἀντίληψις, τῇ σαρκὶ δὲ προστιθεμένων τῶν αἰσθητῶν γίνεται. οὐκ ἄρα ἡ
fol. 83. σὰρξ αἰσθητήριον. τοῦ κούφου καὶ τοῦ βαρέος οὐ θιγγάνοντες αἰσθανόμεθα, ἀλλὰ τῇ εἴσω δυνάμει. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ ἐπὶ τῶν ἄλλων ἐναντιώσεων ταὐτὸ συμβαίνει, εἴσω μέν τισι δυνάμεσιν

---

3 ἀπὸ] ὑπὸ A 17 περὶ] πρὸς A 19 τῆς ἁφῆς εὑρίσκεται καὶ M 20 εἰ μὴ ἡ] ἢ M V 22 νῦν] οὕτω A

ἑκάστης αἰσθανόμεθα, δοκοῦμεν δὲ τῇ σαρκί. οὗτος δὲ οὐκ εἴρηται ὑπ' Ἀριστοτέλους ὁ λόγος.

Ὅτι μὲν οὖν διὰ τοῦ μεταξύ, τοσοίδε· ὅτι δὲ πλείους αἰσθήσεις ἡ ἀφή, τοσοίδε. μία αἴσθησις περὶ μίαν ἐστὶν ἐναντίωσιν, ἡ δὲ δοκοῦσα ἀφὴ περὶ πλείους, οὐκ ἄρα μία αἴσθησις ἡ ἀφή. ὥσπερ πλείους αἰσθήσεις ὄψις καὶ ἀκοή, δι' ἑνὸς δὲ τοῦ μεταξὺ ἐνεργοῦσιν, οὕτως οὐδὲν κωλύει πλείους μὲν εἶναι αἰσθήσεις καθ' ἑκάστην τῶν λεγομένων ἁπτῶν ἐναντιώσεων, ἑνὶ δὲ χρῆσθαι τῷ μεταξύ, λέγω δὲ τῇ σαρκί. περὶ τὸ αὐτὸ μόριον οἷον τὴν γλῶτταν, καὶ γεῦσίς ἐστι καὶ ἁφή, καὶ ὅμως πλείους εἰσὶν αἱ αἰσθήσεις. οὐδὲν οὖν κωλύει καὶ περὶ πᾶσαν τὴν σάρκα ταὐτὸν συμβαίνειν, αἰσθάνεσθαι μὲν διὰ τοῦ αὐτοῦ μορίου τῶν ἁπτῶν ἁπάντων, εἶναι δὲ πλείους τὰς αἰσθήσεις. εἰ ἦν τι ζῷον ἀέρινον, οὐκ ἂν ἐδόκει διαφέρειν ἡ ὄψις τῆς ἀκοῆς· δι' ὅλου γὰρ ἂν καὶ ἤκουεν ἑαυτοῦ καὶ ἑώρα, ἀλλ' ὅμως ἦσαν ἂν δύο τῇ διαφορᾷ τῶν κρινομένων· καὶ νῦν τοίνυν, ἐπειδὴ σάρκινόν ἐστι τὸ ζῷον καὶ δι' ὅλης αἰσθάνεται τῆς σαρκὸς ἁπάντων τῶν ἁπτῶν, δοκεῖ μὲν εἶναι μία αἴσθησις ἡ ἀφή, οὐκ ἔστι δὲ ἀλλ' ὅσαι ἐναντιώσεις. ὃ δὲ ἐπιζητεῖ πρὸς τὸν περὶ τῆς σαρκὸς λόγον Ἀλέξανδρος, οὐχ ἱκανόν· εἰ γὰρ μὴ ἡ σὰρξ αἰσθητήριον τῶν ἁπτῶν, τί φησιν ἕτερον; δεῖ γὰρ εἶναί τι ἀφωρισμένον, ὡς ὀφθαλμοὶ ὄψεως καὶ ὦτα ἀκοῆς καὶ τῶν ὀσφραντῶν οἱ μυκτῆρες καὶ τῶν ὑπὸ τὴν γεῦσιν ἡ γλῶττα. ἀκουέτω γὰρ Ἀριστοτέλους τῶν ἁπτῶν εἶναι τὸ αἰσθητήριον πρὸς τῇ καρδίᾳ. πάλιν

3 et 4 τοσόνδε? 8 οὐδὲ πλείους μὲν κωλύει M 16 ἀέριον M V 18 ἑαυτοῦ καὶ ἤκουε M V 24 Ἀλέξανδρος] haec frustra fol. 133 quaerimus 26 ὄψεων A V 27 οἱ] οὐ A

*εἰ δεῖ τὸ ἀνάλογον ἐπὶ τῶν αἰσθήσεων ζητεῖν, ἔδει φησὶν ὥσπερ τῶν ἄλλων αἰσθήσεων τὰ μεταξὺ οὐκ αἰσθάνεται, οὕτω μηδὲ τὴν σάρκα αἰσθάνεσθαι, εἴπερ δι' αὐτῆς μέσης ἡ ἀφή. ἀκουέτω δὲ πρὸς τοῦτο Ἀριστοτέλους, ὅτι οὐκ αἰσθάνεται τῇ σαρκὶ τὸ ζῶον, ἀλλ' ἅμα τῇ σαρκί. καὶ τὸ ἀνάλογον οὖν οὐ πάντῃ ληπτέον, ἐπεὶ καὶ συμφυὲς τὸ μεταξὺ τῆς ἀφῆς καὶ τῆς γεύσεως, τῶν λοιπῶν δὲ οὔ· καὶ οὐχ οἷόν τε τοῦ αὐτοῦ σώματος τῷ ἀριθμῷ κατὰ ταὐτὸ μέρος πλείονας ἅψασθαι ἅμα, ὥσπερ οὐδὲ γεύσασθαι τοῦ αὐτοῦ χυμοῦ πλείονας ἅμα, ἰδεῖν μέντοι τὸ αὐτὸ χρῶμα πλείονας ἅμα καὶ ἀκοῦσαι τοῦ αὐτοῦ ψόφου μυρίους δυνατόν, καθάπερ ἐν τοῖς θεάτροις. ταῦτα μὲν οὖν τοῦτον τὸν τρόπον καὶ ἠπορήσθω καὶ διακεκρίσθω. σωματικωτάτη μέντοι τῶν αἰσθήσεών ἐστιν ἡ ἀφή· καὶ γὰρ τὰ ὑποκείμενα ταύτῃ σωματικώτατα καὶ σώματος καθὸ σῶμα διαφοραί, οὐ καθὸ σῶμα ἔμψυχον· εἰδοποιοὶ γὰρ τῶν πρώτων στοιχείων θερμότης ψυχρότης, ὑγρότης ξηρότης, περὶ ὧν εἴρηται ἐπ' ἀκριβὲς ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς. τὸ δὲ αἰσθητήριον τῶν ἁπτῶν καὶ ἐν ᾧ ἡ καλουμένη ἀφὴ πρώτῳ ὑπάρχει, καλεῖν μὲν ἁπτικὸν προσήκει, ὥσπερ ἀκουστικὸν καὶ ὁρατικὸν καὶ ὀσφραντικόν, εἰδέναι δέ, ὅτι τὸ μόριον ἐν ᾧ πρώτῳ ἡ δύναμις αὕτη τῆς ψυχῆς, δυνάμει τοιοῦτόν ἐστιν οἷα τὰ ἁπτὰ ἐνεργείᾳ. δυνάμει οὖν θερμὸν καὶ δυνάμει ψυχρὸν καὶ τὰ λοιπά· διόπερ εἶπον αὐτὸ καὶ σωματικώτατον εἶναι· τὸ γὰρ αἰσθάνεσθαι καθόλου εἴρηται, ὅτι πάσχειν πως ἦν, εἴρηται δ' ὅτι καὶ τὸ πάσχον πῇ μὲν ταὐτόν ἐστι*

---

7 *τῆς ἀφῆς καὶ* om M 8 *τῶν*] *καὶ τῶν* A 10 *τοῦ αὐτοῦ*] *τοῦδε τοῦ* A 17 *ἔμψυχον σῶμα* M 18 *εἰδοποιεῖ* M 21 *πρώτων* M 25 *οἷα*] *οἷον* A 29 *ὅτι*] *ὅπῃ* M V

τῷ ποιοῦντι, πῇ δὲ οὐ ταὐτόν· πάσχον μὲν γὰρ οὐ ταὐτόν, πεπονθὸς δὲ ταὐτόν. διὸ τοῦ ὁμοίως θερμοῦ ἢ ψυχροῦ ἢ σκληροῦ ἢ μαλακοῦ τὸ αἰσθητήριον τῆς ἁφῆς οὐκ αἰσθάνεται, (καὶ οὐ μόνον γε τὸ εἴσω, ἀλλ' οὐδὲ τὸ μεταξύ, οἷον ἡ σάρξ) ἀλλὰ τῶν ὑπερβολῶν καὶ τῶν ἐλλείψεων, ὡς τῆς αἰσθήσεως οἷον μεσότητός τινος οὔσης τῶν ἐν τοῖς αἰσθητοῖς ἄκρων, μεσότητος δὲ οὐχ ὡς τὰς ἀρετὰς λέγομεν τῶν κακιῶν εἶναι μεσότητας· αὗται γὰρ τῷ ἴσον αὐτῶν ἀφεστάναι μεσότητες καὶ εἰσὶ καὶ λέγονται· ἐνταῦθα δὲ ὅτι δυνάμει τὰ μέσα ἄμφω τὰ ἄκρα, καὶ ταύτῃ δὲ οὐχ ὁμοία ταῖς ἄλλαις αἰσθήσεσιν ἡ ἁφή, ὅτι οὐδὲ ὁμοίως μεσότης. ἐκεῖ μὲν γὰρ ἄχρουν παντάπασιν ἦν, ἐν ᾧ πρώτῳ ἡ δύναμις ἡ ὁρατική, καὶ ἄψοφον παντελῶς, ἐν ᾧ πρώτῳ ἡ δύναμις ἡ ἀκουστική· ἐνταῦθα δὲ οὐχ οἷόν τε ἁπάσης αὐτὸ ἁπτῆς ποιότητος ἀμοιρεῖν· σῶμα γάρ ἐστι τὸ ἁπτικόν. εἴρηται δέ, ὅτι σώματος ᾗ σῶμα ποιότητές εἰσιν αἱ ἁπταί. ἄλλως οὖν μεσότης ἡ ἁφή, καὶ ἄλλως αἱ ἄλλαι, ἐκεῖναι μὲν τῷ μηδὲν ἔχειν ὧν δέχονται, αὕτη δὲ τῷ ἔχειν ἤδη τὸ μεταξὺ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ τοῦ σκληροῦ καὶ τοῦ μαλακοῦ· τὸ γὰρ μέσον κριτικὸν τῶν ἄκρων· γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων ἤδη καὶ πάσχει ὑφ' ἑκατέρου τῶν ἄκρων, οὐχ ᾗ ὅμοιον, ἀλλ' ᾗ ἀνόμοιον. ἔτι δὲ ὥσπερ τοῦ ὁρατοῦ καὶ τοῦ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν οἰκείων στερήσεων, οὕτω καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ καὶ τοῦ ἀνάπτου, ἄναπτον δὲ τό τε μικρὰν παντάπασιν ἔχον καὶ ἀμυδρὰν τῶν ἁπτῶν διαφοράν, καὶ τὸ ὑπερ-

---

5 ἡ om A   11 τὰ μέσα] τὸ μέσον A   12 οὐδὲ] μηδὲ M
20 αὕτη] αὗται M V

βάλλον αὖθις καὶ φθαρτικόν, ὡς τὸ λίαν θερμὸν καὶ ψυχρόν. καθ' ἑκάστην μὲν οὖν περὶ τῶν αἰσθήσεων εἴρηται τύπῳ· τεύξονται γὰρ ἰδίου λόγου.

12 Καθόλου δὲ ἔστω περὶ πάσης αἰσθήσεως δῆλον, ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν εἰδῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ, καὶ λαμβάνει μὲν τὸν χρυσοῦν ἢ χαλκοῦν τύπον, οὐχ ᾗ δὲ χρυσοῦς ἢ χαλκοῦς. οὕτω δὲ καὶ ἡ ὄψις τὸ χρῶμα τοῦ ἔχοντος, καὶ τὸν ψόφον ἡ ἀκοή, οὐδὲν δὲ ἧττον καὶ ἡ γεῦσις καὶ ἡ ὄσφρησις, εἰ καὶ μὴ δοκοῦσι· καὶ γὰρ εἰς ταύτας αἱ ποιότητες μὲν διικνοῦνται, ἡ δὲ ὕλη καὶ τὸ ὑποκείμενον ἔξω. πάσχειν μὲν οὖν λέγονται αἱ αἰσθήσεις ὑπὸ τῶν αἰσθητῶν, πολὺ δὲ τὸ πάθος διάφορον, ἢ ὡς πάσχει τὰ ἄψυχα, μᾶλλον δὲ ἀναίσθητα σώματα· αἱ μὲν γὰρ αἰσθήσεις λέγονται πάσχειν ὑπὸ τῶν αἰσθητῶν ἔξω μενούσης αὐτῆς τῆς ὕλης, τοῦ δὲ εἴδους μόνου κινοῦντος τὸ αἰσθητήριον, τὰ δὲ τεμνόμενα ἢ fol. 83b. θλώμενα ἢ καόμενα συνεισιούσης πάσχει τῆς ὕλης τῆς τοῦ ποιοῦντος· τέμνει γὰρ οὐχ ἡ ὀξύτης, ἀλλ' ἡ μάχαιρα τουτέστιν ὀξύτης ἡ μετὰ σιδήρου, καὶ κάει τὸ πῦρ οὐχ ἡ τοῦ πυρὸς μορφὴ καὶ ὁ λόγος. διόπερ ἐπὶ τούτων μὲν τὸ πάθος κυρίως· εἰς γὰρ τροπήν τινα καὶ εἰς μεταβολὴν τελευτᾷ, μᾶλλον δὲ ὕλη γίνεται τοῦ ποιοῦντος τὸ πάσχον καὶ κυρίως, ὥσπερ τὸ καόμενον τοῦ κάοντος, καὶ τὸ θλώμενον τοῦ θλῶντος, καὶ τοῦ τέμνοντος τὸ τεμνόμενον· αἱ δὲ αἰσθήσεις οὐχ ὕλαι γίνονται τῶν αἰσθητῶν· οὐ γὰρ λευκαίνεται ἡ αἴσθησις οὐδὲ μελαίνεται οὐδὲ βαρύνεται οὐδὲ ὀξύνεται,

---

18 μόνον A 19 καιόμενα AV 29 οὐδὲ ὀξύνεται] ἢ ὀξύτης M V

ἀλλ' ὃ πολλάκις καὶ εἰρήκαμεν καὶ ἐροῦμεν, τὸ εἶδος ὑποδέχεται μόνον καὶ τὸν λόγον. διὸ καὶ εἰς κρίσιν καὶ εἰς ἀντίληψιν τελευτῶσιν· ὕλη γὰρ οὐδεμία δύναται κρίνειν τὸ ἐγγινόμενον εἶδος· ἀσύνετον γάρ τι καὶ ἄκριτον καὶ ἀναντίληπτον ἥ γε ὕλη. ὁ λόγος μέντοι καὶ τὰ ἄλλα κρίνει καὶ εἶδος εἴδους ἀντιλαμβάνεται, εἶδος δὲ ἡ αἴσθησις καὶ ὁ λόγος τοῦ πρώτου αἰσθητηρίου. δύναμις γὰρ αὐτοῦ ἐστὶ καὶ μορφή. καὶ τῷ μὲν ὑποκειμένῳ ταὐτὸν ἥ τε αἴσθησις καὶ τὸ αἰσθητήριον, ὥσπερ καὶ ἅπασα μορφὴ τῷ δεδεγμένῳ, τὸ δὲ εἶναι ἕτερον τοῦ τε ὀργάνου καὶ τῆς δυνάμεως· τὸ μὲν γὰρ ὄργανον μέγεθός τι καὶ σῶμά ἐστιν, ἡ δύναμις δὲ λόγος καὶ εἶδος ἐκείνου· φανερὸν δὲ ἐκ τῶν εἰρημένων καὶ διὰ τί δήποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰ αἰσθητήρια· ἐὰν γὰρ ὑπὲρ τὴν δύναμιν ᾖ τοῦ αἰσθητηρίου ἡ κίνησις, φθείρεται ἀναγκαίως ἡ δύναμις· λύεται γὰρ ὁ λόγος, τοῦτο δὲ ἦν ἡ αἴσθησις· πᾶς μὲν γὰρ λόγος συμμετρία τις καὶ ἁρμονία καὶ οἷον μεσότης, πᾶν δὲ ἡρμοσμένον φθείρεται ὑπὸ τοῦ καθ' ὑπερβολὴν ἀναρμόστου, ὥσπερ καὶ ἡ συμφωνία καὶ οἱ τόνοι τῶν χορδῶν, ὅταν σφοδρότερον πλήττωνται ὑπὸ τῆς δυνάμεως, καθ' ἣν ἡρμόσθησαν. τοῦτό τε οὖν ἐκ τῶν εἰρημένων φανερόν, ὅπως συμβαίνει, καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντα ὑπὸ τῶν ἁπτῶν· καὶ γὰρ ψύχεται καὶ θερμαίνεται καὶ ὑγραίνεται καὶ ξηραίνεται. περὶ μὲν οὖν τῶν ἄλλων αἰσθήσεων οὐδ' ἂν ἀπορήσειέ τις εὐλόγως, εἰ ἀκούει τὰ φυτὰ ἢ ὀσφραίνεται· περὶ τῆς ἁφῆς δὲ

6 κρίνει] καὶ λόγον κρίνειν A 7 ὁ om A 14 διὰ om A 22 πλήττονται A 29 τῆς ἁφῆς δὲ] δὲ τῆς ἁφῆς A

οὐκ ἀπεικότως· πάσχει γὰρ ὑπὸ τῶν ἁπτῶν, ἢ πάσχει μέν, οὐχ οὕτω δὲ πάσχει, ὡς τὸν λόγον τοῦ πάθους ἀναμάττεσθαι χωρὶς [τῆς] ὕλης· οὐδὲ γὰρ ὅλως ἔχει τοιαύτην ἀρχήν, οἵαν ψιλὰ τὰ εἴδη δέχεσθαι τῶν ἁπτῶν, οὔτε μήν τι μόριον τοῦ σώματος ἢ ὅλον τὸ σῶμα ἐν μεσότητι κεκραμένον τῶν ἁπτῶν ἐναντιώσεων, ὥσπερ ἐπὶ τῶν ζώων ἡ σὰρξ καὶ τὸ ἀνάλογον, ἀλλ' ἐπὶ θάτερα τῶν ἐναντίων τὸ σῶμα αὐτῶν νένευκεν. ἀναισθητότερα δὲ καὶ αὐτῶν τῶν ζώων ἐστὶ τὰ τοιαῦτα: πάσχει οὖν συνεισιούσης τῆς ὕλης τῆς τοῦ ποιοῦντος· ὑγραίνεται γὰρ εἴσω τοῦ ὑγροῦ εἰσιόντος, καὶ ψύχεται εἴσω τοῦ ψυχροῦ εἰσιόντος μετὰ τῆς ὕλης. τῶν μὲν οὖν τρεφομένων ἔνδον χρὴ γενέσθαι τὴν ὕλην· καὶ γὰρ τὴν τροφήν, τῶν αἰσθανομένων δὲ ᾗ αἰσθάνεται οὐδαμῶς, ἀλλ' ἔξω μένειν τὸ τῷ αἰσθητῷ ὑποκείμενον, ἄλλως τε καὶ μάτην εἶχεν εἴπερ εἶχεν αἴσθησιν τὰ φυτά· οὐ γὰρ ἐπ' αὐτοῖς τὸ φεύγειν τὰ ἀλλότρια καὶ τὰ οἰκεῖα διώκειν, ὅπερ ἐπὶ τῶν ζώων ὁρῶμεν, ἀλλ' ἐν αὐτῷ μένει τῷ τόπῳ κατερριζωμένα· οὐδὲν δὲ ἡ φύσις μάτην ποιεῖ. ἕλκει μὲν οὖν ἕκαστον οἰκεῖον χυμόν, οὐ μὴν αὐτὰ κρίνοντα ὡς οἰκεῖον, ἀλλὰ τῆς φύσεως τὰ οἰκεῖα προσαγομένης ἄνευ τινὸς ἀντιλήψεως τῶν φυτῶν, ὥσπερ καὶ ἐπὶ τῶν ζώων ἡ φύσις ἐποίει· τῆς γὰρ τροφῆς τὸ μὲν οἰκεῖον προσάγεται, τὸ δὲ ἀλλότριον ἀπωθεῖται, αἴσθησις δὲ ἡμῖν οὐδεμία τοῦ γινομένου. οὔτε οὖν ὄργανον ἐν τοῖς φυτοῖς ἀφωρισμένον πρὸς αἴσθησιν, οὔτε τὸ κοινὸν πάσης αἰσθήσεως, οἷον τὸ πνεῦμα κεκραμένον ἐν συμμετρίᾳ τοιαύτῃ.

---

3 τῆς om M V 4 οἵαν] οἷον M V 6 ἐναντιώσεων] ἐναντίων A

Καθόλου δ' ἄν τις καὶ τοῦτο ἐπιζητήσειεν, εἰ πάθοι ἄν τι ὑπὸ τῆς ὀσμῆς τὸ ἀδύνατον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν, ἢ ὑπὸ ψόφου τὸ μὴ δυνάμενον ἀκοῦσαι, ἢ ὑπὸ τοῦ ἀκουστοῦ μὲν ὡς ἀκουστοῦ τὸ μὴ ἀκοῦον παθεῖν ἀδύνατον, οἱ δὲ ῥηγνύμενοι λίθοι καὶ τὰ διιστάμενα φυτὰ ὑπὸ τῶν βροντῶν οὐ πάσχουσιν ὑπὸ τοῦ ψόφου ὡς ἀκουστοῦ, ἀλλ' ὅτι ἐν ἀέρι ὁ ψόφος, οὗτος δὲ πληττόμενος ἄγαν ὁμοίως πλήττει, ᾧ ἂν προσπέσῃ, ἐπεὶ καὶ ὅταν ὑπὸ τῆς ἅλμης διατήκηται τὰ χιτώνια, οὐχ ὑπὸ τοῦ χυμοῦ πάσχει τῆς ἅλμης ᾗ γευστὸς ὁ χυμός, ἀλλ' ᾗ τοιαδὶ ποιότης. πάσχει δὲ ὁ ἀὴρ καὶ ὑπὸ τοῦ ψόφου καὶ ὑπὸ ὀσμῆς, ἀλλ' ὅμως ὄζειν μὲν τὸν ἀέρα λέγομεν, ὀσμᾶσθαι δ' οὔ. πάσχει δὲ καὶ τὸ ὕδωρ καὶ ὑπὸ ψόφου καὶ ὑπὸ ὀσμῆς, ἀλλ' οὐ διὰ τοῦτο αἰσθάνεται, ἀλλ' εἰ καὶ εὐπαθέστερα τῶν σωμάτων τὰ ἀόριστα, ὅμως τὸ αἰσθάνεσθαι οὐ τὸ κυρίως πάσχειν ἐστίν, ἀλλὰ τὸ γίνεσθαι ἐν τῷ αἰσθανομένῳ τὸ εἶδος ἄνευ τῆς ὕλης καὶ μένειν χρόνον τινὰ καὶ τοῦ ποιήσαντος ἀπελθόντος· ὅλως γὰρ ὃ καὶ πρότερον εἴρηται, τὸ πάσχον κυρίως ὕλη γίνεται τῶν ποιούντων· θερμαίνεται γὰρ καὶ ψύχεται καὶ ξηραίνεται καὶ ὑγραίνεται οὐ τελευτῶντος τοῦ πάθους εἰς κρίσιν, ἀλλ' εἰς αὐτὴν τὴν τροπὴν καὶ τὴν μεταβολὴν ἱσταμένου. διὸ μήποτε καὶ ἡ σὰρξ διὰ τοῦτο οὐκ ἦν αἰσθητήριον, ὅτι καὶ αὐτή πως ἀπολαύει τῶν ἁπτῶν ἐναντιώσεων τοῦτον τὸν τρόπον, ὥσπερ τὰ ἄψυχα θερμαινομένη καὶ ψυχομένη καὶ ὥσπερ ὕλη γιγνομένη ταῖς ἁπταῖς ἐναντιώσεσι. τοῦτο δὲ [καὶ] ἐπὶ τῶν ἄλλων αἰ-

10 τήκηται M V 11 ᾗ] ἢ M ἢ καὶ A 13 τοῦ om A V 17 κυρίως] ῥᾳδίως M V 20 ὃ καὶ] ὃ M 24 τὴν post αὐτὴν om M 28 ἁπταῖς] αὐταῖς M 29 καὶ om M

*σθητηρίων οὐχ ὁρῶμεν· ἡ γὰρ κόρη οὐ λευκαίνεται οὐδὲ ὁ ἐν τοῖς ὠσὶν ἐγκατῳκοδομημένος ἀὴρ βαρύτερος γίνεται ἢ ὀξύτερος, ὥστε καὶ διὰ τοῦτο οὐκ ἂν εἴη ἡ σὰρξ αἰσθητήριον· οὐ γὰρ οἷα τε ἀναμάττεσθαι τὸ εἶδος ψιλὸν καὶ τὸν λόγον, ἀλλ' ὕλη γίνεται τῶν ποιούντων, τὸ δὲ κρῖνον ἀπαθὲς εἶναι ὑπὸ τοῦ κρινομένου προσήκει.*

---

5 *ἀλλ'*] *ἀλλ' ἢ* M  6 *κρῖνον*] *κρίνειν* A

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ fol. 84.

# ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

---

## ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

1

Ὅτι δὲ οὐκ ἔστιν αἴσθησις ἑτέρα παρὰ τὰς πέντε, ἐκ τῶνδε πιστεύσειεν ἄν τις. οὐ γὰρ ἐπειδὴ διηπορήσαμεν ἐν τοῖς προτέροις, μήποτε ἄρα πλείους ὦσιν αἱ τῆς ἁφῆς δυνάμεις, διότι πλείω τὰ ὑποκείμενα, διὰ τοῦτο ἄλλην τινὰ περιβλεπτέον αἴσθησιν ὡς ἐκλιμπάνουσαν· καὶ γὰρ εἰ πλείω τὰ ἁπτά, καὶ πλείους αὐτῶν αἱ ἐναντιώσεις, ἀλλ' οὐδέν γε ὅμως αὐτῶν ἐκφεύγει τὴν κρίσιν τῆς αἰσθήσεως· καὶ γὰρ τὸ βαρὺ καὶ τὸ κοῦφον, εἰ καὶ μὴ θίγουσιν εὐθὺς ἔνδηλον ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἀλλ' ὅμως οὐ διαλανθάνει τὴν αἴσθησιν· ἔχομεν γάρ τινα δύναμιν κριτικὴν τῆς ῥοπῆς. ζητοῦμεν δὲ νῦν οὐκ, εἴπερ ὀρθῶς αὐτὴν συντάττομεν ταῖς δυνάμεσι ταῖς ἁπτικαῖς, ἀλλ' εἴ τις ὅλως ἀντίληψις ἡμῖν ἐλλείπει τῶν ὑπαρχόντων παθῶν τοῖς σώμασιν. οὐ φαίνεται δέ·

---

1 Titulus postremis duobus vocabulis omissis A, *Θεμιστίου περὶ ψυχῆς λόγος* E V, lacuna in M 17 *τάττομεν* M

*πάντα γὰρ κρίνομεν καὶ πάντων αἰσθανόμεθα. ἔτι εἴ τις αἴσθησις ἡμῖν ἐλλείπει, καὶ τὸ ὄργανον αὐτῆς ἀνάγκη ἡμῖν ἐλλείπειν. πᾶν γὰρ ὄργανον αἰσθητικὸν σῶμα, σῶμα δὲ ἅπαν ἐξ ἑνός τινος τῶν ἁπλῶν στοιχείων ἢ ἐκ πλειόνων. ἔχομεν δὲ καὶ ἐκ τῶν ἁπλῶν καὶ ἐκ τῶν συνθέτων τὰ αἰσθητήρια· ἡ μὲν γὰρ κόρη ἐξ ὕδατος ἦν, ἡ δὲ ἀκοὴ ἐξ ἀέρος ἢ τοῖς γε ἐνύδροις ἐξ ὕδατος, ἡ δὲ ὄσφρησις θατέρου τούτων· ἐκ πυρὸς γὰρ ἢ γῆς ἡ φύσις οὐδὲν ἐποίησεν αἰσθητήριον, πυρὸς μὲν ὅτι κοινὸν αὐτὸ ἅπασι τοῖς ἄλλοις ἐνεκεράσατο· ἡ γὰρ θερμότης ἐν ἅπασι καὶ οὐδὲν ἄνευ τῆς ἐμφύτου θερμότητος αἰσθητικόν· γῆ δὲ αὐτὴ μὲν καθ' αὑτὴν οὐχ οἵα τε ἦν ὄργανον εἶναι· παχύτατον γὰρ τὸ στοιχεῖον καὶ πρὸς κρίσιν ἀνεπιτήδειον, ὅθεν καὶ τὰ πλείονος αὐτῆς μετέχοντα μόρια τῶν ζώων ἀναισθητότατα ὀστᾶ καὶ τρίχες καὶ ὄνυχες, μέμικται δὲ μάλιστα ἐν τῇ ἁφῇ τῶν λοιπῶν αἰσθητηρίων. ὅπερ οὖν ἔφην, τῶν μὲν ἁπλῶν αἰσθητηρίων οὐδὲν ἂν ἡμῖν ἐλλείποι· ἔχομεν δὲ καὶ τὸ σύνθετον ἐκ πλειόνων· τοιοῦτον γὰρ ἡ σὰρξ καὶ τὸ ἀνάλογον, εἴπερ ἄρα καὶ ταύτην ἐν τοῖς αἰσθητηρίοις θετέον, ὥστε εἰ μηδὲν τῶν ὀργάνων ἐλλείπει, οὐδὲ δύναμίς τις τῶν τοῖς ὀργάνοις χρωμένων. πάλιν ἐπειδὴ πέφηνεν ἅπαν ἡμῖν αἰσθητήριον διά τινος μεταξὺ ὄντος ἀντιλαμβάνεσθαι, ἀνάγκη τὸ μεταξὺ τοῦτο ἢ ἀλλότριον εἶναι ἢ συμφυές. ἔχομεν δὲ καὶ τὸ συμφυές· τοιούτῳ γὰρ κέχρηται ἡ γεῦσις καὶ ἡ ἁφή. ἔχομεν καὶ τὰ ἀλλότρια· τοιοῦτον γὰρ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, οἷς κέχρηνται αἱ λοιπαὶ μέσοις πρὸς τὸ εἰσαγγέλλειν τὰ αἰσθητά· τοῖς*

1 *ἔτι*] *ὥστε* A 3 *γὰρ*] *δὲ* M V 15 *πλείονα* A 17 *ἐν* om M V 22 *ἐλλείποι* A V 23 *πέφηνεν*] fort. *πέφυκεν* 27 *ἡ γεῦσις* om M 29 *εἰσαγγέλειν* libri

*μὲν γὰρ πεζοῖς καὶ πρὸς τὰ χρώματα καὶ πρὸς τοὺς ψόφους ὁ ἀὴρ ἐξαρκεῖ, τοῖς δὲ ἐνύδροις τὸ ὕδωρ, ἱκανὸν δὲ καὶ θάτερον αὐτῶν πρὸς ἄμφω, οἷον ἀὴρ πρὸς ψόφους καὶ χρώματα, καὶ ἄμφω πρὸς θάτερον αὖθις οἷον πρὸς χρώματα ἀὴρ καὶ ὕδωρ. οὐδὲν ἄρα ἂν τῶν μεταξὺ ἡμῖν ἐλλείποι. εἰ δὲ τὰ ἀπαγγέλλοντα ἅπαντα ἔχομεν, δηλονότι καὶ τὰ δεχόμενα τὰς εἰσαγγελίας, οὐδεμία ἄρα αἴσθησις τοῖς ζώοις ἐλλείπει, λέγω δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς τελείοις καὶ μὴ κολοβοῖς μηδὲ οἷον πεπηρωμένοις· τὰ γὰρ καλούμενα ζωόφυτα μίαν ἔχει τὴν ἁφήν, τὰ δὲ ἴσως καὶ τὴν γεῦσιν, τὰ δὲ ἴσως καὶ τὴν ὄσφρησιν, ὅσα δὲ πορευτικὰ καὶ τέλεια, ταῦτα ἔχει τὰς πέντε πάσας· φαίνεται γὰρ καὶ ἡ ἀσπάλαξ ὑπὸ τὸ δέρμα ἔχουσα ὀφθαλμούς, ἀλλ' ἐπειδήπερ πρὸς τὸν βίον οὐκ ἦν αὐτῇ ἀναγκαία ἡ ὄψις, ἐξεπλήρωσε μὲν καὶ ἐπὶ ταύτης ἡ φύσις τὸν ἀριθμὸν τῶν αἰσθήσεων, τῷ δέρματι δὲ ἐπεκάλυψεν ὡς μὴ δεομένου τοῦ ζώου ταύτης τῆς κρίσεως, ὥστε εἰ μὴ ἕτερον σῶμα παρὰ τὰ τέσσαρα στοιχεῖα καὶ τὰ συγκείμενα ἐξ αὐτῶν, οἷα τὰ ἐνταῦθα σύμπαντα σώματα, μήτε πάθος ἕτερον τούτων ἐστὶ τῶν σωμάτων παρὰ τὰ νῦν ὑπάρχειν δοκοῦντα, οὐδεμία ἂν ἐκλείποι τοῖς ζώοις αἴσθησις. δήλη δέ ἐστιν ἡ φύσις, ὅτι πανταχοῦ τὰς ἀτελεστέρας δυνάμεις ὁλοκλήρους ταῖς τελειοτέραις προϋποβάλλεται, ὥστε εἴπερ ἐν ἀνθρώπῳ λόγος καὶ νοῦς, πᾶσαι ἂν αὐτῷ προϋπάρχοιεν αἱ αἰσθήσεις.*

*Ἀλλὰ μὴν οὐδὲ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι τῶν κοινῶν αἰσθητῶν, ὧν νῦν ἁπάσαις ἀντιλαμβανόμεθα*

---

3 *οἷον — χρώματα* om M  11 *ζώφυτα* M  13 *πάσας*] *αἰσθήσεις* A  14 *τὸ* om M  15 *αὐτὴ* M

*ταῖς αἰσθήσεσιν, εἶναι μὲν αἴσθησιν ἰδίαν ἔστιν ἀναγκαῖον, ἐκλείπει δὲ νῦν, διὸ νῦν μὲν αὐτῶν σχεδὸν κατὰ συμβεβηκὸς αἰσθανόμεθα τῷ μὴ ἔχειν τὴν ἐπ' αὐτοῖς τεταγμένην οἷον κινήσεως στάσεως σχήματος μεγέθους ἀριθμοῦ, χρὴ δὲ εἶναι πάντως ἢ τὰ κοινὰ ταῦτα νῦν οὐχ ὡς κοινὰ ὑπόκειται ἀλλ' ὡς ἴδια, ἐπεὶ νῦν γε ἡ ὄψις μεγέθους οὐκ αἰσθάνεται προηγουμένως, ἀλλ' οὐδὲ σχήματος οὐδὲ στάσεως οὐδὲ τῶν λοιπῶν, ἀλλὰ αἰσθανομένη τοῦ χρώματος καὶ τοῦ μεγέθους αὐτοῦ συναισθάνεται καὶ τοῦ σχήματος καὶ τοῦ κινεῖσθαι αὐτὸ ἢ ἠρεμεῖν καὶ τοῦ εἶναι. τὸ γὰρ ἓν ἢ πολλὰ πᾶσαι γνωρίζουσι, τοῦτο δὲ ἀριθ-*
fol. 84b. *μός. εἴπερ οὖν κατὰ συμβεβηκὸς αὐτῶν αἰσθανόμεθα, εἶναί τινα αἴσθησιν αὐτῶν προηγουμένην προσήκει, ἀλλ' ἀδύνατον· οὐ γὰρ κατὰ συμβεβηκὸς αἰσθανόμεθα τῶν κοινῶν· οὐδὲν γὰρ τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν κινεῖ τὸ αἰσθητήριον καὶ ἀλλοιοῖ καὶ ἐνδίδωσι τὴν ἰδίαν μορφήν· καὶ γὰρ εἰ μὴ κυρίως ταῦτα ἐπὶ τῶν αἰσθήσεων λέγεται, ἀλλὰ γίνεταί γέ τις καὶ τῇ ὄψει ἀλλοίωσις ὑπὸ τοῦ χρώματος, καὶ τῇ ἀκοῇ ὑπὸ τοῦ ψόφου, καὶ μάλιστα τοῦτον τὸν χρόνον καθ' ὃν ἂν τὸ αἰσθητήριον εἰς αὐτὰς ἐνεργῇ, τὰ κατὰ συμβεβηκὸς δὲ οὐ τοιαῦτα ἦν· διττὸς γὰρ ὁ τρόπος τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν· ἢ γὰρ ὅταν τῇ ὄψει κρίνωμεν τὸ γλυκύ· πολλάκις γὰρ θεασάμενοί τι τῶν ὑγρῶν ξανθόν, μέλι τοῦτο εἶναι ἀποφαινόμεθα, οὐκέτι τὴν τοῦ γλυκέος αἴσθησιν ἀναμείναντες. τοῦτο δὲ ὧδε συμβαίνει· ἐπειδὴ γὰρ τοῦ ξανθοῦ καὶ τοῦ γλυκέος ᾐσθόμεθα ἅμα ὄντων ἐπὶ τοῦ μέλιτος ἀμφο-*

---

6 *τὰ κοινὰ*] *τὰ μεγέθη* M·V *ὑπόκεινται* M 18 *καὶ γὰρ*] *οὐ γὰρ* V

τέραις περὶ αὐτὸ ταῖς αἰσθήσεσιν ἐνεργήσαντες τῇ ὄψει καὶ τῇ γεύσει, καὶ ἐτελεύτησαν αἱ δύο ἀντιλήψεις εἰς τὴν πρώτην δύναμιν τὴν αἰσθητικήν, εἰς ἣν ἁπάντων τῶν αἰσθητῶν αἱ εἰσαγγελίαι μίαν οὖσαν ὑποστηρίζονται, ταύτην τηνικαῦτα συμβαίνει τὴν δύναμιν ἀπατᾶσθαι καὶ τὸ ξανθὸν εὐθὺς ἀποφαίνεσθαι καὶ γλυκύ, συνδραμεῖν αὐτὰ καὶ νῦν οἰηθεῖσαν, ὥσπερ ἡνίκα ἀπ' ἀμφοτέρων ἅμα τῶν αἰσθήσεων ἐκινήθη. εἷς μὲν οὖν ὁ τρόπος οὗτος τῆς κατὰ συμβεβηκὸς ἀντιλήψεως, ἕτερος δὲ ὅταν προσιόντα τὸν Κλέωνος υἱὸν θεασάμενοι μὴ τοῦτο ἀποφαινώμεθα μόνον ὅτι λευκός, ἀλλ' ὅτι καὶ Κλέωνος υἱός. καίτοι ὁ Κλέωνος υἱὸς ᾗ Κλέωνος υἱός, οὐκ ἦν αἰσθητός, ἀλλ' ἐπειδὴ συμβαίνει τῷ λευκῷ καὶ υἱῷ Κλέωνος εἶναι, οὐχ ἵσταται ἡ ὄψις ἄχρι τοῦ χρώματος ὃ προςήκει μόνον αὐτῇ, ἀλλὰ κἀκεῖνο προσαποφαίνεται, ὃ μήτε αὐτῆς ἴδιον μήτε ἄλλης τινός, μᾶλλον δὲ οὐχ ἡ ὄψις, ἀλλ' ἐκείνη αὖθις ἡ μία, εἰς ἣν τελευτῶσι καὶ αἱ λοιπαί. οἱ μὲν οὖν τρόποι τοῦ κατὰ συμβεβηκὸς οὗτοι, κατ' ἀμφοτέρους δὲ οὐδὲν ἡ αἴσθησις τρεπομένη οὔτε πάσχουσα ὑπὸ τοῦ κατὰ συμβεβηκὸς αἰσθητοῦ κρίνει περὶ αὐτοῦ καὶ γνωματεύει, οἷον ἡ ὄψις οὔτε ὑπὸ τοῦ Κλέωνος υἱοῦ τι πάσχουσα οὔτε ὑπὸ τοῦ γλυκέος τὸ μὲν ξανθὸν εἶναι μέλι τὸ δὲ λευκὸν Κλέωνος υἱὸν ἀποφαίνεται. ἐπὶ μέντοι τῶν κοινῶν αἰσθητῶν, ὅταν αἰσθάνηται μεγέθους ἡ ὄψις, ἐγγίνεται τοῦ μεγέθους αὐτῇ χαρακτήρ, καὶ τῆς κινήσεως δὲ ὁμοίως καὶ τοῦ ἑνὸς καὶ τοῦ σχήματος. πῶς ἂν οὖν κατὰ συμβεβηκὸς αἰσθάνοιτο τούτων ὧν ἀπομάττεται

1 αὐτὸ] αὐτοῦ M V  5 ἀποστηρίζονται M V  9 ὁ om A V
12 καίτοι ὁ Κλέωνος υἱὸς om M  13 ἦν om A

τὸ εἶδος οὐχ ἧττον ἢ τὸ τοῦ χρώματος; οὐκ ἄρα ἡ αἴσθησίς ἐστιν ἰδία τῶν κοινῶν οὐδαμῶς, κρίνουσι δὲ τὰ ἀλλήλων ἴδια κατὰ συμβεβηκὸς αἱ αἰσθήσεις, ὅτι εἰς μίαν ἅπασαι τελευτῶσιν. ὅταν οὖν τῇ μιᾷ ἐκείνῃ τὸ αὐτὸ ὑγρὸν ἡ μὲν γεῦσις πικρόν, ἡ δὲ ὄψις ξανθὸν εἰσαγγείλῃ, συμβῇ δὲ ἐν ἄλλῳ χρόνῳ τοῦ ξανθοῦ μόνου αὐτὴν λαβέσθαι διὰ τῆς ὄψεως, προστίθησιν εὐθέως καὶ τὸ πικρὸν τὴν γεῦσιν μὴ περιμείνασα, καὶ τότε οὐχ ἡ ὄψις ἐστὶν ἡ ἀπατωμένη, ἀλλ' ἡ μία ἐκείνη εἰς ἣν καὶ ἡ ὄψις καὶ ἡ γεῦσις ἅμα τελευτῶσιν· αὕτη γὰρ ἡ τὸ ἀμφοῖν ἔργον μιᾶς ποιοῦσα, καὶ ταύτης ἐστὶ τὸ εἰπεῖν ἄμφω περὶ τῆς χολῆς καὶ τὸ πικρὸν καὶ τὸ ξανθόν, καὶ ὅτι τὰ δύο ταῦτα ἑνὶ σώματι ὑπάρχει, διὰ τοῦτο καὶ ἀπατᾶται. ἀπατᾶται δὲ καὶ περὶ τὸν Κλέωνος υἱόν, ὅταν ἐκ μόνου τοῦ χρώματος Κλέωνος υἱὸν αὐτὸν ἀποφαίνηται· οὐ γὰρ ἐκ τοῦ χρώματος γνωστὸς ὁ τοῦ Κλέωνος υἱός, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν ἃ συνθεῖναι καὶ ἐξετάσαι οὐ τῆς μιᾶς αἰσθήσεως ἦν, ἀλλ' ἑτέρας, ἴσως ἤδη τιμιωτέρας δυνάμεως, ἧς οὐ κοινωνεῖ τὰ ἄλογα ζῶα. ἀπατᾶται δὲ καὶ περὶ τὰ κοινά, ὅταν ἐπιτρέψῃ μιᾷ οἷον ἡ ὄψις περὶ τὸ σχῆμα· κοινὸν γὰρ τὸ σχῆμα ὄψεως καὶ ἁφῆς.

Ὅτι μὲν οὖν οὐκ εἰσὶ τῶν πέντε πλείους αἰσθήσεις, φανερὸν ἐκ τῶν εἰρημένων, διὰ τί δὲ οὐ μία ζητήσειεν ἄν τις, εἰ καὶ τῶν ψόφων καὶ τῶν χυμῶν καὶ τῶν λοιπῶν αἰσθητῶν οἷόν τε ἦν ἀντιλαμβάνεσθαι. ἢ τὰ κοινὰ ἂν οὐχ ὡς κοινὰ ἐγνωρίζετο μιᾶς οὔσης ἁπάντων αἰσθήσεως; νῦν δὲ τῷ πλείοσιν αἰσθήσεσιν ἀκολουθεῖν ἐλέγχεται μιᾷ μὴ προσήκοντα. αὕτη τε

1 ἡ om A  4 ἅπασαι om M V  26 εἰ] ἢ M V

οὐν ἀποχρῶσα αἰτία καὶ ὅτι δύσκριτά ἐστι τὰ κοινά. πλείους οὖν κρίσεις δεῖ συμφωνῆσαι καὶ τό γε τοῖς εἰρημένοις ἀκόλουθον· εἰ γὰρ αἴσθησις μία, ἓν ἂν που καὶ αἰσθητήριον ἦν, τοῦτο δὲ ἀμήχανον· δυνάμει γὰρ τὸ αἰσθητήριον ὅπερ τὸ αἰσθητόν, δυνάμει δὲ οὐχ ἅπαντα πρὸς ἅπαν, ἀλλὰ πρὸς μὲν χρῶμα τὸ ἄχρουν, πρὸς δὲ ψόφους τὸ ἄψοφον· οὔτε γὰρ ποιεῖν τὸ τυχὸν εἰς τὸ τυχὸν πέφυκεν οὔτε πάσχειν τὸ τυχὸν παρὰ τοῦ τυχόντος, καὶ ταῦτα ἐν ἄλλοις ἱκανῶς ἀποδέδεικται.

Ἐπειδὴ δὲ αἰσθανόμεθα ὅτι ὁρῶμεν, καὶ αἰσθα- 2
νόμεθα ὅτι ἀκούομεν, ἀνάγκη ἢ τῇ ὄψει αὐτῇ αἰσθάνεσθαι ὅτι ὁρῶμεν ἢ ἑτέρᾳ αἰσθήσει κρινούσῃ τὴν ὄψιν. εἰ μὲν δὴ ἑτέρᾳ καὶ οὐ τῇ ὄψει, δύο ἔσονται αἰσθήσεις τοῦ αὐτοῦ, οἷον χρώματος ἥ τε ὄψις ἡ προηγουμένως ὁρῶσα τὸ χρῶμα καὶ ἡ τῆς ὄψεως αἰσθανομένη· οὐ γὰρ οἷόν τε ἀποφήνασθαι περὶ τῆς ὄψεως ὅτι ὁρᾷ μὴ γινώσκουσα τὸ ὁρώμενον. καὶ εἰ τῇ ὄψει χρεία κρινούσης αὐτὴν ἑτέρας, διὰ τί οὐ καὶ τῇ κρινούσῃ αὖθις ἑτέρας, κἀκείνῃ ἄλλης, καὶ τοῦτο εἰς ἄπειρον πρόεισιν; εἰ δὲ ταῦτά τις τὰ ἄτοπα προορώμενος συγχωροίη, ὅτι ἡ τὴν ὄψιν κρίνουσα αἴσθησις δύναιτ᾽ ἂν κρίνειν καὶ ἑαυτήν, τί δήποτε τοῦτο οὐχὶ καὶ τῇ ὄψει αὐτῇ συγχωρεῖ; κρινέτω τοίνυν αὐτὴ ἑαυτὴν ἡ ὄψις. ἀλλ᾽ ὄψεως αἰσθητὸν ἴδιον τὸ χρῶμα, χρῶμα ἄρα ἕξει ἡ ὄψις. φανερὸν τοίνυν ὅτι οὐχ ἁπλῶς λέγεται τὸ αἰσθάνεσθαι· καὶ γὰρ ὅταν μὴ ὁρῶμεν, τῇ ὄψει κρίνομεν καὶ οὐ μόνον φωτὸς ἀλλὰ

5 γὰρ] δὲ M  8 τὸ τυχὸν ποιεῖν M  25 αὐτὴ] αὐτῇ AV 26 ὅτι] ὡς A

*καὶ σκότους συναισθανόμεθα, ἀλλ' οὐχ ὡσαύτως. ἢ fol. 85. τοίνυν αἰσθήσει αἰσθανόμεθα ὅτι οὐχ ὁρῶμεν, τῇ αὐτῇ ταύτῃ αἰσθήσει αἰσθανόμεθα καὶ ὅτι ὁρῶμεν, αὕτη δέ ἐστιν ἡ ὄψις. οὐδὲν δὲ ἄτοπον τὸ καὶ τὴν ὄψιν πως κεχρωματίσθαι· τὸ γὰρ αἰσθητήριον δεκτικὸν τοῦ αἰσθητοῦ ἄνευ τῆς ὕλης, διὸ καὶ ἀπελθόντων τῶν αἰσθητῶν ἔνεισιν αἰσθήσεις καὶ φαντασίαι· οἱ γὰρ λόγοι τῶν αἰσθητῶν οὓς ἡ αἴσθησις ἀνελέξατο, ἐμμένουσί τινα χρόνον καὶ μὴ παρόντων τῶν ἔξωθεν. ἄτοπον δὲ ὅτι μὲν ξανθὸν τὸ χρῶμα ὃ ὁρῶμεν γιγνώσκειν ἡμᾶς τῇ ὄψει, ὅτι δὲ ὁρῶμεν ὅλως μὴ γιγνώσκειν ἡμᾶς τῇ αὐτῇ αἰσθήσει, ἀλλ' ἄμφω μὲν τῇ αὐτῇ ὄψει οὐχ ὡσαύτως δέ. λέγομεν γὰρ ξανθὸν τῷ πάσχειν ὑπ' αὐτοῦ, τὸ δὲ ὅτι ὁρῶμεν τῷ πάθους ἀντιλαμβάνεσθαι, ἡ δὲ τοῦ αἰσθητοῦ ἐνέργεια καὶ τῆς αἰσθήσεως ἡ αὐτὴ μέν ἐστι καὶ μία, τὸ δὲ εἶναι αὐταῖς οὐ τὸ αὐτό, λέγω δὲ ταὐτόν ἐστι τὸ κατ' ἐνέργειαν ἀκουστὸν καὶ ἡ ἀκοή, καὶ τὸ κατ' ἐνέργειαν ὁρατὸν καὶ ἡ ὅρασις· οὐδὲ γὰρ οἷόν τε ἀκουστὸν γενέσθαι κατ' ἐνέργειαν χωρὶς ἀκοῆς, οὐδὲ ὁρατὸν κατ' ἐνέργειαν χωρὶς ὄψεως, ἀλλὰ τὸ μὲν δυνάμει ἀκουστὸν καὶ ἡ δυνάμει ἀκοὴ δύναται χωρίζεσθαι ἀπ' ἀλλήλων· ἔστι γὰρ ἀκοὴν ἔχοντα μὴ ἀκούειν, καὶ ἀκουστὸν ὄντα μὴ ἀκούεσθαι οἷον τὸν ψόφον· ὅταν δὲ ἀκούῃ τὸ δυνάμενον ἀκούειν, καὶ ἀκούηται τὸ δυνάμενον ἀκούεσθαι, τότε ἅμα ἡ κατ' ἐνέργειαν ἀκοὴ γίγνεται καὶ τὸ κατ' ἐνέργειαν ἀκουστόν, ἄμφω δὲ ἐν τῇ ἀκοῇ, διότι καθόλου πᾶσα ποιητικοῦ καὶ κινητικοῦ ἐνέργεια ἐν τῷ πάσχοντι· δέδεικται γὰρ*

---

4 *ἐστιν*] *ἔσται* AV    7 *φαντασίαι*] *αἱ φαντασίαι* V    10 *μὲν ξανθὸν τὸ*] *τὸ μὲν ξανθὸν* AV    *ὃ* om A    20 *ἀκοῆς — χωρὶς* om M

τοῦτο ἐν τοῖς Φυσικοῖς. οὕτω τοίνυν καὶ ἡ τοῦ αἰσθητοῦ ἐνέργεια ἐν τῷ αἰσθητικῷ, καὶ ἐντεῦθέν ἐστι δῆλον ὅτι μὴ πᾶν τὸ κινοῦν ἀνάγκη καὶ κινεῖσθαι, εἴ γε τὰ αἰσθητὰ κινεῖ μὲν τὰς αἰσθήσεις, αὐτὰ δὲ πολλάκις ἀκίνητα μένει, καὶ μάλιστα ἐπὶ τῆς ὄψεως τοῦτο δῆλον· κινεῖ γὰρ τὸ χρῶμα τὴν ὄψιν, αὐτὸ δὲ ἀκίνητον μένει, καὶ ἐπὶ τῆς ἁφῆς δὲ εἴποι ἄν τις παραπλησίως· τὸ γὰρ ψυχρὸν ἀλλοιοῖ μὲν τὴν σάρκα ἢ τὸ πρὸ τῆς σαρκὸς αἰσθητήριον, αὐτὸ μέντοι γε οὐδὲν ἀλλοιοῦται, λέγω δὲ οὐδὲν τηνικαῦτα, ὅτε ἀλλοιοῖ. ἐπ' ἐνίων μὲν οὖν ἐστὶ ταῖς δύο ἐνεργείαις ὀνόματα, λέγω δὲ δύο ἐνεργείαις τήν τε τοῦ αἰσθητοῦ καὶ τὴν τοῦ αἰσθητικοῦ· τοῦ μὲν γὰρ ψοφοῦντος ψόφησίν ἐστιν εἰπεῖν τὴν ἐνέργειαν, τοῦ δὲ ἀκουστικοῦ ἄκουσιν, ἐπ' ἐνίων δὲ ἀνώνυμον θάτερον· ἡ μὲν γὰρ τῆς ὄψεως ἐνέργεια ὅρασις λέγεται, ἡ δὲ τοῦ χρώματος ἀνώνυμος, καὶ ἡ μὲν τοῦ γευστικοῦ ἐνέργεια γεῦσις, ἡ δὲ τοῦ χυμοῦ ἀνώνυμος. οὐκ ὀρθῶς οὖν οἱ πρότερον φυσιολόγοι οὔτε χρῶμα ἄνευ ὄψεως ὑπολαμβάνοντες εἶναι οὔτε χυμὸν ἄνευ γεύσεως· διχῶς γὰρ λεγομένων τῶν ὁρατῶν καὶ τῶν γευστῶν τὰ μὲν κατ' ἐνέργειαν ὁρατὰ οὐχ οἷόν τε χωρὶς ὁράσεως εἶναι, τὰ δὲ κατὰ δύναμιν δυνατόν· λευκὸν γὰρ εἶναι καὶ χωρὶς ὄψεως δυνατόν, ὥστε διὰ τοῦτο αὐτοὺς μεμπτέον, ὅτι ἁπλῶς ἔλεγον περὶ τῶν λεγομένων οὐχ ἁπλῶς. εἰ δὲ ταὐτὸ τὸ κατ' ἐνέργειαν ἀκουστὸν καὶ ἡ κατ' ἐνέργειαν ἀκοή, ὀρθῶς [δὲ] ἐλέγοντο λόγοι αἱ αἰσθήσεις. δῆλον δὲ ἐντεῦθεν· ἡδίω γὰρ ἡμῖν ἀεὶ τὰ κεκραμένα τῶν αἰσθητῶν ἤπερ τὰ ἄκρα-

1 Φυσικοῖς] III, 3. 3 καὶ om A 13 καὶ τὴν] τὴν om A 14 ἀκουστικοῦ] ἀκουστοῦ A 21 alterum τῶν om M 27 δὲ om A 28 ἡδίω] πλείω M V 29 κεκραμμένα M V, item infra

*τα, οἷον ἐν ψόφοις μὲν αἱ συμφωνίαι, ἐν χυμοῖς δὲ οἱ μεμιγμένοι, καὶ τῶν χρωμάτων δὲ τὰ κεκραμένα, διὸ καὶ τέχναι μουσική τε καὶ γραφικὴ καὶ μυρεψικὴ καὶ ὀψοποιία περὶ τὰς μίξεις καὶ τὰς κράσεις τῶν ἄκρων. πᾶσα δὲ μίξις καὶ κρᾶσις λόγος, ὃς ὅταν γένηται κατ' ἐνέργειαν αἰσθητός, ὁ αὐτὸς γίνεται τῇ αἰσθήσει. εἰκότως ἄρα ἡ αἴσθησις λόγος· λόγῳ γὰρ ἡ αὐτή. οἱ δὲ ἄκρατοι ψόφοι καὶ ἄμικτοι χυμοὶ εἴτε ὑπερβάλλοντες εἴτε ἐνδέοντες ἢ οὐ κινοῦσι τὴν αἴσθησιν ἢ φθείρουσιν ἢ λυποῦσιν· οὐκέτι γὰρ λόγοι οὐδὲ κράσεις οὐδὲ συμφωνίαι.*

*Ἀλλ' ἐπειδὴ πολλάκις εἰρήκαμεν ἑκάστην αἴσθησιν ὑπάρχειν ἐν τῷ οἰκείῳ αἰσθητηρίῳ καὶ κρίνειν οὕτως τὸ ὑποκείμενον ἑαυτῇ καὶ τὰς ἐν αὐτῷ διαφοράς, τοῦτο ἄνωθεν ἀναλαβόντες ἀκριβέστερον ἐπισκεψώμεθα. αἰσθανόμεθα τοίνυν οὐ μόνον τὸ λευκὸν τοῦ μέλανος διαφέρον, ἀλλὰ καὶ τὸ λευκὸν τοῦ γλυκέος. ταύτην οὖν τὴν διαφορὰν καθ' ἣν τὸ λευκὸν τοῦ γλυκέος διενήνοχε, τίς ἐστιν ἡ κρίνουσα δύναμις; οὔτε γὰρ ἡ ὄψις· γλυκέος γὰρ οὐκ αἰσθάνεται, οὔτε ἡ γεῦσις· λευκὸν γὰρ οὐκ οἶδεν. ἀνάγκη δὲ αἰσθήσει καὶ τοῦτο κρίνεσθαι· τῶν γὰρ αἰσθητῶν αἰσθηταὶ καὶ αἱ διαφοραί. οὐδὲν οὖν θαυμαστόν, εἰ ἔμπροσθεν ἡμῖν ἐδόκει μὴ εἶναι τὴν ἁφὴν ἐν σαρκί, ἀλλὰ τὴν σάρκα μὲν εἶναι μεταξὺ τοῦ τε ἁπτοῦ καὶ τοῦ ἁπτικοῦ, ἢ εἴ τις καὶ βούλοιτο καλεῖν αὐτὴν αἰσθητήριον, ἀλλ' οὔτι γε πρῶτον οὐδὲ ἐν ᾧ ἡ δύναμις ἐγκαθίδρυται ἡ ἁπτική· προϊὼν γὰρ ὁ λόγος εὑρήσει μὴ περὶ τὴν σάρκα τοῦτο μόνον συμβεβηκέναι, ἀλλὰ καὶ περὶ τὰ*

---

4 *ὀψοποιία*] *ὀψοποιητικὴ* A 7 *γὰρ*] *δὲ* M 8 *δὲ*] *γὰρ* M 15 *ἐπισκεψόμεθα* M 17 *διαφέρειν* M V 21 *δὲ*] scrib. *δὴ* 25 *μεταξὺ*] *μέσην* M

λοιπὰ αἰσθητήρια, οἷον λέγω τὴν κόρην καὶ τοὺς διὰ τῶν ὤτων πόρους. μικρὸν δὲ ἀναληπτέον· ὥσπερ ᾗ κρίνομεν δυνάμει τὸ λευκὸν τοῦ μέλανος διαφέρειν, αὕτη μία ἐστίν, οὕτω καὶ ᾗ κρίνομεν τὸ γλυκὺ τοῦ θερμοῦ διαφέρειν, καὶ ταύτην ἀνάγκη μίαν εἶναι· οὐ γὰρ οἷόν τε κεχωρισμέναις εἶναι δυνάμεσιν ἢ διεστηκυίαις ἀλλήλων, καὶ τὴν μὲν τοῦ δεῖνος αἰσθανομένην τὴν δὲ τοῦ δεῖνος κρίνειν, ὅτι μὴ ταὐτὸν τοδὶ καὶ τοδί. οὕτω μὲν γὰρ κἂν εἰ τοῦ μὲν ἐγὼ τοῦ δὲ σὺ αἴσθοιο, δῆλον ἂν εἴη ὅτι ἕτερα ταῦτα ἀλλήλων, ἀλλ' οὐχ οἷόν τε, ἀλλ' ἓν δεῖ ὑπάρχειν ὃ ἀμφοῖν αἰσθανόμενον οὐ λέγει ἓν ἄμφω καὶ ταὐτὸν δεῖν εἶναι ὃ μὴ ταὐτόν φησι τῷ γλυκεῖ τὸ λευκόν. ὡς οὖν λέγει περὶ τοῖν δυοῖν, οὕτω τοῖν δυοῖν καὶ αἰσθάνεται, λέγει δὲ ὡς ἓν ἀμφότερα ἐπεσκεμμένον, οὕτως ἄρα αὐτῶν καὶ αἰσθάνεται, οὐ μόνον δὲ ὡς αὐτὸ ἓν ἀλλὰ καὶ ὡς ἐν χρόνῳ ἑνί· ὅταν γὰρ αἰσθάνηται τοῦ μέλιτος ξανθοῦ καὶ γλυκέος, ἢ τῆς χιόνος ψυχρᾶς τε καὶ λευκῆς, οὐκ ἐν ἄλλῳ μὲν τῆς λευκότητος αἰσθάνεται χρόνῳ ἐν ἄλλῳ δὲ τῆς ψυχρότητος, ἀλλ' ἐν τῷ αὐτῷ καὶ ἑνί· καὶ ὅτε λέγει θάτερον ὅτι (fol. 85b.) ἕτερον, τότε καὶ θάτερον· λέγω δὲ οὐ κατὰ συμβεβηκὸς τὸ ὅτε. εἴποιμ' ἂν γὰρ ἐγὼ νῦν ὅτι Πλάτων ὁ φιλόσοφος εἰς Σικελίαν ἀφῖκται, ἀλλὰ νῦν μὲν λέγω, οὐ μέντοι γε ὅτι καὶ νῦν. ἡ δὲ κρίνουσα τὴν τοῦ λευκοῦ πρὸς τὸ ψυχρὸν διαφορὰν καὶ νῦν λέγει, καὶ ὅτι νῦν λέγει. ἅμα ἄρα, ὥστε οὐκ αὐτὴ μόνον μία ἀλλὰ καὶ ἐν χρόνῳ ἑνί. μία τοίνυν ἐστὶν ἡ δύναμις ἡ αἰσθητική, εἰς ἣν αἱ τῶν πλειόνων αἰσθητηρίων

---

5 θερμοῦ] πικροῦ A 9 καὶ] εἶναι A 15 ἀμφότερον A 17 αἰσθάνεται A 22 λέγω] λέγεται A 25 οὐ μέντοι γε ὅτι] ὅτι οὐ μέντοι γε M 27 ὅτι νῦν λέγει] νῦν M

*τελευτῶσι διαφέρουσαι ἀγγελίαι. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· συμβήσεται γὰρ ταὐτόν τι καὶ ἀδιαίρετον πλείους ἅμα κινήσεις κινεῖσθαι καὶ μάλιστα ἐν χρόνῳ ἀδιαιρέτῳ. καὶ τί λέγω πλείους; μήποτε καὶ ἐναντίας· δῆλον γὰρ ὅτι τῇ μιᾷ ταύτῃ ἥτις ποτ' ἂν ᾖ, οὐχ ἡ κόρη μόνη καὶ ἡ γλῶττα εἰσήγγειλε τὸ ξανθὸν καὶ τὸ γλυκύ, ἀλλὰ καὶ ἡ κόρη μόνη καθ' ἑαυτὴν τὸ λευκὸν καὶ μέλαν, ὥσπερ ὅταν βιβλίοις ἐντυγχάνωμεν γεγραμμένοις· αἰσθανόμεθα γὰρ ἅμα ἀμφοῖν καὶ τοῦ μέλανος καὶ τοῦ λευκοῦ, ταῦτα δὲ οὐχ ἕτερα μόνον ἀλλὰ πρὸς τῷ ἕτερα καὶ ἐναντία. πῶς οὖν μία οὖσα κινήσεται ἅμα τὰς ἐναντίας κινήσεις; οὐκ ἦν οὖν τὸ ἄτοπον τηλικοῦτον ἐπὶ τῶν διαφόρων αἰσθήσεων· ἐπ' ἐκείνων γὰρ τὰ ἀγγελλόμενα ἕτερα μὲν ἦν, οὐ μὴν ἐναντία ὡς εἶχε τὸ γλυκὺ καὶ τὸ ξανθόν, ἀλλ' ἔοικεν ἐπὶ τῆς μιᾶς αἰσθήσεως καὶ τοῦ ἑνὸς αἰσθητηρίου τὸ συμβαῖνον εἶναι ἀτοπώτερον, πῶς τῶν ἐναντίων ἅμα αἰσθάνεται. ἆρ' οὖν ἱκανὸν καταφυγεῖν εἰς ἐκεῖνον αὖθις τὸν λόγον τὸν λέγοντα τὴν δύναμιν τὴν αἰσθητικὴν εἰς ἣν πᾶσαι αἱ τῶν αἰσθητηρίων εἰςαγγελίαι διαπέμπονται, μίαν μὲν εἶναι τῷ ἀριθμῷ καὶ τῷ ὑποκειμένῳ, τῷ λόγῳ δὲ πλείους; ἐπὶ πολλῶν γὰρ οὗτος ὁ λόγος πολλὰς διέλυσεν ἡμῖν ἀπορίας. πῶς μὲν οὖν διῃρημένη αὕτη ἡ δύναμις τῶν διῃρημένων αἰσθάνεται; πῶς δὲ ἀδιαίρετος τῶν διῃρημένων; τῷ εἶναι μὲν γὰρ διῃρημένη, τουτέστι τῷ λόγῳ, τόπῳ δὲ καὶ ἀριθμῷ ἀδιαίρετος, ἢ ἐπὶ ταύτης γε τῆς ἀπορίας οὐδὲ τοῦθ' ἱκανόν; δυνάμει μὲν γὰρ ταὐτὸν καὶ διαιρετὸν εἶναι καὶ ἀδιαίρετον ἴσως οὐδὲν θαυμα-*

---

6 *μόνη*] *μόνον* A 7 *ἀλλὰ* rc M, om V 8 *ὅταν ἂν* A 13 *αἰσθήσεων*] *αἰσθητηρίων* M V 16 *ἐπὶ*] *τῶν* A 20 *αἰσθητηρίων*] *αἰσθήσεων* M V *ἀγγελίαι* M

στόν, ὥσπερ δυνάμει ταὐτὸν ψυχρὸν καὶ θερμὸν καὶ λευκὸν καὶ μέλαν, ἀλλ' ἐνεργεῖν γε ἅμα κατ' ἄμφω τὰ ἐναντία ἀδύνατον, ἀλλ' ἀνάγκη τὰς διαφερούσας ἐνεργείας ἢ τῷ χρόνῳ διῃρημένας ἢ τοῖς ἐνεργοῦσιν ὑπάρχειν. οὕτως οὖν οὐδὲ τὰ εἴδη παραδέχεσθαι ἅμα τὰ ἐναντία δυνατόν, εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις, ὡς δέχεσθαι τὰ εἴδη τῶν αἰσθητῶν ἢ τῶν νοητῶν. ἀλλ' ἐκεῖνο ἄν τις μᾶλλον εὐλογώτερον ὑπολαμβάνοι ἐοικέναι τὴν δύναμιν τὴν αἰσθητικὴν τῇ στιγμῇ, μᾶλλον δὲ τῷ κέντρῳ τοῦ κύκλου, εἰς ὃ πᾶσαι αἱ ἐκ τῆς περιφερείας γραμμαὶ τελευτῶσιν. αὕτη γὰρ ἡ στιγμὴ ἅμα καὶ μία καὶ πλείους, μία μέν· ἓν γὰρ τὸ κέντρον τοῦ κύκλου, πλείους δὲ ὅτι πλειόνων εὐθειῶν καὶ διαφερουσῶν ἐστὶ πέρας, ὥστε καὶ ἀδιαίρετος ἡ στιγμὴ καὶ διαιρετὴ καὶ ταῦτα ἅμα. τοῦτον τοίνυν τὸν λόγον ἐχέτω καὶ ἡ δύναμις ἣν πρώτως αἰσθητικὴν δεῖ καλεῖν καὶ πρώτως αἴσθησιν· μία γὰρ οὖσα πλειόνων ἐστὶ πέρας ὀργάνων. ᾗ μὲν οὖν μία καὶ ἀδιαίρετος, ἓν τὸ κρῖνόν ἐστι καὶ ἅμα, ᾗ δὲ πολλῶν διῃρημένων πέρας ἐστί, πολλαὶ γίνονται ἡ μία, ὥστε καὶ πολλὰ κρίνειν οὐ κεκώλυται κεχωρισμένα καὶ μία εἶναι· ἔστι γὰρ ἅμα καὶ μία καὶ πολλαί. ἔτι ὃ πολλάκις εἰρήκαμεν, οὐκ αὐτὴ μελαίνεται ἅμα καὶ λευκαίνεται, ἢ ψύχεται καὶ θερμαίνεται· τοῦτο γὰρ τὸ ἄτοπον ἦν, ἀλλ' εἰσαγγέλλει μὲν ἕκαστον αἰσθητήριον τὰς οἰκείας διαφοράς, ἡ δὲ ἀσώματος οὖσα τῷ λόγῳ καὶ ἐπὶ τοῦ πνεύματος βεβηκυῖα τοῦ πρώτως αἰσθητικοῦ, ἐξ οὗ τὰ αἰσθητήρια σύμπαντα, ὥσπερ ἐκ πηγῆς ἐκπνεῖται, καὶ εἰς ὃ πᾶσαι

---

2 γε] τε A 3 δυνατὸν M 7 τῶν post ἢ om A 14 πέρας] πέλας M 23 λευκαίνεται καὶ μελαίνεται ἅμα M 24 καὶ θερμ.] ἢ θερμ. M

*συμφοιτῶσιν αἱ παρὰ τῶν αἰσθητῶν ἀγγελλίαι, οὐκ αὐτὴ πάσχουσα τὰ ἐναντία ἀλλὰ θεωροῦσα τὰ ἐναντία κρίνει καὶ ἀποφαίνεται τὸ λευκὸν τοῦ μέλανος ἕτερον εἶναι καὶ τὸ λευκὸν τοῦ γλυκέος. οὐ τὸ κρίνειν δὲ ἅμα τὰ ἐναντία ἄτοπον ἦν, ὥσπερ οὐδὲ δικάζειν ἅμα τοῖς ἀντιλέγουσι πρὸς ἀλλήλους, ἀλλὰ τὸ πάσχειν ἅμα τὰ ἐναντία. δῆλον τοίνυν ἐξ ἁπάντων ἐστὶν ὅτι μήτε ἡ ὄψις ἡ πρώτη ἐστὶν ἐν τῇ κόρῃ, μήτε ἡ ἀκοὴ ἡ πρώτη ἐν τοῖς ὠσί, μήτε ἡ γεῦσις ἐν τῇ γλώττῃ, ἀλλὰ καὶ ἡ γεῦσις ἡ πρώτη καὶ ἡ ὄψις καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις καὶ ἡ ἁφὴ ἐν τῷ πνεύματι τῷ πρώτῳ ὑπάρχουσι τῷ αἰσθητικῷ, καὶ ὅταν λέγωμεν πέντε εἶναι τὰς πάσας αἰσθήσεις, πέντε εἶναι λέγομεν τὰ αἰσθητήρια καὶ πέντε εἶναι τοῦ πνεύματος τοῦ αἰσθητικοῦ, ὥσπερ ἐκ πηγῆς μιᾶς ὀχετοὺς διὰ τῶν ὀργάνων ἀποχετευομένους τὴν δὲ κυρίως αἴσθησιν καὶ πρώτως οὖσαν ἐν τούτοις χρωμένην καὶ χώραν μὲν εἰσαγγελέων ἔχειν τὰς πέντε, ἄρχοντος δὲ ἢ βασιλέως τὴν μίαν. ὡς γὰρ ἐκεῖ πολλοὶ μὲν οἱ ἀγγέλλοντες, εἷς δὲ ὁ κρίνων, οὕτω καὶ ἐνταῦθα πολλὰ μὲν τὰ μηνύοντα ὄργανα, ἓν δὲ τὸ περὶ πάντων ἀποφαινόμενον. ταύτῃ τοίνυν αἰσθανόμεθα καὶ ὅτι ὁρῶμεν τῇ ὄψει, καὶ ὅτι ἀκούομεν τῇ ἀκοῇ· ᾗ γὰρ τῆς διαφορᾶς τῶν ἐνεργειῶν, ταύτῃ καὶ τῶν ἐνεργειῶν αὐτῶν αἰσθανόμεθα. οὐ τῇ ὄψει οὖν κρίνομεν τὴν ὄψιν, ὡς μικρῷ πρόσθεν ἐδόκει, ἀλλὰ τῇ μιᾷ τῇ πρὸς ἕκαστον τῶν αἰσθητῶν τεταγμένη. περὶ μὲν οὖν αἰσθήσεως ἔστω ταῦτα διωρισμένα.*

---

1 *φοιτῶσιν* A  10 *ὄψις ἡ πρώτη καὶ ἡ γεῦσις* M  11 *καὶ ἡ ἀκοὴ* om M V  *πνεύματι τῷ* om A  14 *εἶναι* ante *λέγομεν* om A  *τοῦ πν. τοῦ αἰσθ.*] *τοῦ αἰσθ. πν.* A V  16 *ἐποχετευομένους* M  18 *εἰσαγγελλέων* A  24 *τῶν* om M

3 Ἐπειδὴ δέ φαμεν οὐκ αἰσθήσει μόνον γνωρίζειν καὶ κρίνειν ἀλλὰ καὶ λόγῳ καὶ διανοίᾳ, τί ἂν διαφέροι τὰ κριτήρια ταῦτα ἀλλήλων, σκεπτέον ἐφεξῆς. ὅτι δὲ οὐ παρέλκουσα ἡ ζήτησίς ἐστιν, δῆλον ἐκ τῶν ἀρχαιοτέρων φυσικῶν· σχεδὸν γὰρ ταὐτὸν ποιοῦσι τὴν αἴσθησιν οὗτοι τῷ λόγῳ, Ἐμπεδοκλῆς μὲν λέγων πρὸς τὸ παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισι· τοῦτο γὰρ αἰσθήσεως ἴδιον ὑπὸ τῶν αἰσθητῶν παρόντων fol. 86. κινεῖσθαι. καὶ Ὅμηρος δὲ συντρέπεσθαι τὸν νοῦν ὑπολαμβάνων καὶ συναλλοιοῦσθαι τῷ περιέχοντι σωματικὴν οἴεται τὴν φύσιν τοῦ λόγου, καὶ σχεδὸν αἴσθησιν ποιεῖ τὸν νοῦν·

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπῆμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

ὅλως δὲ ὅταν ἐκ τῶν τοῦ παντὸς ἀρχῶν συνιστάντες καὶ τὴν ψυχὴν εἶτα ποιῶσιν αὐτὴν τὰ ὄντα γνωρίζειν τῇ θίξει τοῦ ὁμοίου, οὐδὲν ἄλλο ἢ σῶμα μὲν ποιοῦσι τὸν νοῦν, συντρέπεσθαι δὲ τοῦτον τοῖς σώμασιν ἃ γινώσκει. καίτοι γε ἐχρῆν αὐτοὺς οὐ μόνον ὅπως γινώσκει διδάσκειν ἡμᾶς, ὅτι θιγγάνουσα τοῦ ὁμοίου, ἀλλὰ καὶ ὅπως ἐξαπατᾶται· συνηθέστερον γὰρ τὸ πάθος τοῦτο τοῖς ζῴοις καὶ πλείω παραμένει χρόνον· οἱ δὲ ὅπως μὲν γινώσκομεν, ὅτι τῇ θίξει τοῦ ὁμοίου φασίν· ὅπως δὲ ἀγνοοῦμεν, οὐ προσδιδάσκουσιν, οὐκ ἐννοοῦντες ὅτι πολλοστὸν μέρος ἐστὶν ἃ γινώσκομεν ὧν ἀγνοοῦμεν, ἄλλως τε ὅτι καὶ τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη καὶ μία ἄγνοια· ὁ γὰρ τὸ ἀγαθὸν ὡς ὠφέλιμον γινώσκων καὶ τὸ κακὸν ὅτι βλαβερὸν

---

2 διαφέροι] φέρῃ M 4 δῆλον] σκεπτέον A 6 Ἐμπεδ.] v. 317 Karst. 7 μῆτις] μή τις libri 9 Ὅμηρος] Od. Σ, 136. 16 ποιωσιν] ποιοῦσιν libri 18 τὸν νοῦν] αὐτὴν MV 19 χρῆν M 27 ἐστὶν om M

συνεπίσταται, καὶ ὁ περὶ θάτερον ἐξαπατώμενος ἐξαπατᾶται καὶ περὶ θάτερον. χρὴ οὖν ἢ τοῖς ἐναντίοις ἡμᾶς ὁμοιοῦσθαι ἅμα, ὅταν τἀναντία γιγνώσκωμεν, ἢ τοῖς ἐναντίοις ἀνομοιοῦσθαι, ὅταν περὶ τἀναντία ἐξαπατώμεθα, ἄμφω δὲ ὁμοίως ἀδύνατα. ἀλλὰ ταῦτα μὲν ἔξω τοῦ παρόντος λόγου. ὅτι δὲ ἡ αἴσθησις οὐ ταὐτὸν τῇ λογικῇ δυνάμει τῆς ψυχῆς, προχειρότατον εἰπεῖν, ὅτι τῆς μὲν μετέχει πάντα τὰ ζῶα, τῆς δὲ ἄνθρωπος μόνος, καὶ τῆς μὲν λογικῆς δυνάμεως ἄλλαι διαφοραί, τῆς αἰσθήσεως δὲ αἱ πέντε, καὶ τὰ κατορθώματα ἕτερα μὲν τῆς αἰσθήσεως, ἕτερα δὲ τοῦ νοῦ. ταράττεσθαι δὲ οὐ χρή, εἰ ποτὲ μὲν νοῦν, ποτὲ δὲ δύναμιν λογικήν, ποτὲ δὲ νόησιν, ποτὲ δὲ διάνοιαν τὸ αὐτὸ πρᾶγμα τοῦτο καλοῦμεν· προϊόντες γὰρ τὰ ὀνόματα ἀκριβέστερον διακρινοῦμεν. νῦν δὲ ὅσον τὰς πρὸς τὴν αἴσθησιν διαφορὰς εἰπεῖν ὡς ταὐτὸ σημαίνουσι πᾶσι τούτοις κεχρήμεθα τοῖς ὀνόμασι, καὶ νοῦ μὲν ἀρετὰς δόξαν ὀρθήν φαμεν καὶ ἐπιστήμην καὶ φρόνησιν, αἰσθήσεως δὲ οὐδαμῶς, καὶ αὖθις λόγου μὲν κακίας ψευδολογίαν καὶ ἀνεπιστημοσύνην καὶ ἀφροσύνην, αἰσθήσεως δὲ οὐδεὶς ἂν εἴποι ταύτας κακίας, καὶ αἴσθησις ἡ μὲν τῶν ἰδίων ἡ δὲ τῶν κοινῶν, καὶ ἥ γε τῶν ἰδίων ὡς τὰ πολλά ἐστιν ἀληθής, νοῦς δὲ εἰ καὶ ἄλλως τῷ νῷ τὰ μὲν ἴδια τὰ δὲ κοινά, ὅμως περὶ τὰ ἴδια μᾶλλον ἢ περὶ τὰ κοινὰ ἐξαπατᾶται. λαμβάνει γοῦν τὰ κοινὰ πρῶτον ὡς γνωριμώτερα. εἰ δὲ ὅτι πολλὰ καὶ τῶν ἀλόγων ζώων μετέχειν φαμὲν διανοίας, οὐδὲν πρὸς τὸν λόγον· καταχρώμεθα γὰρ ἐπ' αὐτῶν τῷ τῆς διανοίας ὀνόματι.

5 δὲ om M  18 νοοῦ M  20 ψευδολογίαν] ψευδοδοξίαν A  21 οὐδεὶς] οὐδ' M V  22 εἴποι] εἴπῃ τις M εἴποι τις V  26 γοῦν] ουν A  πρῶτα M

τὰ δὲ διανοίας μὲν οὐδαμῶς κοινωνεῖ, φαντασίας δὲ ἴσως ἔνια ἥπερ ἀμείνων μὲν δύναμις τῆς αἰσθήσεως, πολὺ δὲ ὑποβεβηκυῖα τῆς διανοίας, καὶ ὥσπερ ἀμφοῖν ἐν μεθορίῳ κειμένη καὶ ἐπακολουθοῦσα μὲν τῇ αἰσθήσει, προλαμβάνουσα δὲ τὴν ὑπόληψιν. ὑπόληψιν γὰρ ὀνομάζω πᾶσαν τὴν κριτικὴν ἕξιν τῆς λογικῆς δυνάμεως συλλαβών, ἧς καθάπερ γένους ὑπάρχοντος εἴδη ἂν νομίζοιτο δόξα καὶ ἐπιστήμη καὶ φρόνησις. δέονται μὲν οὖν ἅπασαι αἱ δυνάμεις αὗται φαντασίας προηγουμένης, οὐ μὴν αἱ αὐταί εἰσι τῇ φαντασίᾳ. ὅλως γὰρ τὸ ὑπολαβεῖν εἴτε δοξαστικῶς, εἴτε ἐπιστημονικῶς, εἴτε δὴ κατὰ φρόνησιν ἑτέρας ἐστὶ δυνάμεως καὶ οὐ φαντασίας. τοῦτο μὲν γὰρ τὸ πάθος, λέγω δὲ τὴν φαντασίαν, ἐφ' ἡμῖν ἐστιν ὅταν βουλώμεθα ὑποβαλέσθαι· πρὸ ὀμμάτων γάρ ἐστι ποιήσασθαι προελομένους νῦν μὲν ἵππον, νῦν δὲ κύνα, νῦν δὲ ὅ τι δήποτε, ὑπολαβεῖν δὲ καὶ κρῖναι περί τινος οὐχ ὅ τι ἂν ἡμεῖς προελώμεθα δυνατόν, ἀλλ' ὅ τι ἂν τὸ δοκοῦν ἐναργὲς ἐπαναγκάσῃ. οὐ γὰρ οἷόν τε πρὸς τὸ φανὲν ψεῦδος μὴ ἀνανεῦσαι, ἀλλ' ὅτι μὲν τὰ δὶς δύο τέσσαρα ἀναγκαῖον συγκαταθέσθαι, ἄν τε βουλώμεθα ἄν τε καὶ μή· ὅτι δὲ τὰ δὶς δύο πέντε, οὐκ ἄν τις γινώσκων ἀριθμὸν συγχωρήσειεν, ἢ ὅτι ἄνθρωπος οὐκ ἔστι δίπουν, ἢ ὅτι τὸ πῦρ οὐκ ἔστι θερμόν. κἂν γὰρ εἴπῃς τὸν ἄνθρωπον εἶναι τετράπουν, κἂν λέγῃς ψυχρὸν εἶναι τὸ πῦρ, λέγεις μέν, οὐχ ὑπολαμβάνεις δὲ οὕτως. τῇ γλώττῃ μὲν οὖν ἀληθεύειν ἢ ψεύδεσθαι ἐφ' ἡμῖν, τοῦ δὲ δοξάζειν ἢ ὑπολαμβάνειν, καὶ συγκατατίθεσθαι ἔνδον ἢ ἀνανεύειν οὐχ ἡμεῖς κύριοι, ἀλλ' ἔστιν ἀκούσια τὰ πάθη

---

22 καὶ om A    25 εἴπῃς] λέγῃς M V    29 καὶ] ἢ A

*ταῦτα τῆς ψυχῆς· ἕλκει γὰρ αὐτὴν τὰ μὲν ἐναργῶς εἶναι δοκοῦντα εἰς συγκατάθεσιν, τὰ δὲ ἐναργῶς μὴ εἶναι δοκοῦντα εἰς ἄρνησιν, τὰ δὲ ἄδηλα ὅπως ἔχει εἰς ἐποχήν, τὸ μέντοι φαντάζεσθαι ἐφ' ἡμῖν κεῖται, καὶ οὐ τὰ δυνατὰ μόνον, ἀλλὰ καὶ τὰ ἀδύνατα παντελῶς, οἷον πολυκεφάλους ἀνθρώπους ὡς τὸν Γηρυόνην, καὶ πτερωτοὺς ὡς τοὺς Βορεάδας, καὶ Ἱπποκενταύρους καὶ Σκύλλας. ὡς γὰρ τοῖς ζωγράφοις ἐπ' ἐξουσίας γράφειν ἃ βούλονται, οὕτω καὶ τῇ ψυχῇ. πρὸς δὲ τούτοις ὅταν μὲν ὑπολάβωμεν δεινόν τι εἶναι καὶ φοβερόν, εὐθὺς συμπάσχομεν καὶ τῷ σώματι τρέμοντες ἢ ὠχριῶντες, ὁμοίως δὲ κἂν θαρραλέον τι φαντασθῶμεν, ἐναντίως διατιθέμεθα· φαντασίας δὲ προβάλλοντες ἑαυτοῖς πολλάκις μὲν σεισμῶν, πολλάκις δὲ ἐπιόντων θηρίων οὐ συμπάσχομεν οὐδ' ὁτιοῦν, ἀλλ' ὥσπερ ἐν τοῖς πίναξι τὰ γεγραμμένα θεώμενοι πάσχομεν οὐδέν, οὕτω καὶ ἐν τῇ ψυχῇ τὰ φαντάσματα. ὅτι μὲν οὖν ὑπολήψεως ἁπάσης καὶ συγκαταθέσεως διενήνοχεν ἡ φαντασία, δῆλον ἐκ τῶν εἰρημένων ἐστίν. ἐπειδὴ δὲ πολλὰ νοοῦμεν ἄνευ τοῦ συγκατατίθεσθαι καὶ ὑπολαμβάνειν τι περὶ αὐτῶν, ἕποιτ' ἂν διδάσκειν, καθ' ὅ τι ἡ φαντασία νοήσεως διενήνοχεν. οὐ γὰρ εἰ πάντως δεῖται φαντασίας* fol. 86b. *προϋπούσης ὁ νοῦς, διὰ τοῦτο ταὐτὸν φαντασία καὶ νοῦς. ἵνα δὲ ἀκριβέστερον τοῦτο καταμάθωμεν, ἄνωθεν πρῶτον περὶ φαντασίας διοριστέον.*

*Ἀποσκευαζόμενοι τοίνυν τὰ λοιπὰ σημαινόμενα τοῦ ὀνόματος, ἐφ' ὧν αὐτὸ μεταφέροντες λέγομεν· πολλάκις μὲν γὰρ τὴν αἴσθησιν φαντασίαν καλοῦ-*

3 *ἔχει*] *ἔχῃ* libri 18 *οὖν* om M 22 *ἕποιτ'*] *ἔπειτ'* M 24 *ὁ νοῦς προϋπούσης* M 25 *ἄνωθεν*] *ἄνω ὁ* M 29 *μὲν* om A *καλοῦμεν*] *λέγομεν* M

μεν, πολλάκις δὲ καὶ τὴν νόησιν, περὶ ἐκείνης λέγομεν τῆς φαντασίας, καθ' ἣν φαμεν φάντασμά τι ἡμῖν ἐγγίγνεσθαι, οἷον τύπον τινὰ καὶ μορφὴν τοῦ αἰσθήματος ἐν τῇ ψυχῇ· αὕτη τοίνυν ἣν κυρίως φαντασίαν καλοῦμεν, μία τις ἂν εἴη τῶν δυνάμεων καὶ τῶν ἕξεων τῶν κριτικῶν αἷς ἀληθεύομεν ἢ ψευδόμεθα. τοιαῦται δέ εἰσιν αἴσθησις δόξα ἐπιστήμη νοῦς. νοῦν δὲ λέγομεν ὃν δή τις ἀκριβῶς ὀνομάσειε τὸν μὴ διαμαρτάνοντα τῆς ἀληθείας· νοῦς γὰρ ὁ τοιοῦτος κυρίως, ὥσπερ καὶ ἐπιστήμη κυρίως ἡ μὴ ψευδομένη. ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις ἡ φαντασία, ἐκ τῶνδε δῆλον· ἐν γὰρ τοῖς ὕπνοις φανταζόμεθα μέν, οὐκ αἰσθανόμεθα δέ· διχῶς γὰρ λεγομένης τῆς αἰσθήσεως τῆς μὲν δυνάμει, τῆς δὲ ἐνεργείᾳ, οὔτε τὴν δυνάμει αἴσθησιν οἷόν τε λέγειν ἔχειν ἡμᾶς ἐν τοῖς ὀνείρασι· κίνησις γάρ τίς ἐστι τὰ ὀνείρατα τῶν αἰσθητῶν [ἐγκαταλειμμάτων], οὔτε δὴ πολλῷ μᾶλλον τὴν ἐνεργείᾳ· οὐ γὰρ ἂν οἷόν τ' ἦν ὑπνώττειν τὸ ζῷον ἐνεργούσης τῆς αἰσθήσεως. ἔπειτα οἱ πηρωθέντες τὰς ὄψεις φαντάζεσθαι μὲν χρώματα οὐ κωλύονται, αἰσθήσεως δὲ ἀπεστέρηνται καὶ τῆς δυνάμει καὶ τῆς ἐνεργείᾳ. ἔπειτα αἴσθησις μὲν πᾶσιν ὑπάρχει τοῖς ζῴοις, φαντασία δὲ τοῖς μὲν τοῖς δ' οὔ, μύρμηκι μὲν ἴσως καὶ μελίττῃ καὶ πολλῷ μᾶλλον κυνὶ καὶ ἵππῳ καὶ ὅσα μετέχει αἰσθήσεως, σκώληκι δὲ οὔ. εἶτα αἰσθήσεις μὲν τῶν ἰδίων ἀληθεῖς αἱ πλείους, φαντασίαι δὲ αἱ πλείους ψευδεῖς καὶ τῆς αἰσθήσεως ἐκλυομένης. δῆλον δέ· οὐ γὰρ λέγομεν, ὅταν ἐνεργῶμεν ἀκριβῶς περὶ τὰ αἰσθητά, τότε φαντάζεσθαι, ἀλλὰ μᾶλλον ὅταν μὴ

1 λέγομεν] λέγωμεν V 15 λέγειν οἷόν τε αἴσθησιν M 16 ἐγκαταλειμμάτων om M V 17 ἐνέργειαν M 21 τῆς — τῆς] τῇ — τῇ M

*ἐναργῶς αἰσθανώμεθα· οὐδεὶς γὰρ πλησίον ὁρῶν Σωκράτην λέγει, τοῦτον φαντάζομαι εἶναι Σωκράτην, ἀλλ' ὅταν πόρρωθεν, καὶ ὅταν ἡ αἴσθησις ἐξατονῇ. ἔπειτα καὶ μύσαντες τοὺς ὀφθαλμοὺς ὁρᾶν μὲν οὐχ οἷοί τ' ἐσμὲν τὰ χρώματα, φαντάζεσθαι δὲ οὐ κωλυόμεθα. αἰσθήσεως μὲν οὖν καὶ τούτοις καὶ ἄλλοις πολλοῖς φαντασία διενήνοχε, νοῦ δὲ καὶ ἐπιστήμης, ὅτι ταύταις μὲν ἀεὶ ταῖς ἕξεσιν ἀληθεύομεν, ἐν ταῖς φαντασίαις δὲ ὀλιγάκις. λείπεται ἄρα ζητεῖν, εἰ δόξα ταὐτὸν καὶ φαντασία. ἀλλ' ἔφθημεν καὶ τῆς δόξης αὐτὴν διακρίναντες· ὅτε γὰρ ἁπάσης ὑπολήψεως ἐχωρίζομεν φαντασίαν, τότε δήπου καὶ τῆς δόξης ἑτέραν αὐτὴν ἀπεδείκνυμεν· ἦν γὰρ εἶδός τι τῆς ὑπολήψεως ἡ δόξα. τὸ μὲν οὖν ἀληθεύειν καὶ ψεύδεσθαι τὴν φαντασίαν ὥσπερ τὴν δόξαν κοινὸν ἀμφοῖν, ἀλλὰ δόξῃ μὲν ἕπεται πίστις· οὐκ ἐνδέχεται γὰρ τὸν δοξάζοντα τοῖς δοκοῦσιν αὐτῷ μὴ πιστεύειν, πίστει δ' ἕπεται τὸ πεπεῖσθαι, πειθοῖ δὲ λόγος· λογικὴ γάρ τίς ἐστι συγκατάθεσις ἡ δόξα. τῶν δὲ ἀλόγων ζώων ἐνίοις φαντασία μὲν ὑπάρχει, λόγου δέ ἐστι παντάπασιν ἀκοινώνητα, καὶ δοξάζειν μὲν ὅπερ καὶ πρότερον εἴπομεν, οὐκ ἐφ' ἡμῖν τὰ ἀδύνατα, οἷον πτερωτοὺς ἀνθρώπους, φαντάζεσθαι δ' ἐφ' ἡμῖν.*

*Φανερὸν δὲ ὅτι οὔτε δόξα μετ' αἰσθήσεως, οὔτε συμπλοκὴ δόξης καὶ αἰσθήσεως ἡ φαντασία· λέγει γὰρ Πλάτων, ὅταν αἰσθανώμεθά τι καὶ προσδοξάζωμεν, ὅτι τοῦθ' οὕτως ἔχει, τοῦτ' εἶναι τὴν φαντασίαν. ἐδείχθη δὲ οὐ πάντως ἡ φαντασία συνεφελκομένη τὴν δόξαν, ὥσπερ ἐν ταῖς ἀναζωγραφήσεσι τῶν ἀδυ-*

---

8 *ἐν* delet Victorius 16 *γὰρ*] *δὲ* A *δόξαντα* M 26 *Πλάτων*] Theaetet. p. 152 C.

νάτων καὶ ἀμηχάνων. καὶ χωρίς γε τῶν εἰρημένων δῆλόν ἐστιν ὅτι, εἴπερ συμπλοκὴ δόξης ἐστὶ καὶ αἰσθήσεως φαντασία, οὐκ ἄλλου μὲν τὴν αἴσθησιν εἶναι προσήκει, ἄλλου δὲ τὴν δόξαν, οἷον λευκοῦ μὲν τὴν αἴσθησιν, δόξαν δὲ ἀγαθοῦ, οὐδὲ τοῦ αὐτοῦ μὲν ὑποκειμένου κατ' ἄλλο δὲ καὶ ἄλλο, οἷον εἰ τὸ ὑποκείμενον εἴη λευκὸν καὶ ἀγαθόν, τὴν μὲν δόξαν εἶναι περὶ αὐτοῦ καθὸ ἀγαθόν, τὴν δὲ αἴσθησιν καθὸ λευκόν· κατὰ συμβεβηκὸς γὰρ τοῦ αὐτοῦ ἡ δόξα τε καὶ ἡ αἴσθησις. δεῖ οὖν καὶ τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ γενέσθαι τὴν συμπλοκὴν τῆς τε δόξης καὶ τῆς αἰσθήσεως, καὶ ἔτι συνοδεύειν αὐτὰς καὶ μὴ μάχεσθαι. ὅταν τοίνυν περὶ τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ γενομένης τῆς δόξης καὶ τῆς αἰσθήσεως ὑπάρχῃ διαφωνία, καὶ ἡ μὲν δόξα ἀληθεύῃ, ἡ αἴσθησις δὲ διαψεύδηται, πῶς ἐροῦμεν τὴν τούτων συμπλοκὴν φαντασίαν; ὅταν γὰρ ἡ μὲν αἴσθησις λέγῃ ποδιαῖον εἶναι τὸν ἥλιον, ἡ δὲ δόξα πολλῷ μείζω τῆς οἰκουμένης, πῶς ταύτας οἷόν τε συμπλακῆναι, ἢ πῶς οἷόν τε μίαν ἐξ αὐτῶν γενέσθαι κρᾶσιν τῆς μὲν ἀληθευούσης τῆς δὲ ψευδομένης; ἀνάγκη γὰρ ἔσται τηνικαῦτα ἢ τὴν ἀληθινὴν περὶ τοῦ ἡλίου δόξαν ἀποβαλεῖν, ἵνα μεταλάβωμεν τὴν ψευδῆ καὶ σύμφωνον τῇ αἰσθήσει, ἢ τὴν αὐτὴν φυλάττοντας ἔτι δόξαν ἀμελεῖν τῆς αἰσθήσεως καθ' ἣν μάλιστα ἐκτυποῦται ἡ φαντασία. ἑκάτερον δὲ τούτων ἀδύνατον· οὔτε γὰρ ἀποβαλεῖν οἷόν τε τὴν ἀληθῆ δόξαν μὴ καὶ τοῦ πράγματος μεταπεσόντος, ἀλλ' ὁμοίως ἔχοντος καὶ σωζομένου καὶ αὐτὸν σωζόμενον τὸν δοξάζοντα, οὔτε τὴν ἀληθῆ κατέχοντα δόξαν, ὅτι πολλῷ μείζων ὁ ἥλιος τῆς οἰκου-

15 διαψεύδεται A  20 κρᾶσιν] κρίσιν A  21 ἔσται] ἐστι M

*μένης, πιστεύειν τῇ φαντασίᾳ ὅτι ποδιαῖος. οὐκ ἄρα κίρναται τηνικαῦτα πρὸς τὴν αἴσθησιν ἡ δόξα, ἀλλ' ἐκκρούει μᾶλλον τὴν αἴσθησιν καὶ συνεκκρούει καὶ τὴν φαντασίαν· τύπος γὰρ τῆς αἰσθήσεως καὶ ἴχνος ἐστὶν ἡ φαντασία καὶ οὐ κρᾶσις δόξης καὶ αἰσθήσεως· οὐδὲ γὰρ ἐπὶ τῆς κώπης ἐν τῷ ὕδατι κρᾶσις δύναιτ' ἂν γενέσθαι δόξης καὶ αἰσθήσεως ἡ φαντασία, ἀλλ' ἡ φαντασία μὲν ἀκολουθεῖ τῇ αἰσθήσει, ἡ* fol. 87. *δόξα δὲ διαμάχεται. εἰ οὖν μήτε αἴσθησις ἡ φαντασία, μήτε ὑπόληψις· οὔτε γὰρ δόξα οὔτε φρόνησις οὔτε ἐπιστήμη οὔτε νοῦς, κυρίως ἄρα οὐδεμία λείποιτ' ἂν δύναμις τῆς ψυχῆς πρὸς ἣν ἀμφισβητήσιμός ἐστιν ἡ φαντασία. εἰ μὲν οὖν ἅπας νοῦς ἐστὶν ἀναμάρτητος, οὐδεμία λείπεται δύναμις· εἰ δέ τις νοῦς ἐστὶ καὶ ἁμαρτάνειν, καὶ μὴ μόνον ἀληθεύειν ἀλλὰ καὶ ψεύδεσθαι, τούτου διακρῖναι τὴν φαντασίαν οὐ ῥᾴδιον· πολλὴν γὰρ ἔχει τὴν ὁμοιότητα. πρῶτον μὲν αὐτὸ τοῦτο ὅπερ ἔφην, τὸ δύνασθαι καὶ ἁμαρτάνειν, εἶτα ὅτι καθάπερ φαντάζεσθαι ἐφ' ἡμῖν, οὕτω καὶ νοεῖν ἃ βουλόμεθα. τίς οὖν ἡ τῆς φαντασίας πρὸς τὸν τοιοῦτον νοῦν διαφορά, ζητῶμεν ἐφεξῆς. πρῶτον δὲ τὴν ἑκατέρου φύσιν χωρὶς ἂν εἴη διοριστέον· οὕτω γὰρ καὶ πῇ διενηνόχατον ἀλλήλοιν καταφανὲς ἡμῖν γενήσεται, καὶ πρῶτόν γε τίς ἐστιν ἡ φαντασία· τέως γὰρ οὐ τί ἐστιν, ἀλλ' ὅσα οὐκ ἔστι, προείρηται.*

*Ἐπεὶ τοίνυν πολλὰ κινηθέντα ὑπ' ἄλλου κινεῖν ἕτερον πέφυκεν, ὥσπερ ὁ μοχλὸς κινηθεὶς ὑπὸ τῆς χειρὸς κινεῖ τὸν λίθον, καὶ ἡ θάλαττα ὑπὸ τοῦ πνεύματος κινηθεῖσα κινεῖ τὴν ναῦν, οὐδὲν θαυμαστὸν*

---

2 *τηνικαῦτα* post *δόξα* M  11 *κυρίως*] *οὔτε κυρίως* M
15 *ἐστὶ καὶ*] *ἐστιν οἷόν τε καὶ* A. fort. *ἐστὶν οἷος καὶ*

οὐδὲ ἐπὶ τῆς αἰσθήσεως τοῦτο συμβαίνειν. αὕτη γὰρ κινηθεῖσα ὑπὸ τῶν ἔξωθεν αἰσθητῶν καὶ τὸ εἶδος ἀναλαβοῦσα τοῦ κινήσαντος κινεῖ δύναμιν ἑτέραν τῆς ψυχῆς ἐπὶ τῶν τελειοτέρων ζώων ταύτην ἣν φαντασίαν καλοῦμεν, ἧς φύσις ἐστὶ τοὺς τύπους οὓς ἡ αἴσθησις αὐτῇ παραδίδωσιν ἀπὸ τῶν αἰσθητῶν ἀναμαξαμένη, κατέχειν ἐν ἑαυτῇ καὶ ἐνσφραγίζεσθαι καὶ δύνασθαι καὶ ἀπελθόντων τῶν αἰσθητῶν διατηρεῖν ἐπί τινα χρόνον τὰ ἴχνη. ἀπελθόντων μὲν οὖν τῶν αἰσθητῶν ἐκφανῶς ἡ δύναμις ἡ φανταστικὴ τῆς αἰσθητικῆς διενήνοχεν· ἡ μὲν γὰρ παύεται ἐνεργοῦσα, ἡ δὲ οὓς παρείληφε τύπους, ἔτι κατέχει, παρόντος δὲ τοῦ αἰσθητοῦ καὶ ἅμα ἄμφω ἐκκαλουμένου, λέγω δ' ἄμφω τήν τε αἴσθησιν ἅμα καὶ τὴν φαντασίαν, τηνικαῦτα χαλεπὸν ἐφευρεῖν τῶν δυνάμεων τούτων τὴν διαφοράν. δοκοῦσι γὰρ αἱ δύο τηνικαῦτα καὶ περὶ ταὐτὸν ὑποκείμενον ἐνεργεῖν καὶ ἐν ταὐτῷ χρόνῳ, ἢ μήποτε καὶ τηνικαῦτα περὶ ταὐτὸν μὲν καὶ ἐν ταὐτῷ χρόνῳ, οὐχ ὡσαύτως δὲ ἐνεργοῦσιν. ἀλλ' ἡ μὲν αἴσθησις πρὸς τὸ ἔξωθεν αἰσθητὸν ἀπερείδεται καὶ ὑπ' ἐκείνου κινεῖται, ἡ φαντασία δὲ περὶ τὸ εἶδος ὃ ἡ αἴσθησις ἀνεμάξατο, καὶ γίνεται ὅπερ τὸ αἰσθητὸν τῇ αἰσθήσει, τοῦτο ἡ κατ' ἐνέργειαν αἴσθησις τῇ φαντασίᾳ. τῷ δὲ ἀμφοτέρας τὰς κινήσεις ἅμα συμβαίνειν μάλιστα ἐντεῦθεν αὐτῶν δυσθήρατος ἡ διαφορά, ἐπεὶ ὅτι γε ἕτεραι, δῆλον ἐκ τοῦ τὴν μὲν αἴσθησιν τῆς ἐνεργείας παύεσθαι προτέραν ἐπὶ πολλῶν, τὴν φαντασίαν δὲ παραμένειν· τηνικαῦτα γὰρ τὸ ἴχνος ὃ κατέχουσα ἡ αἴσθησις εἰς

---

4 τελειοτέρων] τελείων A ταύτην om A 8 καὶ ante ἀπελθόντων om A 10 ἐμφανῶς A 14 ἅμα om M 15 ἐφευρεῖν] ἐξευρεῖν A

τὸ ἔξωθεν αἰσθητὸν ἀπετείνετο, γίνεται ὑποκείμενον τῇ φαντασίᾳ, ὥσπερ εἰ δι' ὅλου μὲν ὁ κηρὸς ἀνεμάττετο τὴν σφραγῖδα, ἀναμαξάμενος δὲ καὶ περιπτυγεὶς αὐτῇ πάλιν τὸν αὐτὸν τύπον ἐνεσημαίνετο τῷ ἀέρι, ὥστε καὶ ἀπελθόντος τοῦ κηροῦ καὶ τοῦ δακτυλίου μεμορφῶσθαι τὸν ἀέρα τὸν περικείμενον. ἀλλ' αὗται μὲν ἀψύχων σωμάτων αἱ πείσεις, ἐπὶ δὲ τῶν ἐμψύχων ἕτερος τρόπος· τὸ γὰρ πάσχειν ἐπὶ τούτων ἐνεργεῖν ἐστὶ μᾶλλον καὶ τελειοῦσθαι, τελειοῦται δὲ ἡ φαντασία ὑπὸ τῆς αἰσθήσεως εἰς ἐνέργειαν προϊοῦσα, ὥσπερ ἡ αἴσθησις ὑπὸ τῶν αἰσθητῶν, μάλιστα δὲ ἐπὶ τῶν ζώων ἐστὶ λαβεῖν τὴν διαφοράν, ἐν οἷς φαμὲν αἴσθησιν μὲν εἶναι, φαντασίαν δὲ μή, οἷον μυιῶν τε καὶ σκωλήκων καὶ πολλῶν τοιουτοτρόπων ἑτέρων. κινεῖται μὲν γὰρ ὑπὸ τῶν αἰσθητῶν, οὐ μὴν ὥστε κατέχειν δύνασθαι τὰ αἰσθητά. φέρεται οὖν ὅπῃ καὶ τύχῃ ἀποροῦντα δυνάμεως καθεκτικῆς τῶν αἰσθητῶν. πλήξει τοίνυν ἔοικεν ἡ αἴσθησις ἐπ' αὐτῶν μηδὲ ἀκαρῆ παραμένουσα, ἐφ' ὧν δὲ τὸ ἐκμαγεῖον τῶν αἰσθητῶν στερεώτερον, ἐπὶ τούτων ἡ φύσις προσέθηκε τῇ αἰσθήσει δύναμιν ἑτέραν ὥσπερ ταμιεῖον ἐσόμενον τῶν αἰσθημάτων. διὰ τοῦτο οὖν οὔτε ἄνευ αἰσθήσεως ἡ φαντασία οὔτε ἄλλων πραγμάτων, ἀλλ' ὧνπερ ἡ αἴσθησις· καὶ γὰρ εἰ νοητῶν ποτε γίνεται φαντασία, ἀλλὰ καὶ ὣς ἐξάπτεται τῆς αἰσθήσεως. ὥσπερ οὖν ὁ αὐτὸς κηρὸς καὶ δέχεσθαι τὴν σφραγῖδα πέφυκε καὶ τηρεῖν, καὶ καθὸ μὲν δέχεται, ἑτέραν ἂν τις φαίη περὶ αὐτὸν δύναμιν θεωρεῖσθαι καθ' ἣν εἰκτικὸς καὶ εὐτύπωτος ὑπὸ τοῦ γλύμματος, καθὸ δὲ

---

3 περιπτυχθεὶς M    4 ἐνεσημήνατο A    5 κηρίου M V
14 τριοτρόπων M V    16 καὶ] fort. κἂν    17 ἀποροῦν M
19 ἀκαρεῖ M

τηρεῖ, ἑτέραν αὖθις κεκτῆσθαι καθ' ἣν στερεωτέρας φύσεως καὶ μονιμωτέρας τετύχηκε· τοῦτο αὐτό ἐστι καὶ περὶ ψυχῆς ἀποφήνασθαι, ὅτι καθὸ μὲν κινεῖται ὑπὸ τῶν αἰσθητῶν, αἰσθητικὴν ἔχει τὴν δύναμιν, καθὸ δὲ τηρεῖν οἷά τε τὰ αἰσθήματα, φανταστικήν. δῆλον τοίνυν ὅτι, ἡνίκα καὶ ἡ αἴσθησις περὶ τὸ αἰσθητὸν ἐνεργεῖ, τηνικαῦτα καὶ ἡ φαντασία· οὐ γὰρ δὴ ἀσύνετος οὐδὲ ἀναντίληπτος γινομένη τηρεῖν οἵα τε ἦν τὸ ἴχνος καὶ ἀπελθόντος τοῦ αἰσθητοῦ καὶ προβάλλεσθαι ὡς ἐγνωκυῖα. ὅσα τοίνυν τῶν ζώων ταύτης μετείληφε τῆς δυνάμεως, πολλὰ κατ' αὐτὴν καὶ ποιεῖ καὶ πάσχει ποτὲ μὲν ὀρθῶς ἐνεργούσης ποτὲ δὲ ἡμαρτημένως, τὸ δὲ ὀρθῶς καὶ μὴ ὀρθῶς παρὰ τῆς αἰσθήσεως αὐτῇ προσγίνεται· συναπολαύειν γὰρ ἀνάγκη τοῖς ἐκείνης κατορθώμασι καὶ ἁμαρτήμασι τὴν φαντασίαν, καὶ συναληθεύειν μὲν ἀληθευούσῃ, συμψεύδεσθαι δὲ ψευδομένῃ. ὥσπερ τοίνυν ἡ αἴσθησις τῶν μὲν ἰδίων ἀληθής ἐστιν ἢ ὅτι ὀλίγιστον ἔχουσα τὸ ψεῦδος, δεύτερον δὲ τῶν ὑποκειμένων τοῖς ἰδίοις καὶ οἷς ἐκεῖνα συμβέβηκε, καὶ ἐνταῦθα ἤδη ἐνδέχεται διαψεύδεσθαι, (ὅτι μὲν γὰρ λευκὸν τὸ προσιόν, ὀρθῶς καὶ κρίνει καὶ ἀποφαίνεται, ὅτι δὲ Σωκράτης ὁ προσιών, διαμαρτάνει) τρίτον δὲ τῶν κοινῶν καὶ τοῖς ἰδίοις συναπτομένων, λέγω δὲ οἷον κινήσεως καὶ μεγέθους καὶ ἀριθμοῦ fol. 87b. καὶ σχήματος περὶ ἃ μάλιστά ἐστιν ἀπατηθῆναι κατὰ τὴν αἴσθησιν, ὅταν τὸ πλειόνων ἔργον μιᾷ τινι αὐτῶν ἐπιτρέπωμεν, οὕτω δὴ καὶ ἡ φαντασία περὶ μὲν τὰ ἴδια αἰσθητὰ τῆς αἰσθήσεως ἐνεργούσης ἀληθὴς

4 τὴν om A 5 φανταστικήν] φανταστικὴ libri 8 γὰρ δὴ] δὲ γὰρ A 12 ποιεῖν καὶ πάσχειν A 15 ἐκείνοις A M 22 τὸ προσιὸν λευκὸν M

*καὶ αὕτη, περὶ δέ γε τὰ ὑποκείμενα καὶ τὰ κοινὰ παρούσης τῆς αἰσθήσεως καὶ ἀπούσης διαψεύδεται, παρούσης μὲν ἐξ ἀνάγκης· συνεξαμαρτάνειν γὰρ αὐτὴν ἀναγκαῖόν ἐστι τῇ αἰσθήσει, ἀπούσης δὲ ὅταν ἐγκαταλείμματα μὴ οἷάπερ εἴληφε διαφυλάττῃ, καὶ μάλιστα ὅταν πόρρω ὄντος τοῦ αἰσθητοῦ ἡ αἴσθησις ἀντιλάβηται. εἰ τοίνυν ὅτι μέν ἐστιν ἡ φανταστικὴ δύναμις τῆς ψυχῆς, ἅπασι φανερόν, οὐδεμίαν δὲ ἄλλην τῶν διηριθμημένων οὖσαν τοιαύτην ὁ λόγος ἐξεῦρε, λείπεται ταύτην εἶναι ἣν ἡμεῖς φαμὲν κίνησιν τῆς ψυχῆς ὑπὸ τῆς αἰσθήσεως τῆς κατ᾽ ἐνέργειαν γινομένην. ἐπειδὴ δὲ ἡ ὄψις μάλιστα τιμιωτάτη πασῶν τῶν αἰσθήσεων, καὶ τὸ ὄνομα ἐντεῦθεν ἐκληρονόμησεν ἀπὸ τοῦ φάους, ὅτι ἄνευ φωτὸς οὐκ ἔστιν ἰδεῖν, καὶ ὅπερ εἶπον, διὰ τὸ παραμένειν καὶ ὁμοίας εἶναι ταῖς αἰσθήσεσι τὰς φαντασίας πολλὰ κατ᾽ αὐτὰς πράττει τὰ ζῷα, τὰ μὲν διὰ τὸ μὴ ἔχειν ἑτέραν δύναμιν κυριωτέραν οἷον τὰ θηρία, τὰ δὲ διὰ τὸ πολλάκις ἐπικαλύπτεσθαι τὴν κυριωτέραν τῆς φαντασίας ἢ νόσοις ἢ ὕπνῳ οἷον [οἱ] ἄνθρωποι. [περὶ μὲν οὖν φαντασίας τί ἐστι καὶ διὰ τί ἐστιν, εἰρήσθω ἐπὶ τοσοῦτον.]*

4 *Περὶ δὲ τοῦ μορίου τοῦ τῆς ψυχῆς, ᾧ χρώμεθα εἰς θεωρίαν καὶ πρᾶξιν, εἴτε χωριστοῦ ὄντος κατὰ τόπον, ὡς ᾤετο Πλάτων τὸν λόγον μὲν ἐν τῇ κεφαλῇ*

---

2 *διαψεύδονται* M V  3 *συναμαρτάνειν* A  7 *φανταστικὴ*] immo *φαντασία*, aut *ἔστι φανταστικὴ* scribendum. 10 *ἐξεῦρε*] *ἐξευρεῖν δύναται* A  12 *γινομένην*] *γινομένης* M conf. Trend. p. 462.  20 *ἢ νόσοις*] *ἢν ὅσοις* M  *οἱ* om M V 20—22 *περὶ — τοσοῦτον* om M V. (ex Aristotele A, ubi *τοσούτων*)  24 *εἰς*] *πρὸς* A  25 *Πλάτων*] Timaeus Locr. p. 100. (366 Bekk.)

καθιδρύων, τὸν θυμὸν δὲ ἐν τῇ καρδίᾳ, τὴν ἐπιθυμίαν δὲ ἐν τῷ ἥπατι, εἴτε τόπῳ μὲν οὐ διεστῶτος τῶν ἄλλων δυνάμεων τῆς ψυχῆς, λόγῳ δὲ μόνῳ χωριζομένου σκεπτέον, τίνα ἔχει διαφορὰν πρὸς τὰς προειρημένας δυνάμεις καὶ μάλιστα πρὸς τὴν φαντασίαν, καὶ πῶς ποτὲ γίνεται τὸ νοεῖν. εἰ δὴ τὸ νοεῖν ἀνάλογόν ἐστι τῷ αἰσθάνεσθαι· δι᾽ ἀμφοῖν γὰρ κρίνει τε καὶ γνωρίζει, καθάπερ καὶ πρότερον ἔφαμεν, ἡ ψυχή, πάσχοι ἄν τι καὶ ὁ νοῦς ὑπὸ τῶν νοητῶν, ὥσπερ ὑπὸ τῶν αἰσθητῶν ἡ αἴσθησις, τὸ πάσχοι δ᾽ ἂν καὶ ἐνταῦθα ἀκουστέον παραπλησίως· κυριώτερον γὰρ εἰπεῖν, ὅτι μάλιστα τελειοῖτο ἂν εἰς ἐνέργειαν ἐκ δυνάμεως προαγόμενος. ὅτι δὲ ἐκ δυνάμεως, δῆλον· διὰ γὰρ τοῦτο οὔτε ἀεὶ νοοῦμεν, ἀλλ᾽ οὐδὲ τὰ αὐτὰ ἀεί, ἀλλὰ ἄλλοτε ἄλλα· τοῦτο γὰρ σημεῖον τοῦ δυνάμει εἶναι τοῦτον τὸν νοῦν· οὐ γὰρ οἷόν τε μεταβαίνειν ἐξ ἄλλης εἰς ἄλλην ἐνέργειαν μὴ δυνάμεως ὑπομενούσης, ἣ τὰς διαφόρους ἐνεργείας ἀποδίδωσι. δεῖ τοίνυν αὐτὸν ἀπαθῆ εἶναι τοῦ κυρίως λεγομένου πάθους καὶ μὴ ἔχειν οἰκείαν μὲν μορφήν, δεκτικὸν δὲ εἶναι παντὸς εἴδους καὶ δυνάμει τοιοῦτον ἀλλὰ μὴ τοῦτο, καὶ ὁμοίως ἔχειν πρὸς τὰ νοητὰ ὥσπερ ἡ αἴσθησις πρὸς τὰ αἰσθητά, καὶ ὥσπερ ἐκείνη κατ᾽ ἐνέργειαν οὐδ᾽ ὁτιοῦν ἦν ὧν ᾐσθάνετο, οὕτω μηδὲ τὸν τοιοῦτον νοῦν κατ᾽ ἐνέργειαν εἶναί τι τῶν νοουμένων. ἀνάγκη ἄρα, ἐπειδὴ πάντα νοεῖ, πάντα εἶναι δυνάμει, τουτέστι μὴ ἔχειν εἶδος οἰκεῖον μηδὲ μορφήν. οὐ φαύλως ἄρα Ἀναξαγόρας ὠνειροπόλει τὸν νοῦν ἀμιγῆ ποιῶν καὶ φύσεως διαφερούσης ἁπάντων τῶν ὑπ᾽ αὐτοῦ γινωσκομένων·

---

12 μάλιστα] μᾶλλον A    18 διαφόρας M

*οὕτω γὰρ ἂν ῥᾷστα γνωρίζοι μηδενὸς οἰκείου παρεμφαινομένου καὶ συνυπάρχοντος· κωλύσει γὰρ καὶ ἀντιφράξει τὸ ἐνυπάρχον εἶδος τὰ ἄλλα ὥσπερ ἀλλότρια. ἀναγκαῖον ἄρα τοῦ τοιούτου νοῦ μὴ εἶναι φύσιν οἰκείαν μηδεμίαν μηδὲ μορφὴν ἀλλ' ἢ ταύτην, ὅτι δυνατὸς περιλαβεῖν τὰς ἀλλοτρίας φύσεις τε καὶ μορφάς, καὶ μηδὲν ἔχειν εἶδος ἀφωρισμένον, ἐπειδὴ καταλαμβάνειν ἅπαντα πέφυκεν. ὁ ἄρα καλούμενος τῆς ψυχῆς νοῦς, (λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή, οὐχ ὃν πολλάκις καταχρώμενοι φέρομεν καὶ ἐπὶ τῆς φαντασίας) οὐδέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρίν τι νοεῖν. διὸ οὐδὲ μεμῖχθαι αὐτὸν εὔλογον τῷ σώματι· σώματος γὰρ πρὸς σῶμα μίξις ἐστίν. ἀνάγκη δὲ σῶμα ὑπάρχοντα ἐνεργείᾳ εἶναι καὶ μορφὴν οἰκείαν ἔχειν. ἀλλ' οὐδὲ ὀργάνῳ ἂν χρῷτο τῷ σώματι, ὥσπερ ἡ αἴσθησις· καὶ γὰρ οὕτως ἀπολαύσεται τῆς τοῦ ὀργάνου ποιότητος, ἢ ἡ συνυπάρχουσα ἀεὶ ταῖς ἐνεργείαις αὐτοῦ τὰ ἄλλα εἴδη κωλύσει. δῆλον δὲ μάλιστα ἐκ τῆς αἰσθητικῆς τοῦτο δυνάμεως· αὕτη γὰρ σῶμα μὲν οὐκ ἔστιν, ἀλλ' ἐπειδὴ χρῆται ὅλως ὀργάνοις σωματικοῖς, συναπολαύει τούτοις τοῦ πάθους. καὶ τοῦτο φανερὸν ἐπὶ τῶν αἰσθητηρίων· ἡνίκα γὰρ ἂν ὑπὸ τῶν σφόδρα αἰσθητῶν σφοδρότερον κινηθῇ τὰ αἰσθητήρια, οἷον ὑπὸ ψόφου μεγάλου ἡ ἀκοή, καὶ λαμπροῦ χρώματος ἡ ὄψις, ἢ βαρείας ὀσμῆς ἡ ὄσφρησις, οὐ δύναται ἔτι τῶν ἐκλελυμένων αἰσθητῶν καὶ ἀμυδροτέρων ἀντιλαμβάνεσθαι ῥᾳδίως, ἀλλ' ἐμμένει τὸ ἴχνος τῆς βιαιοτέρας πληγῆς ἐκκροῦον τὴν ἀμυδροτέραν καὶ*

---

1 *γνωρίζει* A 13 *πρὸς* om M 15 *ἔχειν οἰκείαν* M 23 *ἂν* om A V 25 *μεγάλου*] *μᾶλλον* A 27 *ἐκλελειμμένων* M

ἀσθενεστέραν. ὁ μέντοι γε νοῦς ὅταν νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον. οὕτως ἄρα ἡ μὲν αἴσθησις οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστὸς ἅπαντος σώματος, καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν τόπον εἶναι εἰδῶν, εἰ καὶ τῷ ὀνόματι καταχρῶνται τοῦ τόπου, πλὴν ὅτι οὔτε ὅλη ἡ ψυχή, ἀλλὰ αἱ δύο μόναι δυνάμεις καθ' ἥν τε νοοῦμεν καθ' ἥν τε αἰσθανόμεθα, οὔθ' οὕτω τόπος ὡς περιέχειν, ἀλλ' ὡς γίνεσθαί πως ἃ νοεῖ καὶ ὧν αἰσθάνεται. οὗτος τοίνυν ὁ δυνάμει νοῦς γίνεται μὲν καὶ ἐν τοῖς νηπίοις. ὅταν δὲ ἀπὸ τῶν αἰσθητῶν καὶ τῶν ἀπὸ τούτων φαντασιῶν καὶ τῆς περὶ ταῦτα γυμνασίας τὸ καθόλου δύνηται θηρεύειν καὶ συνάγειν τὸ ὅμοιον ἐν τοῖς ἀνομοίοις καὶ τὸ ταὐτὸν ἐν τοῖς διαφόροις, τηνικαῦτα τελεώτερος γίνεται νοῦς ἀνάλογον ἔχων τῷ ἐπιστήμονι, ὅστις τὰ θεωρήματα fol. 88. τῆς ἐπιστήμης συνειληχὼς οἷός τε καθ' ἑαυτὸν ἐνεργεῖν ἕκαστον αὐτῶν ἰδίᾳ προχειριζόμενος, καὶ οὔτε διδασκαλίας ἔξωθέν τινος οὔτε γυμνασίας δεόμενος. ἔστι μὲν οὖν καὶ τηνικαῦτα δυνάμει, οὐ μὴν ὁμοίως καὶ πρὶν μαθεῖν ἢ εὑρεῖν· ἐγγίνεται γὰρ οἷον ὄψις αὐτῷ πρότερον οὐκ ἐνοῦσα ὁρατικὴ τῶν ὁμοίων καὶ τῶν ἀνομοίων καὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ἀκολούθου καὶ μαχομένου, καὶ αὐτὸς δὲ ἑαυτὸν τηνικαῦτα δύναται νοεῖν· οὐδὲν γὰρ ἄλλο ὁ νοῦς ἐστιν ἢ τὰ νοήματα. γινόμενος οὖν ὁ αὐτὸς τοῖς νοουμένοις νοεῖ τηνικαῦτα καὶ ἑαυτόν. ὅταν μὲν οὖν τὴν ἕξιν ἔχῃ μόνον, τὰ νοήματά ἐστιν ὥσπερ ἀποκείμενα· ὅταν δὲ ἐνεργῇ, τότε σύνδρομος γίνεται τῷ νοουμένῳ καὶ

---

8 οὔθ'] οὐχ A 28 ὥσπερ] οἷον M V 29 τῶν νοουμένων M

*εἰκότως ἑαυτὸν νοεῖ τηνικαῦτα· αὐτὸς γάρ ἐστιν ἃ νοεῖ. ὥσπερ γὰρ ἡ ἐπιστήμη τὰ ἐπιστητά ἐστι θεωρήματα· οὐδὲν γὰρ ἄλλο ἐστὶ γεωμετρία ἢ τὰ γεωμετρικὰ θεωρήματα, οὕτω καὶ ὁ νοῦς τὰ νοήματα, καὶ μέχρι μὲν ἂν ἡ ἕξις αὐτὴ ἠρεμῇ, ἠρεμεῖ καὶ τὰ θεωρήματα, κινηθεῖσα δὲ ἡ ἕξις καὶ ἐνεργοῦσα ἐνεργεῖ μὲν πάντως περὶ ἓν τῶν θεωρημάτων τῶν ἑαυτῆς, γίνεται δὲ ταὐτὸν ἐκείνῳ ὃ θεωρεῖ. ἡ γὰρ ἐπιστήμη τοῦ δύο ὀρθὰς ἔχειν τὸ τρίγωνον, τὸ θεώρημά ἐστι καὶ ὁ λόγος καθ' ὃν δύο ὀρθὰς ἔχειν ἀποδείκνυται τὸ τρίγωνον. οὕτω τοίνυν καὶ ὁ νοῦς ὅταν μὲν ἠρεμῇ, τὴν ἕξιν λέγεται ἔχειν τῶν νοημάτων, ὅταν δὲ ἐνεργῇ περὶ ἓν τῶν νοημάτων, τότε ὁ αὐτός ἐστι τῷ νοουμένῳ, καὶ νοῶν ἐκεῖνο καὶ αὑτὸν νοεῖ. τίς οὖν ἡ διαφορὰ τοῦ τοιοῦδε νοῦ καὶ τῆς δυνάμεως τῆς αἰσθητικῆς φαντασίας μετὰ τὸ διαστήσασθαι τὴν ἑκάστου τῶν εἰρημένων φύσιν, ῥητέον ἐφεξῆς.*

*Ἐπειδὴ τοίνυν ἄλλο μέν ἐστιν ὕδωρ, ἄλλο δὲ ὕδατι εἶναι· ὕδωρ μὲν γὰρ τὸ ἐξ ὕλης καὶ εἴδους, τὸ δὲ ὕδατι εἶναι τὸ εἶδός ἐστι τοῦ ὕδατος καὶ καθ' ὅ ἐστιν ὕδωρ· ἕκαστον γὰρ οὐ κατὰ τὴν ὕλην, ἀλλὰ κατὰ τὴν μορφὴν χαρακτηρίζεται. οὕτω δὲ καὶ ἐπὶ τῶν τεχνικῶν· ἄλλο γὰρ οἰκία καὶ οἰκίᾳ εἶναι, καὶ ἄλλο ἀνδριὰς καὶ ἀνδριάντι εἶναι, καὶ οἰκία μὲν τὸ σχῆμα σὺν τοῖς λίθοις καὶ τοῖς ξύλοις καὶ τῷ κεράμῳ, οἰκίᾳ δὲ εἶναι ἡ μορφὴ καὶ ἡ σύνθεσις ἡ τοιάδε. ὁμοίως δὲ καὶ ἀνδριὰς μὲν τὸ σχῆμα σὺν τῷ λίθῳ ἢ τῷ χαλκῷ, ἀνδριάντι δὲ εἶναι τὸ εἶδος τοῦ ἀνδριάντος. ἀλλ' οὐκ ἐπὶ πάντων ὁμοίως· ἐπ' ἐνίων γὰρ ταὐτόν ἐστιν οἷον στιγμὴ καὶ*

---

8 *ἐκείνων* M 13 *τῶν νοουμένων* M 19 *εἴδους καὶ ὕλης* M

στιγμῇ εἶναι, ἢ εἴ τι ἄϋλον παντελῶς καὶ ἁπλοῦν, ἐφ' ὧν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τὸ εἶδος καθ' ὅ ἐστι, ταὐτόν ἐστιν ὅλῃ τῇ φύσει τοῦ πράγματος. οὕτω δὴ τούτων ἐχόντων ὅταν μὲν τὴν μορφὴν κρίνωμεν ὡς συνειλημμένην τῇ ὕλῃ, οἷον τὸ ψυχρὸν καὶ ὑγρὸν σὺν τῇ ὕλῃ, τουτέστιν ὅταν κρίνωμεν ὅλον τὸ ὕδωρ· ὁ γὰρ λόγος τούτων καὶ ἡ σύνθεσις ἡ μετὰ τῆς ὕλης τὸ ὕδωρ ἦν· ὅταν οὖν κρίνωμεν τὸ ὕδωρ ὅλον ἢ τὴν σάρκα ὅλην, ἀποχρῶσα ἡμῖν ἐστὶν ἡ αἰσθητικὴ δύναμις, μᾶλλον δὲ καὶ ἡ σύζυγος αὐτῇ φαντασία· ὅταν δὲ ἐξετάζωμεν τί τὸ ὕδατι εἶναι καὶ τί τὸ σαρκὶ εἶναι, ἄλλο τι ἤδη τὸ κρῖνόν ἐστιν ἢ ἄλλως ἔχον. μήποτε γὰρ ὥσπερ μίαν ἀνάγκη δύναμιν εἶναι τὴν κρίνουσαν, ὅτι τὸ γλυκὺ τοῦ ξανθοῦ διενήνοχεν, οὕτως αὖ πάλιν μίαν καὶ ταύτην εἶναι ἀνάγκη τὴν κρίνουσαν, ὅτι ἄλλο μὲν ὕδωρ, ἄλλο δὲ ὕδατι εἶναι, καὶ ταύτην ἀντιλαμβάνεσθαι μὲν ἀμφοτέρων ἄλλως δὲ ἔχουσαν καὶ ἄλλως, ὅταν τε τὴν ὕλην σὺν τῷ εἴδει παρασκοπῇ καὶ ὅταν τὸ εἶδος ἐκλαμβάνῃ χωρίς. πρὸς μὲν γὰρ τὸ ὕδωρ δεῖται τῆς φαντασίας ἐπαγγελλούσης, πρὸς δὲ τὸ ὕδατι εἶναι ἀπόχρη ἑαυτῇ. ὥσπερ οὖν τὴν αὐτὴν γραμμὴν ἐκτεινομένην τε καὶ κλωμένην τὴν αὐτὴν μὲν εἶναι φαίης ἄν, ἄλλως δὲ ἔχειν καὶ ἄλλως, οὕτω δὲ καὶ τὸν νοῦν, ὅταν τε ὡς σύνθετον τὸ σῶμα καταλαμβάνῃ καὶ ὅταν τὸ εἶδος αὐτὸ μόνον καὶ τὴν μορφήν· συνεξομοιοῦται γὰρ τοῖς πράγμασιν ἃ θεωρεῖ, καὶ ποτὲ μὲν ὥσπερ σύνθετος γίνεται, ὁπόταν τὸ σύνθετον νοῇ, ποτὲ δὲ ὡς ἁπλοῦς, ὅταν τὸ εἶδος ἐκλαμβάνῃ μόνον, καὶ ποτὲ μὲν ἐοικὼς

1 στιγμῇ] στιγμὴ A M 8 κρίνομεν A 15 ἀνάγκη εἶναι M

*τῇ εὐθείᾳ γραμμῇ, ποτὲ δὲ τῇ κεκλασμένῃ. Πλάτων μὲν γὰρ κύκλοις ἀφομοιοῖ τὰς ἐνεργείας τοῦ νοῦ τῷ τε εὐτρόχῳ καὶ τῷ ὀρθῷ, Ἀριστοτέλης δὲ γραμμῇ ἐκτεινομένῃ τε καὶ κλωμένῃ· γίνεται γὰρ ἀνθ' ἑνὸς ὥσπερ διπλοῦς τηνικαῦτα, ὅταν τὴν ὕλην συμπαρασκοπῇ τῇ μορφῇ. ἔστι δὲ καὶ ἐπὶ τῶν ἐξ ἀφαιρέσεως λεγομένων τὰ μὲν ἐοικότα τῷ ὕδατι, τὰ δὲ ἐοικότα τῷ ὕδατι εἶναι· ἄλλο γὰρ καὶ ἐν τούτοις τὸ εὐθὺ καὶ τὸ εὐθεῖ εἶναι, καὶ τὸ μὲν εὐθὺ μετὰ τοῦ συνεχοῦς, ὥσπερ τὸ σιμόν· ὑπόκειται γὰρ τὸ συνεχὲς τῇ εὐθείᾳ, τὸ δὲ εὐθεῖ εἶναι ὁ λόγος ὁ τοῦ εὐθέος. ἐπὶ τούτων δὴ τῶν ἐξ ἀφαιρέσεως ἄμφω ὁ νοῦς ἔοικε κρίνειν, λέγω δὲ ἄμφω τό τε σύνθετον ἐκ τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς καὶ αὐτὴν τὴν μορφήν, ἀλλ' οὐχ ὁμοίως ἔχων καὶ τηνικαῦτα, ἀλλὰ καὶ ἐπὶ τούτων ποτὲ μὲν ὡς ἁπλοῦς, ποτὲ δὲ ὥσπερ σύνθετος γινόμενος. καὶ γὰρ εἰ ἄλλη μὲν ὕλη τοῖς αἰσθητοῖς ὑπόκειται σώμασιν, ἄλλη δὲ τοῖς ἐξ ἀφαιρέσεως λεγομένοις, ἀλλὰ καὶ ἐπὶ τούτων ὅμως ποτὲ μὲν ἁπλουστέρας εἴποιμεν ἂν τὰς τοῦ νοῦ θεωρίας, ποτὲ δὲ μᾶλλον συνθέτους. τὰ μὲν οὖν σώματα ἐπισκοπῶν δεῖται τῆς δυνάμεως τῆς αἰσθητικῆς· οὐ γὰρ οἷόν τε αὐτῷ καθ' αὑτὸν κρῖναι, τί ὕδωρ ἢ σάρξ, ἀφεμένῳ παντάπασι τῆς αἰσθήσεως, πρὸς δὲ τὸ τρίγωνον καὶ πρὸς τὸ εὐθὺ μᾶλλον ἑαυτῷ αὐτάρκης ὁ νοῦς. ὡς γὰρ τὰ πράγματα χωριστὰ τῆς ὕλης, οὕτω καὶ ἡ τοῦ νοῦ θεωρία. ὡς οὖν ταῦτα τῷ λόγῳ χωρίζεσθαι μόνῳ δύναται, καθ' αὑτὰ δὲ οὐκ ἂν ὑποσταίη, οὕτω καὶ ὁ νοῦς χωρίζειν αὐτὰ τῷ λόγῳ μόνῳ ἐπιχειρεῖ. Ἀναξαγόρας δὲ πῇ μὲν ὀρθῶς ἔλεγε περὶ τοῦ*

---

1 *Πλάτων*] Tim. p. 37 C. (35 Bekk.)

νοῦ, πῇ δὲ οὐκ ὀρθῶς· ἄμικτον μὲν γὰρ αὐτὸν ἁπάσης ὕλης ποιῶν ὀρθῶς ὑπενόει, πῶς δὲ τοιοῦτος ὢν fol. 88b. πάντα νοήσει, εἴπερ τὸ νοεῖν πάσχειν ἐστίν, οὐκ ὀρθῶς διδάσκειν ἡμᾶς παρεώρα· πάσχει γὰρ οὐδὲν ὃ μὴ κεκοινώνηκεν ὕλης, ἀλλὰ ταύτην δεῖ κοινὴν ὑποκεῖσθαι καὶ τῷ πάσχοντι καὶ τῷ ποιοῦντι. διόπερ οὐδὲ πάσχει τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος, οἷον ὑπὸ ψόφου γραμμή, ἀλλ' ὧν ἡ αὐτὴ καὶ κοινὴ ὕλη. ἀλλὰ τοῦτο Ἀναξαγόρας μὲν οὐ διέκρινεν, ἡμῖν δὲ αὖθις ὑπομνηστέον τῶν ἤδη πολλάκις διωρισμένων. εἰ γὰρ τὸ πάσχειν μηδὲ ἐπὶ τῆς αἰσθήσεως λέγεται κυρίως, πόσῳ δὴ μᾶλλον ἐπὶ τοῦ νοῦ; ἡ μέν γε αἴσθησις προσχρῆται γοῦν τοῖς σωματικοῖς καὶ ἔχοι ἄν τι κοινὸν ὑποκείμενον πρὸς τὰ ποιοῦντα, λέγω δὲ τὰ αἰσθητά· σώματι γὰρ χρωμένη κινεῖται ὑπὸ σωμάτων, ὁ δὲ νοῦς ὥσπερ εἴρηται, δυνάμει μὲν ἅπαντά ἐστι τὰ νοητά, ἐντελεχείᾳ δὲ οὐδὲν πρὶν ἂν νοῇ. πορρωτέρω τοίνυν τοῦ πάσχειν ἐστίν, ὅς γε οὐδὲ φύσεως τετύχηκεν ἀφωρισμένης, ἀλλ' ὥσπερ ἐν γραμματείῳ μηδὲν ἔχοντι γεγραμμένον ἐντελεχείᾳ, ὅταν γραφῇ τὰ γράμματα, τελείωσιν ἂν εἴποις τοῦ γραμματείου τὰ γεγραμμένα, οὐ πάθος, ἐπειδὴ πρὸς ἃ γέγονε ταῦτα ἀπείληφεν· οὕτω συμβαίνει καὶ ἐπὶ τοῦ νοῦ. οὐ γὰρ πάσχει τὰ νοητὰ ἐνεργῶν ἀλλὰ τελειοῦται, ὥστε κατὰ τοῦτο ἀμιγὴς καὶ ἁπλοῦς· ὅλως γὰρ ὁ δυνάμει νοῦς ὥς φησιν Ἀριστοτέλης, οὐδέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων, μηδὲν δὲ ὢν ἐνεργείᾳ οὐδ' ἂν πάσχοι, οὐδ' ἂν μιγνύοιτο· τοῦ γὰρ ὄντος τι ἐνεργείᾳ καὶ τὸ πάσχειν καὶ τὸ μίγνυσθαι. γίνεται δὲ ἐκ τοῦ δυνάμει νοῦ

1 πάσης M  4 διδάσκων A  11 μηδὲ] μὴ M  12 γε] γὰρ M  21 γραμματίου AV  28 μιγνύοιτο] μίγνυτο M  29 νοῦ om M

νοῦς ἐνεργείᾳ, ἡνίκα ἂν αὐτῷ γένηται τὰ νοήματα, καὶ τότε ἅμα νοῦς τε καὶ νοητός. οὐ πάσχει τοίνυν ὑπὸ τῶν νοητῶν, ἀλλ' αὐτὸς ἐκεῖνα γίνεται καὶ ἔοικεν ἐν μόνῃ γίνεσθαι τῇ ψυχῇ τῇ ἀνθρωπίνῃ ὁ δυνάμει νοῦς· ταύτης γὰρ μόνης καὶ τὰ πάθη ἐπήκοα λόγου καὶ πρὸς λόγον εὐφυῶς ἔχει, τῶν δ' ἄλλων ζώων οὐκέτι. ἀλλὰ πῶς ἅμα νοῦς τε καὶ νοητός; καὶ ἆρα κατὰ ταὐτὸ ἢ κατ' ἄλλο μὲν γίνεται νοῦς, κατ' ἄλλο δὲ νοητός; ἢ ἐπὶ μὲν τῶν ἄνευ ὕλης ταὐτόν ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον· ἡ γὰρ ἐπιστήμη ἡ θεωρητικὴ ταὐτὸν καὶ τὸ οὕτως ἐπιστητόν, ἐπὶ δὲ τῶν ἐνύλων εἰδῶν ἄλλο μὲν τὸ νοητόν, ἄλλο δὲ ὁ νοῦς. οὐδὲ γὰρ ἦν φύσει ταῦτα νοητά, λέγω δὲ τὰ ἔνυλα εἴδη, ἀλλ' ὁ νοῦς αὐτὰ νοητὰ ποιεῖ τῆς ὕλης ἀποτεμνόμενος καὶ δυνάμει ἐστὶ νοητά, οὐκ ἐνεργείᾳ· ὅτι γὰρ ἐπιτηδείως ἔχει πρὸς τὸ νοεῖσθαι, οὐχ ὅτι ἡ φύσις αὐτῶν καθ' αὑτὴν νοητή, ὥστε εἰκότως νοεῖται μὲν τὰ τοιαῦτα, νοεῖ δὲ οὔ. ὁ δὲ νοῦς οὗτος, ὁ δυνάμει λέγω, ὥσπερ δυνάμει νοῦς, οὕτω καὶ δυνάμει νοητός· διόπερ οὐκ ἀεὶ νοεῖ καὶ νοῶν συνεχῶς κάμνει· ὕπεστι γὰρ αὐτῷ τὸ δυνάμει, ὥστε οὐδὲ ἀεὶ νοητός, ἀλλ' ὅταν συλλέξηται τὰ νοήματα. εἰ δέ τις νοῦς παντάπασιν ἄνευ τοῦ δυνάμει, οὗτος ἀεὶ καὶ νοῦς ἅμα καὶ νοητός, περὶ οὗ καὶ δὴ λέγομεν ἀρχὴν ἄλλην ποιησάμενοι.

---

1 τὰ] καὶ M V 6 λόγου] λόγῳ A 10 τὸ post καὶ om A 13 νοητὰ] τὰ νοητὰ A V

# ΘΕΜΙΣΤΙΟΥ ΠΕΡΙ ΨΥΧΗΣ

## ΛΟΓΟΣ ΕΚΤΟΣ.

*Ἐπειδὴ τῶν ὑπὸ τῆς φύσεως γινομένων ἕκαστον* 5
*προλαμβάνουσαν ἔχει τὴν δύναμιν, ἑπομένην δὲ τὴν τελειότητα, καὶ οὐχ ἵσταται ἄχρι τῆς εὐφυίας καὶ τοῦ δυνάμει· μάτην γὰρ ἂν ἔχοι ταῦτα παρὰ τῆς φύσεως, δῆλον ὅτι καὶ ἡ ἀνθρωπίνη ψυχὴ οὐκ ἄχρι τοῦ τὸν δυνάμει νοῦν ἔχειν προελήλυθεν οὐδὲ ἄχρι τοῦ πεφυκέναι πρὸς τὸ νοεῖν ἐπιτηδείως, ἀλλ' ἀκολουθεῖν ἀναγκαῖον τῇ εὐφυίᾳ τὸ τέλος, οὗ ἕνεκα οὗτος ὑπὸ τῆς φύσεως παρεσκευάσθη. δεῖ τοίνυν τὸν δυνάμει νοῦν τελειοῦσθαι, τελειοῦται δὲ οὐδὲν ὑφ' ἑαυτοῦ, ἀλλ' ὑφ' ἑτέρου. ἀνάγκη ἄρα καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς, καὶ εἶναι τὸν μέν τινα δυνάμει νοῦν, τὸν δέ τινα ἐνεργείᾳ νοῦν τέλειόν τε καὶ μηκέτι δυνάμει καὶ τῷ πεφυκέναι, ἀλλὰ νοῦν ὄντα ἐνεργείᾳ, ὃς ἐκείνῳ συμπλακεὶς τῷ δυνάμει καὶ προαγαγὼν αὐτὸν εἰς ἐνέργειαν τὸν καθ' ἕξιν νοῦν ἀπεργάζεται, ἐν ᾧ τὰ καθόλου νοήματα καὶ αἱ ἐπιστῆμαι. ὡς γὰρ τὴν οἰκίαν τὴν δυνάμει καὶ τὸν ἀνδριάντα τὸν δυνάμει, τουτέστι τοὺς λίθους καὶ τὸν χαλκόν, οὐχ οἷόν τε ἀπολαβεῖν τὴν τῆς οἰκίας ἢ τὴν τοῦ ἀνδριάντος μορφήν, εἰ μὴ τέχνη ταῖς ὕλαις ταῖς ἐπιτηδείως πρὸς τοῦτο ἐχούσαις τὴν οἰκείαν ἐνδοῦσα δύναμιν καὶ τὸ τεχνικὸν εἶδος ἐνθεῖσα τὴν σύνθετον οἰκίαν ἀπεργάσαιτο καὶ τὸν ἀνδριάντα, οὕτω καὶ τὸν δυνάμει νοῦν ἀναγκαῖον ὑπ' ἄλλου τι-*

---

1 *Θεμιστίου περὶ ψυχῆς λόγος* ϛ V; maius spatium, novi libri indicium in A M 6 *παρὰ*] *περὶ* M 15 *νοῦν* post *ἐνεργείᾳ* om A 24 *ἐπιτηδείοις* M

νὸς νοῦ τελειοῦσθαι τελείου ὄντος ἤδη καὶ ἐνεργείᾳ οὐχὶ δυνάμει, ὃς ἀνάλογον ἔχων τῇ τέχνῃ κινεῖ τὸν δυνάμει νοῦν, καὶ τὴν εὐφυίαν τὴν πρὸς τὸ νοεῖν τῆς ψυχῆς τελειοῖ καὶ ἕξιν κατασκευάζει, καὶ ἔστιν οὗτος ὁ νοῦς χωριστός τε καὶ ἀπαθὴς καὶ ἀμιγής. ὃν δὲ λέγομεν δυνάμει νοῦν, εἰ καὶ τὰ μάλιστα αὐτῷ τὰ αὐτὰ ἐπιφημίζομεν, ἀλλὰ μᾶλλόν γε ἔστι τῇ ψυχῇ συμφυής, λέγω δὲ οὐ πάσῃ ψυχῇ ἀλλὰ μόνον τῇ ἀνθρωπίνῃ, καὶ ὥσπερ τὸ φῶς τῇ δυνάμει ὄψει καὶ τοῖς δυνάμει χρώμασιν ἐπιγινόμενον τὴν μὲν ἐνεργείᾳ ὄψιν ἐποίησε, τὰ δὲ ἐνεργείᾳ χρώματα, οὕτω καὶ ὁ νοῦς οὗτος ὁ ἐνεργείᾳ προαγαγὼν τὸν δυνάμει νοῦν οὐ μόνον αὐτὸν ἐνεργείᾳ νοῦν ἐποίησεν, ἀλλὰ καὶ τὰ δυνάμει νοητὰ ἐνεργείᾳ νοητὰ αὐτῷ κατεσκεύασεν. ταῦτα δὴ τὰ ἔνυλα εἴδη καὶ τὰ ἐκ τῶν καθ' ἕκαστον αἰσθητῶν συλλεγόμενα κοινὰ νοήματα, ἃ τέως μὲν οὐχ οἷός τέ ἐστι διακρῖναι, οὐδ' ἐξ ἑτέρων εἰς ἕτερα μετιέναι, οὐδὲ συντιθέναι καὶ διαιρεῖν, ἀλλ' ὥσπερ θησαυρὸς νοημάτων ἢ μᾶλλόν γε ὥσπερ ὕλη τοὺς παρὰ τῆς αἰσθήσεως καὶ τῆς φαντασίας τύπους τίθησι διὰ τῆς μνήμης. ἐπελθόντος δὲ αὐτῷ τοῦ ποιητικοῦ νοῦ καὶ τὴν ὕλην ταύτην τῶν νοημάτων καταλαβόντος γενόμενος εἷς μετ' ἐκείνου fol. 89. καὶ μεταβαίνειν οἷός τε γίνεται καὶ συντιθέναι καὶ διαιρεῖν καὶ περισκοπεῖν ἄλλα ἐξ ἄλλων. ὅνπερ οὖν ἡ τέχνη πρὸς τὴν ὕλην λόγον ἔχει, τοῦτον καὶ ὁ νοῦς ὁ ποιητικὸς πρὸς τὸν δυνάμει, καὶ οὕτως ὁ μὲν πάντα γίνεται, ὁ δὲ πάντα ποιεῖ. διὸ καὶ ἐφ' ἡμῖν νοεῖν ὅταν βουλώμεθα· οὐ γὰρ τῆς ὕλης ἔξωθεν ἡ

12 προσαγαγὼν AV    17 οἷόν A    25 ἄλλων] ἄλλου A
29 ἔξωθεν τῆς ὕλης A

τέχνη, ὥσπερ χαλκευτικὴ τοῦ χαλκοῦ καὶ τεκτονικὴ τοῦ ξύλου, ἀλλ' ἐνδύεται ὅλῳ τῷ δυνάμει νῷ ὁ ποιητικός, ὥσπερ ἂν εἰ ὁ τέκτων τοῖς ξύλοις καὶ ὁ χαλκοτύπος τῷ χαλκῷ μὴ ἔξωθεν ἐπεστάτει, δι' ὅλου δὲ αὐτοῦ φοιτᾶν οἷός τε ἦν. οὕτω γὰρ καὶ ὁ κατ' ἐνέργειαν νοῦς τῷ δυνάμει νῷ προσγενόμενος εἷς τε γίνεται μετ' αὐτοῦ· ἓν γὰρ τὸ ἐξ ὕλης καὶ εἴδους καὶ αὖ ἔχει τοὺς δύο λόγους τόν τε τῆς ὕλης καὶ τὸν τῆς δημιουργίας πῇ μὲν ἅπαντα γινόμενος, πῇ δὲ ἅπαντα ποιῶν· γίνεται γάρ πως αὐτὰ τὰ πράγματα ἐνεργῶν κατὰ τὴν νόησιν καὶ φαίνεται αὐτοῦ τὸ μέν τι ὡς ὕλη, ὅπου τὸ πλῆθος τῶν νοημάτων, τὸ δὲ ὡς τεχνίτης· ἐπ' αὐτῷ γὰρ ὅτε βούλεται νόημα περιλαβεῖν καὶ μορφῶσαι· ποιητικὸς γὰρ αὐτὸς καὶ ἀρχηγὸς τῶν νοημάτων. διὸ καὶ θεῷ μάλιστα ἔοικε· καὶ γὰρ ὁ θεὸς πὼς μὲν αὐτὰ τὰ ὄντα ἐστί, πὼς δὲ ὁ τούτων χορηγός, τιμιώτερος δὲ ὁ νοῦς καθὸ δημιουργεῖ μᾶλλον ἢ καθὸ πάσχει· πανταχοῦ γὰρ ἡ ποιητικὴ ἀρχὴ τῆς ὕλης τιμιωτέρα, καὶ γίνεται μὲν ὥσπερ ἔφην πολλάκις, ὁ αὐτὸς νοῦς καὶ νοητός, ὥσπερ ἡ ἐπιστήμη ἡ κατ' ἐνέργειαν αὐτό ἐστι τὸ ἐπιστητόν, οὐ μὴν κατὰ ταὐτόν, ἀλλ' ᾗ μὲν συνείληφε τὸν δυνάμει νοῦν, νοητός· ᾗ δέ ἐστιν αὐτὸς κατ' ἐνέργειαν, νοῦς. ἐν μὲν οὖν ἀνθρώπῳ πρότερος ὁ δυνάμει νοῦς τοῦ ἐνεργείᾳ· προτέρα γὰρ τῷ χρόνῳ πᾶσα εὐφυία τῆς ἐνεργείας, ἁπλῶς δὲ οὐ πρότερος· οὐδέποτε γὰρ πρότερον τὸ ἀτελὲς τοῦ τελείου, οὐδὲ δύναμις ἐνεργείας. ἡ δὲ οὐσία τοῦ ποιητικοῦ νοῦ ταὐτόν ἐστι τῇ ἐνεργείᾳ· οὐ γὰρ ἐκ δυνάμεως πρόεισιν, ἀλλ' ἡ αὐτὴ

13 νόημα] τὰ νοήματα A 18 πανταχοῦ] πάντων A 22 ταὐτὸ M V 24 ἀνθρώπῳ] ἑνὶ Arist. p. 430, 21. 29 οὐ γὰρ] καὶ οὐκ M V

φύσις ὁμογενὴς τῇ ἐνεργείᾳ, καὶ οὕτως ὁ νοῦς ὅπερ ἤδη καὶ πρότερον εἴρηται, χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγὴς ὄντως, οὐχ ὁτὲ μὲν νοῶν ὁτὲ δὲ μὴ νοῶν. τοῦτο μὲν γὰρ ὑπομένει, ὅταν ὑποβάλληται τὸν δυνάμει, ὅταν δὲ αὐτὸς καθ᾿ ἑαυτὸν ᾖ, τοῦτ᾿ ἔστι μόνον ὅπερ ἐστίν, ἔστι δὲ ἐνεργείᾳ ἄπαυστος καὶ ἀκάματος καὶ ἀθάνατος καὶ ἀΐδιος, νοῦς τε καὶ νοητὸς ὁ αὐτὸς ἀκριβῶς, οὐκέτι κατ᾿ ἄλλο καὶ ἄλλο, οὐδὲ δι᾿ ἄλλο· ὥσπερ τὰ λοιπὰ νοητά, ὅσα ἂν ὁ νοῦς ὁ καθ᾿ ἕξιν νοητὰ ποιῇ χωρίζων τῆς ὕλης, ἀλλὰ δι᾿ αὐτὸν νοητὸς καὶ τῇ φύσει τῇ παρ᾿ ἑαυτοῦ καὶ τὸ νοεῖσθαι καὶ τὸ νοεῖν ἔχων. ἐν μὲν οὖν τῷ δυνάμει νῷ διῃρημένα τὰ νοήματα, ἐν ᾧ καὶ αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι, ἐν δὲ τῷ κατ᾿ ἐνέργειαν, μᾶλλον δὲ ἐν τῇ ἐνεργείᾳ, εἴπερ ταὐτὸν ἐπ᾿ αὐτοῦ ἡ οὐσία τῇ ἐνεργείᾳ, ἄλλον τρόπον ἂν εἴη δυσφραστότερον καὶ θειότερον οὐ μεταβάλλοντος ἐκ τοῦδε εἰς τόδε, οὐδὲ συντιθέντος, οὐδὲ διαιροῦντος, οὐδὲ διεξόδῳ προσχρωμένου πρὸς τὰς νοήσεις, ἀλλὰ πάντα ἔχοντος ἀθρόως τὰ εἴδη καὶ ἅπαντα ἅμα προβεβλημένου. οὕτω γὰρ μόνως ἂν εἴη, καθά φησιν Ἀριστοτέλης, ταὐτὸν ἥ τε οὐσία αὐτοῦ καὶ ἡ ἐνέργεια· εἰ γὰρ μεταβαίνοι καθάπερ οἱ ἐπιστήμονες, ἀνάγκη ὑπομένειν μὲν τὴν οὐσίαν, ἐξαλλάττεσθαι δὲ τὴν ἐνέργειαν, τοῦτο δ᾿ ἐστὶ διαφέρειν ἐπ᾿ αὐτοῦ τὴν οὐσίαν τῆς ἐνεργείας, ὃ διαρρήδην Ἀριστοτέλης οὐ συγχωρεῖ. ταύτῃ τοιγαροῦν καὶ ἐν τοῖς πρώτοις φησί, τὸ δὲ διανοεῖσθαι καὶ φιλεῖν καὶ μισεῖν οὐκ ἔστιν ἐκείνου πάθη.

---

4 ὑποβάληται M 5 μόνος A V 6 ἐνέργεια M V 10 ποιεῖ A V 18 προσχρωμένῳ M V 20 ἅμα ἅπαντα A 26 τοιγαροῦν] τοι A V 27 φησί] I, 4 p. 408 b, 25.

*Ἡμεῖς οὖν ἢ ὁ δυνάμει νοῦς ἢ ὁ ἐνεργείᾳ. εἴπερ οὖν ἄλλο ἐπὶ τῶν συγκειμένων ἁπάντων ἔκ τε τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ τὸ τόδε καὶ τὸ τῷδε, ἄλλο ἂν εἴη τὸ ἐγὼ καὶ τὸ ἐμοὶ εἶναι, καὶ ἐγὼ μὲν ὁ συγκείμενος νοῦς ἐκ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ, τὸ δὲ ἐμοὶ εἶναι ἐκ τοῦ ἐνεργείᾳ ἐστίν, ὥστε καὶ ἃ διανοοῦμαι ταῦτα, καὶ ἃ συγγράφω, γράφει μὲν ὁ σύνθετος νοῦς ἐκ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ, γράφει δὲ οὐχ ᾗ δυνάμει, ἀλλ' ᾗ ἐνεργείᾳ· τὸ γὰρ ἐνεργεῖν ἐκεῖθεν αὐτῷ ἐποχετεύεται. εἰ δὲ οὐχ οἷός τε δέξασθαι ἀμερῶς, ἃ ἐκεῖνος δίδωσι ἀμερῶς, οὐδὲν θαυμαστόν· οὐδὲ γὰρ ἐπὶ τῶν σωμάτων τὰς ποιότητας αἱ ὗλαι δέχονται ἀμερῶς, καίτοι κατὰ τὸν ἴδιον λόγον ἀμερεῖς οὔσας, ἀλλὰ τὴν λευκότητα ἀμέριστον οὖσαν δέχεται μεμερισμένως ἡ ὕλη. ὥσπερ οὖν ἄλλο τὸ ζῷον καὶ ἄλλο τὸ ζῴῳ εἶναι, τὸ δὲ ζῴῳ εἶναι παρὰ τῆς ψυχῆς ἐστὶ τοῦ ζῴου, οὕτω καὶ ἄλλο μὲν τὸ ἐγώ, ἄλλο δὲ τὸ ἐμοὶ εἶναι· τὸ οὖν εἶναι ἐμοὶ παρὰ τῆς ψυχῆς, καὶ ταύτης γε οὐ πάσης· οὐ γὰρ τῆς αἰσθητικῆς· ὕλη γὰρ ἦν τῆς φαντασίας, οὐδὲ αὖ τῆς φανταστικῆς· ὕλη γὰρ ἦν τοῦ δυνάμει νοῦ, οὐδὲ τοῦ δυνάμει νοῦ· ὕλη γὰρ ἦν τοῦ ποιητικοῦ. παρὰ μόνου τοίνυν τοῦ ποιητικοῦ τὸ ἐμοὶ εἶναι· μόνος γὰρ οὗτος εἶδος ἦν ἀκριβῶς, μᾶλλον δὲ οὗτος εἶδος εἰδῶν, τὰ δὲ ἄλλα καὶ ὑποκείμενα ἅμα καὶ εἴδη, καὶ προήει δὴ αὐτῶν ἡ φύσις εἴδεσι μὲν πρὸς τὰ ἀτιμότερα αὐτῆς χρωμένη, ὕλαις δὲ πρὸς τὰ ἐντιμότερα. ἔσχατον δὲ καὶ ἀκρότατον τῶν εἰδῶν ὁ ποιητικὸς οὗτος νοῦς,*

---

3 *καὶ τὸ*] *τὸ* om A *τῷδε*] scrib. *τῷδε εἶναι* 6 *διανοοῦμεν* A V 7 *συγγράφομαι* M V 10 *ἐποχεύεται* M V *οἷον* A 16 *τὸ δὲ*] *καὶ τὸ* A 22 *τοίνυν μόνου* A 24 *ἦν — εἶδος* om M V 26 *αὐτῶν* post *ἀτιμότερα* A

*καὶ ἄχρι τούτου προελθοῦσα ἡ φύσις ἀπεπαύσατο ὡς μηδὲν ἔχουσα ἕτερον τιμιώτερον, ὅτῳ ἂν αὐτὸν ἐποίησεν ὑποκείμενον. ἡμεῖς οὖν ὁ ποιητικὸς νοῦς, καὶ εἰκότως Ἀριστοτέλης ἀπορεῖ πρὸς ἑαυτόν, πῶς οὖν μετὰ τὸν θάνατον οὐ μνημονεύομεν ὧν ἂν ἐνταῦθα νοήσωμεν; καὶ ἡ λύσις ἀκόλουθος καὶ τοῖς ἀρτίως περὶ τοῦ νοῦ καὶ τοῖς πρότερον εἰρημένοις, ὅτι ὁ μὲν ποιητικὸς ἀπαθής, ὁ δὲ παθητικὸς νοῦς φθαρτός. τίνα μὲν οὖν λέγει τὸν παθητικὸν νοῦν καὶ φθαρτόν, προϊόντες ἐπισκεψόμεθα καὶ ὅτι μὴ τὸν δυνάμει τοῦτον παραλαμβάνει, ἀλλ' ἕτερόν τινα νοῦν, ὃν κοινὸν ὠνόμασεν ἐν τοῖς πρώτοις, μεθ' οὗ τὰ ἐνταῦθα νοεῖ,* fol. 89b. *καὶ σὺν ᾧ περὶ τῶν ἐνταῦθα διανοεῖται οὗ καὶ τὸ φιλεῖν φησὶ καὶ τὸ μισεῖν καὶ τὸ μεμνῆσθαι. νῦν δὲ τοῦτο ἡμῖν βεβαιότερον, ὅτι ἡμᾶς οἴεται τὸν ποιητικὸν εἶναι νοῦν, ὁπόταν καὶ ἀπορῇ καὶ ἐπιλύηται λέγων· οὐ μνημονεύομεν δὲ ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός. τοῦτο γὰρ ἀκόλουθον τὸ ἀπόρημα καὶ πρὸς πάντας κοινὸν τοὺς ἀθάνατον τὸν νοῦν τιθεμένους, τί δήποτε οὐ μνημονεύομεν τῶν ἐν τῷ βίῳ μετὰ τὸν θάνατον οὐδὲ ἔχθρας ἀμειβόμεθα οὐδὲ φιλίας οὐδὲ φαινόμεθα τοῖς οἰκείοις ὧν μάλιστα ἑαλώκαμεν. διὸ καὶ ἐν τοῖς πρώτοις αὐτὸ διορθώσεως καὶ νῦν ἀξιοῖ, καὶ τὰς αὐτὰς αἰτίας ἀπολογίζεται τοῦ τὸν νοῦν ἡμῶν μὴ μεμνῆσθαι ἐν οἷς τε ἀρχόμενος εἶπε περὶ αὐτοῦ καὶ οἷς νῦν ἐπέξεισιν ἐμφανέστερον. σχεδὸν γὰρ ἄντικρυς καὶ τοῖς ῥήμασιν αὐτοῖς χρῆται ἐκεῖ μὲν εἰπών, τὸ δὲ*

---

1 *ἐπαύσατο* A  5 *ἐνταῦθα*] *ἐντεῦθεν* M V  10 *ἐπισκεψώμεθα* A V  13 *περὶ τῶν*] *τὰ* A  14 *μισεῖν*] *νοεῖν* M  19 *ἅπαντας* A  24 *αὐτὰς* om M  28 *εἰπών*] I, 4 p. 408 b, 25—30.

διανοεῖσθαι καὶ φιλεῖν ἢ μισεῖν οὐκ ἔστιν ἐκείνου πάθημα ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο ᾗ ἐκεῖνο ἔχει. διὸ καὶ τούτου φθειρομένου οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ κοινοῦ ὃ ἀπόλωλεν, ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν. ἐνταῦθα δέ, ὅλως δὲ οὐδὲ ἐν χρόνῳ, ἀλλ' οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δὲ οὐ νοεῖ. χωρισθεὶς δέ ἐστι μόνον τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον, οὐ μνημονεύομεν δὲ ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐδὲν νοεῖ. τὸ μὲν γὰρ οὐδ' ἐν χρόνῳ νοεῖ καὶ οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δὲ οὐ νοεῖ, ταὐτὸν ἄντικρυς τῷ οὐ διανοεῖται, ἀλλ' ἑτέρου τὸ διανοεῖσθαι οὗ καὶ τὸ μὴ ἀεὶ νοεῖν ἀλλ' ἐν χρόνῳ· τὸ δέ, χωρισθεὶς δέ ἐστι μόνον τοῦθ' ὅπερ ἐστὶ καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον, τῷ ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστι· τὸ δέ, οὐ μνημονεύομεν δὲ ὅτι τοῦτο μὲν ἀπαθὲς ὁ δὲ παθητικὸς νοῦς φθαρτὸς καὶ ἄνευ τούτου οὐδὲν νοεῖ, τῷ διὸ καὶ τούτου φθειρομένου οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν ἀλλὰ τοῦ κοινοῦ ὃ ἀπόλωλεν. ὥστε παρηνέχθησαν ἅπαντες τῶν δοκούντων ἐγκαλεῖν τῷ φιλοσόφῳ, ὅσοι καὶ ἀπορεῖν αὐτὸν καὶ διαλύειν ᾠήθησαν.

Διὰ τί ποτ' οὖν οὐ μεμνήμεθα ὧν ὁ ποιητικὸς

---

2 πάθημα] immo πάθη   3 ἔχει om M V   7 οὐδὲ ἐν χρόνῳ] Aristotelis libri plurimi οὐδὲ χρόνῳ p. 430, 21, omnes p. 431, 3.   11 μὲν] μόνον M   17 μόνον post ἐστι om A   μὲν τοῦτο] τὸ M

νοῦς ἐνεργεῖ καθ' ἑαυτὸν καὶ πρὶν εἰς τὴν σύστασιν συντελέσαι τὴν ἡμετέραν; φθειρομένου γάρ φησι τοῦ κοινοῦ οὐχ οἷός τέ ἐστιν ὁ ποιητικὸς οὔτε διανοεῖσθαι οὔτε μνημονεύειν· οὐ γὰρ ἐκείνου ἦν τὸ διανοεῖσθαι, ἀλλὰ τοῦ κοινοῦ ὃ ἀπόλωλεν, ὥστε καὶ ὅταν λέγῃ πάλιν, οὐ μνημονεύομεν δὲ ὅτι τοῦτο μὲν ἀπαθὲς ὁ δὲ παθητικὸς νοῦς φθαρτός, ἡμᾶς μὲν ποιεῖ τὸν ποιητικὸν νοῦν, φθείρεσθαι δέ φησι τὸν κοινόν, καὶ διὰ τοῦτο μὴ δύνασθαι μνημονεύειν ἡμᾶς ἀθανάτους ὄντας, ὧν σὺν τῷ θνητῷ νῷ ἐνηργήσαμεν. παραβάλλειν οὖν χρὴ τὰς ῥήσεις ἀμφοτέρας καὶ συμφώνους γε εὑρήσομεν ἀλλήλαις καὶ τὸ δοκοῦν ἀκριβῶς διδασκούσας τῷ φιλοσόφῳ, ἐπεὶ κἀκεῖνο τοῖς ἐνταῦθα σύμφωνον ἀκριβῶς, περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ οὐδέν πω φανερόν, ἀλλ' ἔοικε τῆς ψυχῆς ἕτερον γένος εἶναι τοῦτο, [καὶ τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι] καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. ἀκόλουθον γὰρ περὶ ὧν ἐν τοῖς πρώτοις ἠπόρησε καὶ μετρίως ἐπελύσατο, ἐνταῦθα αὐτὸν ἐπιλύεσθαι ἀκριβέστερον· ἠπόρησε δὲ ἐν τοῖς πρώτοις οὐ, διὰ τί ποτε ὁ φθαρτὸς καὶ παθητικὸς νοῦς οὗτος οὐ μνημονεύει τῶν ἐνεργειῶν, ἃς ὁ ἀπαθὴς ἐνεργεῖ καὶ ἀΐδιος· οὐδὲ γὰρ ἦν ἄξιον ἀπορίας· κομιδῇ γὰρ ἀνοήτου τὸ διαπορεῖν πῶς ὁ φθειρόμενος τῶν τοῦ ἀφθάρτου ἐνεργειῶν οὐ μνημονεύει, τοὐναντίον δὲ ἄξιον ἀπορίας διὰ τί ὁ μὴ πάσχων μηδὲ φθειρόμενος οὐ μέμνηται τῶν σὺν τῷ φθειρομένῳ ἐνεργειῶν. ἐπιλύεται δὲ ἐκεῖ μὲν εἰπών, διὸ καὶ τούτου

---

15 περὶ δὲ] Arist. II, 2 p. 413 b, 24 ubi τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως, item ἐνδέχεται. 17 καὶ — χωρίζεσθαι om M V 23 ἐνεργεῖν A V 25 ἀνόητον A

φθειρομένου οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν ἀλλὰ τοῦ κοινοῦ ὃ ἀπόλωλεν. ἐνταῦθα δέ, οὐ μνημονεύομεν δὲ ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐδὲν νοεῖ οὐδὲ μνημονεύει. οὕτω δὲ καὶ Θεόφραστος, ἐν οἷς ἐξετάζει τὰ Ἀριστοτέλους περὶ τοῦ ποιητικοῦ νοῦ, ἀπορεῖ· εἰ μὲν γὰρ ὡς ἕξις φησὶν ἡ δύναμις, ἐκείνῳ εἰ μὲν σύμφυτος, ἀεὶ καὶ εὐθὺς ἐχρῆν· εἰ δ' ὕστερον, μετὰ τίνος καὶ πῶς ἡ γένεσις; ἔοικε δ' οὖν ὡς ἀγέννητος εἴπερ ἄφθαρτος. ἐνυπάρχων δ' οὖν διὰ τί οὐκ ἀεί; ἢ διὰ τί λήθη καὶ ἀπάτη; ἢ διὰ τὴν μίξιν;

Ἐκ δὲ τῶν αὐτῶν ῥήσεων θαυμάσαι κἀκείνων ἄξιον, ὅσοι τὸν ποιητικὸν τοῦτον νοῦν ἢ τὸν πρῶτον θεὸν ᾠήθησαν εἶναι κατὰ Ἀριστοτέλην, ἢ τὰς προτάσεις καὶ τὰς ἐξ αὐτῶν ἐπιστήμας αἳ ὕστερον ἡμῖν παραγίνονται. οἱ μὲν γὰρ τὰς προτάσεις ὑπολαμβάνοντες ἐκκεκώφηνται παντελῶς καὶ οὐδὲ ἐμβοῶντος ἀκούουσι τοῦ φιλοσόφου, ὅτι ὁ νοῦς οὗτος θεῖος καὶ ἀπαθὴς καὶ ταὐτὸν ἔχων τῇ οὐσίᾳ τὴν ἐνέργειαν καὶ οὗτος μόνος ἀθάνατος καὶ ἀΐδιος καὶ χωριστός· οἱ δὲ τὸν πρῶτον θεὸν λέγεσθαι παρ' αὐτοῦ τὸν ποιητικὸν νοῦν ὑπολαμβάνοντες, τί δήποτε ἐν αὐτῇ ταύτῃ τῇ ῥήσει ταῦτα παρορῶσι; προειπὼν γὰρ ἐν ἁπάσῃ τῇ φύσει τὸ μὲν ὕλην εἶναι, τὸ δὲ ὃ τὴν ὕλην κινεῖ καὶ τελειοῖ, ἀνάγκη φησὶ καὶ ἐν ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς, καὶ εἶναί τινα τὸν μὲν τοιοῦτον νοῦν τῷ πάντα γίνεσθαι, τὸν δὲ τοιοῦτον τῷ πάντα ποιεῖν. ἐν τῇ ψυχῇ γὰρ εἶναί φησι τὸν τοιοῦ-

---

6 ἐξετάζων A 11 ἀγένητος M 12 ἢ om M V 19 ἐκκεκώφηται M 26 τὴν ὕλην post ὃ om A

*τον νοῦν καὶ τῆς ψυχῆς τῆς ἀνθρωπίνης οἷόν τινα μοῖραν τὴν τιμιωτάτην. τοῦτο δὲ καὶ ἐξ ἐκείνης τῆς ῥήσεως δῆλον ἧς μικρῷ πρόσθεν ἐμνημονεύσαμεν, περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι τοῦτο [καὶ τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι] καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. ἐπεὶ καὶ ὅταν λέγῃ, τοῦτ' ἐστὶ μόνον ἀθάνατον καὶ ἀΐδιον, οὐκ ἂν λέγοι ἐπὶ τὸν πρῶτον θεὸν ἐπαναφέρων· οὐ γὰρ τοῦτον τίθεται μόνον ἀθάνατον καὶ ἀΐδιον, ἀλλὰ καὶ σχεδὸν ἁπάσας τὰς κινητικὰς τῶν θείων σωμάτων δυνάμεις, ἃς καὶ ὑπ' ἀριθμὸν ἄγειν* fol. 90. *ἐν τῇ συντάξει τῇ μετὰ τὰ Φυσικὰ οὐ παραιτεῖται, ἐπὶ μέντοι τῆς ψυχῆς τῆς ἀνθρωπίνης καὶ τῶν περὶ ταύτην δυνάμεων μόνην εἶναι αὐτὴν ἀθάνατον διοριζόμενος ὀρθῶς ἂν λέγοι, καὶ τοῦτ' ἔστι μόνον ἀθάνατον. ἐκ δὴ τῆς αὐτῆς ταύτης ῥήσεως καὶ τοῦτ' ἔστι βεβαιώσασθαι, ὅτι ἢ ἡμῶν τι εἶναι οἴεται τὸν ποιητικὸν νοῦν ἢ ἡμᾶς· ἡμῶν μὲν γὰρ τοῦτο μόνον ἀθάνατον λέγων σύμφωνα ἂν ἑαυτῷ λέγοι, ἁπλῶς δὲ τοῦτο μόνον ἀθάνατον λέγων οὐκ ἂν ἑαυτῷ συμφωνοίη πολλὰ καὶ ἄλλα οἰομένῳ εἶναι ἀθάνατα.*

*Ἀλλὰ ταῦτα μὲν οὐχ οὕτω χαλεπὸν ἀπολύσασθαι, ἐκεῖνο δὲ ἄξιον καὶ πάνυ πολλῆς ἐξετάσεως, ἆρα εἷς ὁ ποιητικὸς οὗτος νοῦς ἢ πολλοί; ἐκ μὲν γὰρ τοῦ φωτὸς ᾧ παραβέβληται, εἷς ἂν εἴη· ἓν γάρ που καὶ τὸ φῶς, μᾶλλον δὲ καὶ ὁ τοῦ φωτὸς χορηγός, ὑφ' οὗ πᾶσαι αἱ τῶν ζώων ὄψεις προάγονται ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὥσπερ οὖν οὐδὲν πρὸς ἑκάστην τῶν*

---

1 *τῆς* post *ψυχῆς* om AV 6 *καὶ — χωρίζεσθαι* om M V 10 *τοῦτον τίθεται*] *τοῦτο τίθησι* A 13 *μετὰ τὰ Φυσικὰ*] *Λ*, cap. 8. 18 *ἢ* om M

ὄψεων ἡ τοῦ κοινοῦ φωτὸς ἀφθαρσία, οὕτως οὐδὲν πρὸς ἕκαστον ἡμῶν ἡ τοῦ ποιητικοῦ νοῦ ἀϊδιότης. εἰ δὲ πολλοὶ καὶ καθ' ἕκαστον τῶν δυνάμει εἷς ποιητικός, πόθεν ἀλλήλων διοίσουσιν; ἐπὶ γὰρ τῶν αὐτῶν τῷ εἴδει κατὰ τὴν ὕλην ὁ μερισμός, ἀνάγκη δὲ τοὺς αὐτοὺς εἶναι τῷ εἴδει τοὺς ποιητικούς, εἴ γε ἅπαντες τὴν αὐτὴν ἔχουσιν οὐσίαν τῇ ἐνεργείᾳ καὶ τὰ αὐτὰ πάντες νοοῦσιν. εἰ γὰρ μὴ τὰ αὐτὰ ἀλλ' ἕτερα, τίς ἔσται ἡ ἀποκλήρωσις; πόθεν δὲ καὶ ὁ δυνάμει νοῦς πάντα νοήσει, εἰ μὴ πρῶτος πάντα νοεῖ ὁ προάγων αὐτὸν εἰς ἐνέργειαν; ἢ ὁ μὲν πρώτως ἐλλάμπων εἷς, οἱ δὲ ἐλλαμπόμενοι καὶ ἐλλάμποντες πλείους ὥσπερ τὸ φῶς; ὁ μὲν γὰρ ἥλιος εἷς, τὸ δὲ φῶς εἴποις ἂν τρόπον τινὰ μερίζεσθαι εἰς τὰς ὄψεις. διὰ τοῦτο γὰρ οὐ τὸν ἥλιον παραβέβληκεν ἀλλὰ τὸ φῶς, Πλάτων δὲ τὸν ἥλιον· τῷ γὰρ ἀγαθῷ ἀνάλογον αὐτὸν ποιεῖ. εἰ δὲ εἰς ἕνα ποιητικὸν νοῦν ἅπαντες ἀναγόμεθα οἱ συγκείμενοι ἐκ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, καὶ ἑκάστῳ ἡμῶν τὸ εἶναι παρὰ τοῦ ἑνὸς ἐκείνου ἐστίν, οὐ χρὴ θαυμάζειν. πόθεν γὰρ αἱ κοιναὶ ἔννοιαι; πόθεν δὲ ἡ ἀδίδακτος καὶ ὁμοία τῶν πρώτων ὅρων σύνεσις καὶ τῶν πρώτων ἀξιωμάτων; μήποτε γὰρ οὐδὲ τὸ συνιέναι ἀλλήλων ὑπῆρξεν ἄν, εἰ μή τις ἦν εἷς νοῦς, οὗ πάντες ἐκοινωνοῦμεν, καὶ τὸ Πλάτωνος ἀληθές, ὡς εἰ μή τι ἦν τοῖς ἀνθρώποις τοῖς μὲν ἄλλο τι τοῖς δὲ ἄλλο τι ταὐτόν, ἀλλά τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος ἢ οἱ ἄλλοι, οὐκ ἂν ἦν ῥᾴδιον ἐνδείξασθαι τῷ ἑτέρῳ τὸ ἑαυτοῦ πάθημα;

10 πρῶτος] πρώ M 16 Πλάτων] Republ. p. 508. 23 ὑπῆρξεν] ὑπῆρχεν A 25 Πλάτωνος] Gorg. p. 481 c. (77 Bkk.) μή τι] μή τις A V ἀνθρώποις πάθος Plato 27 οἱ om M 28 τῷ om A, ἑτέρῳ ante ἐνδείξασθαι A

οὕτω δὲ καὶ ἐν ταῖς ἐπιστήμαις ὁ διδάσκων τῷ μανθάνοντι τὰ αὐτὰ νοεῖ· οὐδὲ γὰρ ἂν ἦν τὸ διδάσκειν καὶ τὸ μανθάνειν, εἰ μὴ ταὐτὸν ἦν τὸ νόημα τοῦ διδάσκοντος καὶ τοῦ μανθάνοντος. εἰ δὲ ταὐτὸν ὥσπερ ἀνάγκη, δηλονότι καὶ ὁ αὐτὸς γίνεται νοῦς ὁ τοῦ διδάσκοντος τῷ τοῦ μανθάνοντος, εἴπερ ταὐτὸν ἐπὶ τοῦ νοῦ ἡ οὐσία τῇ ἐνεργείᾳ, καὶ διὰ τοῦτο ἴσως ἐπ' ἀνθρώπων μόνων τὸ διδάσκειν καὶ τὸ μανθάνειν καὶ τὸ συνιέναι ὅλως ἀλλήλων, ἐπὶ δὲ τῶν ἄλλων ζώων οὐκέτι, διότι μηδὲ ἡ κατασκευὴ τῶν ἄλλων ψυχῶν τοιαύτη, ὥστε δέχεσθαι τὸν δυνάμει νοῦν καὶ ὑπὸ τοῦ ἐνεργείᾳ νοῦ τελειοῦσθαι, καὶ τὸ παρά τινων ζητούμενον καὶ νεωτέρων καὶ πρεσβυτέρων, εἰ πᾶσαι αἱ ψυχαὶ μία, κάλλιον ἂν ἐζητεῖτο, εἰ πάντες οἱ νοῖ εἷς. ψυχὴ μὲν γὰρ ἴσως, εἰ καὶ μία κατ' αὐτούς ἐστι καὶ χωριστή, ἀλλ' αἵ γε δυνάμεις αὐτῆς πολλαὶ καὶ φανερῶς ἀλλήλων διενηνόχασιν· ἄλλη γὰρ ἡ θρεπτικὴ τῆς αἰσθητικῆς, καὶ αὕτη τῆς ὀρεκτικῆς, ἐπὶ δὲ τοῦ νοῦ καὶ μάλιστα τοῦ θεωρητικοῦ τὸ ζήτημα καὶ ἀκόλουθον καὶ ἀναγκαῖον τοῖς γε παραδεχομένοις ἐπ' αὐτοῦ τὴν οὐσίαν τὴν αὐτὴν εἶναι τῇ ἐνεργείᾳ. ἢ γὰρ οὐ τὰ αὐτὰ νοοῦσιν, ὅταν ὁ μὲν διδάσκῃ ὁ δὲ μανθάνῃ, ἢ εἴπερ τὰ αὐτὰ νοοῦσιν, ἡ αὐτὴ αὐτῶν ἐνέργεια, καὶ διὰ τοῦτο καὶ ἡ οὐσία. ἀλλ' εἰ τῆς τοῦ φωτὸς ἀφθαρσίας οὐ συναπολαύει ἡ δύναμις ἡ αἰσθητική, οὐδὲ τῆς τοῦ νοῦ τοῦ ποιητικοῦ ὁ νοῦς ὁ δυνάμει, ἢ ἡ μὲν αἴσθησις εἰ καὶ ἀπαθεστέρα πολὺ τῶν ὀργάνων ἐστί, καὶ πάσχουσιν αὐτοῖς οὐ συμπάσχει. εἰ γὰρ λάβοι φησὶν ὄμμα ὁ πρεσβύτης

---

5 γίνεται] ἐγγίνεται A  12 νοῦ] νόος A  15 οἱ νοῖ] ἄνθρωποι A  24 ἡ post καὶ om A V  29 φησὶν] I, 4. p. 408 b, 21.

τοιουδί, βλέποι ἂν ὥσπερ καὶ ὁ νέος. ἀλλ' ὅμως οὐ παντάπασιν ἀπαθής, ἀλλὰ συναπολαύει πως τοῖς αἰσθητηρίοις τοῦ πάθους, ὁ δὲ νοῦς παντάπασιν ἀπαθὴς καὶ χωριστός. καὶ τοῦτο δῆλον ἐξ ὧν ἔμπροσθεν εἴρηται. ἔτι περὶ τοῦ δυνάμει νοῦ διαλεγόμενος καὶ οὔπω τοῦ ποιητικοῦ μνησθείς, ὅτι δὲ οὐχ ὁμοία φησὶν ἡ ἀπάθεια τοῦ αἰσθητικοῦ καὶ νοητικοῦ, φανερὸν ἐπὶ τῶν αἰσθητηρίων καὶ τῆς αἰσθήσεως· ἡ μὲν γὰρ αἴσθησις οὐ δύναται αἰσθάνεσθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ οἷον ἐκ τοῦ ψόφου τοῦ μεγάλου τῶν μικρῶν ψόφων οὐδ' ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν τῶν ἀμυδροτέρων ὀσμῶν καὶ χρωμάτων, ὁ δὲ νοῦς ὅταν νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον· τὸ μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος ὁ δὲ χωριστός. ταῦτα γὰρ ἄντικρυς περὶ τοῦ δυνάμει νοῦ διορίζεται· ἡ μὲν γὰρ μετάβασις τούτου καὶ ἀνωτέρω μικρόν, διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι, οὐδὲ ὄργανόν τι αὐτῷ εἶναι, ὥσπερ τῷ αἰσθητικῷ· καὶ ἔτι μικρὸν ἀνωτέρω, ἀπαθὲς ἄρα δεῖ εἶναι τὸ νοητικόν, δεκτικὸν δὲ τοῦ εἴδους, ὥστε τὴν μὲν αἴσθησιν δῆλός ἐστι δυσπαθεστέραν μὲν τῶν ὀργάνων τουτέστι τῶν αἰσθητηρίων νενομικώς, οὐ παντάπασι δὲ ἀπαθῆ οὐδὲ χωριστήν, τὸν νοῦν δὲ ἅτε μὴ χρώμενον ὀργάνῳ σωμα-

---

1 τοιουδί om M V 4 ἀπαθὴς om M 7 φησὶν] III, 4 quae rectius in Themistio quam in Arist. libris leguntur. 10 οὐ om A 11 μεγάλου ἢ τῶν A 12 οὐδ' ἐκ] οὐδὲ M V 13 ὀσμῶν τῶν] ὀσμῶν οὐδ' αὖ τῶν V, et qui αὐτῶν M 23 τὸ] τὸν M 24 δῆλόν A

*τικῷ πρὸς τὴν ἐνέργειαν καὶ ἄμικτον τῷ σώματι παντάπασι καὶ ἀπαθῆ καὶ χωριστόν.*

*Ἀλλ᾽ εἰ τοιοῦτος ὁ δυνάμει, τίνα ἂν λοιπὸν λέγοι τὸν παθητικὸν νοῦν καὶ φθαρτόν; τοῦτο γὰρ ἀνεθέμεθα ἐπισκέψασθαι. οὕτω δ᾽ ἂν ῥᾷστα ἐπισκεψαίμεθα, εἰ αὐτὸν παραλάβοιμεν κοινωνὸν Ἀριστοτέλην. φέρε οὖν εἰδῶμεν αὖθις, ἃ λέγει διαπορῶν περὶ τοῦ νοῦ καὶ φροιμιαζόμενος ἐν τῷ πρώτῳ· τάχα γὰρ οἷον* fol. 90b. *ἐκ πυρείων τριβομένων πολλάκις τῶν ῥήσεων τοῦ φιλοσόφου ἐκλάμψειεν ἂν ἡ διάνοια· τὸ δὲ διανοεῖσθαι καὶ φιλεῖν ἢ μισεῖν οὐκ ἐκείνου πάθη ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο ᾗ ἐκεῖνο ἔχει· διὸ καὶ τούτου φθειρομένου οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ κοινοῦ ὃ ἀπόλωλεν, ὥστε τὸν κοινὸν ἂν λέγοι τὸν παθητικὸν καὶ φθαρτόν. ἀλλὰ μὴν περί γε τοῦ δυνάμει νοῦ διαρρήδην φησὶν ἀπαθῆ δεῖν αὐτὸν εἶναι καὶ χωριστὸν καὶ δεκτικὸν τοῦ εἴδους καὶ δυνάμει τοιοῦτον, ἀλλὰ μὴ τοῦτο, καὶ μηδὲ μεμῖχθαι αὐτὸν τῷ σώματι, μηδὲ ὄργανον ἔχειν σωματικόν, μηδὲ ὁμοίαν τὴν ἀπάθειαν εἶναι τούτου τε καὶ τῆς αἰσθήσεως. εἰ οὖν μὴ μαχόμενα λέγει περὶ τούτου, ἄλλος ἂν εἴη κατ᾽ αὐτὸν ὁ κοινός, ἄλλος δ᾽ ὁ δυνάμει, καὶ ὁ μὲν κοινὸς καὶ φθαρτὸς καὶ παθητικὸς καὶ ἀχώριστος καὶ τῷ σώματι μεμιγμένος, ὁ δυνάμει δὲ ἀπαθὴς καὶ ἄμικτος τῷ σώματι καὶ χωριστός· ταῦτα γὰρ περὶ αὐτοῦ διαρρήδην φησίν, οἷον πρόδρομος τοῦ ποιητικοῦ, ὥσπερ ἡ αὐγὴ τοῦ φωτός, ἢ ὥσπερ ἄνθος πρό-*

---

4 *παθητικὸν*] *ποιητικὸν* M V  *φθαρτόν*] *ἄφθαρτον* M V 7 *εἰδῶμεν*] nonne *ἴδωμεν*? 10 *ἂν* om A 19 *μηδὲ*] *μὴ* A 22 *λέγει*] *λέγῃ* A V 23 *κατ᾽ αὐτὸν ὁ*] *ὁ κατ᾽ αὐτὸν* A 24 *καὶ παθητικὸς* om M V *καὶ* post *ἀχώριστος* om M

δρομον τοῦ καρποῦ· οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ἡ φύσις ἀφροιμίαστον τὸ τέλος εὐθὺς παραδίδωσιν, ἀλλὰ τὰ καταδεέστερα μὲν συγγενῆ δὲ τῶν τελειοτέρων προτρέχει. χωριστὸς μὲν οὖν καὶ αὐτὸς καὶ ἀμιγὴς καὶ ἀπαθής· ῥητῶς γὰρ περὶ αὐτοῦ ταῦτά φησιν, οὐ μὴν ὁμοίως χωριστὸς τῷ ποιητικῷ· πάλιν γὰρ ὅρα, τί λέγει περὶ τοῦ ποιητικοῦ παραβάλλων αὐτὸν τῷ δυνάμει, καὶ *ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει χρώματα ἐνεργείᾳ χρώματα, καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγὴς τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ· ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης·* ὥσπερ ἂν εἰ καὶ τὸν ἥλιον λέγοιμεν μᾶλλον χωριστὸν τῆς αὐγῆς, ὥστε δῆλός ἐστι χωριστοὺς μὲν ἀμφοτέρους ὑπολαμβάνων, μᾶλλον δὲ χωριστὸν τὸν ποιητικὸν καὶ μᾶλλον ἀπαθῆ καὶ μᾶλλον ἀμιγῆ, καὶ χρόνῳ μὲν πρότερον ἐγγίνεσθαι ἡμῖν τὸν δυνάμει, φύσει δὲ εἶναι πρότερον καὶ τῇ τελειότητι τὸν ἐνεργείᾳ, μᾶλλον δὲ μηδὲ τῷ χρόνῳ τὸ πρότερον ἔχειν τὸν δυνάμει, ἀλλ' ἐμοὶ μὲν ἢ σοὶ πρότερον παραγίνεσθαι, ἁπλῶς δὲ μὴ πρότερον εἶναι, ὥσπερ οὐδὲ τὸν πρόδρομον τοῦ βασιλέως οὐδὲ τὴν αὐγὴν τοῦ φωτὸς οὐδὲ τὸ ἄνθος τοῦ καρποῦ. φθαρτὸν δὲ λέγει τὸν κοινόν, καθ' ὃν ὁ ἄνθρωπος ὁ συγκείμενος ἐκ ψυχῆς καὶ σώματος, ἐν ᾧ θυμοὶ καὶ ἐπιθυμίαι ἃ καὶ Πλάτων φθαρτὰ ὑπολαμβάνει, ὡς δῆλον ἐκ τῶν λεγομένων ἐν τῷ Τιμαίῳ· *οἱ δὲ*

---

12 χρώματα om M V 29 Τιμαίῳ] pag. 69. (97 Bekk.)

λαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν ἄλλο τι εἶδος αὐτῇ ψυχῆς προσοικοδομοῦντες θνητὸν δεινὰ καὶ ἀναγκαῖα παθήματα ἔχον ἐν ἑαυτῷ, πρῶτον μὲν ἡδονὴν μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας ἀγαθῶν φυγάς, ἔτι αὖ θάρσος καὶ φόβον ἄφρονε ξυμβούλω, θυμὸν δὲ δυσπαραμύθητον, ἐλπίδα δὲ εὐπαράγωγον, αἰσθήσει δὲ ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς ἔρωτι συγκερασάμενοι τὸ θνητὸν τῆς ψυχῆς γένος συνέθεσαν. καὶ διὰ ταῦτα πάντα σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσι τὸ θνητὸν ἰσθμὸν καὶ ὅρον τῆς κεφαλῆς καὶ τοῦ στήθους αὐχένα μεταξὺ θέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ ἐν τῷ καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν. καὶ ἐπὶ πᾶσι τὰ περὶ τῆς ψυχῆς εἰρημένα συγκεφαλαιούμενος γράφει· τὰ μὲν οὖν περὶ ψυχῆς ὅσον θνητὸν ἔχει καὶ ὅσον θεῖον. καὶ οἱ λόγοι δὲ οὓς ἠρώτησε περὶ ψυχῆς ἀθανασίας εἰς τὸν νοῦν ἀνάγονται σχεδόν τι οἱ πλεῖστοι καὶ ἐμβριθέστατοι, ὅ τε ἐκ τῆς αὐτοκινησίας· ἐδείχθη γὰρ ὡς αὐτοκίνητος μόνος ὁ νοῦς, εἰ τὴν κίνησιν ἀντὶ τῆς ἐνεργείας νοοίημεν,

1 λαβόντες] μιμούμενοι παραλαβόντες Plato 3 αὐτῇ] scrib. αὐτῷ, Plato περιετόρνευσαν ὄχημά τε πᾶν τὸ σῶμα ἔδοσαν ἄλλο τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ θνητὸν 5 ἐν ἑαυτῷ παθήματα ἔχον Plato 8 συμβούλω AV 10 συγκ. τ' αὐτὰ ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθεσαν Plato 12 πάντα] δὴ Plato 13 ἦν ἀνάγκη Plato 14 κατοικίζουσι] εἰς ἄλλην τοῦ σώματος οἴκησιν add Plato 15 τῆς] διοικοδομήσαντες τῆς τε Plato 19 γράφει] p. 72. (103 Bekk.) 25 εἰ] εἰ καὶ A

καὶ ὁ τὰς μαθήσεις ἀναμνήσεις εἶναι λαμβάνων, καὶ ὁ τὴν πρὸς τὸν θεὸν ὁμοιότητα, καὶ τῶν ἄλλων δὲ τοὺς ἀξιοπιστοτέρους δοκοῦντας οὐ χαλεπῶς ἄν τις τῷ νῷ προσβιβάσειεν, ὥσπερ γε καὶ τῶν ὑπ' αὐτοῦ Ἀριστοτέλους ἐξειργασμένων ἐν τῷ Εὐδήμῳ, ἐξ ὧν δῆλον ὅτι καὶ Πλάτων τὸν νοῦν ἀθάνατον μόνον ὑπολαμβάνει τῆς ψυχῆς τι καὶ αὐτὸν ὄντα, φθαρτὰ δὲ τὰ πάθη καὶ τὸν τούτοις ἐνόντα λόγον, ὃν Ἀριστοτέλης παθητικὸν νοῦν ὀνομάζει. οὐ γὰρ παντάπασιν ἄλογα τὰ πάθη τῆς ψυχῆς τῆς ἀνθρωπίνης, ἅ γε καὶ ὑπακούει τῷ λόγῳ καὶ παιδεύεται καὶ νουθετεῖται, ἀλλὰ τὰ μὲν τῶν ἀλόγων ἀσύνετα λόγου παντάπασιν, ἢ μόλις γέ τινα καὶ ἀμυδρῶς ἴχνος ἐμφαίνοντα λόγου, τὰ δὲ ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ συμπέπλεκται λόγῳ· θάρσος γὰρ καὶ φόβος καὶ ἐλπὶς εὐθὺς ἐμφαίνει τὸ λογικῆς εἶναι ψυχῆς· εἰς γὰρ τὸν μέλλοντα ἀποτείνεται χρόνον. διόπερ οὐ γίνεται ἐν τοῖς ἀλόγοις ζώοις, ἀλλ' ἡδονὴ μόνη καὶ λύπη ἐπὶ παροῦσι τοῖς ἡδέσιν ἢ [τοῖς] λυπηροῖς, καὶ ταῦτα παντάπασιν ἀνεπαίσθητα λόγου καὶ νοῦ· ἐν ἀνθρώποις δὲ οὕτως ἄρα καὶ τὰ πάθη μέτοχα λόγου, ὥστε μετρηθέντα γίνονται ἀρεταί. τοῦτο δὲ σημεῖον τοῦ μὴ τὴν φύσιν αὐτῶν ἄλογον εἶναι, ἀλλὰ τὸ ἄμετρον, καὶ οὐ κακῶς οἱ ἀπὸ Ζήνωνος τὰ πάθη τῆς ἀνθρωπίνης ψυχῆς τοῦ λόγου διαστροφὰς εἶναι τιθέμενοι καὶ λόγου κρίσεις ἡμαρτημένας, καὶ εἴη ἂν ταὐτὸν εἰπεῖν παθητικόν τε νοῦν καὶ πάθος λογικόν, τουτέστι πάθος ψυχῆς ἀνθρωπίνης, ἃ διὰ τὴν εἰς σῶμα τοῦ νοῦ κατοίκισιν λόγου μέτοχα γίνεται καὶ ἐπήκοα· οὐδὲ γὰρ ἄλλως

---

4 προβιβάσειεν M  7 τι om M  12 ἀσύνετα] ἀσύνθετα M  13 τινα om A  14 συμπλέκεται A  19 τοῖς om M V 28 κατοίκησιν M

*οἷόν τε ἦν τὸν νοῦν ἐγκατοικίζεσθαι τῷ σώματι μὴ διὰ μέσων τῶν παθῶν συνδούμενον καὶ συναπτόμενον· μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι οὐ θεμιτὸν ἢ φησὶν ὁ θεῖος Πλάτων. λαβόντες οὖν φησὶ τῆς* fol. 91. *ψυχῆς τὴν ἀρχὴν τὴν ἀθάνατον τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν. ἵνα δὲ τοῦτο δυνατὸν γένηται καὶ ἀρχὴ ἀθάνατος ἐγκατοικισθείη τῷ σώματι, ἄλλο φησὶν εἶδος προσύφηναν αὐτῇ ψυχῆς θνητὸν καὶ ἐπίκηρον· ἀνάγκη γὰρ ἦν τὸν σύνδεσμον τοῦ ἀθανάτου πρὸς τὸ θνητὸν καὶ αὐτὸν θνητὸν εἶναι· φθειρομένου γὰρ τοῦ θνητοῦ συμφθείρεται ὁ πρὸς αὐτὸ δεσμὸς τοῦ ἀθανάτου.*

*Ἄμεινον δὲ καὶ τὰ Θεοφράστου παραθέσθαι περί τε τοῦ δυνάμει νοῦ καὶ τοῦ ἐνεργείᾳ. περὶ μὲν οὖν τοῦ δυνάμει τάδε φησίν· ὁ δὲ νοῦς πῶς ποτε ἔξωθεν ὢν καὶ ὥσπερ ἐπίθετος ὅμως συμφυής; καὶ τίς ἡ φύσις αὐτοῦ; τὸ μὲν γὰρ μηδὲν εἶναι κατ' ἐνέργειαν δυνάμει δὲ πάντα καλῶς, ὥσπερ καὶ ἡ αἴσθησις. οὐ γὰρ οὕτως ληπτέον ὡς οὐδὲ αὐτός· ἐριστικὸν γάρ, ἀλλ' ὡς ὑποκειμένην τινὰ δύναμιν καθάπερ καὶ ἐπὶ τῶν ὑλικῶν. ἀλλὰ τὸ ἔξωθεν ἄρα οὐχ ὡς ἐπίθετον, ἀλλ' ὡς ἐν τῇ πρώτῃ γενέσει συμπεριλαμβάνον θετέον. πῶς δέ ποτε γίνεται τὰ νοητὰ καὶ τί τὸ πάσχειν αὐτόν; δεῖ γάρ, εἴπερ εἰς ἐνέργειαν ἥξει καθάπερ ἡ αἴσθησις, ἀσωμάτῳ δὲ ὑπὸ σώματος τί τὸ πάθος ἢ ποία μεταβολή; καὶ πότερον ἀπ' ἐκείνου ἡ ἀρχὴ ἢ ἀπ' αὐτοῦ; τὸ*

---

3 *καθαρῷ*] *καθαρὸν* A 4 *ἢ*] *ᾗ* libri *Πλάτων*] Phaed. p. 67. (23 Bekk.) 7 *ἐγκαθοικησθείη* A (V?), malim *ἐγκατοικισθῇ* 11 *θνητοῦ*] *φθιτοῦ* MV 13 *τὰ*] *τοῦ* M 16 *ἐπίθετον* M

μὲν γὰρ πάσχειν ἀπ' ἐκείνου δόξειεν ἄν· οὐδὲν γὰρ ἀφ' ἑαυτοῦ τῶν ἐν πάθει, τὸ δὲ ἀρχὴν πάντων εἶναι καὶ ἐπ' αὐτῷ τὸ νοεῖν καὶ μή, ὥσπερ ταῖς αἰσθήσεσιν, ἀπ' αὐτοῦ. τάχα δ' ἂν φανείη καὶ τοῦτο ἄτοπον, εἰ ὁ νοῦς ὕλης ἔχει φύσιν μηδὲν ὢν ἅπαντα δὲ δυνατός· καὶ τὰ ἐφεξῆς μακρὸν ἂν εἴη παρατίθεσθαι καίτοι μὴ μακρῶς εἰρημένα, ἀλλὰ λίαν συντόμως τε καὶ βραχέως τῇ γε λέξει· τοῖς γὰρ πράγμασι μεστά ἐστι πολλῶν μὲν ἀποριῶν, πολλῶν δὲ ἐπιστάσεων, πολλῶν δὲ λύσεων. ἔστι δὲ ἐν τῷ πέμπτῳ τῶν φυσικῶν, δευτέρῳ δὲ τῶν περὶ ψυχῆς, ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὅτι καὶ περὶ τοῦ δυνάμει νοῦ σχεδὸν τὰ αὐτὰ διαποροῦσιν, εἴτε ἔξωθέν ἐστιν εἴτε συμφυής, καὶ διορίζειν πειρῶνται, πῶς μὲν ἔξωθεν πῶς δὲ συμφυής. λέγουσι δὲ καὶ αὐτὸν ἀπαθῆ καὶ χωριστόν, ὥσπερ τὸν ποιητικὸν καὶ τὸν ἐνεργείᾳ· ἀπαθὴς γάρ φησιν ὁ νοῦς, εἰ μὴ ἄρα [ἄλλως] παθητικός, καὶ ὅτι τὸ παθητικὸν ὑπ' αὐτοῦ οὐχ ὡς κινητὸν ληπτέον· ἀτελὴς γὰρ ἡ κίνησις, ἀλλ' ὡς ἐνέργειαν. καὶ προϊών φησι τὰς μὲν αἰσθήσεις οὐκ ἄνευ σώματος, τὸν δὲ νοῦν χωριστόν. ἀψάμενος δὲ καὶ τῶν περὶ τοῦ ποιητικοῦ νοῦ διωρισμένων Ἀριστοτέλει ἐκεῖνο φησὶν ἐπισκεπτέον, ὅ δή φαμεν ἐν πάσῃ φύσει τὸ μὲν ὡς ὕλην καὶ δυνάμει, τὸ δὲ αἴτιον καὶ ποιητικόν, καὶ ὅτι ἀεὶ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος, καὶ ἡ ἀρχὴ τῆς ὕλης. ταῦτα μὲν ἀποδέχεται, διαπορεῖ δέ·

---

2 ἀφ'] ὑφ' M  3 ἀρχὴ Usener ap. Brand. III, 290.  7 ἂν om M V  11 ἔστι] ἔτι M V  14 διαποροῦσιν] immo διαπορεῖ — πειρᾶται — λέγει δὲ  18 ἄλλως om M V  19 ὑπ'] fort. ἐπ'  κινητὸν] τὸ κινητικὸν A, vid. Arist. III, 7 p. 431, 5.

*τίνες οὖν αὗται αἱ δύο φύσεις; καὶ τί πάλιν τὸ ὑποκείμενον ἢ συνηρτημένον τῷ ποιητικῷ; μικτὸν γάρ πως ὁ νοῦς ἔκ τε τοῦ ποιητικοῦ καὶ τοῦ δυνάμει. εἰ μὲν οὖν σύμφυτος ὁ κινῶν, καὶ εὐθὺς ἐχρῆν καὶ ἀεί· εἰ δὲ ὕστερον, μετὰ τίνος καὶ πῶς ἡ γένεσις; ἔοικεν οὖν καὶ ἀγέννητος, εἴπερ καὶ ἄφθαρτος. ἐνυπάρχων δ' οὖν διὰ τί οὐκ ἀεί; ἢ διὰ τί λήθη καὶ ἀπάτη καὶ ψεῦδος; ἢ διὰ τὴν μίξιν;* ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὅτι οὐ φαύλως ὑπονοοῦμεν ἄλλον μέν τινα παρ' αὐτοῖς εἶναι τὸν παθητικὸν νοῦν καὶ φθαρτόν, ὃν καὶ κοινὸν ὀνομάζουσι καὶ ἀχώριστον τοῦ σώματος, καὶ διὰ τὴν πρὸς τοῦτον μίξιν τὴν λήθην καὶ τὴν ἀπάτην γίνεσθαί φησιν ὁ Θεόφραστος· ἄλλον δὲ τὸν ὥσπερ συγκείμενον ἐκ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, ὃν [καὶ] χωριστὸν εἶναι τοῦ σώματος τιθέασι καὶ ἄφθαρτον καὶ ἀγέννητον, καὶ πῶς μὲν δύο φύσεις τούτους τοὺς νοῦς, πῶς δὲ μίαν· ἓν γὰρ τὸ ἐξ ὕλης καὶ εἴδους. ἀλλ' ὅπερ εἶπον, τὸ μὲν ἀποφαίνεσθαι περὶ τοῦ δοκοῦντος τοῖς φιλοσόφοις ἰδίας καὶ σχολῆς ἐστι καὶ φροντίδος, ὅτι δὲ μάλιστα ἄν τις ἐξ ὧν συνηγάγομεν ῥήσεων λάβοι τὴν περὶ τούτων γνῶσιν Ἀριστοτέλους καὶ Θεοφράστου, μᾶλλον δὲ ἴσως καὶ αὐτοῦ Πλάτωνος, τοῦτο γοῦν πρόχειρον ἴσως δυσχυρίζεσθαι.

6 Οὗτος τοίνυν ὁ δυνάμει νοῦς ὅταν ἀπολάβῃ τὴν οἰκείαν μορφὴν ἐλλάμψαντος αὐτῷ τοῦ ποιητικοῦ, πρῶτον μὲν νοεῖ τὰ ἁπλᾶ καὶ ἀδιαίρετα σημαινό-

7 οὖν καὶ] δ' οὖν ὡς M V    14 τοῦτον] τοῦτο A    16 καὶ om M.    23 τούτων] τούτου A    25 γοῦν] οὖν A    28 νοεῖ] ποιεῖ M V

μενα, ὅσα ἐν ταῖς κατηγορίαις διώρισται, ἐν οἷς οὔπω τὸ ἀληθὲς ἢ τὸ ψεῦδός ἐστι· προϊὼν δὲ καὶ συντίθησιν αὐτὰ πρὸς ἄλληλα, οἷον τὸ Σωκράτης καὶ τὸ βαδίζει, ἐν οἷς ἤδη τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. συντίθησι δὲ οὐχ ὥσπερ σωρόν, ἀλλ' ὥστε ἓν αὖθις τὰ πολλὰ ποιῆσαι καὶ περιαγαγεῖν εἰς μίαν νόησιν τὸ πλῆθος τῶν ἁπλῶν σημαινομένων· τοιοῦτον γὰρ τὸ ὁ Σωκράτης φιλοσοφεῖ, καὶ ἔοικεν αὕτη ἡ σύνθεσις τῶν ἐννοημάτων τῇ παρ' Ἐμπεδοκλεῖ τῶν μελῶν, ἣν ἐκείνῳ συντίθησιν ἡ φιλία τὰ μέλη τῶν ζώων διεσπαρμένα, καὶ ὥσπερ ἐκείνῳ οὐ πᾶσα σύνθεσις τῶν μελῶν ποιεῖ τὸ ζῶον, οὕτως οὐδ' ἐνταῦθα πᾶσα σύνθεσις τὸ ἀληθές, ἀλλὰ τὶς μὲν τὸ ἀληθὲς ποιεῖ σύνθεσις, τὶς δὲ τὸ ψεῦδος, οἷον τὸ ἀσύμμετρον μὲν συντεθὲν τῇ διαμέτρῳ τὸ ἀληθές, τὸ σύμμετρον δὲ τὸ ψεῦδος. καὶ ὥσπερ ἐκεῖ ἐξ ἁπλῶν τῶν μελῶν ἁπλοῦν γίνεται αὖθις τὸ ζῶον, οὕτως ἐξ ἁπλῶν σημαινομένων ἁπλοῦς αὖθις γίνεται ὁ λόγος. πολλοῖς δὲ προσνοεῖ καὶ τὸν χρόνον ὅταν ὡς περὶ γενομένων ἢ ἐσομένων διανοῆται, καὶ τοῦτο ἴδιον ἤδη τοῦ νοῦ ἢ τῆς ὑπὲρ τὴν φαντασίαν δυνάμεως τὸ συναντιλαμβάνεσθαι καὶ χρόνου ἤτοι παρελθόντος ἢ μέλλοντος· ἡ γὰρ αἴσθησις καὶ ἡ φαντασία ἀναντίληπτοι παντάπασι χρόνου καὶ μάλιστα παρεληλυθότος ἢ μέλλοντος· οὐδὲν γὰρ ἐγγίνεται φάντασμα τῆς ψυχῆς οὐδὲ αἴσθησις τοῦ πεφιλοσοφηκότος ἢ δεδραμηκότος, ὥσπερ οὐδὲ εἰκών, ἀλλ' ἕκαστον ὡς παρὸν ἄρτι κινεῖ τὴν αἴσθησιν ἢ τὴν φαντασίαν, τὸν χρόνον δὲ προσεννοῆσαι τοῦ νοῦ, καὶ ἔστι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καὶ περὶ τὸν χρόνον. τὸ μὲν γὰρ ἦν

---

13 τὸ post δὲ om A 14 διαμέτρῳ] ἀμέτρῳ M 18 προςνοεῖ] scrib. προσεννοεῖ 29 ἦν Κροῖσος] Herodotus I, 6.

*Κροῖσος ὁ Λυδὸς ἀληθές, τὸ δὲ ἔστι Κροῖσος ὁ Λυδὸς ψεῦδος. πολλάκις μὲν οὖν συντίθησι τὸ ὑπάρ-* fol. 91b. *χον τῷ πράγματι ὡς ὑπάρχον, ὅταν λέγῃ, ἡ χιὼν λευκή ἐστι, πολλάκις δὲ τὸ ὑπάρχον ὡς μὴ ὑπάρχον, ὅταν λέγῃ, ἡ χιὼν οὐκ ἔστι λευκή· συντίθησι γὰρ τηνικαῦτα τῷ τοιούτῳ τὸ τοιοῦτον μὴ ὑπάρχειν. εἰ δέ τις μὴ σύνθεσιν τὰ τοιαῦτα ἀλλὰ διαίρεσιν λέγοι, οὐδ' οὗτος ἂν λέγοι κακῶς· διαιρέσει γὰρ ἔοικεν ἡ ἀπόφασις, συνθέσει δὲ ἡ κατάφασις. τάχα δὲ καὶ πάντα διαίρεσις· ἃ γὰρ ἡ φαντασία συγκεχυμένως παρὰ τῆς αἰσθήσεως ὑπεδέξατο, ὁ νοῦς διαιρεῖ· ἡ μὲν γὰρ ὡς ἓν φαντάζεται τὸν βαδίζοντα Σωκράτην, ὁ νοῦς δὲ διαιρεῖ χωρὶς μὲν τὸ Σωκράτης, χωρὶς δὲ τὸ βαδίζει, καὶ ἐξαγγέλλει χωρὶς τὰ μὴ χωρίς· χωρίσας μέντοι γε αὖθις ἓν ποιεῖ· εἷς γὰρ λόγος καὶ ἓν αὖθις νόημα τὸ Σωκράτης φιλοσοφεῖ, καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ὡς ἑνὸς λόγου. δύο τοίνυν ἴδια ταῦτα τοῦ νοῦ, τό τε πολλὰ δύνασθαι νοήματα εἰς ἓν συνάγειν ὥσπερ ἕν, καὶ τὸ προσεννοεῖν τὸν χρόνον, τούτων δὲ οὐδέτερον οὔτε τῆς φαντασίας οὔτε τῆς αἰσθήσεως ἔργον ἐστί. τὸ δὲ ἁπλοῦν καὶ ἀδιαίρετον λέγεται διχῶς· ἢ γὰρ ὅτι μήτε δυνάμει μήτε ἐνεργείᾳ τοῦτό ἐστι διαιρετόν, ὥσπερ εἶχε τὰ ἄϋλα εἴδη καὶ ἡ στιγμή, ἢ ὅτι δυνάμει μὲν διαιρετὸν ἐνεργείᾳ δὲ ἀδιαίρετον, ὥσπερ ἡ γραμμὴ καὶ πᾶν μέγεθος. καὶ ὁ νοῦς τοίνυν καὶ ὁ χρόνος ᾧ προσχρῆται εἰς τὴν νόησιν, τοῖς πράγμασιν ὁμοίως καὶ διαιρετὸς καὶ ἀδιαίρετος, ἐπὶ μὲν τῶν ἀΰλων εἰδῶν παντάπασιν ἀδιαίρετος ὅ τε χρόνος καὶ αὐτὸς ὁ νοῦς, ὅταν δὲ τὰ δυνάμει μὲν δι-*

---

10 *συγκεχυμένα* A   11 *ἐπεδέξατο* A   18 *τό τε*] *τε* M
23 *διαιρετὸν* Victorius, *ἀδιαίρετον* libri

αιρετὰ ἐνέργειᾳ δὲ ἀδιαίρετα νοῇ, νοεῖ καὶ αὐτὸς ὢν ἐνεργείᾳ [ἀδιαίρετος] καὶ ἐν χρόνῳ ἀδιαιρέτῳ· νοεῖ γὰρ ὡς ἓν τὸ μῆκος καὶ οὐκ ἐν τῷ ἡμίσει μὲν χρόνῳ τόδε, ἐν τῷ ἡμίσει δὲ τοδί· οὕτω γὰρ ἂν μήκη δύο καὶ οὐχὶ μῆκος νοοίη, διαιρῶν δὲ τὸ μῆκος εἰς μήκη διαιροίη ἂν καὶ τὸν χρόνον. τὸ δὲ μὴ κατὰ ποσὸν ἀδιαίρετον ἀλλὰ τῷ εἴδει οἷον τὸ ἄνθρωπος ἢ τὸ Σωκράτης· ἄμφω γὰρ ἀδιαίρετα τῷ εἴδει· οὔτε γὰρ τὸ τοῦ ἀνθρώπου νόημα διαιρετὸν τῷ εἴδει, ἀλλ' εἴπερ ἄρα τοῖς καθ' ἕκαστον, οὔτε δὴ μᾶλλον τὸ Σωκράτους· ταῦτα τοίνυν τὰ ἀδιαίρετα τῷ εἴδει καὶ ἐν χρόνῳ ἀδιαιρέτῳ νοεῖ καὶ νοήσει ἀδιαιρέτως· οὐ γὰρ τὸ μὲν ἥμισυ τοῦ Σωκράτους ἐν τῷ ἡμίσει, τὸ δὲ ἥμισυ αὖθις ἐν τῷ ἡμίσει, οὐδὲ παρατείνεται τῇ διεξόδῳ τῆς λέξεως, δι' ἧς προφερόμεθα τὸ ἄνθρωπος. ἡ σύνθεσις τοῦ νοήματος· καὶ γὰρ τοῦτο ἤδη τῶν τοῦ νοῦ θαυμάτων, ἀκούει μὲν ἐν χρόνῳ, νοεῖ δὲ οὐκ ἐν χρόνῳ, ἀλλ' ἐν τῷ νῦν ὅπερ ἢ οὐδὲ ὅλως χρόνος ἐστὶν ἢ ἀμερὴς χρόνος. καὶ αὐτὸς δὲ ἀμερεῖ τῇ νοήσει νοεῖ, οὐ συμπαρατεινόμενος ὥσπερ ἔφην, τῷ ὀνόματι οὐδὲ κατὰ μόριον τοῦ ὀνόματος καὶ καθ' ἑκάστην συλλαβὴν προσλαμβάνων τι μόριον τοῦ νοήματος, ἀλλὰ τὸ μὲν ὄνομα διαιρετόν, ἀδιαίρετον δὲ τὸ νόημα. εἰ δὲ καὶ τὸ νόημα διαιρετὸν φιλονεικοίη τις λέγειν, κατὰ τὸ συμβεβηκὸς ἂν αὐτὸ λέγοι διαιρετόν, καὶ οὐχ ᾗ αὐτὸ διαιρετόν, ἀλλ' ᾗ τοὔνομα καὶ ἡ φωνή, δι' ἧς καὶ προφέρεται αὐτὸ καὶ νοεῖ, καὶ ᾗ ἀμερὲς ὂν μεριστῇ οὔσῃ τρόπον τινὰ δύσφραστον ἐναρμόζεται. πολλὰ δὲ κατὰ συμβεβηκὸς ἀδιαίρετα καὶ οὐχ ᾗ αὐτὰ

---

2 ἀδιαίρετος om M V 12 ἀδιαιρέτως] ἀδιαιρέτῳ M V 17 μὲν] μὲν γὰρ A 18 ἀλλ' ἐν τῷ νῦν om M V 21 καὶ καθ' — 22 νοήματος om M 25 λέγειν] λέγων?

ἀδιαίρετα, ἀλλ' ᾗ ἐκεῖνα δι' ὧν γνωρίζεται. οὕτω γὰρ καὶ τὸ πέρας τοῦ χρόνου ἐν ᾧ νοεῖ, κατὰ συμβεβηκὸς διαιρετὸν εἴποιμεν ἂν ὅτι συμβέβηκε τῷ χρόνῳ οὗ ἐστὶ πέρας καὶ δι' ἐκείνου γνωρίζεται· εἰ μὴ γὰρ τὸ ἐν πλάτει νῦν ἤνυεν ὁ ἐνιαυτὸς ὁ νῦν καὶ ὁ μὴν καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα, οὐδ' ἂν τὸ ἀμερὲς νῦν ἐνοήσαμεν. αἴτιον δὲ ὅτι ἐν πᾶσι τοῖς διαιρουμένοις ἔνεστί τι καὶ ἀδιαίρετον καὶ ἐν πᾶσι τοῖς συνθέτοις ἁπλοῦν, καὶ τοῦτο μὲν ἴσως οὐ χωριστὸν ἐκείνων οὐδὲ καθ' ἑαυτὸ δυνάμενον ὑποστῆναι, ἔνεστι δ' ὅμως· οὔτε γὰρ τῆς σημαινούσης φωνῆς τὸ σημαινόμενόν ἐστι διαστῆσαι, ἀλλ' οὐδὲ ἐξειπεῖν οἷόν τε ἄνευ φωνῆς, τάχα δὲ οὐ συνεῖναι παρ' ἑαυτῷ μή τινι λέξει καὶ πρὸς αὐτὸν ἐναρμόσαντα, ἀλλ' ὅμως τοῦτό ἐστιν ὃ μεριστὴν οὖσαν τὴν λέξιν ἀμερῆ ποιεῖ καὶ διαιρετὴν ἀδιαίρετον. ὁμοίως δὲ καὶ ἐν [τῷ] χρόνῳ τὸ ἀδιαίρετον καὶ ἐν μήκει ἐστὶ καὶ ἁπλῶς ἐν ἅπαντι τῷ συνεχεῖ, ἃ ποιεῖ καὶ τὸ μῆκος ἓν καὶ τὸν χρόνον ἕνα· τὸ γὰρ συνεχὲς καὶ τὸ ἕν· διὸ λέγομεν εἶναι τὸ στάδιον ἕν, καὶ τὴν ἡμέραν μίαν καὶ τὸν μῆνα ἕνα, τουτέστιν ὅ φημι εἶναι ἐν τῷ μήκει καὶ ἐν τῷ χρόνῳ καίτοι διαιρετοῖς οὖσιν ἀδιαίρετον καὶ συνθέτοις οὖσιν ἀσύνθετον, ἐπεὶ πάντα ἂν ἦν τὰ ποσὰ διωρισμένα καὶ πάντα πλῆθος, νῦν δὲ καὶ τὸ πλῆθος ὑπὸ τοῦ ἑνὸς περιλαμβάνεται, καὶ οὐ μόνον τὸ συνεχὲς ποσόν, ἀλλ' ἤδη καὶ τὸ διωρισμένον· δυὰς γὰρ καὶ τριὰς καὶ δεκὰς πλῆθος ὑφ' ἑνός ἐστι περιειλημμένον, ὅταν δὲ λέγω τὴν στιγμὴν ἀδιαίρετον καὶ τὸ νῦν, ἕτερον τρόπον χρὴ ταῦτα ἀκούειν ἀδιαίρετα καὶ ἀσύνθετα, καὶ ὥσπερ ἐστὶ φύσει

4 ἐν πλάτει] ἐμπλάτει M 5 μὴν] μὲν A 10 δυνάμενον om M V 12 οὐ] οὐδὲ A 16 τῷ om M ἀδιαίρετον] διαιρετὸν M V 18 τὸ γὰρ] καὶ γὰρ A

*καὶ καθ' ἑαυτὸ τὸ ἀδιαίρετον· ταῦτα γὰρ τῇ στερήσει τοῦ συνεχοῦς ἀδιαίρετα, οὕτω γοῦν αὐτὰ ὁ νοῦς καὶ νοεῖ καὶ ὁρίζεται· οὐ γὰρ αὐτοῖς ἐπιβάλλων· οὐδὲ γὰρ ἔχει μορφὴν οἰκείαν, ἀλλὰ ἀφαιρούμενος τὸ διάστημα καὶ τὸ μέγεθος οὗ πέρατα ἦν· ἔστι γὰρ καὶ τῷ νῷ καθάπερ καὶ τῇ αἰσθήσει τὰ μὲν κατ' ἐπιβολὴν νοητὰ καὶ τῆς φύσεως αὐτῶν δραττόμενα, τὰ δὲ κατὰ στέρησιν καὶ ἀφαίρεσιν. ὥσπερ γὰρ καὶ τῇ αἰσθήσει τὸ μὲν λευκὸν καὶ τὸ φῶς κατ' ἐπιβολήν, τὸ δὲ μέλαν καὶ τὸ σκότος κατὰ στέρησιν, καὶ τῇ ἀκοῇ ὁ μὲν ψόφος κατ' ἐπιβολήν, ἡ σιωπὴ δὲ κατὰ στέρησιν, οὕτω καὶ τῷ νῷ τὸ μὲν ἀγαθὸν κατ' ἐπιβολήν, τὸ δὲ κακὸν κατὰ στέρησιν, καὶ τὸ Πλατωνικὸν τοῦτο ἂν εἴη περὶ τῆς ὕλης, ὅτι νόθῳ λογισμῷ ληπτή· νόθος γὰρ ἀκριβῶς ἐνέργεια καὶ τοῦ νοῦ καὶ τῆς αἰσθήσεως ἡ μὴ κατ' ἐπέρεισιν εἴδους ἀλλὰ κατὰ ἀναχώρησιν γινομένη. καθάπερ τοίνυν ἡ αἴσθησις, εἰ μὴ δύναμιν εἶχε καὶ πρὸς τὸ ἐνεργεῖν καὶ πρὸς τὸ μή, ἀλλὰ ἀεὶ ἐνήργει, οὐκ ἄν ποτε ᾐσθάνετο τοῦ σκότους,* [fol. 92.] *οὐδὲ ἡ ἀκοὴ τῆς σιωπῆς, οὕτως, εἰ μὴ καὶ νοῦς τις ἦν πρὸς ἀμφότερα πεφυκὼς καὶ πρὸς νόησιν καὶ πρὸς ἠρεμίαν, ἢ μᾶλλόν γε καὶ πρὸς νόησιν καὶ πρὸς ἄνοιαν, οὐκ ἄν ποτε ἐνόησε τὰ κακά, οὐδὲ τὸ ἄμορφον καὶ ἀνείδεον. τοιοῦτος τοίνυν ἐστὶν ὁ δυνάμει· τρόπον γάρ τινα τοῖς ἐναντίοις τὰ ἐναντία γνωρίζει τῷ μὲν ἐνεργεῖν τὰ εἴδη, τῇ δυνάμει δὲ τὰ κατὰ στέρησιν· ἐναντία γάρ πως δύναμις καὶ ἐνέργεια. εἴ τις*

---

2 *αὐτὰ*] *αὐτὸ* A  3 *οὐ*] *οὐδὲ* M V  5 *οὗ πέρατα*] *οὗπερ αὐτὰ* M  7 *τὸ δὲ* M  8 *καὶ* post *γὰρ* om A  11 *ὁ μὲν ψόφος*] *ἡ μὲν ἀκοὴ* A  13 *Πλατωνικὸν*] Timaeo pag. 52. (64 Bekk.)  17 *αἴσθησις*] nonne *ὄψις*?  20 *μὴ καὶ*] *καὶ μὴ* A  21 *καὶ πρὸς ἠρεμίαν — νόησιν* om A  23 *ποτε* om M  26 *δὲ τὰ*] *δὲ* M

οὗ νοῦς μὴ κοινωνεῖ τοῦ δυνάμει, οὐδὲ τὰς στερήσεις νοεῖ· οὐδὲ ἄρα τὰ κακά. τοιοῦτος δὲ ὅ τε ἔξωθεν καὶ πολλῷ μᾶλλον τὸ πρῶτον αἴτιον ὅσῳ καὶ μᾶλλον ἀπήλλακται τοῦ δυνάμει· διὰ τοῦτο γὰρ οὗτος καὶ τὸ μάλιστα ὂν καὶ τὸ μάλιστα εἶδος νοεῖ καὶ πορρωτάτω στερήσεως καὶ ἀμορφίας· τοιοῦτος δὲ αὐτός, ἑαυτὸν ἄρα [νοεῖ], καὶ οὗτός ἐστιν οὗ τὴν οὐσίαν ἐνέργειαν λέγειν προσήκει καὶ ὂν ἀκριβῶς χωριστόν, οὐδὲ ἀκαρεὶ προσαρμοζόμενον τῷ δυνάμει. οὐ διὰ τοῦτο δὲ ὁ τοιοῦτος νοῦς οὐ τιμιώτερος τοῦ νοοῦντος τὰ ἐναντία· τιμιώτερος γὰρ νοῦς οὐχ ὁ τὰ πλείω νοῶν ἀλλ' ὁ τὰ ἀμείνω, οὐ διῄρηται δὲ ἐπ' αὐτοῦ τὸ νοητὸν καὶ ὁ νοῦς, ὥσπερ ἐπὶ τοῦ δυνάμει, ἀλλ' ἔστι καθὸ νοῦς νοητός, καὶ καθὸ νοητὸς αὖθις καὶ νοῦς, καὶ τὸ ἀληθὲς ἄλλως ἐπ' αὐτοῦ, μᾶλλον δὲ αὐτὸς ἡ ἀλήθεια. οὐ γὰρ ἄλλο νοῶν ἀληθεύει ἀλλ' ἑαυτόν, ὁ δὲ ἡμέτερος ἅτε σμικρὸν ἴνδαλμα ἐκείνου φέρων καὶ τὸ ἀληθὲς οὐχ ἁπλοῦν ἐπιδείκνυται, ἀλλ' ὃ τῷ ψεύδει ἀντίκειται. ἀνάγκη γὰρ εἰ ἐν τῇ καταφάσει τὸ ἀληθές, ἐν τῇ ἀποφάσει γίνεσθαι τὸ ψεῦδος, ὥστε ἀεὶ συμπεφυρμένον ἔχει τῷ ἀληθεῖ τὸ ψεῦδος καὶ συμπαραθεωρούμενον. ὅταν μέντοι γε τῶν ἁπλῶν τι σημαινομένων ἐπισκοπῇ καὶ τὸ εἶδος αὐτοῦ θεωρῇ καὶ τὸν λόγον τοῦ τί ἦν εἶναι, ἥκιστα μὲν διαψεύδεται, οὐ μὴν ἀεὶ τυγχάνει τοῦ ὄντος, ἀλλ' ὥσπερ ἡ ὄψις μόνον μὲν κρίνουσα τὸ λευκὸν ἐλάχιστα ἂν διαμαρτάνοι, Κλέωνα δὲ εἶναι τὸ λευκὸν ἀποφαινομένη πολλάκις διαμαρτάνει, οὕτω καὶ ὁ νοῦς, ἔστ' ἂν μὲν ἵστηται ἐπ' αὐτῆς τῆς ἐννοίας τοῦ τί ἦν εἶναι, οἷον τοῦ ἀγαθοῦ ἢ τοῦ καλοῦ, ὡς τὰ πολλὰ ἀναμάρτητος καὶ ἀψευδής· ὅταν δὲ ἀγα-

7 νοεῖ om M V  17 ἐδείκνυται M  19 εἰ] εἰ καὶ A
25 μόνον μὲν κρίνουσα] κρίνουσα μόνον A  28 ἵσταται A

θὸν τοῦτο λέγῃ καὶ τοῦτο καλόν, ἀλλοτριονομεῖ πολλάκις καὶ ἐπαλλάττει τὰ τοιαῦτα τοῖς μὴ τοιούτοις, καὶ ἐνταῦθα ἤδη πολὺ τὸ ψεῦδος καὶ ἡ ἀπάτη. δεῖ οὖν ἵστασθαι ἐπὶ τῶν εἰδῶν καὶ μάλιστα ζητεῖν τὸ ἄνευ ὕλης· περὶ ταῦτα γὰρ τὸ ἴδιον ἔργον τοῦ νοῦ.

Ὅμως δὲ εἰ καὶ πολὺ βέλτιον ὁ νοῦς τῆς αἰσθη- 7
τικῆς δυνάμεως, τὰ πολλὰ αὐτῷ ὑπάρχει ἀνάλογον καὶ τῇ αἰσθήσει. ὡς γὰρ ἡ ἐκείνης ἐνέργεια οὐ πάθος ἐστὶν οὐδὲ ἀλλοίωσις, ἀλλ' οὐδὲ κίνησις ὅλως (ἀτελοῦς γὰρ ἥ γε κίνησις καὶ ἀεὶ προσλαμβάνοντος τὸ ἄλλο καὶ ἄλλο, ἡ δὲ τῆς αἰσθήσεως ἐνέργεια ἀεὶ τελεία· διόπερ οὐδὲ κίνησις ἢ ἕτερον εἶδος κινήσεως), οὕτως καὶ ἡ τοῦ νοῦ πρὸς τὰ νοητὰ ἐπιβολή, οὐδὲ ἡ τοῦ τὴν ἕξιν ἔχοντος ἤδη, ὥσπερ τοῦ ἐπιστήμονος ἡ περὶ τὰ ἐπιστητὰ ἐνέργεια καὶ ἐπιβολὴ οὐ κίνησις ἀλλ' ἐνέργεια, διότι τελείου καὶ αὐτὴ τελεία. ἡ γὰρ τοῦ δυνάμει γενέσει μᾶλλον προσέοικεν ἢ τελειώσει. τοῦτό τε οὖν αὐτοῖς ἀνάλογον καὶ ἔτι ἡ ὄρεξις καὶ ἡ φυγή. μικρὸν δὲ ἄνωθεν. ἡ γὰρ αἴσθησις ποτὲ μὲν τοῦτο ἀποφαίνεται μόνον ὅτι ξανθόν, ποτὲ δὲ καὶ ὅτι ἡδὺ τὸ ξανθόν. ὅταν μὲν οὖν τοῦτο μόνον ἀποφαίνηται ὅτι ξανθόν, οὔτε φεύγει οὔτε διώκει· ὅταν δὲ προσαποφαίνηται ὅτι ἡδὺ ὥσπερ τὸ μέλι, τότε διώκει, καὶ ὅταν γε ὅτι λυπηρὸν ὥσπερ τὴν χολήν, τηνικαῦτα φεύγει. θέα τοίνυν ταὐτὸ τοῦτο καὶ ἐπὶ τοῦ νοῦ. ὅταν μὲν γὰρ νοῇ μόνον τὸ τί ἦν εἶναι τῆς ὑγιείας, οὔτε φεύγει οὔτε διώκει· ὅταν δὲ προσνοῇ καὶ προσδοξάζῃ ὅτι ἀγαθὸν ἡ ὑγίεια, τότε διώκει. ὅπερ τοίνυν τῇ

---

1 ἀλλότριον νομεῖ M 6 βελτίων? 8 καὶ om A 17 ἢ om A 18 ἔτι] ὅτι M V 19 φυγή] φάσις M V, num φύξις? 21 ἀποφαίνηται] ἀποφαίνεται A 27 προσνοῇ] fort. προσεννοῇ

*αἰσθήσει τὸ ἡδύ, τοῦτο τῷ νῷ δύναται τὸ ἀγαθόν, καὶ ὅπερ τῇ αἰσθήσει τὸ λυπηρόν, τοῦτο τῷ νῷ δύναται τὸ κακόν· ἀγαθοῦ γὰρ ἡ αἴσθησις ᾗ αἴσθησις ἀντιλαμβάνεσθαι οὐχ οἵα τε οὐδὲ κακοῦ, ἀλλὰ μόνον τοῦ τέρποντος ἢ ἀνιῶντος, τὸ δὲ ἀγαθὸν καὶ τὸ κακὸν τοῦ νοῦ μόνου κρίνειν ἐστί, νοῦ δὲ [οὗ] πολλάκις εἰρήκαμεν τοῦ καὶ τὸν χρόνον ἐφεξῆς προσεννοοῦντος. ἀλλ' ὅμως ἓν οἴεται τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν εἶναι ἡ αἴσθησις καὶ τὸ λυπηρὸν καὶ τὸ κακόν· ἕλκει γὰρ ἐπὶ τὰ ἡδέα καὶ ἀπὸ τῶν λυπηρῶν ἀποστρέφει· ὁ νοῦς δὲ ἀντιβαίνει πολλάκις ταῖς ἐκείνης ὁρμαῖς ἄλλο τι λέγων τὸ ἡδὺ τοῦ ἀγαθοῦ καὶ τὸ λυπηρὸν τοῦ κακοῦ, τῇ δὲ διανοητικῇ ψυχῇ τὰ μὲν φαντάσματα πρόκειται ὥσπερ καὶ τὰ αἰσθήματα τῇ αἰσθήσει, τὸ δὲ ἀγαθὸν καὶ τὸ κακὸν ὥσπερ ἐκείνῃ τὸ ἡδὺ καὶ τὸ λυπηρόν. ὅταν οὖν αὐτὰ συμπλέξῃ οἷον τὸ φάντασμα καὶ τὸ ἀγαθόν, ἢ τὸ φάντασμα καὶ τὸ κακόν, τότε φεύγει ἢ διώκει καὶ ἔοικε καταφάσει ἡ δίωξις, ἀποφάσει δὲ ἡ φυγή. ἀλλ' ὥσπερ οὐχ οἷόν τε ἦν τὴν αἴσθησιν ἄνευ τῶν αἰσθητῶν ἐνεργῆσαι, οὕτως οὐδὲ τὸν νοῦν τὸν συμφυῆ τῇ ψυχῇ τῇ ἡμετέρᾳ ἄνευ τῶν ἐκ τῆς αἰσθήσεως φαντασμάτων· καὶ γὰρ ὅταν ὀρέγηται καὶ ὅταν φεύγῃ, προτρέχει πάντως ἡ φαντασία. εἰ δέ τις νοῦς μήτε ἐνδεὴς ὥστε ἐφίεσθαι, μήτε ἀσθενὴς ὥστε φεύγειν, οὗτος οὐκ ἂν δέοιτο φαντασίας. ὄρεξις δὲ αἰσθητικὴ μὲν ἐπιθυμία, διανοητικὴ δὲ βούλησις, καὶ ἡ μὲν τοῦ ἡδέος, ἡ δὲ τοῦ ἀγαθοῦ, καὶ τῷ μὲν ὑποκειμένῳ ταὐτὸν αἴσθησίς τε καὶ ὄρεξις αἰσθητική, τῷ λόγῳ δὲ ἄλλο, ὥσπερ καὶ νοῦς καὶ βούλησις τῷ μὲν ὑποκειμένῳ*

---

6 *μόνον* A   *οὗ* om M V   10 *γὰρ*] *γοῦν* A   11 *νοῦν δὲ ἀντιβαίνειν* A   13 *πρόκειται*] *ὑπόκειται* M   15 *τὸ* ante *λυπηρὸν* om A

ταὐτόν, διαφέρει δὲ τῷ τί ἦν εἶναι. οὐχ ἕτερον δὲ τὸ ὀρεκτικὸν καὶ τὸ φευκτικὸν οὔτε ἀλλήλων οὔτε τῆς δυνάμεως τῆς αἰσθητικῆς, ὥσπερ οὐδὲ τὸ βουλόμενον καὶ μὴ βουλόμενον οὔτε ἀλλήλων οὔτε αὐτῆς τῆς δυνάμεως τῆς νοητικῆς, ἀλλ' ἡ αὐτὴ δύναμις καὶ φεύγειν πέφυκε καὶ διώκειν, ἡ αὐτὴ καὶ βούλεσθαι καὶ μὴ βούλεσθαι, ὀρέξεις δὲ ἅπαντα ταῦτα· ὀρέγεται γὰρ καὶ ὅταν φεύγῃ τοῦ φυγεῖν, καὶ ὅταν μὴ βούληται, τοῦ μὴ περιπεσεῖν ᾧ μὴ βούλεται. fol. 92b. ὃ τοίνυν πολλάκις εἰρήκαμεν, τοῦτο πάλιν ἀναληπτέον, ὅτι τῷ νῷ τὰ εἴδη ἐν τοῖς φαντάσμασίν ἐστιν, ὥσπερ τῇ αἰσθήσει τὰ εἴδη ἐν τοῖς αἰσθήμασι, καὶ ἐν ἐκείνοις αὐτὰ νοεῖ. συμβαίνει οὖν αὐτῷ καὶ παρούσης τῆς αἰσθήσεως καὶ ἀπούσης κινεῖν τὴν ὄρεξιν παραπλησίως. ἡ γὰρ δόξα τοῦ ἀγαθὸν ἢ κακὸν εἶναι ὃ νοεῖ, διωκτὸν αὐτὸ ἢ φευκτὸν ποιεῖ. ὁρῶν μὲν γὰρ τὸν φρυκτὸν καὶ συνείς, ὅτι πολέμιος, φεύγει, καὶ μὴ ὁρῶν δὲ ἀλλ' ἑαυτῷ προβάλλων τὰ φαντάσματα καὶ προστιθεὶς τὴν δόξαν ταὐτὸν ποιεῖ. ταῦτα δέ ἐστι τὰ ἔργα τοῦ πρακτικοῦ νοῦ· τούτου γὰρ τὸ κινεῖν τὴν ὄρεξιν, ἐπεὶ ὅ γε θεωρητικὸς νοῦς γινώσκει μόνον. ἔστι μέντοι καθάπερ τῇ αἰσθήσει τὸ ἡδὺ καὶ τὸ λυπηρόν, οὕτως αὖ πάλιν τῷ θεωρητικῷ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τὸ ἀληθὲς μὲν ἀντὶ τοῦ ἀγαθοῦ, τὸ ψεῦδος δὲ ἀντὶ τοῦ κακοῦ, διαφέρει δὲ ὅτι τὸ μὲν ἀληθὲς ἁπλῶς ἀληθές, καὶ τὸ ψεῦδος παραπλησίως, τὸ δὲ ἀγαθόν τινι καὶ τὸ ἡδύ τινι, ὥστε ὁ μὲν θεωρητικὸς τὸ ἁπλῶς κρίνει, ὁ δὲ πρακτικὸς τό τινι. νοεῖ δὲ ἄλλως μὲν τὰ καθ' αὐτὰ νοητά, ἄλλως δὲ τὰ ἀφαιρέσει λεγόμενα, τὴν γραμμὴν [λέγω] καὶ τὴν ἐπιφάνειαν

---

5 αὐτῆς om A V  12 τὰ τῇ αἰσθήσει εἴδη A  17 τὸν φρυκτὸν] τὸ φευκτὸν A  30 λέγω om M V

*καὶ ὅση ὕλη γεωμετρίας· ταῦτα γάρ ἐστι μὲν πέρατα τῶν σωμάτων τῶν φυσικῶν, νοεῖ δὲ αὐτὰ οὐ συλλαμβάνων τὸ φυσικὸν σῶμα, ὥσπερ εἰ τὸ σιμὸν οἷός τε ἦν χωρίζειν τῆς ῥινὸς ἢ τῆς σαρκὸς ᾗ συμβέβηκεν· ἐνόει γὰρ ἂν τὸ μὴ δυνάμενον ἄνευ τῆς ῥινὸς ὑποστῆναι χωρὶς τῆς ῥινός. νῦν δὲ ἐπὶ τοῦ σιμοῦ μὲν τοῦτο ποιεῖν ἀδυνατεῖ· ὁ γὰρ λόγος τοῦ σιμοῦ τὴν ῥῖνα περιλαμβάνει· ῥινὸς γὰρ πάντως καὶ σαρκὸς κοιλότης ἐστὶν ἡ σιμότης, αὐτὸ δὲ τὸ κοῖλον καὶ τὸ κυρτὸν καὶ τὴν εὐθεῖαν καὶ τὴν κεκλασμένην καὶ τὸ τρίγωνον καὶ τὸ τετράγωνον οἷός τέ ἐστι καθ' ἑαυτὰ θεωρεῖν, καίτοι μὴ καθ' αὐτὰ ὑφεστῶτα. αἴτιον δὲ ὅτι εἰ καὶ μὴ κεχώρισται τὰ τοιαῦτα σωμάτων τῶν φυσικῶν, ἀλλ' ὁ λόγος αὐτῶν καὶ τὸ τί ἦν εἶναι τὴν ὕλην οὐ συνεφέλκεται. διὰ τοῦτο οὖν τὰ καθ' ὑπόστασιν μὴ κεχωρισμένα ὁ νοῦς ἑαυτῷ δύναται ποιεῖν κεχωρισμένα πρὸς τὴν τοῦ ποσοῦ θεωρίαν, ἡ θεωρία δὲ τοῦ ποσοῦ οὐ δεῖται τοῦ φυσικοῦ σώματος οὐδὲ τῶν ὑπαρχόντων αὐτῷ παθῶν ᾗ φυσικόν, οἷον θερμότητος ἢ ψυχρότητος ἢ ξηρότητος ἢ ὑγρότητος, ἀλλὰ τῶν διαστημάτων αὐτοῦ μόνον καὶ τῶν περάτων. καὶ διὰ τοῦτο γεωμετρία καὶ ἀριθμητικὴ μάλιστα τῶν ἐπιστημῶν ἀφεστήκασι τῆς φυσικῆς ὕλης, ὅτι καὶ δίχα τοῦ παρασυνθεωρεῖν αὐτὴν προΐασιν αὐταῖς αἱ ἀποδείξεις· διὸ καὶ τῆς αἰσθήσεως ἥκιστα προσδέονται, ὅτι καὶ ὕλης· ἀστρονομία δὲ καὶ μουσικὴ πειρῶνται μὲν καὶ αὐταί, οὐχ ὁμοίως δὲ ἐπευποροῦσιν, ἀλλ' ἡ αἴσθησις αὐταῖς καὶ ἀρχὴ καὶ τέλος τῆς θεωρίας. τὰ μὲν οὖν ἐξ ἀφαιρέ-*

---

4 *ἢ* — 6 *χωρὶς τῆς ῥινός* om M 12 *καὶ μὴ*] *μὴ καὶ* V *μὴ* M 14 *αὐτῶν*] *αὐτοῦ* M V 23 *ὑφεστήκασι* M *καὶ* om M 27 *ἐξευποροῦσιν* A

σεως οὕτω νοεῖ, εἰ δὲ καὶ τὰ φύσει κεχωρισμένα καὶ τὰ ἁπλῶς ἄϋλα εἴδη οἷός τέ ἐστι νοεῖν ἐν τῷ σώματι ὢν καὶ μὴ κεχωρισμένος μεγέθους, σκεπτέον μὲν καὶ ὕστερον, ῥητέον δὲ καὶ νῦν· δόξειε γὰρ ἂν εὔλογον εἶναι, καθάπερ ἐκεῖνος ὁ θεῖος νοῦς χωριστὸς ὢν καὶ ἐνεργείᾳ οὐδὲν νοεῖ τῶν ἐνύλων, μηδὲ τὸν ἔνυλον νοεῖν τι τῶν κεχωρισμένων, ὁ δὲ θεῖος νοῦς οὐδὲν νοεῖ τῶν ἐνύλων. εἰκότως· οὐ γὰρ ἔχει δύναμιν ᾗ τῶν στερήσεων ἀντιλήψεται, καὶ τοῦτο οὐκ ἦν ἐλάττωμα αὐτοῦ ἀλλ' ὑπεροχή· οὐδὲ γὰρ τὴν τοῦ φθείρεσθαι δύναμιν ἔχει, καὶ διὰ τοῦτο τῶν ἐχόντων αὐτὴν ἐλαττοῦται. ὅπερ οὖν ἔφην, εἰ οὗτος μηδὲν τῶν ἐνύλων νοεῖ, δόξειέ γ' ἂν ἀκόλουθον εἶναι μηδὲ τὸν ἔνυλον νοεῖν τι τῶν ἔξω τῆς ὕλης. οὐ μὴν ἀληθὲς τοῦτο· ἔχει γὰρ οὗτος δύναμιν τοῦ νοεῖν καὶ τὰ ἄϋλα παντελῶς. ὃς γὰρ καὶ τὰ ἔνυλα εἴδη χωρίζων τῆς ὕλης νοεῖ, δηλονότι πέφυκε μᾶλλον τὰ κεχωρισμένα νοεῖν· ἡ γὰρ ἐλάττωσις αὐτῷ πρὸς τὸν θεῖον νοῦν οὐχ ὅτι μηδέποτε δύναται νοεῖν τὰ ἄϋλα εἴδη, ἀλλ' ὅτι μὴ συνεχῶς καὶ ἀεί.

Ταῦτα μὲν οὖν πολλάκις ἐπισκεπτέον· νῦν δὲ περὶ 8 ψυχῆς τὰ λεχθέντα συγκεφαλαιώσαντες εἴπωμεν πάλιν, ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς ἐστιν ἅπαντα. ἢ γὰρ αἰσθητὰ τὰ ὄντα ἢ νοητά. ἔστι δὲ ἡ μὲν κατ' ἐνέργειαν ἐπιστήμη τὰ ἐπιστητά, ἡ δὲ κατ' ἐνέργειαν αἴσθησις τὰ αἰσθητά. πῶς δὲ τοῦτο, εἴρηται μὲν καὶ πρότερον ἱκανῶς, νῦν δὲ καὶ ἕτερόν τι προσληπτέον. τὰ ὄντα τοίνυν τὰ μὲν δυνάμει τὰ δὲ ἐνεργείᾳ, οὕτω δὲ καὶ ἡ ψυχὴ τὰ

---

6 μηδὲ — 8 τῶν ἐνύλων om A   8 ᾗ] ἢ M   10 τὴν om A   12 οὗτος] οὕτω A (V?)   13 δόξειέ γ'] δόξειεν A

*μὲν δυνάμει εἴδη ἐστί, τὰ δὲ ἐνεργείᾳ· ὅταν μὲν γὰρ ἔχῃ τὴν ἕξιν τῆς αἰσθήσεως καὶ τοῦ νοῦ, μὴ ἐνεργῇ δέ, δυνάμει ἐστὶ τὰ ὄντα, ὅταν δὲ ἐνεργῇ ταῖς ἕξεσιν ἀμφοτέραις, ἐνεργείᾳ ἤδη ἐστὶ τὰ ὄντα. καλῶς δὲ λέγομεν τὰ ὄντα εἶναι ἅπαντα τὴν ψυχήν· τὰ γὰρ εἴδη ἐστὶ τὰ ὄντα. καὶ γὰρ κατὰ τὸ εἶδος ἕκαστόν ἐστιν ὅ ἐστιν, ἡ δὲ ὕλη γενέσεως ἦν μᾶλλον αἰτία καὶ τοῦ γίνεσθαι, οὐ τοῦ εἶναι· ἡ μὲν γὰρ ἄπαυστος ῥοὴ τῶν σωμάτων διὰ τὴν ὕλην, ἀτρεμίζει δὲ ἕκαστον καὶ ταὐτόν ἐστιν ἐπί τινα χρόνον διὰ τὸ εἶδος. καλῶς οὖν λέγεται τὰ ὄντα πάντα εἶναι τὴν ψυχήν, ἐπειδὴ τὰ εἴδη τῶν ὄντων πάντων λαμβάνει τῷ τε νῷ καὶ τῇ αἰσθήσει, καὶ γίνεται αὐτοῖς ἡ αὐτή. γίνεται δὲ οὐχ ὅλοις τοῖς πράγμασιν ἡ αὐτή· οὐ γὰρ λίθος ἐν τῇ ψυχῇ οὐδὲ πῦρ οὐδὲ γῆ, λείπεται τοίνυν τὰ εἴδη γίγνεσθαι τὴν ψυχήν, καὶ οὐδὲν κωλύει λόγῳ λόγον συναρμόζεσθαι καὶ μορφὴν μορφῇ, ὥστε ἡ ψυχὴ ὥσπερ ἡ χείρ. καὶ γὰρ ἡ χεὶρ ὄργανον ὀργάνων, δι' οὗ χρώμεθα τοῖς ἄλλοις ὀργάνοις, καὶ ἡ ψυχὴ εἶδος εἰδῶν ᾧ ἀντιλαμβανόμεθα τῶν ἄλλων εἰδῶν. μήποτε δὲ οὐ τῷ λαμβάνειν μόνον τὰ εἴδη πάντα λέγεται καλῶς εἶναι τὰ ὄντα ἡ ψυχή, ἀλλὰ καὶ τῷ ἐντιθέναι τὰ εἴδη τῇ ὕλῃ. αὕτη γάρ ἐστιν ἡ τὴν ὕλην μορφοῦσα ποικίλαις μορφαῖς· ἡ γὰρ ζωὴ παρὰ ταύτης ἡ πολὺ τῆς ὕλης τρανεστέρα μὲν ἐπὶ τῶν ζώων, ἀμυδροτέρα δὲ ἐπὶ τῶν φυτῶν καὶ τῶν στοιχείων. οἷς δὲ οὐδὲν εἶναι πρᾶγμα δοκεῖ παρὰ τὰ μεγέθη τὰ αἰσθητὰ κεχωρισμένον, τούτοις ἀκολουθεῖ τὰ νοητὰ εἴδη τίθε-*
fol. 93. *σθαι ἐν τοῖς εἴδεσι τοῖς αἰσθητοῖς, τοιαῦτα δὲ τὰ*

---

2 ἐνεργεῖ M  3 ὅταν δὲ ἐνεργῇ ταῖς ἕξεσιν ἀμφοτέραις] ἐνεργοῦσα δὲ A  6 γὰρ post καὶ om M  8 οὐ τοῦ] αὐτοῦ M  16 λόγον λόγῳ M  24 πολὺ Victorius, πολλὴ libri

τῇ ἀφαιρέσει λεγόμενα καὶ ὅσα τῶν αἰσθητῶν ἕξεις καὶ πάθη, τὰ δὲ ὥσπερ συμπεφυρμένα τῇ ὕλῃ· ἅπαντα δὲ οὖν ὅμως αὐτῆς ἐξημμένα. σημεῖον δέ· ὁ γὰρ ἐκ γενετῆς τυφλὸς καὶ κωφὸς οὐκ ἂν μάθοι γεωμετρίαν, μήποτε δὲ οὐδ' ἂν φαντασθείη κύκλον ἢ τρίγωνον, εἰ μὴ θερμὸν ἴσως καὶ ψυχρὸν καὶ γλυκὺ καὶ πικρὸν καὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες, ἃ καὶ αἰσθάνεται. καὶ τὸ ἓν δὲ καὶ τὰ δύο καὶ τὸν ἀριθμὸν ἐκ τῶν αἰσθητῶν ὁ νοῦς ἐξ ἀρχῆς ἐρανίζεται. διὰ τοῦτο οὖν καὶ νῦν ὅταν θεωρῇ τὰ τοιαῦτα ἀνάγκη αὐτῷ ἅμα φαντάσματι θεωρεῖν· τὰ γὰρ φαντάσματα ὥσπερ αἰσθήματά ἐστι πλὴν ἄνευ ὕλης. ἔστι δὲ τὰ μὲν κατὰ συμπλοκὴν τυπούμενα καὶ νοούμενα φανερῶς ἕτερα τῶν φαντασμάτων· ἡμέρας μὲν γὰρ καὶ φωτὸς τὰ αὐτὰ φαντάσματα μένει ἐν τῇ ψυχῇ, συμπλέκει δὲ αὐτὰ ὁ νοῦς ποικίλως ἐν τῷ· εἰ ἡμέρα ἐστί, φῶς ἐστί, καὶ ἐν τῷ· ἡμέρα ἐστὶ καὶ φῶς ἐστί, καὶ ἐν τῷ· ἡμέρα μέν ἐστι, φῶς δὲ οὐκ ἔστι, καὶ ἐν τῷ· ἔστω ἡμέραν εἶναι καὶ φῶς εἶναι· καὶ αὗται πᾶσαι αἱ συμπλοκαὶ διαφέρουσιν ἀλλήλων τε καὶ τῶν φαντασμάτων, καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος κατὰ τὴν συμπλοκήν, ἐν ταῖς φαντασίαις δὲ οὔ. τὰ δὲ ἁπλᾶ καὶ πρῶτα νοήματα τί διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ ταῦτα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντασμάτων; οὐ γὰρ ταὐτὸν τό τε νόημα τὸ ἀπὸ τοῦ Σωκράτους καὶ ἡ φαντασία, ἀλλὰ τὰ μὲν φαντάσματα τύπος τις καὶ ἴχνος αἰσθήσεως καὶ ὥσπερ πεῖσις, εἴ μοι τὴν πεῖσιν νοοίης ὡς πολλάκις προειρήκαμεν, τὸ νόημα δὲ ἐνέρ-

---

2 ὥσπερ] ὡς A  6 εἰ] ἢ M  καὶ post ἴσως om M  9 ἐξ ἀρχῆς om A  11 θεωρεῖ A  13 τυπούμενα] λεγόμενα A  14 γὰρ om M  16 εἰ om A  18 ἔστι καὶ ἐν] ἐστιν ἐν M  24 ταῦτα] τἆλλα Aristotelis libri

γεια τοῦ νοῦ περὶ τὸ φάντασμα ὑποκείμενον. ταύτῃ τοι καὶ ποικίλως αὐτῷ χρῆται καὶ ταῖς πτώσεσιν ἐξαλλάττων καὶ τοῖς ἄρθροις.

---

# ΘΕΜΙΣΤΙΟΥ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙΦΡΑΣΕΩΝ ΠΕΡΙ ΨΥΧΗΣ

## ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

9 Ἐπεὶ δ' ἡ ψυχὴ τῶν ζώων κατὰ δύο ὥρισται μάλιστα δυνάμεις τήν τε κριτικήν, αὕτη δέ ἐστι διανοίας ἔργον καὶ αἰσθήσεως, καὶ τὴν κινητικὴν τῆς κατὰ τόπον κινήσεως, περὶ μὲν αἰσθήσεως καὶ νοῦ διωρίσθω τέως τοσαῦτα· περὶ δὲ τοῦ κινοῦντος τί ποτέ ἐστιν, ἑξῆς σκεπτέον, πότερον ἕν τι μόριον τῆς ψυχῆς καὶ τοῦτο χωριστὸν κατὰ μέγεθος ἢ κατὰ λόγον, ἢ πᾶσα ἡ ψυχή, καὶ εἰ μόριον, πότερον ἕτερον παρὰ τὰ λέγεσθαι εἰωθότα οἷον τὸ λογιστικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν, ἢ τούτων ἕν τι. καίτοι γε αὐτὸ τοῦτο ἀπορίαν ἔχει πολλήν, πότερον δεῖ μόρια λέγειν ψυχῆς μεγέθει καὶ τόπῳ διεστηκότα, ἢ δυνάμεις πλείους ἐν ταὐτῷ ὑποκειμένῳ διαφερούσας, ὥσπερ εἶχεν ἐπὶ τοῦ μήλου τὸ

---

2 αὐτῷ] αὖ M 4 titulus V, spatium tituli capax M, similiter A 8 ἐπεὶ δ' ἡ] ἐπειδὴ ἡ A

ἡδὺ καὶ τὸ εὐῶδες καὶ τὸ λευκόν. εἰ δὲ μόρια, πόσα ἄρα τὸν ἀριθμόν, καὶ εἰ μόνα τὰ τρία, ὡς τίθενταί τινες, ἢ καὶ πλείω. σχεδὸν γὰρ οὐκ εὐαρίθμητα φαίνεται τὰ μέρη τῆς ψυχῆς, εἰ τοιαύτας λαμβάνει τις διαφοράς, αἷς τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν καὶ τὸν λογισμὸν χωρίζουσι· φαίνεται γὰρ ἄλλα μόρια μείζω διάστασιν ἔχοντα τούτων· τὸ γὰρ θρεπτικὸν ὃ καὶ τοῖς φυτοῖς ὑπάρχει καὶ πᾶσι τοῖς ζώοις, μακρῷ μᾶλλον τῶν τριῶν διενήνοχεν ἢ τὰ τρία ταῦτα ἀλλήλων, καὶ τὸ αἰσθητικὸν δὲ παραπλησίως· οὔτε γὰρ ὡς λόγον ἔχον αὐτό, οὔτε ὡς ἄλογον παντελῶς θετέον. καθὸ μὲν γὰρ κρίνει τὰς ἐν τοῖς αἰσθητοῖς διαφοράς, καὶ ἀφορμὴ καὶ ἐπιβάθρα γίνεται τῷ λόγῳ, κατὰ τοῦτο ἂν δόξειε νοῦ κοινωνεῖν· καθὸ δέ ἐστιν οὐδὲν ἔλαττον ἐν τοῖς ἀλόγοις ζώοις, ταύτῃ δὲ αὖ πάλιν ἄλογον ἂν νομισθείη. ἔτι δὲ τὸ φανταστικὸν τῷ μὲν εἶναι κατὰ τὸν λόγον ἕτερον τῶν εἰρημένων, εἴπερ δὲ τὰ τρία μέρη μόνα, τουτέστι τὰ λεγόμενα τῆς ψυχῆς, ἢ τῷ λόγῳ συντακτέον αὐτὴν ἢ τῇ ἐπιθυμίᾳ ἢ τῷ θυμῷ. πρὸς ἅπασι δὲ τοῖς εἰρημένοις τὸ ὀρεκτικόν, ὃ καὶ τῷ λόγῳ πάμπολυ διαφέρει καὶ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ τῶν προειρημένων ἁπάντων, ἓν τιθείη τις ἂν τῶν τριῶν· καὶ γὰρ ἄτοπον ἴσως τὸ διασπᾶν ταύτην τὴν δύναμιν καὶ τιθέναι αὐτὴν καὶ ἐν τῷ λόγον ἔχοντι καὶ ἐν τῷ ἀλόγῳ, καὶ μὴ ποιεῖν καὶ ταύτην χωρὶς ὥσπερ ἐκείνων ἕκαστον. ἀλλ' ὅθεν ἐξετραπόμεθα, τί τὸ κινοῦν τὸ ζῷον κατὰ τόπον ἐστί; (τὴν μὲν γὰρ κατὰ αὔξησιν κίνησιν καὶ φθίσιν τὸ πᾶσιν ὑπάρχον δόξειεν ἂν κινεῖν, λέγω δὲ τὸ γεννητικὸν καὶ θρεπτικόν, σκεπτέον δὲ ὕστερον καὶ περὶ ἀναπνοῆς

---

1 ἡδὺ] γλυκὺ A 14 κοινωνεῖν] κοινωνόν A 27 κατὰ τόπον τὸ ζῷον M

καὶ ἐκπνοῆς, ὑπὸ τίνος γίνονται δυνάμεως, καὶ περὶ ὕπνου καὶ ἐγρηγόρσεως· κινήσεις γὰρ καὶ αὗται καὶ ἀλλοιώσεις τοῦ ζώου) ἀλλ' ὅ γε προυθέμεθα ἐξ ἀρχῆς περὶ τῆς κατὰ τόπον κινήσεως, τί τὸ κινοῦν τὸ ζῷον τὴν πορευτικὴν κίνησιν, ἐπισκεπτέον. ὅτι μὲν οὖν ἡ θρεπτικὴ δύναμις οὐ κινεῖ τὸ ζῷον ταύτην τὴν κίνησιν, δῆλον· ἀεὶ γὰρ ἕνεκά τινος ἡ κίνησις ἡ κατὰ τόπον καὶ μετὰ φαντασίας καὶ διώξεως ἢ φυγῆς τοῖς μὴ βίᾳ κινουμένοις ἀλλ' ἑκουσίως· ἡ θρεπτικὴ δὲ φαντασίας ἄμοιρος παντελῶς, διὰ τοῦτο δὲ καὶ ὀρέξεως· πᾶσα γὰρ ὄρεξις ἐπ' αἰσθήσει καὶ φαντασίᾳ. ὀρεγόμενα μὲν οὖν τῆς τροφῆς ἐπ' αὐτὴν κινεῖται τὰ ζῷα, οὐ μὴν διὰ τοῦτο ταὐτὸν ἡ θρεπτικὴ δύναμις τῇ ὀρεκτικῇ· σημεῖον δέ· ἐν γὰρ τοῖς φυτοῖς ἡ θρεπτικὴ μέν ἐστιν, ἡ ὀρεκτικὴ δὲ οὐδαμῶς, διότι μηδὲ αἴσθησις μηδὲ φαντασία. εἰ δ' ἦν ἐν τῷ θρεπτικῷ τὸ κατὰ τόπον κινητικόν, εἶχεν ἄν τι μόριον ὀργανικὸν πρὸς τὴν κίνησιν τὴν πορευτικὴν τὰ φυτά· οὐδὲν γὰρ μάτην ἡ φύσις δίδωσιν. ἀλλ' οὐδὲ τὸ αἰσθητικὸν ταὐτὸν τῷ κατὰ τόπον κινητικῷ· πολλὰ γὰρ τῶν ζώων αἴσθησιν μὲν ἔχει, μόνιμα δ' ἐστὶ καὶ ἀκίνητα διὰ τέλους οὐδὲ δύναμιν ἔχοντα τοῦ κατὰ τόπον κινεῖσθαι· μάτην γὰρ ἂν εἶχεν, ἡ δὲ φύσις ἄμφω κατ' ἴσον φυλάσσεται καὶ τὸ μάτην τι προστιθέναι καὶ τὸ ἐλλείπειν τι τῶν ἀναγκαίων, πλὴν ἐν τοῖς πηρώμασι καὶ
fol. 93b. ἀτελέσι. τὰ δὲ τοιαῦτα τῶν ζώων τέλεια καὶ οὐ πηρώματά ἐστι. σημεῖον δέ, ὅτι γεννητικὰ ἑτέρων τοιούτων καὶ ἀκμὴν ἔχει καὶ φθίσιν. ἀλλὰ μὴν οὐδὲ τὸ λογιστικὸν καὶ ὁ καλούμενος νοῦς ἐστιν ὁ κινῶν· ἐπεὶ γὰρ διττὸς ὁ νοῦς, ὁ μὲν θεωρητικὸς οὐδὲν

5 πορευτικὴν] τοπικὴν M V 12 μὲν om A

θεωρεῖ τῶν πρακτῶν οὐδὲ περὶ φευκτοῦ καὶ ὀρεκτοῦ διανοεῖται, ἡ κίνησις δὲ ἡ κατὰ τόπον ἢ φεύγοντος ἢ διώκοντος· ὁ δὲ πρακτικὸς νοεῖ μέν τι περὶ τούτων, κύριος δὲ οὐκ ἔστι τῆς κινήσεως. πολλάκις γοῦν τι διανοεῖται φυγῆς ἄξιον καὶ οὐ φεύγει, οἷον σεισμὸν ἢ θηρίον, ἀλλὰ πάλλει μὲν ἡ καρδία καὶ φρίττουσιν αἱ τρίχες, μένει δὲ ἐν τῷ τόπῳ τὸ ζῷον· πολλάκις δὲ καὶ ἡδύ τι λογιζομένου μόριον μέν τι τοῦ σώματος συναισθάνεται, ἠρεμεῖ δὲ ὅλον τὸ ζῷον. αἴτιον δέ, ὅτι τὰ φοβερὰ καὶ τὰ ἡδέα οὐ μόνον παρόντα καὶ μέλλοντα διανοεῖται, ἀλλὰ καὶ παρεληλυθότα ἐνίοτε καὶ μάλιστά γε ὁ ἄνθρωπος, κινεῖσθαι δὲ ἐπὶ τὰ παρελθόντα οὐχ οἷόν τε. οὐκ ἔστιν οὖν ἡ νόησις κυρία τοῦ μεταβαίνειν, πολλάκις δὲ καὶ φανερῶς ἐπιτάττοντος τοῦ νοῦ καὶ κελευούσης τῆς διανοίας φεύγειν ἢ διώκειν οὐ κινεῖται τὸ ζῷον κατὰ τὸν νοῦν, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν, ὥσπερ ὁ ἀκρατής. οὐκ ἄρα ὁ νοῦς οὐδὲ ἡ ἐπιστήμη κινεῖ τὸ ζῷον ταύτην τὴν κίνησιν. καὶ γὰρ ἄλλως ὁρῶμεν, ὅτι συμβαίνει τὸν ἔχοντα τὴν ἰατρικὴν μὴ ἰατρεύειν, καὶ τὸν ἔχοντα τὴν ἱππικὴν μὴ ἱππεύειν, ὡς ἑτέρου τινὸς ὄντος κυρίου τοῦ κινεῖσθαι, ἀλλ' οὐ τῆς τέχνης ἢ τῆς ἐπιστήμης. ἀλλὰ μὴν οὔτε ἡ ἐπιθυμία καθ' ἑαυτὴν ταύτης κυρία τῆς κινήσεως, οὔτε ὁ θυμός· οἱ γὰρ ἐγκρατεῖς θυμούμενοι καὶ ἐπιθυμοῦντες ἡσυχάζουσιν ὑπὸ τοῦ λογισμοῦ κατεχόμενοι.

Φαίνεται δὴ τὰ δύο ταῦτα κινοῦντα νοῦς καὶ 10
ὄρεξις, [ἢ] εἴ τις καὶ τὴν φαντασίαν ὡς νόησίν τι-

1 θεωρεῖ om A    9 αἰσθάνεται M V    23 καθ' αὑτὴν post κινήσεως M    28 ἢ εἰ] del. ἢ

θείη· πολλὰ γὰρ καὶ [οἱ] ἄνθρωποι ταῖς φαντασίαις ἀκολουθοῦσι μᾶλλον ἢ ταῖς ἐπιστήμαις, καὶ τὰ ἄλογα ζῷα ταύταις οἰακίζεται μόναις ἀποροῦντα φρονήσεως, οἷς ἡ φαντασία γίνεται ἀντὶ νοήσεως. ὅταν δὲ λέγω τὸν νοῦν κινεῖν κατὰ τόπον, τὸν πρακτικὸν λέγω νοῦν καὶ ἕνεκά του λογιζόμενον ἢ βουλευόμενον. διαφέρει δὲ τοῦ θεωρητικοῦ τῇ πολλάκις εἰρημένῃ διαφορᾷ, ὅτι τῷ μὲν αὐτὴ τέλος ἡ ἐνέργεια, τῷ πρακτικῷ δὲ ἡ ὄρεξις ἄλλου τινὸς ἕνεκεν παρ' αὐτὴν τὴν ἐνέργειαν· ὁ γὰρ σκοπὸς ἐφ' ὃν ἡ θεωρία καὶ ἡ ὄρεξις, οὗτός ἐστιν ἀρχὴ τοῦ πρακτικοῦ νοῦ· πρὸς τοῦτον γὰρ ὁρῶν λογίζεται καὶ βουλεύεται περὶ τῶν πρακτέων καὶ τὸ ἔσχατον αὐτῷ τῆς νοήσεως, εἰς ὃ ἵσταται βουλευόμενος, ὅπως ἂν τὸ τέλος περιποιήσαιτο. ἀρχὴ τῆς πράξεως καὶ αὖ πάλιν τὸ πέρας τῆς πράξεως ἡ τῆς νοήσεώς ἐστιν ἀρχή. εὐλόγως οὖν ἐν τοῖς δύο τούτοις ζητητέον τὴν κινητικὴν αἰτίαν τῆς πορείας τοῖς ζῴοις, λέγω δὲ ἐν ὀρέξει καὶ διανοίᾳ πρακτικῇ, διότι καὶ ἄμφω τέλους ἕνεκεν τοῦ ὀρεκτοῦ· καὶ γὰρ ἡ διάνοια ὅταν κινῇ ὀρεκτοῦ τινὸς χάριν κινεῖ, ὥστε οὐδὲ ἄνευ ὀρέξεως, εἴπερ τὰ πρός τι πρὸς ἄλληλα. ἓν δή τι τὸ κινοῦν πρώτως τὸ ὀρεκτόν, καὶ μία ἡ τούτου ὄρεξις, καὶ οὐχ ὡς ἄλλο τι θετέον τὸν νοῦν καὶ τὴν ὄρεξιν· οὐδὲ γὰρ ἄλλο τὸ εἶδος τοῦ γένους, ἦν δὲ καὶ ἐν τῷ νῷ ὄρεξις· ἡ γὰρ βούλησις ὄρεξις ἦν. εἰ δὲ ἦν δύο καὶ ἕτερα ἀλλήλων νοῦς καὶ ὄρεξις, ἐκίνει δὲ ἄμφω, ἄλλη ἄν τις δύναμις ὑπῆρχεν ἀμφοτέροις κοινή, ἧς ἀμφότερα κοινωνοῦντα ἐκίνει τὸ ζῷον, ὡς τῷ δίποδι καὶ τῷ τετράποδι τὸ πόδας

---

1 οἱ om M V 22 ὀρεκτόν] ὀρεκτικὸν M 23 ἡ om M
24 τὸ] τι A

ἔχειν. νῦν δὲ ὁ μὲν νοῦς οὐ φαίνεται κινῶν ἄνευ ὀρέξεως· εἴρηται γὰρ ὅτι καὶ ἡ βούλησις ὄρεξις, ἡ δὲ ὄρεξις καὶ ἄνευ νοῦ· ὄρεξις γάρ ἐστι καὶ θυμὸς καὶ ἐπιθυμία, καὶ παρὰ τὸν λογισμὸν κινεῖ πολλάκις. δῆλον δὲ ἐπὶ τῶν ἀκρατῶν, ὅτι τοῦ νοῦ πρὸς τὰ ἀμείνω κινοῦντος ὀρέγονται τῶν φαυλοτέρων. νοῦς μὲν οὖν ἅπας ὀρθὸς ὅ γε κυρίως, ὄρεξις δὲ οὐ πᾶσα ὀρθή, ἀλλ' οὐδὲ φαντασία ἡ χωρὶς νοῦ, εἰ καὶ τῷ νῷ πολλάκις αὐτὴν συνετάξαμεν. διὰ ταῦτα τοίνυν κινεῖ μὲν ἀεὶ τὸ ὀρεκτόν, τοῦτο δέ ἐστιν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον [ἀγαθόν], ἀλλὰ τὸν μὲν νοῦν τὸ ἀληθινὸν ἀγαθόν, τὸ φαινόμενον δὲ τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν· καὶ γὰρ τὸ ἡδὺ τηνικαῦτα φαίνεται ἀγαθόν, ὅταν κινῇ τὴν ἐπιθυμίαν ἢ τὸν θυμόν. οὐ πᾶν δὲ ἀγαθὸν κινητικὸν τῆς ὀρέξεως· οὐ γὰρ τὸ πρῶτον οὐδὲ εἴ τι ἁπλῶς ἀγαθὸν καὶ ἀΐδιον· τοῦτο μὲν γὰρ ἴσως κοινὸν ἅπασι τὸ ὀρεκτὸν καὶ ἄλλον τρόπον ὃν ὕστερον ἐπισκεπτέον. νῦν δὲ τὸ ἑκάστῳ τῶν ζώων αἴτιον τῆς κινήσεως ἐπιζητοῦμεν, ὅπερ ἤδη τὸ ἐν μέρει ἐστὶν ἀγαθὸν καὶ τὸ ἐνδεχόμενον καὶ γενέσθαι καὶ μὴ γενέσθαι, καὶ τὸ μὴ ἁπλῶς ἀλλὰ τινί, καὶ τὸ ποτὲ καὶ πρὸς τόδε. ὅτι μὲν οὖν ἡ τοιαύτη δύναμις τῆς ψυχῆς κινεῖ τὴν κατὰ τόπον κίνησιν τὰ ζῷα ἣν καλοῦμεν ὄρεξιν, φανερόν, καὶ ὅτι τοῖς διαιροῦσι τὰ μέρη τῆς ψυχῆς, ἐὰν κατὰ τὰς δυνάμεις διαιρῶσι καὶ χωρίζωσι, προσαριθμητέον καὶ ταύτην, ὥσπερ τὸ θρεπτικὸν καὶ τὸ αἰσθητικὸν καὶ τὸ θεωρητικὸν καὶ τὸ βουλευτικόν, μεθ' ὧν δὴ

---

3 καὶ post ἐστι om M 8 ἡ om M 11 ἀγαθόν om M V 16 τὸ ante πρῶτον om A V εἴ τι] εἴη A 19 ἑκάστῳ] ἐν ἑκάστῳ A 22 τὸ ante ποτὲ om M 25 τὰς om A 27 αἰσθητικὸν καὶ τὸ θρεπτικὸν M 28 καὶ — βουλευτικόν om M V

*καὶ τὸ ὀρεκτικὸν τοῦτο περὶ οὗ ὁ λόγος διώρισε· ταῦτα γὰρ πλείω διενήνοχεν ἀλλήλων ἢ θυμὸς καὶ ἐπιθυμία καὶ αἱ ταῦτα φέρουσαι τὰ πάθη δυνάμεις· οὕτω δ' ἂν οὐ τρία μέρη τῆς ψυχῆς εἴη καθάπερ λέγουσιν, ἀλλὰ πολλῷ πλείω. πάλιν δὲ ἐπὶ τὰ προκείμενα ἐπανιτέον. μία οὖν δύναμις ἡ κινοῦσα κατὰ τόπον τὰ ζῷα, ἣν πολλάκις ὠνομάσαμεν ὄρεξιν εἴτε λογισμοῦ προηγουμένου εἴτε ἐπιθυμίας εἴτε θυμοῦ· ὥσπερ γὰρ οὐδὲν ἐκώλυε μίαν εἶναι τὴν αἰσθητικὴν ἀρχὴν πέντε οὐσῶν τῶν αἰσθήσεων, οὕτως οὐδὲν κωλύει μίαν εἶναι τὴν ὀρεκτικὴν δύναμιν, τρεῖς δὲ ἐνεργείας, ἐφ' αἷς ἡ ὄρεξις. διὰ τοῦτο δὲ συμβαίνει πολλάκις καὶ ἐναντίας ἀλλήλαις γίνεσθαι τὰς ὀρέξεις, ὅταν ὁ λογισμὸς διαμάχηται πρὸς τὴν ἐπιθυμίαν ἢ τὸν θυμόν. γίνεται δὲ αὕτη ἡ μάχη τῶν ὀρέξεων ἐν* fol. 94. *τοῖς χρόνου αἴσθησιν ἔχουσιν καὶ μάλιστά γε ἐν ἀνθρώπῳ· οὗτος γὰρ αἰσθάνεταί γε χρόνου καθ' αὑτό, τὰ δὲ ἄλλα κατὰ συμβεβηκός· οὐ γὰρ τοῦ χρόνου ἀλλὰ τοῦ πάθους οὗ ἔπαθε πάλαι, ἀμέλει τοῦ μέλλοντος οὐδὲν αὐτῶν αἴσθησιν ἔχει, ὅτι μηδὲ πάσχει τι ἐν τῷ μέλλοντι, εἰ μὴ ἄρα ἐν μύρμηξι καὶ μελίτταις καὶ τοῖς ἀποθησαυρίζουσι τὴν τροφὴν ἔστι πως καὶ τοῦ μέλλοντος αἴσθησις χρόνου· ἄνθρωπος δὲ μόνος ἅμα πρόσσω καὶ ὀπίσσω· μόνος γὰρ ἔχει νοῦν ᾧ τὸ πρότερον ἀριθμεῖ καὶ τὸ ὕστερον, ὁ δὲ ἀριθμὸς οὗτος χρόνος ἐστίν, ὥστε καὶ ποιητὴν εἰπὼν τοῦ χρόνου τὸν ἄνθρωπον ὁ ἐξηγητὴς Ἀλέξανδρος οὐκ οἴεται φαύλως εἰρηκέναι, ἄντικρυς ἐπίνοιαν ἡμετέραν ποιῶν τὸν χρόνον, ὑπόστασιν δὲ οἰκείαν αὐτῷ μὴ διδούς, οὐκ ὀρθῶς οὐδὲ ἑπομένως Ἀριστοτέλει, εἴπερ*

---

17 *γε* om A   24 *πρόσω* A, *ὀπίσω* libri   *νοῦν ἔχει* M

τι δεῖ προσέχειν τοῖς ἐν τῇ φυσικῇ ἀκροάσει. ἀλλ' ὅταν γε ὁ νοῦς διαμάχηται πρὸς τὴν ἐπιθυμίαν, τότε τὰς ὀρέξεις ὡς ἔφην ἐναντίας ἀλλήλαις γίνεσθαι συμβαίνει, ὧν ὁ μὲν διὰ τὸ μέλλον ἀνθέλκει, ἡ δὲ ἐπιθυμία τὸ παρὸν ἡδὺ διώκει· φαίνεται γὰρ τὸ νῦν ἡδὺ καὶ ἁπλῶς ἡδὺ καὶ ἁπλῶς ἀγαθὸν διὰ τὸ μὴ ὁρᾶν τὸ μέλλον. ἓν μὲν οὖν εἴδει τὸ ὀρεκτικόν, ἓν δὲ καὶ τὸ πρὸ τούτου τὸ ὀρεκτόν, ὅπερ ἤδη κινεῖ οὐ κινούμενον τῷ νοηθῆναι ἢ φαντασθῆναι, ἀριθμῷ δὲ εἶναι πλείω τὰ κινοῦντα καὶ ὡς ὀρεκτὰ καὶ ὡς ὀρεκτικὰ οὐδὲν κωλύει. τρία τοίνυν ἐστὶν ὧν χωρὶς οὐκ ἂν γένοιτο ἡ κίνησις αὕτη τοῖς ζῴοις, μᾶλλον δὲ τέτταρα, τὸ κινοῦν καὶ ᾧ κινεῖ καὶ τὸ κινούμενον. τέτταρα δὲ εἶπον, ὅτι τὸ κινοῦν διττόν, τὸ μὲν ἀκίνητον ὥσπερ τὸ πρακτὸν ἀγαθόν, τὸ δὲ κινούμενον καὶ κινοῦν ὥσπερ ὄρεξις· αὕτη γὰρ κινεῖ τὰ ζῷα κινηθεῖσα ὑπὸ τοῦ ἀγαθοῦ· ἡ γὰρ κίνησις ἡ κατὰ τόπον οὐδὲν ἄλλο ἐστὶν ἢ τῆς ὀρέξεως εἰς τοὐμφανὲς πρόοδος καὶ ἐνέργεια· ἀλλ' ἐπειδὴ μὴ παρ' ἑαυτῆς ἔχει τὴν ἀρχήν, ἀλλὰ παρὰ τοῦ πρακτοῦ ἀγαθοῦ, διὰ τοῦτό φαμεν καὶ κινεῖν αὐτὴν καὶ κινεῖσθαι. τὸ κινούμενον δέ ἐστι τὸ ζῷον. τρία μὲν οὖν ταῦτα· τέταρτον δὲ ἐπεισέρχεται πρὸς τούτοις, ᾧ κινεῖ ὀργάνῳ ἡ ὄρεξις, τοῦτο δὲ ἤδη σωματικόν, καὶ ἐν τοῖς κοινοῖς σώματος καὶ ψυχῆς ἔργοις θεωρητέον περὶ αὐτοῦ δι' ἀκριβείας, νῦν δὲ ὅσον ἐν κεφαλαίῳ, τοσοῦτον ῥητέον, ὅτι τὸ ὄργανον ᾧ χρῆται πρὸς τὴν κίνησιν τὴν κατὰ τόπον ἡ ὄρεξις, ἐν τοιούτῳ θετέον μέρει τοῦ σώματος, ἐν οἵῳ δύναιτ' ἂν καὶ ἀρχὴ καὶ τελευτὴ

1 φυσικῇ] libro IV. 2 τότε — συμβαίνει om M 20 πρακτοῦ] πρακτικοῦ A 22 τέταρτον δὲ] τέταρτον τὸ A 25 θεωρητέον] θεωρητέον δὲ M

τὸ αὐτὸ εἶναι, λόγῳ μὲν ἕτερα ὄντα μεγέθει δὲ ἀχώριστα. τοιοῦτος δὲ ὁ περὶ τὴν καρδίαν τόπος ἐστίν· αὕτη γὰρ ἀρχὴ καὶ τελευτὴ τῶν τε δεξιῶν καὶ τῶν εὐωνύμων καὶ τῶν ἄνω καὶ κάτω, καθ' ἃ τοῖς ζῴοις ἡ κίνησις· δεῖται γὰρ τὸ ζῷον πρὸς τὴν κίνησιν δύο τινῶν ἑστώτων καὶ ἠρεμούντων, τοῦ μὲν ἐκτὸς πρὸς ὃ ἀντιβαῖνον κινεῖται, τοῦ δὲ εἴσω περὶ ὃ τὰ δεξιὰ καὶ ἀριστερὰ παρὰ μέρος προβάλλον κινεῖται, ὥσπερ ἐπὶ τῶν γιγγλυμῶν. περὶ γὰρ τὴν περόνην μένουσαν οἱ γιγγλυμοὶ παραλλὰξ κινοῦνται· πάντα γὰρ ὤσει κινεῖται καὶ ἕλξει τὰ ζῷα· ἐκτείνοντα γὰρ καὶ συστέλλοντα παρὰ μέρος τὰ δεξιὰ καὶ εὐώνυμα οὕτω πορεύεται, ταῦτα δὲ ὦσις καὶ ἕλξις. ὥσπερ οὖν ἐν κύκλῳ μένειν δεῖ τὸ σημεῖον καὶ ἐντεῦθεν ἄρχεσθαι τῆς κινήσεως τὴν περιφέρειαν, οὕτω καὶ ἐν τῷ ζῴῳ μένειν ἀνάγκη τι ἐν τῷ μέσῳ καὶ παρὰ τούτου καὶ ἀπὸ τούτου τὴν κίνησιν γίνεσθαι τῶν μερῶν. ὅλως μὲν οὖν ὥσπερ εἴρηται, ᾗ ὀρεκτικὸν τὸ ζῷον, ταύτῃ ἑαυτοῦ κινητικόν, ὀρεκτικὸν δὲ οὐκ ἄνευ φαντασίας, φαντασία δὲ πᾶσα ἢ λογικὴ ἢ αἰσθητική. ἡ μὲν οὖν αἰσθητικὴ καὶ τοῖς ἀλόγοις ζῴοις ὑπάρχει, ἡ δὲ λογικὴ ἀνθρώποις μόνοις· ἐν τούτοις γὰρ πλειόνων φαντασμάτων ἀντεξέτασις, καὶ πότερον τόδε αἱρετώτερον ἢ τόδε, τοῦτο δὲ λογιστικοῦ ἔργον ἐστί, καὶ ἀνάγκη ἑνὶ μετρεῖν· τὸ μεῖζον γὰρ διώκει. ὥσπερ οὖν ἐν τοῖς ποσοῖς εὑρίσκει τῶν ἀνίσων τὸ μεῖζον ἑνὶ μέτρῳ χρώμενος, οἷον τῷ πήχει ἢ τῷ παλαιστῇ, οὕτω καὶ ἐν τοῖς φαντάσμασιν εὑρίσκει τὸ αἱρετώτερον ἓν μέτρον προσάγων, οἷον τὸ ἡδὺ ἢ τὸ συμφέ-

---

9 γιγγλυσμῶν A V, item γιγγλυσμοὶ 14 ἄρχεσθαι] ἄρχεται A 24 καὶ om M 25 διώκειν M V 29 μέτρον εὑρίσκει A

ρον, καὶ οὐκ ἄγεται ὑπὸ τοῦ φανέντος εὐθὺς ὥσπερ τὰ ἄλογα ζῶα, ἀλλὰ καὶ συντίθησι πολλάκις, εἰ τόδε τόδε, καὶ εἰ τόδε αὖθις τόδε, καὶ συμπεραίνεται ἐκ πλειόνων ἕν. διόπερ ἡ μὲν τῶν ἀλόγων ζώων ὄρεξις ἅτε κινουμένη ὑπὸ ἁπλῆς ἀεὶ φαντασίας δόξαν οὐκ ἔχει· συλλογισμὸν γὰρ οὐκ ἔχει, ἡ δὲ τῶν λογικῶν ὄρεξις καὶ ἄνευ δόξης καὶ μετὰ δόξης, καὶ ἐντεῦθεν ὄρεξις μὲν οὐχ ἅπασα καὶ βούλησις, βούλησις δὲ πάντως καὶ ὄρεξις. νικᾷ δὲ ἐν ἀνθρώποις ποτὲ μὲν ἡ ἄλογος τὴν λογικήν, ποτὲ δὲ τοὔμπαλιν, κινεῖ δὲ ἡ κρατοῦσα τὴν κρατουμένην οὐ παύουσα τῆς ὁρμῆς ἀλλὰ συμπεριάγουσα ἑαυτῇ, ὥσπερ ἐπὶ τῆς σφαίρας τῆς οὐρανίας ἡ τῶν ἀπλανῶν τὴν τῶν πλανήτων οὐχ ἵστησιν, ἀλλὰ κινουμένη ἰδίαν κίνησιν ὁμοίως ἑαυτῇ συμπεριάγει. ἐπὶ μὲν οὖν τοῦ παντὸς ἡ φύσει κρείττων ἀεὶ κρατεῖ· ἡ γὰρ ἀνωτάτω φύσει ἀρχικωτέρα, ἐπὶ δὲ τῶν ἀνθρώπων ἔσθ' ὅτε ἡ φύσει κρείττων ἡττᾶται ὥσπερ ἐν ταῖς ἀκρασίαις, καὶ τρεῖς ἤδη τηνικαῦτα κινήσεις εἴποις ἂν εἶναι ἐν τῷ ἀνθρώπῳ, δύο μὲν τὰς τῶν ὀρέξεων, μίαν δὲ τὴν τοῦ ἀνθρώπου ὑπ' ἀμφοῖν ἀντισπωμένην.

11 Ἀλλὰ ἐπεὶ κινεῖται κατὰ τόπον καὶ τὰ ἀτελέστερα ζῶα οἷον μυῖαι καὶ εὐλαὶ καὶ ὅσα τοιαῦτα, πῶς κινεῖται ἄνευ ὀρέξεως; ἢ πῶς ὀρέγεται ἄνευ φαντασίας, ἣν ἔφαμεν αὐτὰ μὴ ἔχειν; φαίνεται δὲ καὶ λύπη ἐνοῦσα τοῖς τοιούτοις καὶ ἡδονή, ὅπου δὲ ἡδονή, πάντως καὶ ἐπιθυμία· ὅπου δὲ ἐπιθυμία, πάντως καὶ ὄρεξις· ὅπου δὲ ὄρεξις, καὶ φαντασία, ταύτην δὲ αὐτὰ ὁ πρότερος ἀφῃρεῖτο λόγος.

---

5 ἅτε] ὥστε A 7 καὶ ante ἄνευ om M 12 αὐτῇ M 13 τὴν] τὰ A 15 συμπεριάγει] περιάγει A 26 ὅπου δὲ ἡδονή om A

ἢ ὥσπερ κινεῖται ἀορίστως, οὕτω καὶ φαντάζεται ἀορίστως; ὥστε ἔχειν μὲν φαντασίαν, ἀδιάρθρωτον δὲ καὶ συγκεχυμένην, καθάπερ δὴ καὶ τὴν αἴσθησιν· fol. 94b. καὶ γὰρ ταύτην ἔχει ἀτελῆ καὶ ἀόριστον. τοῦτο μὲν οὖν ταύτῃ καὶ ἐπιζητείσθω καὶ ἐπιλελύσθω, ἐπειδὴ δὲ ἡ μὲν τοῦ καθόλου ὑπόληψις, ἡ δὲ τοῦ καθ' ἕκαστον· ἡ μὲν γὰρ λέγει ὅτι παντὶ τῷ φιλοσοφοῦντι εὖ ποιητέον, ἡ δὲ ὅτι ἐγὼ δὲ φιλοσοφῶ, τίς ἄρα τοῦ κινεῖσθαι κυρία; ἆρα ἡ ἐν μέρει, ἢ ἡ καθόλου, ἢ ἄμφω; ἄμφω μὲν οὖν, ἀλλ' ἡ μὲν ἠρεμοῦσα μᾶλλον, ἡ δὲ τῇ κινήσει συνάπτουσα· τὸ γὰρ συμπέρασμα κατ' ἐκείνην, ἐμοὶ τοίνυν τοδὶ πρακτέον, καὶ εὐθὺς κινεῖται, ἂν μή τι κωλύῃ.

12 Τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν ἀνάγκη πᾶν ἔχειν ζῷον, ὅ τιπερ ἂν ᾖ γενητὸν καὶ φθαρτόν, καὶ συμπαρατείνειν αὐτῷ τὴν δύναμιν ταύτην ἀπὸ γενήσεως ἄχρι φθορᾶς· πᾶν γὰρ τὸ γεννώμενον αὔξησιν ἔχει καὶ ἀκμὴν καὶ φθίσιν, ταῦτα δὲ ἄνευ τροφῆς ὑπάρχειν ἀδύνατον. τὴν μὲν οὖν θρεπτικὴν διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ἐν πᾶσι τοῖς αὐξανομένοις εἶναι καὶ φθίνουσι, τὴν αἰσθητικὴν δὲ οὐκ ἀναγκαῖον ἐν ἅπασι τοῖς τρεφομένοις· οὐ γὰρ καὶ τοῖς φυτοῖς. ἄνωθεν δὲ [καὶ] περὶ τοῦδε διαληπτέον.

Τῶν αἰσθήσεων ἁπασῶν προϋπάρχειν δεῖ τὴν πρώτην ἀφήν· πᾶσαι γὰρ αἱ λοιπαὶ ταύτῃ προσχρῶνται, αὕτη δὲ οὐδεμιᾷ τῶν ἐφεξῆς. ὅσα τοίνυν τῶν ζώντων ἢ ἐξ ἁπλοῦ παντάπασι σώματος ἢ ἐγγὺς ἁπλοῦ, οὐχ οἷά τε ἔχειν ἁφήν· ἐν μεσότητι γὰρ τῶν ἁπτῶν ἐναντιώσεων ἡ ἁφή, ἁφῆς δὲ ἀμοιροῦντα καὶ

---

15 γεννητὸν AV  16 γεννήσεως A  23 καὶ om MV
24 τὴν πρώτην] μόνην MV

τῶν ἄλλων αἰσθήσεων ἀμοιρεῖ· διὰ τοῦτο γὰρ οὐδὲ τοῖς φυτοῖς αἰσθήσεως ἡ φύσις μετέδωκεν, ὅτι τὸ σῶμα αὐτῶν ἐγγὺς ἁπλοῦ καὶ οὐχ οἷόν τε δέχεσθαι τὸ εἶδος ἄνευ τῆς ὕλης τῆς τοιαύτης μεσότητος ἅτε ἐστερημένον καὶ πλείονος μετέχον τῆς γῆς, ἣ μάλιστα ἀναίσθητος τῶν στοιχείων. δῆλον δὲ καὶ ἐκ τῶν ἡμετέρων μερῶν, ὅσα γῆς ἐστι πλείονος. εἰ δέ τι ἄλλο τῶν ζωῆς μετεχόντων ἐστὶν ἐξ ἁπλοῦ σώματος διὰ τὴν αὐτὴν ταύτην αἰτίαν οὐχ οἷόν τε οὐδὲ ἐκεῖνο αἴσθησιν ἔχειν, ἀλλ' ἔστιν ἡ αἴσθησις ἀναγκαία τοῖς οὐ μόνον ζῶσιν ἀλλ' ἤδη καὶ ζώοις, καὶ οὐχ ἁπλῶς ἀλλὰ ζώοις πορευτικοῖς, καὶ οὐδὲ τοῦτο ἀποχρῶν, ἀλλὰ καὶ γενητοῖς καὶ φθαρτοῖς. οὐ γὰρ ἐγγύθεν ἔχει τὴν τροφὴν ἐπιρρέουσαν, οὐδὲ ἐκ τῶν στοιχείων, ἐν οἷς ἐσπάρη καὶ ἐφυτεύθη, ἀλλὰ δεῖ πορίζεσθαι αὐτὰ καὶ μετιέναι. τοῦτο δὲ πῶς ἂν ὑπῆρχεν αὐτοῖς ἄνευ αἰσθήσεως, εἰ μὴ καὶ πόρρωθεν προεώρα τὰ οἰκεῖα καὶ τὰ ἀλλότρια, ὥστε ἐπὶ μὲν τὰ κινεῖσθαι, ἀπὸ δὲ τῶν ἀποτρέπεσθαι; καὶ οὐδ' ἂν ἀκαρῆ χρόνον διεσώζετο μὴ προσαγγελλουσῶν αὐτὰ τῶν αἰσθήσεων ἐφ' ἅ τε κινητέον καὶ ἐφ' ἃ μή, ὥστε μάτην ἂν ἡ φύσις τοσαῦτα ζῶα παρήγαγε μὴ μέλλουσα αὐτὰ προάξειν εἰς τὸ οἰκεῖον τέλος, τέλος δὲ οἰκεῖον ἑκάστῳ τῶν γενητῶν ζώων τὸ γεννῆσαι οἷον αὐτό. τοῖς μὲν οὖν φυτοῖς καὶ μονίμοις οὖσιν ὑπάρχει τὸ τέλος· τρέφεται γὰρ καὶ γεννᾶται ἐξ αὐτῶν οὐ μεταβαίνοντα διὰ τὴν τροφήν, ἀλλ' ἔχοντα παρακειμένην διὰ τῆς δυνάμεως τῆς θρεπτικῆς· τοῖς πορευτικοῖς δὲ καὶ γεννητικοῖς καὶ

---

10 ἀναγκαία post ζῶσιν M   12 γεννητοῖς A V   18 μὲν τὰ] μὲν τὸ M V   20 προσαγγελουσῶν A   23 γεννητῶν A V   27 διὰ τῆς] διὰ τὴν τῆς M V

τὴν τροφὴν ἔξωθεν πορίζομένοις ἀδύνατον μὴ προτέραν ἐγγίνεσθαι τὴν αἴσθησιν τῆς τε ἄλλης ψυχῆς καὶ τοῦ νοῦ. καὶ γὰρ εἰ τιμιωτάτη δύναμις τῆς ψυχῆς ὁ νοῦς, ἀλλ' οὐ διὰ νοῦ τρέφεται τὸ ζῶον, ἀλλὰ διὰ γεύσεως καὶ ἁφῆς. τούτοις μὲν οὖν διὰ ταῦτα ἀναγκαῖον ὑπάρχειν αἴσθησιν· ὅσα δὲ ἀγέννητα μὲν καὶ ἀΐδια, κινητικὰ δὲ κατὰ τόπον, τούτοις οὐδαμῶς ἡ αἴσθησις ἀναγκαία. αἰτία δὲ ἡ αὐτὴ καὶ ἐπὶ τούτων, ὅτι μηδὲν μάτην ἡ φύσις ποιεῖ τῶν τηλικούτων, ἀλλὰ πάντα ἢ ἕνεκά του ἢ ὡς συμπτώματα τῶν ἕνεκά του, ὡς εἴποις ἂν τρίχας ἔν τισι μέρεσι τοῦ σώματος καὶ ἀκροχορδόνας, τοῖς δὲ ἀϊδίοις ζώοις καὶ ἀγεννήτοις οὔτε προηγουμένως χρεία τῆς αἰσθήσεως, οὔτε ὡς συμπτώματος· οὐ γὰρ δεῖται τροφῆς. καὶ ἄλλως, εἴπερ ἔχει τὴν αἴσθησιν, διὰ θάτερον ἕξει τοῖν δυοῖν ἢ ὡς τῇ ψυχῇ βέλτιον ἢ ὡς τῷ σώματι. νῦν δὲ οὐδέτερον· οὔτε γὰρ ἡ ψυχὴ μᾶλλον νοήσει, ἀλλὰ καὶ ἧττον ὑπὸ τῆς αἰσθήσεως ἐνοχλουμένη, οὔτε τὸ σῶμα μᾶλλον διὰ τὴν αἴσθησιν, ὥστε ἄμοιρα αἰσθήσεως μᾶλλον τὰ ἄκρα τῶν ζώντων, τὰ φυτὰ λέγω καὶ τὰ ἄστρα, τὰ μὲν ὅτι χείρω τῆς τοιαύτης δυνάμεως, τὰ δὲ ὅτι βελτίω, ἄμφω δὲ διὰ τὸ μὴ δεῖσθαι πορισμοῦ τροφῆς, ἀλλὰ τὰ μὲν ἐγγύθεν ἔχειν, τὰ δὲ ὅλως μὴ δεῖσθαι. τὰ μέντοι γε μεταξὺ σύμπαντα ζῶα, καὶ ὅσα ἀτελέστερα αὐτῶν καὶ ὅσα τελειότερα, ταῦτα δὲ ἅτε ὄντα φθαρτὰ καὶ κινητικὰ κατὰ τόπον δεῖται πρὸς διαμονὴν καὶ σωτηρίαν τῆς αἰσθητικῆς δυνάμεως. ταύτῃ τοι καὶ τὸ σῶμα οὐδενὸς τῶν τοιούτων ἁπλοῦν· ἀλλ' ἐν με-

---

6 ἀγένητα M, et sic infra 18 καὶ post ἀλλὰ om M 22 χείρω] χωρὶς M V

σότητι κεκραμένον τῶν πρώτων ἐναντιώσεων, ὥστε δύνασθαι ἁπτικὸν εἶναι, ἁφὴ δὲ καὶ διὰ τάδε ἀναγκαιοτάτη τοῖς γεννητικοῖς ζώοις· ἐπεὶ γὰρ τὸ ζῷον σῶμα ἔμψυχόν ἐστι, σώματι δὲ ὄντι αὐτῷ ἀνάγκη ἅπτεσθαι τῶν πελαζόντων σωμάτων, ἀνάγκη διὰ τοῦτο τῷ ζώῳ καὶ ἁπτικῷ εἶναι καὶ κρίνειν τό τε οἰκεῖον καὶ τὸ ἀλλότριον, εἰ μέλλοι σώζεσθαι. οὐ γὰρ ὥσπερ τὰ ἄλλα ἄψυχα λέγεται ἅπτεσθαι ἀλλήλων τῷ μηδὲν εἶναι τὸ μεταξύ, τοῦτο καὶ τοῖς ζώοις ἀπόχρη, ἀλλ' ἡ τῶν ζώων ἁφὴ κρίσις ἐστὶ καὶ ἀντίληψις τοῦ θιγγάνοντος. αἱ μὲν οὖν ἄλλαι αἰσθήσεις δι' ἑτέρων αἰσθάνονται, ἡ δὲ ἁφὴ διὰ τῆς σαρκὸς ἢ τοῦ ἀνάλογον, ὥστε εἰ μὴ κρίνει τὰ βλάπτοντα καὶ τὰ ὠφελοῦντα, οὐ δυνήσεται τὰ μὲν φεύγειν τὰ δὲ λαμβάνειν, τοῦτο δὲ ἀδυνατοῦντα ἀδυνατήσει καὶ σώζεσθαι. ἅπτεται μὲν οὖν καὶ τὰ φυτὰ τῆς τροφῆς, ἀλλ' ἔστι τῶν ἀψύχων ἐγγὺς ἡ τούτων ἁφή· μόνιμα γάρ ἐστι κατὰ τόπον, διόπερ οὐδὲ γεύσει προσχρῆται, ὅτι μάτην ἂν ἐχρῆτο. φεύγειν γὰρ οὐχ οἷά τε τοὺς λυποῦντας χυμούς, οὕτω δὲ καὶ φθείρεται ῥᾳδίως ὑπὸ τῶν ἁπτῶν ὅσα ἀλλότρια. τὰ δὲ ζῷα προτέρᾳ χρῆται fol. 95. τῇ γεύσει τῆς τροφῆς. διὰ τοῦτο οὖν ἡ ἁφὴ αὐτοῖς ἀναγκαία· καὶ γὰρ ἡ γεῦσις ὥσπερ ἁφή· τροφῆς γὰρ ἡ γεῦσις, ἡ δὲ τροφὴ σῶμα ἁπτόν· σώματι γὰρ τρέφεται σῶμα, ψόφος δὲ καὶ χρῶμα καὶ ὀσμὴ οὐ τρέφει οὐδὲ ποιεῖ αὔξησιν οὐδὲ φθίσιν. αὗται μὲν οὖν ἀναγκαῖαι τῷ ζώῳ, καὶ φανερὸν ὅτι οὐχ οἷόν τε ἄνευ ἁφῆς εἶναι ζῷον, κἂν τέλειον κἂν ἀτελὲς ᾖ· τὰ γὰρ καλούμενα ζωόφυτα διὰ ταῦτα κεκοινώνηκε τοῦ ζῴα

3 γεννητικοῖς] γεννητοῖς V, et simplici ν M   22 διὰ] καὶ διὰ M V   29 ζωόφυτα M

πως εἶναι, αἱ δὲ ἄλλαι τοῦ εὖ ἕνεκα καὶ γένει ζώων ἤδη οὐ τῷ τυχόντι, ἀλλὰ τοῖς τελειοτέροις καὶ πορευτικοῖς. ταῦτα γὰρ εἰ μέλλει σώζεσθαι δεῖ πόρρωθεν προαισθάνεσθαι, ἅ τε φευκτέον αὐτοῖς καὶ ἃ διωκτέον· διόπερ ἀκοὴ καὶ ὄψις καὶ ὄσφρησις πρὸς τοῦτο αὐτοῖς ὑπηρετοῦσι· διὰ γὰρ τοῦ μεταξύ, ὑπὸ τοῦ μεταξὺ δὲ τὸ ζῶον. ὥσπερ γὰρ ἐν τοῖς κατὰ τόπον ὠθοῦσί τε καὶ ὠθουμένοις, ὅταν διὰ πολλῶν ἡ κίνησις ᾖ, τὸ μὲν πρῶτον ὠθεῖ μὴ ὠθούμενον, τὸ δὲ ἔσχατον μόνον ὠθεῖται, τὰ μέσα δὲ καὶ ὠθεῖ καὶ ὠθεῖται, καὶ ἔστιν ἐνίοτε μὲν ἐλάττω ἐνίοτε δὲ πλείω τὰ μέσα, οὕτω καὶ ἐπὶ τῆς ἀλλοιώσεως, πλὴν ὅτι μένοντος ἐν τῷ αὐτῷ τόπῳ τοῦ ἀλλοιοῦντος ἡ ἀλλοίωσις ἐπὶ πολὺ διικνεῖται τῶν γε πεφυκότων διαδιδόναι τὸ πάθος, οἷον εἰ μέν τις εἰς κηρὸν βάψειε τὸ γλύμμα μέχρι του κινεῖται, καὶ δέχεται τὸ σημεῖον μέχρι τοῦ βάθους τοῦ ἑαυτοῦ, λίθος δὲ οὐδὲ ὅλως κινεῖται ὑπὸ τῆς σφραγῖδος προσενεχθείσης. ἀλλ' ὕδωρ μέχρι πόρρω, ὥστε καὶ ὁρᾶσθαι δι' αὐτοῦ τὸ γλύμμα τοῦ δακτυλίου, ὁ δὲ ἀὴρ ἐπὶ πλεῖστον κινεῖται καὶ πάσχει, ἐὰν ἄθρυπτος μείνῃ καὶ εἷς. διὸ καὶ περὶ ἀνακλάσεως βέλτιον οὕτω νομίζειν, ἢ τὴν ὄψιν ἐξιοῦσαν ἀνακλᾶσθαι· πιθανώτερον γὰρ τὸν ἀέρα πάσχειν ὑπὸ τοῦ σχήματος καὶ τοῦ χρώματος μέχριπερ ἂν δύνηται εἷς μένειν, ὥσπερ ἐπὶ τῶν λείων καὶ λαμπρῶν· διὸ πάλιν οὗτος τὴν ὄψιν κινεῖ, ὥσπερ ἂν εἰ τὸ ἐν τῷ κηρῷ σημεῖον διεδίδοτο μέχρι τοῦ πέρατος.

13 Ἀλλ' ὅ γε λόγος καὶ τοῦτο ὥρμηται προσαποδεῖ-

---

3 μέλλοι A (V?) 27 τὸ om M V

ξαι, ὅτι οὐχ οἷόν τε ἁπλοῦν εἶναι τὸ τοῦ γενητοῦ ζώου σῶμα, λέγω δὲ ἁπλοῦν ἐκ τῶν τριῶν τούτων τινός, οἷον πύρινον ἢ ὑδάτινον ἢ ἀέρινον. τὸ γὰρ θεῖον σῶμα χωρὶς ἔστω ἐν εὐφημίᾳ· ἁφὴν γὰρ οὐχ οἷόν τε εἶναι ἐξ ἁπλοῦ σώματος, ἀλλ' ἐν μεσότητι κεκραμένου, καὶ ὅσα ἐκ τῶν ἁπλῶν στοιχείων ἐδείκνυτο αἰσθητήρια, τῶν ἄλλων αἰσθήσεων ἐδείκνυτο πλὴν τῆς ἁφῆς, οἷον ὄψεως καὶ ἀκοῆς καὶ ὀσφρήσεως ὕδωρ καὶ ἀήρ. καὶ ταῦτα ἐδεῖτο μὲν τοῦ θιγγάνειν, οὐκ αὐτῶν δὲ ὅμως θιγγάνοντα τὴν κρίσιν ἐποιεῖτο τῶν αἰσθητῶν, ἀλλ' ἑτέρου σώματος μεταξὺ διακονοῦντος, τὴν δὲ ἁφὴν αὐτῶν ἅπτεσθαι τῶν αἰσθητῶν ἀναγκαῖον. καὶ γὰρ τοὔνομα αὐτῆς ἐκ τοῦ ἅπτεσθαι καὶ θιγγάνειν. τὸ τοίνυν συμβαῖνον ἐκ τοῦ λόγου συγχωρητέον· εἰ γὰρ ἀναγκαῖον μὲν τὴν ἁφὴν τοῖς ζώοις ὑπάρχειν, ταύτην δὲ οὐχ οἷόν τε ἔκ τινος εἶναι τῶν τριῶν τούτων στοιχείων, οὐδ' ἂν τὸ τοῦ ζώου σῶμα ἔκ τινος εἴη τῶν εἰρημένων. ἀλλὰ ἆρα γῆς; ἀλλὰ καὶ ἐπὶ ταύτης ὁ αὐτὸς λόγος, ὅτι ἔστιν ἡ ἁφὴ μεσότης ἁπασῶν τῶν ἁπτῶν ἐναντιώσεων οὐ μόνον ψυχρότητος καὶ θερμότητος, ἀλλὰ καὶ ξηρότητος καὶ ὑγρότητος τῶν ἐν τοῖς ἁπλοῖς στοιχείοις. κέκραται γὰρ ἐξ ἁπάντων ὑπὸ τῆς φύσεως ἡ μέλλουσά γε ἁπάντων αὐτῶν ἀντιλήψεσθαι, γῆ δὲ καθ' αὐτὴν ἀναισθητότατον τῶν στοιχείων. τεκμήριον δέ· καὶ γὰρ καὶ τὰ ἡμέτερα μέρη ὅσα γῆς πλείονος καὶ τὰ φυτὰ διὰ τοῦτο οὐκ αἰσθάνεται, ὅτι γῆς πλείονος. οὐκ ἄρα ἁπλοῦν τὸ τοῦ ζώου σῶμα. πάλιν δὲ ὅταν

---

1 γεννητοῦ A V 3 ἀέριον M ex corr., fuit enim ἀέρινον 21 ψυχρότητος καὶ ξηρότητος ἀλλὰ καὶ θερμότητος M 26 καὶ post γὰρ om M

*λέγω τοῦ ζώου, τοῦ γεννητικοῦ λέγω· τούτῳ γὰρ καὶ τὴν ἁφὴν ἀναγκαίαν ὁ λόγος ἐξεῦρε, τῷ θείῳ δὲ μάτην ἂν ὑπῆρχεν ἁφή· κινεῖται γὰρ δι' ὁμοειδοῦς τὸν ἀεὶ χρόνον. ἀλλ' οὐδὲ γεῦσις οὐδὲ ὄσφρησις οὐδὲ ἀκοὴ οὐδὲ ὄψις· οὔτε γὰρ χυμὸς ἐκεῖ οὔτε ἀήρ, ἀλλ' οὐδὲ χρῶμα· τοῦ γὰρ χάριν ἀντιλήψεται τῶν χρωμάτων; ἀλλ' ἕτερον εἶδος ζώου τὸ θεῖον σῶμα πολλῷ ἄμεινον καὶ θειότερον καὶ ἄλλον ἴσως τρόπον ἀντιλαμβανόμενον τῶν αἰσθητῶν, ὅνπερ τὰ γεννῶντα τῶν γεννωμένων. ἡμεῖς μὲν οὖν καὶ ζῷον λέγωμεν καὶ ἄμεινον αἰσθήσεως τὸ θεῖον σῶμα, οἱ δὲ ζῷον μὲν αὐτὸ εἶναι τιθέμενοι, ἐκ πυρὸς δὲ εἶναι λέγοντες καὶ τροφῇ χρῆσθαι λεγέτωσαν ἢ πῶς οἷόν τε ζῷον τρέφεσθαι χωρὶς γεύσεως, ἢ πῶς γεύεσθαι χωρὶς ἁφῆς ἢ καὶ τὰς ἄλλας ἔχειν αἰσθήσεις χωρὶς ἁφῆς ἢ τὴν ἁφὴν εἶναι δύνασθαι δι' ἁπλοῦ σώματος. πέφηνε τοίνυν ἡμῖν ἡ ἀνάγκη δι' ἣν ταύτης μόνης στερισκόμενα τῆς αἰσθήσεως εὐθὺς ἀποθνήσκει τὰ ζῷα· οὔτε γὰρ τὴν ἁφὴν ἔχειν δυνατόν, ὅταν μὴ ζῷον ὑπάρχῃ, οὔτε ζῷον εἶναι, ὅταν μὴ ἔχῃ τὴν ἁφήν, ἀλλ' ἔστιν αὕτη πρώτη τῶν αἰσθήσεων τῷ ζώῳ ὑπάρχουσα καθὸ ζῷον, καὶ διὰ τοῦτο τῶν μὲν ἄλλων αἰσθητῶν αἱ ὑπερβολαὶ οὐ τὸ ζῷον φθείρουσιν ἀλλὰ τὴν αἴσθησιν, οἷον χρώματος ὑπερβολὴ τὴν ὄψιν, ψόφου δὲ ὑπερβολὴ τὴν ἀκοήν, καὶ ὀσμῆς ὁμοίως τὴν ὄσφρησιν. ὅταν δὲ λέγηται ὑπὸ τῆς βροντῆς ἐφθάρθαι τὸ ζῷον, οὐκ ἄδηλον ὅπως λέγεται· οὐδὲ γὰρ ἡ βροντὴ οὐδὲ ὁ ψόφος ἔπληξεν, ἀλλὰ τὸ πνεῦμα καὶ ὁ*

---

1 *γεννητοῦ* V, et uno *ν* M 6 *χρημάτων* A 10 *μὲν οὖν*] *οὖν μὲν* M 11 *αἰσθήσεων* A *οἱ δὲ*] *οὐδὲ* M 16 *δύνασθαι εἶναι* M *πέφηνε*] *πέφυκε* A 21 *ζώῳ*] *πρώτῳ* M V 26 *λέγεται* A

ἀήρ, οὐδὲ τὸ χρῶμα ἐξέπληξε τὸ ζῶον ἀλλ' ὁ φόβος ὁ τοῦ χρώματος τῷ σώματι τροπὴν ἐμποιήσας, οὐδὲ ἡ ὀσμὴ ἀλλὰ τὸ κινηθὲν ὑπὸ τῆς ὀσμῆς, καὶ ὁ χυμὸς δὲ οὐχ ᾗ χυμὸς ἀλλ' ᾗ ἥψατο τῶν κυρίων μερῶν. αἱ δὲ τῶν ἁπτῶν ὑπερβολαὶ τὸ ζῶον οὐ κατὰ συμβεβηκὸς ἀναιροῦσιν, ἀλλ' ὅταν ὑπερβάλλῃ τὸ θερμὸν ἢ τὸ ψυχρὸν ἢ τὸ σκληρόν, ταῦτα διαφθείρει τὸ ζῶον, καὶ λίαν εἰκότως· παντὸς μὲν γὰρ ἐν ὑπερβολῇ αἰσθητοῦ φθείρεται τὸ αἰσθητήριον, τῆς δὲ ἀφῆς αἰσθητήριον ὅλη ἡ σὰρξ καὶ ὅλον τὸ σῶμα τοῦ ζώου καὶ οὐ μέρος τι ἀφωρισμένον. ὅταν οὖν φθείρηται fol. 95b. τὸ σῶμα, φθείρεται τὸ ζῶον. ἔφην δὲ καὶ πρότερον ἤδη, ὅτι τῶν πέντε αἰσθήσεων αὕτη [μὲν] μόνη πρὸς τὸ ζῶον εἶναι ἀπόχρη, αἱ δὲ τέσσαρες πρὸς τὸ εὖ εἶναι, ὥστε ἡ μὲν ἐκείνων φθορὰ τοῦ εὖ εἶναι φθορά, ἡ δὲ τῆς ἀφῆς τοῦ ζῶον εἶναι, ἐπεὶ τήν γε ὄψιν ἔχει τὸ ζῶον οὐ διότι ζῶον, ἀλλ' ὅτι ἐν ἀέρι διαιτώμενον ἢ ὕδατι ἢ ὅλως ἐν τῷ διαφανεῖ· τὴν δὲ γεῦσιν ἵνα τὸ ἡδὺ καὶ τὸ λυπηρὸν διαγιγνώσκῃ τὸ ἐν τροφῇ, καὶ τὸ μὲν φεύγῃ τὸ δὲ διώκῃ· πρὸς [μὲν] γὰρ τὸ τρέφεσθαι μόνον ἡ θρεπτικὴ δύναμις ἤρκεσεν ἄν, ὥσπερ καὶ τοῖς φυτοῖς· ἀκοὴν δὲ πρὸς τὸ σημαίνεσθαί τι αὐτῷ· γλῶτταν δὲ δυοῖν ἕνεκεν καὶ πρὸς τὴν γεῦσιν καὶ πρὸς τὸ σημαίνειν ἑτέρῳ.

Θεμιστίου παράφρασις εἰς τὸ περὶ ψυχῆς Ἀριστοτέλους.
Τέλος.

---

5 ἁπτῶν] ἁπλῶν M V 6 ὑπερβάλῃ M 12 τὸ ante σῶμα om M V 13 μὲν om M V 18 δὲ] δὴ A 19 διαγινώσκει A (V?) 21 μὲν om M V 22 ἤρκεσεν] ἤρεσεν M πρὸς τὸ] διὰ τὸ πρὸς A 24 prius πρὸς om A 25 τέλος Θεμιστίου παραφράσεως τῶν περὶ ψυχῆς Ἀριστοτέλους M V

fol. 96.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

# ΕΙΣ ΤΟ ΠΕΡΙ ΜΝΗΜΗΣ ΚΑΙ ΑΝΑΜΝΗΣΕΩΣ

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

---

1 *Περὶ δὲ μνήμης καὶ τοῦ μνημονεύειν λεκτέον τί ἐστι καὶ διὰ τίνα αἰτίαν γίνεται καὶ τίνι τῶν τῆς ψυχῆς μορίων συμβαίνει τοῦτο τὸ πάθος καὶ τὸ ἀναμιμνήσκεσθαι· οὐ γὰρ οἱ αὐτοί εἰσι μνημονικοὶ καὶ ἀναμνηστικοί, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ μνημονικώτεροι μὲν οἱ βραδεῖς, ἀναμνηστικώτεροι δὲ οἱ ταχεῖς καὶ εὐμαθεῖς. ἐπεὶ δὲ σαφέστερα τῶν ἐνεργειῶν τὰ ἐφ' ἃ αἱ ἐνέργειαι, ὥσπερ ἐν τοῖς περὶ αἰσθητῶν καὶ αἰσθήσεως ἐκ τῶν ὑποκειμένων τὸν λόγον ὡς μᾶλλον ἐναργῶν ἐποιούμεθα πρῶτον, οὕτω δὴ κἀνταῦθα πρῶτον μὲν σκεπτέον ποῖά εἰσι μνημονευτά· πολλάκις γὰρ ἐξαπατᾷ τοῦτο· οὔτε γὰρ τὸ μέλλον ἐνδέχεται μνημονεύειν ἀλλ' ἔστι δοξαστὸν καὶ ἐλπιστόν, εἴη δ' ἂν καὶ ἐπιστήμη τις ἐλπιστικὴ καθάπερ τινές φασι τὴν μαντικήν, οὔτε τὸ ἐνεστὸς ἀλλ' ἔστιν αἴσθησις τοῦ παρόντος· ταύτῃ γὰρ οὔτε τὸ μέλλον*

---

11 immo *αἰσθήσεως καὶ αἰσθητῶν*

οὔτε τὸ γεγονὸς γνωρίζομεν, ἀλλὰ τὸ παρὸν μόνον, λείπεται δὴ τὸ παρεληλυθὸς μνημονεύειν καὶ ἐστὶν ἡ μνήμη τοῦ γενομένου, τὸ δὲ παρὸν ὅτε πάρεστιν οἷον τοδὶ τὸ λευκὸν ὅτε ὁρᾷ, οὐδεὶς ἂν φαίη μνημονεύειν, οὐδὲ θεωρούμενον καὶ νοητὸν ὁ θεωρῶν ἄρτι πρώτως καὶ νοῶν μέμνηται, ἀλλὰ τὸ μὲν αἰσθάνεσθαί φασι τὸ δὲ μανθάνειν καὶ εἰς ἐπιστήμην ἄγεσθαι, ὅταν δ' ἄνευ τῶν ἔργων ἔχῃ τὴν ἐπιστήμην καὶ τὴν αἴσθησιν, ἔργα δὲ λέγω οἷον τοδὶ τὸ ζῷον ἢ τοδὶ τὸ λευκὸν καὶ τὸ ἐν τῷδε τῷ βιβλίῳ τρίγωνον προσούσης ἔτι τῆς εἰκόνος, τότ' ἂν ἁπλῶς μεμνῆσθαι λέγοιτο. οὕτω μέμνηται τὰς τοῦ τριγώνου γωνίας ὅτι δυσὶν ὀρθαῖς ἴσαι, καὶ τὸν Σωκράτην ὅτι λευκός, τὸ μὲν ὅτι ἔμαθέ ποτε παρὰ τοῦδε ἐν τῷδε ἢ ἐθεώρησε, τὸ δὲ ὅτι ἤκουσεν ἢ εἶδεν ἤ τι τοιοῦτον. ἀεὶ γὰρ ὅταν ἐνεργῇ ἡ ψυχὴ κατὰ τὸ μνημονεύειν, τὸ δέ ἐστι θεωρεῖν τοὺς τύπους τῶν ἐν αὐτῇ πραγμάτων μὴ καθ' ἑαυτοὺς ἀλλ' ὡς εἰκόνας ἑτέρων, συναισθάνεται χρόνου· οὕτω γὰρ λέγει, ὅτι πρότερον τοῦτο ᾔσθετο ἢ ἐνόησεν. ἔστι μὲν οὖν ἡ μνήμη οὔτε αἴσθησις οὔτε φαντασία οὔτε τις ἑτέρα νόησις, ἀλλὰ τούτων τινὸς ἕξις ἢ πάθος, ὅταν προσλαμβάνηται χρόνος, καθ' ὃν τὸ ἐγκατάλειμμα ἐγκαταλέλειπται· τοῦ δὲ νῦν ἐνεργοῦντος ἢ ἡ ἐν τῷ νῦν ἐνέργεια οὐκ ἔστι μνήμη, καθάπερ εἴρηται· ἔστι γὰρ τοῦ μὲν παρόντος αἴσθησις, τοῦ δὲ μέλλοντος ἐλπίς, τοῦ δὲ γενομένου μνήμη. διὸ μετὰ χρόνου πᾶσα μνήμη, ὅθεν ὅσα χρόνου αἰσθάνεται, ταῦτα μόνα τῶν ζώων καὶ μνημονεύει καὶ μορίῳ ψυχῆς οὐκ ἄλλῳ ἢ ᾧ αἰσθάνεται. ὁ γὰρ πεπτωκὼς πέρυσιν εἰς τόνδε τὸν βόθρον ὄνος, σήμερον

4 ὁρᾷ] ὁρῷ A

δὲ ἰδὼν καὶ ἀναγνωρίσας μέμνηται, ὅτι εἰς τόνδε τὸν βόθρον πέπτωκεν, διαφέρει μέντοι· ὁ μὲν γὰρ ἄνθρωπος πρὸς τῷ συναισθάνεσθαι πότε εἶδεν ἢ ἤκουσεν οἶδε καὶ τὴν διαφορὰν πρὸς τὸν παρεληλυθότα τοῦ μέλλοντος, τὰ δ' ἄλογα τοῦτο μόνον ὅτι νῦν πίπτει ἢ πάλαι πέπτωκεν, καὶ ὁ μὲν ἑαυτοῦ συναισθάνεται μνημονεύοντος τὰ δὲ οὔ, καὶ τὰ μὲν τὴν φαντασίαν καθαρώτερα μνημονικώτερα ὡς μέλισσα καὶ περιστερὰ καὶ τὰ ὅμοια, τὰ δὲ συγκεχυμένην ἔχοντα ὡς μυῖαι καὶ σκώληκες ἀμνήμονα.

Ἀπορήσειε δ' ἄν τις, εἰ δὴ τούτῳ μνημονεύομεν ᾧ καὶ αἰσθανόμεθα, οὐκ ἂν εἴη μνήμη τῶν νοητῶν· εἰ δὲ ἔστι, (μνημονεύομεν γὰρ τῶν θεωρημάτων καὶ τούτων μάλιστα τοῖς καθολικωτέροις ὁ νοῦς ἐνδιατρίβει,) λείπεται μὴ μόνης τῆς αἰσθητικῆς ψυχῆς τὸ μεμνῆσθαι λέγειν, ἀλλὰ καὶ τῆς λογικῆς, ἢ τῶν μὲν αἰσθητῶν μνήμη καθ' αὑτὸ ὥσπερ καὶ φαντασία, τῶν δὲ νοητῶν κατὰ συμβεβηκός. ὁ γὰρ νοῦς συμπλέκεται τῇ φαντασίᾳ κἀκ τῶν ἐν αὐτῇ παρὰ τῆς ἐνεργείᾳ αἰσθήσεως γεγραμμένων τύπων ἀποσυλᾷ τὰ καθόλου, καὶ ὥσπερ ἄνευ τῆς ἐνεργείᾳ αἰσθήσεως οὐκ ἔστι φαντασία, οὕτως οὐδὲ ταύτης χωρὶς λῆψις τοῦ καθόλου. εἰ δὲ τοῦτο, δῆλον ὅτι καθάπερ ἡ αἴσθησις καθ' αὑτὸ μὲν ὁρᾷ τὸν ἐν Ἀθήναις γεγραμμένον ἐλέφαντα, κατὰ συμβεβηκὸς δὲ τὸν ἐν Ἰνδίᾳ νεμόμενον, ἢ ὥσπερ τόνδε τὸν Σωκράτην ὁρῶντες τὸν κοινὸν προσεννοοῦμεν καὶ εἰδικὸν ἄνθρωπον, οὕτω καὶ ἡ μνήμη καθ' αὑτὴν μὲν ἐνεργεῖ περὶ τοὺς ἐν τῇ φαντασίᾳ τύπους καὶ τὰ ἐγκαταλείμματα, κατὰ συμβεβηκὸς δὲ περὶ τὰ καθόλου, ὥστε ἔστιν ἡ

---

10 ἀμνήμονα] ἄμνημα A

μνήμη καθ' αὑτὸ μὲν τοῦ πρώτου αἰσθητικοῦ οὐ fol. 96 b. καὶ ἡ φαντασία, τοῦ δὲ νοουμένου κατὰ συμβεβηκός. συμβαίνει γὰρ τὸ αὐτὸ πάθος ἐν τῷ νοεῖν ὅπερ καὶ ἐν τῷ διαγράφειν· ἐκεῖ τε γὰρ οὐδὲν προσχρώμενοι τῷ τὸ ποσὸν ὡρισμένον εἶναι τοῦ τριγώνου ὅμως γράφομεν ὡρισμένον κατὰ τὸ ποσόν· ἐν γὰρ τῇ ἀποδείξει, ὅτι τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι, μὴ χρῄζοντες πρὸς τὴν ἀπόδειξιν ὡρισμένου ποσοῦ· κἂν γὰρ δακτυλιαία ἑκάστη τῶν πλευρῶν ἢ καὶ σπιθαμιαία ὑποτεθείη κἂν ἥτις οὖν, δειχθήσονται δυσὶν ὀρθαῖς ἴσαι· ὅμως διαγράφομεν ὡρισμένον τρίγωνον. ὃ γὰρ ἂν γραφῇ, ἢ ἰσόπλευρον ἀνάγκη εἶναι ἢ τοιοῦτόν τι, πᾶν δὲ τὸ γεγραμμένον εὐθύγραμμον ὥρισται. καὶ ὁ νοῶν ὡσαύτως κἂν μὴ ποσὸν νοῇ ἀλλ' ἄλλην τινὰ κατηγορίαν, μετὰ ποσοῦ μέντοι νοεῖ· κἂν γὰρ θερμὸν κἂν ὀσμὴν ἢ λευκὸν κἂν ἄλλο τι τῶν ἀμερῶν νοῇ, ὅμως τίθεται πρὸ ὀμμάτων ποσόν· ἢ γὰρ ἐπιφάνειαν λευκὴν ἢ σῶμα θερμόν. ἀλλὰ κἂν ποτε πρὸς τὸν πρῶτον καὶ πολυτίμητον ἐπιστρέψῃ νοῦν, εὐθὺς ὄγκους καὶ διαστάσεις τινὰς κἀκεῖ φαντάζεται, καὶ ἀληθὲς ὅ φησιν ὁ Πλάτων περὶ τῆς φαντασίας, ὡς ταῖς τοῦ νοῦ συνημμένη νοήσεσιν οὐκ ἐᾷ καθαρὰς ποιεῖσθαι. τάχα μέντοι εἰ καὶ μετὰ ποσοῦ φαντάζεται τὰ ἄποσα καὶ ἀσώματα; ἀλλ' οὐχ ᾗ ποσά, ἀλλ' ᾗ τὸ μὲν λευκὸν διακριτικὸν ὄψεως, τὸ δὲ μέλαν συγκριτικόν, κἂν τὸ νοούμενον δὲ τῆς φύσεως τῶν ποσῶν ᾗ τρίγωνον ἢ τετράγωνον, ἀόριστον μέντοι κἀκεῖνο καὶ οὐ τοσόνδε κατὰ μέγεθος ὄψεται σπιθαμιαῖον τυχὸν ἢ πηχυαῖον, οὐδ' ὅτι σκαληνὸν ἢ

3 τὸ om A 6 ὡρισμένον κατὰ A 10 scrib. ὑποτεθῇ
21 Πλάτων] conf. Sophist. p. 260 D.

*ἰσόπλευρον ἀλλ' ὅλως τρίγωνον. καὶ ἀδιάστατον μὲν τὸ εἶδος καὶ ὁ ἐν τῷ καθόλου τοῦ τριγώνου λόγος, διίσταται δὲ ὁ ἐν τῇ φαντασίᾳ τύπος τρόπον τινὰ καὶ κατὰ μέγεθος ὥρισται· ὅσον γὰρ ἦν ἔξω κείμενον, τοσοῦτον ἔνδον φαντάζεται. οὐδὲν οὖν ἄρα νοοῦμεν ἄνευ φαντάσματος, ἀλλὰ σύνεστιν ἀεὶ τῇ νοήσει ἡ φαντασία ἢ συνεργοῦσα ἢ ἐμποδίζουσα, συνεργοῦσα μὲν ὡς ἐπὶ τῶν μαθημάτων· οἷον γὰρ ἀβάκιον ἐπὶ τούτων τῷ νοῒ χρηματίζει, ἐμποδίζει δὲ πρὸς τὴν θεωρίαν τῶν νοητῶν καὶ θείων σχήματα καὶ μεγέθη καὶ χρώματα παρεισάγουσα, καὶ αὕτη ἡ αἰτία τοῦ μὴ ἐνδέχεσθαι νοεῖν ἄνευ συνεχοῦς τὰ ἀΐδια, μηδ' ἄνευ χρόνου τὰ μὴ ἐν χρόνῳ ὄντα.*

*Εἰ δὲ πάντα ἀφ' ὧν ὁ νοῦς τὸ καθόλου συλᾷ, φανταστά, ἡ δὲ φαντασία καὶ ἡ μνήμη τῷ ὑποκειμένῳ ταὐτόν· πάθη γὰρ ἄμφω τῆς κοινῆς αἰσθήσεως, ἅμα δῆλον ὡς τῶν νοητῶν μνήμη καὶ φαντασία κατὰ συμβεβηκός, καὶ ὅτι τῷ πρώτῳ αἰσθητικῷ τούτων ἡ γνῶσις καὶ χρόνου δήπουθεν καὶ κινήσεως. διὸ καὶ ἑτέροις τισὶν ὑπάρχει τῶν ζώων καὶ οὐ μόνον ἀνθρώποις καὶ τοῖς ἔχουσι δόξαν καὶ φρόνησιν. εἰ δὲ καὶ τῶν νοητικῶν τινὸς μορίων ἦν καὶ τῆς λογικῆς ψυχῆς, οὐκ ἂν ὑπῆρχε πολλοῖς τῶν ζώων, ἴσως δὲ οὐδενὶ τῶν ἀλόγων διὰ τὸ μηδὲ νῦν πᾶσιν τῷ μὴ πάντα χρόνου αἴσθησιν ἔχειν. ἀεὶ γὰρ ὅταν ἐνεργῇ τῇ μνήμῃ, καθάπερ καὶ πρότερον εἴπομεν, προσαισθάνεται ὅτι πρότερον τοῦτο ἢ εἶδεν ἢ ἤκουσεν ἢ ἔμαθεν, τὸ δὲ πρότερον καὶ ὕστερον [ἢ ἔπαθεν] ἐν*

---

9 scrib. *νῷ*. Michael fol. 129 b *τοῦ νοῦ* 26 *προαισθάνεται* A 28 *ἢ ἔπαθεν* delenda sunt h.l. aut ad priora *ἢ ἔμαθεν* pertinent

χρόνῳ ἐστίν. τίνος μὲν οὖν ἐστὶ τῶν τῆς ψυχῆς μνήμη φανερόν, ὅτι οὗπερ καὶ ἡ φαντασία, καὶ ἔστι μνημονευτὰ μὲν καθ' αὑτὰ ὧν ἐστὶ φαντασία, κατὰ συμβεβηκὸς δὲ ὅσα μὴ ἄνευ φαντασίας.

Ἀπορήσειε δ' ἄν τις, πῶς ποτὲ τοῦ μὲν πάθους μόνου παρόντος ἐν τῇ φαντασίᾳ καὶ τοῦ ἐγκαταλείμματος, τοῦ δὲ πράγματος ἀπόντος μνημονεύει τὸ μὴ παρόν· τοῦ γὰρ πράγματος ἡ μνήμη, οὐ τοῦ τύπου. ὡς ἂν καὶ λύσεως τύχοιμεν εὐπετέστερον καὶ σαφῆ τά τε εἰρημένα καὶ τὰ ἑξῆς γένοιτο, μικρόν τι τῶν κατὰ τὴν φαντασίαν ἄνωθεν διαρθρώσωμεν πρότερον. εἴρηται μὲν γὰρ περὶ ταύτης κἀν τοῖς περὶ ψυχῆς, οὐδὲν δ' ἧττον καὶ νῦν πρὸς τὴν χρείαν δεῖ νοεῖν ἐγγίνεσθαι ἡμῖν ἀπὸ τῶν ἐνεργειῶν τῶν περὶ τὰ αἰσθητὰ οἷον τύπον τινὰ καὶ ἀναζωγράφημα ἐν τῷ πρώτῳ αἰσθητικῷ, τὸ δέ ἐστιν ἡ καρδία, καθάπερ οἱ σφραγιζόμενοι τοῖς δακτυλίοις. τὸ γοῦν τοιοῦτον ἐγκατάλειμμα ὅπερ ὑπομένει καὶ μὴ τοῦ αἰσθητοῦ παρόντος φαντασίαν καλοῦσιν, διὸ καὶ οὕτω ταύτην ὁρίζονται τύπον ἐν ἡγεμονικῷ, μήποτε δὲ οὐχ ὁ τύπος οὗτός ἐστι φαντασία, ἀλλ' ἡ περὶ τὸν τύπον τῆς φανταστικῆς δυνάμεως ἐνέργεια. ἦμεν γὰρ ἂν ἐν φαντασίᾳ καὶ μὴ ἐνεργοῦντες περὶ αὐτόν, ἔχοντες αὐτόν, καὶ ἦμεν ἂν ἐν πλείοσι φαντασίαις καὶ τοσαύταις ὅσων καὶ τὸν τύπον σῴζομεν. ἔτι ἤτοι τὴν ἐγγινομένην νῦν καὶ τυπουμένην ἔτι φαντασίαν λέγουσιν ἢ τὴν γεγονυῖαν ἤδη καὶ οὖσαν. ἀλλ' εἰ μὲν τὴν ἐγγινομένην, τὴν αἴσθησιν ἂν λέγοιεν τὴν κατ' ἐνέργειαν, εἰ δὲ τὴν γεγονυῖαν καὶ σῳζομένην, τὴν μνή-

---

21 οὗτός] fort αὐτός, sic Michael fol. 127. 23 ἔχοντες δὲ αὐτὸν Michael 27 καὶ ἤδη Mich.

μην. ἀλλ' ὡς ἐπὶ τῆς αἰσθήσεως· τὸ μὲν γάρ τι ἐκεῖ αἰσθητὸν τὸ δὲ δύναμις αἰσθητικὴ καὶ τρίτον αἴσθησις ἡ περὶ τὸ αἰσθητὸν ἐνέργεια τῆς δυνάμεως· καὶ ἐπὶ τῆς νοήσεως δὲ τὸ μὲν νοητὸν τὸ δὲ νοῦς τὸ δὲ νόησις, οὕτως ἔχειν καὶ περὶ τὴν φαντασίαν ὑποληπτέον τὸ μέν τι εἶναι φανταστικὸν τὸ δὲ φανταστὸν τὸ δὲ φαντασίαν, καὶ ὥσπερ ἡ διὰ τοῦ αἰσθητικοῦ παρόντος τοῦ αἰσθητοῦ γινομένη ἐνέργεια αἴσθησίς ἐστιν, οὕτως ἡ μὴ παρόντος ἐν τῷ τύπῳ καὶ τῷ ἐγκαταλείμματι φαντασία. χρὴ δὲ κοινότερον τοῦ τύπου ἐπὶ τῆς φαντασίας ἀκούειν· κυρίως γὰρ ὁ κατ' εἰσοχήν τε καὶ ἐξοχὴν ἢ τὸ τοῦ τυποῦντος ἐν τῷ τυπουμένῳ σχῆμα γινόμενον, ὡς ὁρῶμεν τὰ ἐπὶ τῶν σφραγίδων ἔχοντα. οὐχ οὕτω δὲ τὰ τῶν αἰσθητῶν ἐγκαταλείμματα ἡμῖν ἐγγίνονται· οὐδὲ γὰρ τὴν ἀρχὴν κατὰ σχῆμά τι γέγονεν ἡ τῶν αἰσθητῶν ἀντίληψις· ποῖον γὰρ σχῆμα
fol. 97. τὸ λευκὸν ἢ χρῶμα ὅλως ἢ ὀσμή; καταχρηστικώτερον οὖν τὸν τύπον ἐνταῦθα φέρομεν τῇ ἀπορίᾳ τοῦ κυριωτέρου. τί μὲν οὖν ἐστι φαντασία εἴρηται, μνήμη δέ ἐστιν ἡ ταύτης μονὴ καὶ σωτηρία. τούτων οὕτως ὑποκειμένων, ἐπειδήπερ ἐν τῷ πρώτῳ αἰσθητηρίῳ τοὺς τύπους τῶν πραγμάτων ἐνσημαινόμεθα ὥσπερ εἴρηται, τοῦτο δ' ἐν τοῖς μὲν ὑγρότερον τοῖς δὲ σκληρότερον, καὶ τοῖς μὲν ἐν κινήσει τοῖς δ' οὔ, ἀνάγκη καὶ τοὺς τύπους τοῖς μὲν ἐγγράφεσθαι τοῖς δὲ οὔ, καὶ τοῖς μὲν ἐπὶ πολὺ μένειν τοῖς δὲ ἐν βραχεῖ, ὅθεν τῶν ἀνθρώπων οἱ μὲν μᾶλλον οἱ δὲ ἧττον μνημονεύουσιν οἱ δὲ ἐλάχιστον, καὶ ἐν κινήσει μὲν τοῖς πάμπαν νέοις καὶ τοῖς ἄγαν πρεσβυτέροις· τοῖς μὲν γὰρ αὔξει τοῖς δὲ φθίνει, κινεῖται δέ τισι καὶ διὰ νόσον·

---

23 δ' ἐν] fort. δὲ

οὐ κινεῖται δὲ τοῖς μέσως καθ' ἡλικίαν καὶ κρᾶσιν ἔχουσιν. ὥσπερ οὖν ἐν ὕδατι ῥέοντι οὐκ ἂν ἡ ἐν τῷ δακτυλίῳ ἐνσημανθείη σφραγίς, οὕτως οὐθ' οἷς τὸ αἰσθητήριον δι' ἡλικίαν ἢ νόσον ὂν ἐν κινήσει μνήμη γίνεται, οὔτ' αὖ οἷς σκληρότερον ὥσπερ οὐδὲ ἐν λίθῳ. διόπερ οἵ τε σφόδρα νέοι καὶ οἱ γέροντες ἀμνήμονές εἰσι· ῥέουσι γὰρ οἱ μὲν κατὰ τὴν αὔξησιν οἱ δὲ διὰ τὴν φθίσιν· ἔοικε γὰρ ἐν τοῖς γέρουσιν ἡ καρδία τὸ πρῶτον αἰσθητικὸν τοῖς παλαιοῖς τῶν οἰκοδομημάτων· ὥσπερ γὰρ θρύπτεται ψηχομένη καὶ τοὺς ἐν αὐτῇ τῶν πραγμάτων ἀπαλείφει τύπους, ὡς ἐκεῖνα τὴν ἐκλελειμμένην τίτανον καὶ τὰ ἐν αὐτῇ γεγραμμένα ζῶα. ὁμοίως δὲ καὶ οἱ λίαν ταχεῖς καὶ βραδεῖς οὐδέτεροι φαίνονται μνήμονες· οἱ μὲν γὰρ ὑγρότεροι τοῦ δέοντος οἱ δὲ σκληρότεροι, καὶ τοῖς μὲν οὐ μένει τὸ φάντασμα ἐν τῇ ψυχῇ, τῶν δὲ οὐχ ἅπτεται. τοσαῦτα ἔξωθεν εἰς σαφήνειαν προσλαβόμενοι πάλιν τὴν κατ' ἀρχὰς ἀπορίαν διέλωμεν· ἑτοιμότεροι γὰρ πρὸς τὴν λύσιν νῦν ἢ πρότερον. εἰ δὴ τοιοῦτόν ἐστι τὸ συμβαῖνον περὶ τὴν μνήμην, πότερον τοῦτο μνημονεύει τὸ πάθος ἡ ψυχὴ ἢ ἐκεῖνο ἀφ' οὗ ἐγένετο; εἰ μὲν γὰρ τοῦτο, τῶν ἀπόντων οὐδὲν ἂν μνημονεύοιμεν· εἰ δ' ἐκεῖνο, πῶς αἰσθανόμενοι τούτου μνημονεύομεν οὗπερ μὴ αἰσθανόμεθα. ἔτι εἴτε ἔστιν ὅμοιον ὥσπερ τύπος ἢ γραφὴ ἐν ἡμῖν ἡ τούτου αἴσθησις, εἴτε ἀνόμοιον, διὰ τί ἂν εἴη μνήμη ἑτέρου ἀλλ' οὐκ αὐτοῦ τούτου; ὁ γὰρ ἐνεργῶν τῇ μνήμῃ θεωρεῖ τὸ πάθος τοῦτο καὶ αἰσθάνεται τούτου. πῶς οὖν τὸ μὴ παρὸν μνημονεύει; εἴη γὰρ ἂν καὶ

---

3 οὔθ'] οὐ δ' A  7 κατὰ] immo διὰ  10 ψηχομένη] ψυχομένη A  12 ἐκλιμμένην A, sed melius Michael fol. 230 ἀληλιμμένην

ὁρᾶν τὸ μὴ παρὸν καὶ ἀκούειν. ἢ ἔστιν ὡς ἐνδέχεται καὶ συμβαίνει τοῦτο; οἷον γὰρ τὸ ἐν πίνακι γεγραμμένον ζῷον καὶ ζῷόν ἐστι καὶ εἰκών, καὶ τῷ μὲν ὑποκειμένῳ ἕν, τῷ λόγῳ δὲ διάφορον, οὕτω κἀνταῦθα, καὶ ὥσπερ ἐκεῖ, ὅταν μὲν ὡς καθ' αὐτὸ τὸ ζῷον ὁρᾷ τὸ ἐν πίνακι τὴν τέχνην θαυμάζων ἢ κακίζων μόνον, μὴ προσεννοούμενος ὅτι μίμημά ἐστιν ἄλλου, ζῷον ἁπλῶς λέγεται, ὅταν δὲ πρὸς τῷ ὁρᾶν ἀναφέρῃ καὶ προσλογίζηται ὅτι τοῦτο μίμημά ἐστι τοῦδε τοῦ ἀληθοῦς ζώου, εἰκὼν λέγεται, οὕτω καὶ τὸ ἐν ἡμῖν φάντασμα δεῖ ὑπολαβεῖν καὶ αὐτό τι καθ' αὐτὸ εἶναι καὶ ἄλλου ἐγκατάλειμμα. ᾗ μὲν οὖν καθ' αὐτό, θεώρημα ἢ φάντασμά ἐστιν, ᾗ δὲ ἄλλου, οἷον εἰκὼν μνημόνευμα. ὅταν μὲν γὰρ ἐνεργῇ περὶ τοῦ ἐν τῇ καρδίᾳ τύπου ἡ κοινὴ αἴσθησις ᾗ αὐτόν, θεώρημα τοῦτο ὡς εἴρηται ἢ φάντασμα λέγεται· ὅταν δὲ ἐνεργοῦσα προσαισθάνηται καὶ ὅτι ἄλλου, ἐστὶν ἤδη τοῦτο εἰκὼν καὶ μνημόνευμα, καὶ ἡ τοιαύτη τῆς ψυχῆς ἐνέργεια μνήμη. διὰ τοῦτο ἐνίοτε ὃ διὰ μνήμης ἔχομεν, οὐκ ἴσμεν εἰ κατὰ τὸ αἰσθέσθαι συνέβη· πολλάκις γὰρ τῶν ψυχικῶν ἐξαπλουμένων νοημάτων φανταζόμεθά τινα, ὧν οὐκ ἴσμεν τὸν χρόνον ἢ τὸν τόπον ἢ παρ' οὗ προσελάβομεν καὶ ἀμφισβητοῦμεν, πότερον αὐτοὶ τοῦ νοήματος εὑρεταὶ ἢ μαθηταί, καὶ πότερον φαντασία ἁπλῶς τοῦτο ἢ μνήμη, οἷον ἤκουσά ποτε λόγον παρά του, μετὰ δὲ ἐννοοῦμαι τὸν λόγον, οὐκ ἐνθυμοῦμαι δὲ ἀφ' οὗπερ ἤκουσα· ἀπορῶν οὖν λέγω, ἆρα πατὴρ τοῦ λόγου νῦν αὐτός εἰμι, ἢ πόθεν ἔχω τοῦτον; καὶ ταλαντεύομαι. ὅταν οὖν ἐνθυμηθῶ ἀλλο-

1 *μὴ* addit Victorius  7 *προσεννοούμενον* A  13 *εἰκὼν*] *εἰκὼν καὶ* Arist. libri, at idem om. p. 451, 2.  15 *αὐτόν*] leg. *καθ' αὑτό*

θέν με τὸν λόγον ἔχειν, μνήμη τότε γίνεται, νόημα δὲ πρότερον. γίνεται δὲ καὶ τοὐναντίον ἐνίοτε, οἷον συνέβη Ἀντιφέροντι τῷ Ὠρείτῃ καὶ ἄλλοις ἐξισταμένοις· τὰ γὰρ φαντάσματα ἔλεγον ὡς γενόμενα καὶ ὡς μνημονεύοντες· πάλιν οὖν ἕτεροι τὰ αἰσθήματα ὡς φαντάσματα, καὶ ἄλλοι τὸ ἔμπαλιν. τοῦτο δὲ γίνεται, ὅταν τις τὴν μὴ εἰκόνα ὡς εἰκόνα θεωρῇ, ἢ τὴν εἰκόνα ὡς μὴ εἰκόνα. αἱ δὲ μελέται τὴν μνήμην σώζουσι τῷ ἐπαναμιμνήσκειν, τοῦτο δέ ἐστιν οὐδὲν ἕτερον ἢ τὸ θεωρεῖν πολλάκις ὡς εἰκόνα καὶ μὴ καθ' αὑτό. τί μὲν οὖν ἐστὶ μνήμη καὶ τὸ μνημονεύειν εἴρηται, ὅτι φαντάσματος ἕξις ὄντος καθ' αὑτὸ φαντάσματος πράγματός τινος χρονισθέντος μετὰ τὴν γένεσιν, καὶ τίνος μορίου τῶν ἐν ἡμῖν ὅτι τοῦ πρώτου αἰσθητικοῦ καὶ ᾧ χρόνου αἰσθανόμεθα.

Περὶ δὲ τοῦ ἀναμιμνήσκεσθαι λοιπὸν εἰπεῖν. 2
πρῶτον μὲν οὖν ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις καὶ προβληματικοῖς ἡμῖν ἀποδέδεικται, δεῖ τιθέναι ὡς ἀληθῆ καὶ ὑπάρχοντα. ταῦτα δ' ἐστὶ τὸ μήτε μνήμης ἀνάληψιν τὴν ἀνάμνησιν μήτε λῆψιν εἶναι· οὔτε γὰρ ἀναμιμνήσκεσθαι λέγομεν τὸν νῦν πρώτως μανθάνοντα καὶ λαμβάνοντα, ὃ οὐδέποτε ἔλαβεν ἢ μεμάθηκεν, ἀλλὰ μᾶλλον μανθάνειν, οὔτ' αὖ τὸν μαθόντα σώζοντα δὲ τὴν μνήμην λήθης μηδαμῶς μεσολαβησάσης, ἀλλὰ τὸν πρότερον μὲν ἔχοντα σῶον ἅπαν, ὕστερον δὲ τὸ μὲν ἀποβαλόντα τὸ δὲ σώζοντα, ἐκ δὲ τοῦ σωζομένου τὸ λοιπὸν ἀναλαμβάνοντα. ἔχει γὰρ ὧδε. ὅταν ὁ τύπος ὅλος καὶ τὸ ἀναζωγράφημα τὸ ἐν τῷ πρώτῳ αἰσθητηρίῳ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἐγγινόμενον ὑπομένῃ καὶ σώζηται τρανές

30 immo ἐγγενόμενον, Michael ἐνυπάρχον fol. 131.

fol. 97b. τι καὶ φαιδρὸν καὶ καθαρὸν οὕτως, ὥστε ὅλον αὐτὸ δύνασθαι τὴν ψυχὴν κινεῖν καὶ ὅλον ὑπ' αὐτῆς ὁρᾶσθαι καὶ προβάλλεσθαι ὡς εἰκών τινος, ἡ μνήμη τοῦτο περὶ ἧς εἴρηται. ὅταν δὲ μέρος μέν τι τοῦ ὅλου μένῃ, μέρος δέ τι ἠφάνιστο ἢ χρόνῳ ἢ ἑτέρῳ συμπτώματι, ὥστε μήτ' αὐτὸ τὴν ψυχὴν κινεῖν, μήτ' ἐκείνην ὑπ' αὐτοῦ κινεῖσθαι, καὶ ἐκ τοῦ ὑπολελειμμένου μέρους τρανοῦς ὄντος καὶ καθαροῦ κινηθῇ τὸ συνεχὲς τῷ καθαρῷ, τοῦτο δὲ ἦν τὸ ἀμυδρὸν καὶ ὅλως ἐξοφωμένον, καὶ οἷον ἀναλυθῇ καὶ εὑρεθῇ τῇ ψυχῇ, τοῦτο ἀνάμνησις, οἷον εἰ ἀναζωγράφημα τῆς προτέρας μνήμης, οὐ πάσης· τοῦτο γὰρ μάθησις, ἀλλὰ τοῦ μέρους. ὅταν δὲ ὅλον ἀναλάβωμεν δηλονότι ἀπολέσαντες, μάθησις· δὶς γὰρ μαθεῖν καὶ εὑρεῖν τὸ αὐτὸ ἐνδέχεται, οἷον ἐκ τῆς κατ' ἐνέργειαν ἀκοῆς ἢ ὁράσεως γέγονεν ἐν τῇ ψυχῇ τύπος τοῦ μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλλέως. εἰ μὲν οὖν ὁ τύπος οὗτος μένει ἅπας ἰσχυρός τε καὶ καθαρός, ὡς ἀνεμποδίστως ὅλον ἡμᾶς αὐτὸν δύνασθαι ἀπαγγέλλειν· καὶ ὅλον προβάλλεσθαι, τοῦτο μνήμη· εἰ δὲ τὸ μὲν μῆνιν ἄειδε θεὰ ἐμμένει, τὸ δὲ ἑξῆς ὑπὸ χρόνου καὶ λήθης ἐκλείπει, εἶτα ἐκ τοῦ μένοντος ἡ ψυχὴ κινηθεῖσα ὑπό τινων τύπων ὁμοίων ἢ ἀνομοίων εὑρήσει καὶ τὸ λεῖπον, ἀνάμνησις τοῦτο. καὶ δῆλον ἐκ τούτων, ὡς τῶν ἁπλῶν ὀνομάτων ἀνάμνησις οὐκ ἔστιν, ἀλλ' ἢ μνήμη ἢ μάθησις, εἰ μὴ πολλάκις καὶ ἐν ἐκείνοις μενούσης τῆς πρώτης συλλαβῆς προσεξευρίσκομεν τὰς λοιπάς. ἕπεται δὲ τῇ ἀναμνήσει ἐξ ἀνάγκης ἡ μνήμη· ὁ γὰρ ἀναμνησθεὶς τρόπον τινὰ ἐμνήσθη· μέρους γάρ τι-

---

3 εἰκών] εἰκῷ A    5 ἠφάνιστο] vix ita scripsit Themistius
8 τρανοῦ A

νος τῆς προτέρας ἀνάληψιν ποιεῖται μνήμης, καὶ δεῖ διαφέρειν μαθήσεως καὶ εὑρέσεως τὴν ἀνάμνησιν τῷ ἐνεῖναι πλείονα ἀρχὴν ἀναμιμνησκομένοις ἢ ἐξ ἧς μανθάνουσιν, εἴπερ πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. τί μὲν οὖν ἐστιν ἀνάμνησις, εἴρηται, ὅτι μνήμης ἀνανέωσις. ὅθεν δὲ συμβαίνει, δῆλον. ἐπεὶ γὰρ πέφυκε κίνησις ἐν ψυχῇ ἥδε μετὰ τήνδε, εἰ μὲν ἐξ ἀνάγκης, δῆλον ὡς ὅταν ἐκείνην κινηθῇ, τήνδε κινηθήσεται· εἰ δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, ὡς ἐπὶ τὸ πολὺ κινηθήσεται. ὥσπερ γὰρ ἐπὶ τῆς ἁλύσεως τοῦδε τοῦ κρίκου ἀρθέντος ἐξ ἀνάγκης ὁ ἐφεξῆς κινεῖται, καὶ δι' ἐκεῖνον ὁ μετ' αὐτόν, οὕτω καὶ ἐπὶ τῶν τύπων τῶν ἐν τῇ ψυχῇ. κινηθείσης γὰρ καθάπαξ ὑπό τινος τούτων εὐθὺς κινεῖ αὐτὴν καὶ ὁ ἐφεξῆς καὶ ὁ μετ' ἐκεῖνον, οἷον ἦν μουσικὸς Κορίσκος ἔχων λύραν καὶ γέγονεν ἐν τῇ ψυχῇ τύπος καὶ τῆς λύρας καὶ τοῦ Κορίσκου, εἶδε μετὰ ταῦτα Σωκράτην φέρε εἰπεῖν κρατοῦντα λύραν, καὶ εὐθὺς ἀνεμνήσθη τῆς τοῦ Κορίσκου λύρας, εἶτα Κορίσκου. πάλιν ἤκουσά του ᾄδοντος δύο ψυχαὶ ἐξήρχοντο, καὶ μία πρὸς ἄλλην ἔλεγεν, ποῖ πορευτέον. μετὰ δέ τίνας χρόνους ἤκουσα ἄλλου ᾄδοντος τὸ μὲν μέλος κατὰ ῥυθμὸν ἐκεῖνον, λόγον δὲ ἕτερον οἷον ὁ νοῦς ὁ πρῶτος ἄγει με καὶ πάλιν κάτω φέρει με, καὶ κινηθεὶς ἀπὸ μόνου τοῦ μέλους ἦλθον εἰς ἀνάμνησιν τοῦ πρώτου λόγου δύο ψυχαὶ ἐξήρχοντο καὶ τοῦ ᾄδοντος. τούτων ὄντων εἰσὶ μὲν τύποι τινὲς ἐξ ἀνάγ-

4 πᾶσα διδασκαλία] Anal. post. init. 19 κρατοῦντα] corruptum, βαστάζοντα Michael fol. 132 b., idem recte εἶδον — ἀνεμνήσθην 26 ἀπὸ] immo ὑπὸ

*κης ἀκολουθοῦντες ἀλλήλοις· ἀνάγκη γὰρ τὸν μνησθέντα πυρὸς συνεννοῆσαι καὶ θερμότητα, καὶ τὸν τυφθέντα ὑπὸ Σωκράτους τῇ τοῦ Σωκράτους ἀναμνήσει καὶ ὅτι ὑπ' αὐτοῦ ἐτύφθη ἐν τῷδε τῷ τόπῳ συναναμνησθῆναι. ὅσοι δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, οὐκ ἀεὶ ἕπεται τοῖς προτέροις τὰ δεύτερα, ἀλλ' ὡς ἐπὶ πολύ. ἔσται δὲ τὸ λεγόμενον ὧδε δῆλον. πολλάκις ἐγὼ βουληθεὶς εἰπεῖν λυκάβαντα οὐκ ἀνεμιμνησκόμην, ἐξ οὗ εἴθισα ἐμαυτὸν ἐνθυμεῖσθαι λύκον· ἄρχονται γὰρ ἀμφότεροι ἐκ τῆς λυ συλλαβῆς, ἀφ' οὗ δὴ λύκου ὁρμώμενος ἀνεμιμνησκόμην τὸν λυκάβαντα. ἄλλος δέ τις τοῦ Ταυρομενίτου ἐπιλαθόμενος εἴθισεν εὐθὺς ἔρχεσθαι εἰς ἔννοιαν ταύρου, καὶ ἄλλος ἀπὸ τῆς πλευρᾶς τὴν πλευρῶνιν ἐθίσας ἀνέφερεν. ἐπὶ γοῦν τούτων οὐκ ἀεὶ τῇ πρώτῃ ἡ λοιπὴ ἕπεται, ἀλλὰ πολλάκις τὴν μὲν πλευρὰν ἐνθυμοῦμαι, τὴν δὲ πλευρῶνιν οὐκ ἀναμιμνήσκομαι. συμβαίνει δ' ἐνίους ἅπαξ ἐθισθῆναι μᾶλλον ἢ ἑτέρους πολλάκις κινουμένης. διὸ ἔνια ἰδόντες ἅπαξ πολλάκις μνημονεύουσιν ἢ ἕτερα πολλάκις. ὅταν οὖν ἀναμιμνησκώμεθα, κινούμεθα τῶν προτέρων καὶ ἡγουμένων τινὰς κινήσεων, ἕως ἂν κινηθῶμεν, μεθ' ἣν ἐκείνη εἴωθε. διὸ καὶ τὸ ἐφεξῆς θηρεύομεν νοήσαντες ἀπὸ τοῦ νῦν ἢ ἄλλου τινὸς καὶ ἀφ' ὁμοίου ἢ ἐναντίου ἢ τοῦ σύνεγγυς διὰ τοῦτο ἡ ἀνάμνησις γίνεται· αἱ γὰρ κινήσεις τῶν μὲν αἱ αὐταί, τῶν δὲ ἅμα, τῶν δὲ μέρος ἔχουσιν, οἷον εἶδέ τις γεγραμμένην λύραν καὶ κινη-*

---

8 *λυκάβαντα*] hic et infra *Λυκαβητόν* Michael 9 *ἐμαυτὸν*] *αὐτὸν* A 11 *λύκου*] *λύκον* A 14 *πλευρῶνιν*] *πλευρωνίαν* Michael. sic et infra, et ipse Themistius fol. 98. 18 *ἑτέρους*] *ἑτέρας* A 19 *ἅπαξ πολλάκις*] scrib. *ἅπαξ μᾶλλον* 23 *τὸ*] *τὰ* A 25 *διὰ τοῦτο* supra inter *τινὸς καὶ* A

θεὶς ἀπὸ ταύτης ὡς προτέρας καὶ ἡγουμένης ἀνεμνήσθη λύρας. ἐκ ταύτης τοῦ μουσικοῦ, ἐκ δὲ τούτου ἣν ᾖδεν ᾠδήν. πολλάκις δὲ καὶ ἀπό τινος ἄλλου· εἰ γὰρ τύχοι ἐφεξῆς ὢν τῷ τῆς ᾠδῆς τύπῳ ὁ τοῦ κίονος, ἀναμνησθήσομαι αὐτὴν ἀπὸ τοῦ κίονος. ἀπὸ δὲ τοῦ ὁμοίου καὶ ἐναντίου, ὅταν ἀπὸ μὲν τῆς τοῦ Σωκράτους εἰκόνος ἀναμνησθῶ Σωκράτην, ἀπὸ δὲ τοῦ μέλανος λευκόν, καὶ ἐκ θερμότητος ψυχρότητα. ἐκ δὲ τοῦ σύνεγγυς, ὅταν ἀπὸ τοῦ ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι ἀναμνησθῶ χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω τὸ τῇ πόλει συμφέρον. μέγιστον μὲν οὖν παντὸς ἡ ἀρχή, καὶ ταύτης εὑρεθείσης τὰ μετ᾽ αὐτὴν μικρά, ὅθεν τῆς ἀρχῆς ληφθείσης συνείρεται τὰ ἑξῆς. εἰ δέ ποτε καὶ εὑρεθείσης καὶ τοῦ πρώτου μέρους κινηθέντος οὐχ ἕψεται τὰ ἑκατέρωθεν, οὐ χρὴ θαυμάζειν. ὅταν γὰρ τέλεον ἀφανισθῇ, οὐκ ἀκολουθήσει. ζητοῦσι μὲν οὖν οὕτω γίνεται ἡ ἀνάμνησις, ἀφ᾽ ὧνπερ εἴπομεν, ἀπὸ τῶν ὁμοίων ἢ τῶν ἀντικειμένων ἢ τῶν ἑξῆς· ὅταν δὲ μὴ ζητοῦσιν ἀναμνησθῆναί του γένηται, ἐξ οὐδενὸς τούτων. ὅταν γὰρ ᾠδῆς τις μνησθεὶς ἀναμνησθῇ Σωκράτους, fol. 98. οὔτ᾽ ἀφ᾽ ὁμοίου οὔτ᾽ ἐξ ἀντικειμένων ἢ τῶν ἐγγὺς ἐποιήσατο τὴν ἀνάμνησιν, τοῦτο δὲ σπάνιον καὶ ὀλιγάκις· τὰ γὰρ πολλὰ ἑτέρων γινομένων κινήσεων ἕπεται. πραγματευομένους δὲ τὰ περὶ τῆς ἀναμνήσεως οὐδὲν δεῖ σκοπεῖν, πῶς τὰ πόρρω ἀναμιμνησκόμεθα καὶ τὰ παλαιά, ἀλλὰ τὰ ἐγγὺς καὶ ἃ πρὸ ὀλίγου ᾐσθόμεθα ἢ ἐδιδάχθημεν· μᾶλλον γὰρ ταῦτα πρὸς τὴν διδασκαλίαν διὰ τὴν ἐγγύτητα ἢ ἐκεῖνα.

---

9 ἀντὶ πολλῶν] Demosth. Olynth. init. 22 ἐγγὺς] fort. σύνεγγυς

εἷς μέντοι καὶ ὁ αὐτός ἐστι τρόπος ἀναμνήσεως ἀμφοτέρων. ὡς γὰρ ἐπὶ τῶν σύνεγγυς ἀπὸ τῆς ἐνούσης ἀρχῆς ζητήσας τις συνείρει καὶ ἀναμιμνήσκεται τὰ ἑξῆς· ἀκολουθοῦσι γὰρ τῷ ἔθει αἱ κινήσεις, ὡς εἴρηται, καὶ ἥδε μετὰ τήνδε, οὕτω καὶ ὅταν τις ἀναμιμνήσκηται ὧν πάλαι τὴν ἐπιστήμην ἔλαβε. ζητήσει γὰρ κἀκεῖ ἀρχὴν λαβεῖν κινήσεως μεθ' ἣν ἐκείνη ἔσται. διὸ τάχιστα καὶ κάλλιστα γίνονται ἀπ' ἀρχῆς αἱ ἀναμνήσεις. ὡς γὰρ ἔχει πρὸς ἄλληλα τὰ πράγματα τῷ ἐφεξῆς, οὕτω καὶ αἱ κινήσεις, καὶ ἔστιν εὐμνημόνευτα ὅσα τάξιν τινὰ ἔχει καὶ πρῶτον καὶ δεύτερον, ὥσπερ τὰ μαθήματα καὶ μάλιστα τὰ γεωμετρικά, τὰ δὲ ἄτακτα φαύλως καὶ χαλεπῶς· ὡς γὰρ ἐπὶ τῶν αἰσθητῶν, εἰ ἐφεξῆς κεῖνται καὶ μετὰ τάξεως, ἡ ὄψις ὁρᾷ καλῶς, εἰ δὲ συγκεχυμένως, οὐ καλῶς· οὕτω καὶ ἐπὶ τῶν ἐν ψυχῇ τύπων. διαφέρει δὲ τὸ ἀναμιμνήσκεσθαι τοῦ πάλιν μανθάνειν, καὶ ὅλως μάθησις ἀναμνήσεως τῷ τὸν μὲν ἐξ ἑαυτοῦ καὶ τῆς ἐνούσης αὐτῷ ἀρχῆς κινεῖσθαι ἐπὶ τὸ συνεχὲς τῇ ἀρχῇ, τὸν δὲ μὴ δι' αὐτοῦ, ἀλλὰ δι' ἄλλου τοῦ διδασκάλου. ἔτι πολλάκις μὲν ἤδη ὁ ἀναμιμνησκόμενος ἀδυνατεῖ ἀναμνησθῆναί τι αὐτίκα, ζητῶν δὲ ὅμως καὶ πολυπραγμονῶν τέλος δύναται καὶ εὑρίσκει. τοῦτο δὲ γίνεται κινοῦντι πολλὰ ἕως ἂν τοιαύτην κίνησιν κινήσῃ ᾗ ἀκολουθήσει τὸ πρᾶγμα. ὡς γὰρ αἱ πολλαὶ ῥανίδες ἐπιτήδειον ἐποίησαν τὴν πέτραν, τέλος δὲ ἡ τελευταία ἐκοίλανε, καὶ ἐπὶ τῆς ἐν καρδίᾳ ὑγρότητος ἔχει. πολλάκις γὰρ κινηθεῖσα τελευταίαν κινεῖται κίνησιν, καθ' ἣν ἀνίσταται τὸ ζητού-

---

7 λαβεῖν] Michael fol. 133. λαβέσθαι A 27 καὶ] malim cum Michaele οὕτω καὶ

μενον. ἔστιν οὖν τὸ ἀναμιμνήσκεσθαι τὸ ἐνεῖναι δύναμιν τὴν κινοῦσαν, λέγω δὲ δύναμιν τὴν ὑπάρχουσαν ἀρχήν· αὕτη γὰρ τὴν διάνοιαν ἐποξύνει καὶ ἀνεγείρει πρὸς ἀνάλυσιν τοῦ λοιποῦ, τοῦτο δὲ ὥστ' ἐξ ἑαυτοῦ καὶ ὧν ἔνδον ἔχει κινήσεων κινηθῆναι ὥσπερ εἴρηται. διὸ δεῖ λαβέσθαι ἀρχῆς. ὅθεν τάχιστα δοκοῦσιν ἀπὸ τόπων ἐνίοτε ἀναμιμνήσκεσθαι, τόπους δὲ ἢ ἃς ἀρχὰς ἐνεῖναι δεῖν τῇ ψυχῇ λέγομεν, ἢ τοὺς κατὰ τὰ σύστοιχα καὶ ὅμοια καὶ ἀντικείμενα ὡς ἐν τῇ διαλεκτικῇ εἴρηται, ἢ τοὺς σωματικοὺς καὶ τὰς ἐν τῷδε τῷ μέρει θέσεις. τὸ δὲ αἴτιον ὅτι ταχὺ ἀπ' ἄλλου ἐπ' ἄλλο ἔρχεται, οἷον ἀπὸ γάλακτος ἐπὶ τὸ λευκόν, ἀπὸ λευκοῦ ἐπ' ἀέρα, ἀπὸ τούτου ἐφ' ὑγρόν, ἀφ' οὗ ἐμνήσθη μετοπώρου ταύτην ἐπιζητῶν τὴν ὥραν. ἔοικε δὲ ὡς ἐπὶ τὸ πολὺ τὸ μέσον πάντων ἀρχῇ, καὶ ἡ τούτου εὕρεσις τὰ μέγιστα ὠφελεῖ· ποδηγεῖ γὰρ πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν, οἷον ἐκκείσθωσαν ταυταδὶ τὰ στοιχεῖα ἰσάριθμα ὄντα καὶ ἀναλογοῦντα τοῖς νοήμασι τῆς ψυχῆς, ἃ κινεῖται ἀναμιμνησκομένη πρὸς εὕρεσιν τοῦ ζητουμένου $\overline{α}$. $\overline{β}$. $\overline{γ}$. $\overline{δ}$. $\overline{ε}$. $\overline{ζ}$. $\overline{η}$. $\overline{θ}$. καὶ ἐπεὶ μέσον τὸ $\overline{ε}$. ὁ τοῦτο γὰρ εὑρών, εἰ μὴ ἅμα τῷ εὑρηκέναι αὐτὸ εὑρήσει καὶ ὅπερ ἐζήτει, ἐπὶ τὸ $\overline{θ}$ ἐλθὼν μνησθήσεται. ἅπαξ γὰρ τοῦ μέσου λαβόμενον καὶ ἐπὶ τὸ ἔμπροσθεν καὶ ἐπὶ τὸ ὄπισθεν κινηθῆναι ἐνδέχεται, οὐδὲν δὲ κωλύει καὶ ὑπερβατῶς τὰς νοήσεις καὶ ἀνεστραμμένως ποιεῖσθαι, καὶ μετὰ τὸ $\overline{ε}$ τὸ $\overline{θ}$ νοῆσαι, καὶ ἀπὸ του $\overline{θ}$ τὸ $\overline{ζ}$, εἶτα τὸ $\overline{η}$. εἰ μὲν οὖν ἐν τοῖς ἔμπροσθεν τὸ ζητούμενον εἴη, οὕτως εὑρήσει ἐλθὼν ἐπὶ τὸ $\overline{θ}$, ὥσπερ εἴρηται· εἰ δ' ἐν τοῖς ὄπισθεν, ἐλθὼν ἐπὶ τὸ $\overline{α}$. εἰσὶν οὖν τὰ

21 ἐπεὶ] num ἔστω?

*κατὰ τὰ στοιχεῖα νοήματα ταῦτα, Ἀθῆναι, λύκιον, οἶκος Πλάτωνος, νεομηνία, συμπόσιον, Σωκράτης, τὸ τυφθῆναι ὑπὸ Σωκράτους, λύρα. τοῦ δὲ ἀπὸ τοῦ αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι, ἐνίοτε δὲ μή, αἴτιον ὅτι πλείους ἐνδέχεται κινηθῆναι κινήσεις ἀπὸ τῆς αὐτῆς ἀρχῆς, οἷον ἀπὸ τῆς πλευρᾶς ὁρμήσειεν ἄν τις καὶ εἰς ἔννοιαν πλευρίτιδος καὶ πλευρωνίας. εἰ οὖν εἴη συνηθέστερον ἡ πλευρῖτις τῆς πλευρωνίας, ἕλξει μᾶλλον πρὸς αὑτὸ τὴν διάνοιαν, ὥσπερ τὰ λαμπρὰ τῶν σωμάτων τὴν ὄψιν. οὐ μόνον δὲ διὰ ταῦτα, ἀλλὰ καὶ εἰ ὁ μὲν παλαιὸς εἴη τῶν τύπων, ὁ δὲ νέος, κινήσει μᾶλλον ὁ νέος εἰς τὴν αὑτοῦ ἀνάμνησιν, εἰ μή που εἰς βάθος καθ' ἕξιν ἐπιστημονικὴν ὁ παλαιὸς ἐνσεσημασμένος εἴη καὶ πρὸς τούτοις συνήθης· ὥσπερ γὰρ νέος ἐστὶ τῇ καθ' ἕκαστον μελέτῃ. ὥσπερ δέ εἰσί τινα φύσει τόδε μετὰ τόδε· φύσει γὰρ τῇ τε τοῦ πυρὸς ἀναμνήσει ἡ θερμότης ἕπεται καὶ τῇ τοῦ ἡλίου ὁ φωτισμός, οὕτω καὶ ἔθει. ἔστι γὰρ ἐξ ἔθους τινὰ ἅπερ ἀναμνησθέντες εὐθὺς ἀναμιμνησκόμεθα καὶ τὰ μετ' αὐτὰ ὄντα. τὸ δὲ πολλάκις ἐθισθὲν ὥσπερ φύσις, καὶ ἐπεὶ ἐν τοῖς φύσει γιγνομένοις ἁμαρτία γίνεται καὶ παρὰ φύσιν, ἐνδέχεται τοῦτο συμβαίνειν καὶ ἐν τοῖς δι' ἔθος. εἰ δὲ τοῦτο, οὐδὲν κωλύει ἀναμνησθέντα τοῦ προτέρου καὶ τοῦ ἡγουμένου ἁμαρτάνειν περὶ τὸ ὕστερον καὶ ἑπόμενον, καὶ κινηθῆναι ἄλλως ἢ ὡς δεῖ, καὶ πρὸς τούτοις ὅταν ἀφέλκῃ ἀπὸ τῆς πλευρωνίας ἡ πλευρῖτις. διὰ τοῦτο καὶ ὅταν δέῃ ὄνομα ἀναμνησθῆναι,*

---

27 *ἀφέλκῃ*] *ἐφέλκῃ* A, vide ne exciderint quae habet Ephesius: *ὅταν ἀφέλκῃ ἐκεῖθεν αὐτόσε πῃ διὰ τὸ συνηθέστερον, οἷον ὅταν ἀφέλκῃ*

*ἄλλου μὲν παρομοίου μνημονεύομεν, εἰς δ' ἐκεῖνο σολοικίζομεν. ὁ γὰρ βουλόμενος ἀναμνησθῆναι Λεωφάνην μνησθεὶς Λεωσθένην ἐσολοίκισεν ὡς πρὸς τὸν Λεωφάνην. τὸ μὲν οὖν ἀναμιμνήσκεσθαι τοῦτον συμβαίνει τὸν τρόπον, κοινῶς δὲ εἰπεῖν περὶ μνήμης καὶ ἀναμνήσεως ὡς τὸ μέγιστον ἐν ἀμφοτέροις δεῖ γνωρίζειν τὸν χρόνον ἢ μέτρῳ καὶ ὡρισμένως, ὡς ὃ μνημονεύω ἢ ἀναμιμνήσκομαι, χθὲς εἶδον ἢ πρὸ* [fol. 98b] *μηνός, ἢ ἀορίστως, ὡς ἁπλῶς πρότερον ᾔσθημαι, καὶ πάλαι ποτὲ τοῦτο εἶδον καὶ ἤκουσα. εἰ γὰρ μὴ τοῦτο γένοιτο, συμβήσεται ἡμῖν ὑπολαμβάνειν ὡς οὐκ ἀναμιμνησκόμεθα ἢ μνημονεύομεν, ἀλλὰ νῦν πρότερον ταῦτα καὶ οἴκοθεν προβαλλόμεθα. ἔστι δὲ τὸ κρῖνον τὸν πλείω καὶ ἐλάσσω χρόνον ἐν τοῖς τοιούτοις ἡ πρώτη αἰσθητικὴ ψυχὴ ἡ ἐν τῇ καρδίᾳ καθημένη. ὡς γὰρ ἡ διάνοια κρίνει τὰ μεγέθη οὐ τῷ ἀποτείνεσθαι ἔξω πρὸς ἐκεῖνα, ὥσπερ λέγουσιν ἡμᾶς ὁρᾶν οἱ δι' ἐκπομπὴν ἀκτίνων τιθέμενοι τὸ ὁρᾶν, ἀλλὰ κινοῦσα τοὺς ἀπὸ τῶν μεγεθῶν ἐναποκειμένους ἐν τῇ φαντασίᾳ τύπους, (εἰ γὰρ ἐκείνως ἔκρινεν, ὅτε οὐ παρῆσαν, οὐκ ἂν ἐδύνατο κρίνειν· νυνὶ δὲ καὶ ἀπόντων κρίνει· οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ διάνοια ἢ νοῦ μετὰ φαντασίας ἐνέργεια·) οὕτως εὔλογον καὶ τὴν αἰσθητικὴν ψυχὴν τίθεσθαι κρίνειν τὸν πλείω καὶ ἐλάσσω χρόνον ἔνδον μένουσαν καὶ κινουμένην ὑπὸ τῶν ἐνόντων τύπων. ἐπεὶ δὲ ἐν τῇ μνείᾳ τῶν περιεκτικῶν καὶ καθόλου λόγων καὶ οἱ καθ' ἕκαστα καὶ περιεχόμενοι συλλαμβάνονται, καὶ ὅταν ὅλην τινὰ περικοπὴν ἀπὸ βυβλίου καὶ μακρὰν*


---

13 *πρότερον*] immo *πρῶτον* 17 *ἀποκτείνεσθαι* A 20 *ἐκείνως*] *ἐκείνους* A

περίοδον ἀπομνημονεύωμεν, ἐννοοῦμεν καὶ τὰ μέρη· τὸ γὰρ ὅλον ἐκ μερῶν, μέρη δὲ ἐνταῦθα κῶλα καὶ κόμματα, τίνι διοίσει ἡ διὰ πάντων ὁμοῦ ἀνάμνησις καὶ κατὰ κοινὸν τῆς ἐν μέρει; ἢ καθόσον συμβαίνει ὧδε μὲν τῇ τοῦ ὅλου μνήμῃ καὶ τὸ μέρος συνεννοεῖν, ἐκεῖ δὲ τῇ τοῦ καθόλου καὶ τὸ καθ' ἕκαστον; πρῶτον μέντοι τὰ ἐντὸς καὶ ἐλάσσω νοήσει τῶν ἄκρων καὶ τῆς ὁλότητος, ἀνάλογα δὲ τὰ ἐντὸς πρός τε αὐτὰ καὶ τὰ ἄκρα τῷ ἔχεσθαι ἀλλήλων καὶ ἑξῆς εἶναι, ὡς ἐκεῖνα τὰ ἐν τῷ Τιμαίῳ· θεοὶ θεῶν ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε ἐθέλοντος. τὸ μὲν οὖν δεθὲν πᾶν λυτόν, τὸ δέ γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι γε μὴν λυθήσεσθε οὐδὲ τεύξεσθε θανάτου μοίρας. τῷ μὲν οὖν δὴ ἅπαντι νοηθέντι συννενόηται καὶ τὸ μέρος, τὸ μέντοι θεοὶ θεῶν πρῶτον ἐπῆλθεν ἡ διάνοια τοῦ μετ' αὐτό, κἀκεῖνο τοῦ ἐφεξῆς, καὶ πάντων ὕστερον τὸ κοινόν· τὰ γὰρ καθ' ἕκαστα ὁμοῦ τὸ ὅλον. ὡς δὲ ἐπὶ τῶν πραγμάτων καὶ νοημάτων ἔχει, καὶ ἐπὶ τοῦ χρόνου ζητεῖν εὔλογον· τοῖς γὰρ νοήμασι καθάπερ ὁ χρόνος συνείρεται καὶ ἡ γνῶσις ἅμα, ὅθεν καὶ ὡς τὸ ἔλαττον πρᾶγμα πρὸς τὸ μεῖζον ἔχει, καὶ ὁ ἐλάττων χρόνος πρὸς τὸν μείζονα ὁμοίως ἕξει, καὶ ἐναλλάξ, ὡς τὸ πρᾶγμα ἅπαντα τὸν χρόνον ἔχει, καὶ τὰ μέρη πρὸς τὰ μέρη. δῆλον δ' ἂν εἴη μᾶλλον ἐπὶ τῆς διαγραφῆς.

---

10 *Τιμαίῳ*] p. 41 St. 43 Bekk. 12 *δεθὲν*] sic et pauci Platonis libri, optimi *δὴ δεθὲν* 13 *δέ γε*] sic uuus Bekkeri codex, del. *γε* nec habet Ephesius fol. 134 b. 15 *γε μὴν λυθήσεσθε*] *μὲν δὴ λυθήσεσθέ γε* Platonis libri 16 *τῷ*] *τὸ* A 18 *πρῶτον*] fort. *πρότερον* 26 *ἅπαντα*] fort. *πρὸς*




ἐκκείσθωσαν δύο τρίγωνα κάτω τὰς κορυφὰς ἔχοντα, καὶ ἐμβεβλημένον ἐν ἑτέρῳ τὸ ἕτερον καὶ περιέχον μὲν ἔστω τὸ κμν, τὸ δὲ αβε περιεχόμενον, καὶ τετμήσθω ἡ αβ κατὰ τὰ γζ σημεῖα, καὶ ἐπεξεύχθωσαν κατὰ τὴν ἀντικειμένην τοῦ αὐτοῦ τριγώνου πλευρὰν καὶ ἐπ' εὐθείας ἡ γδ ζη, τετμήσθω δὲ καὶ κμ κατὰ τὰ ϑλ, καὶ ἐπεξεύχθωσαν πρὸς τὴν ἐξ ἐναντίας τοῦ αὐτοῦ τριγώνου πλευρὰν καὶ ἐπ' εὐθείας ἡ ϑξ λρ, κείσθωσαν δὲ καὶ ἀμφοτέρων τῶν τριγώνων αἱ τμήσεις τῶν γραμμῶν πρὸς εὐθεῖαν. ἔστω δὲ τὸ ἔλασσον καὶ ἐντὸς ἅπερ ἡ ψυχὴ νοεῖ πράγματα, τὸ δὲ μεῖζον καὶ ἐκτὸς ὁ χρόνος ὁ συναισθόμενος ταῖς νοήσεσιν. ὥσπερ οὖν ὁ κινηθεὶς τὴν αβ βε ἅμα καὶ τὴν αγ γδ κεκίνηται· ἐντὸς γὰρ καὶ περιέχονται, οὕτως ὁ τὴν αγ γδ καὶ τὴν αζ ζη· ὅπερ γὰρ ἡ αγ πρὸς τὴν αβ, τοῦτο ἡ γδ πρὸς τὴν βε· ἀνάλογα γάρ, ὅθεν καὶ ἐναλλάξ. πάλιν ὡς ἡ αζ πρὸς τὴν αγ, καὶ ἐναλλάξ. λοιπὸν ὥσπερ ὁ νοῶν τὰς ὅλας

17 πρὸς τὴν αγ] adde οὕτως καὶ ἡ ζη πρὸς τὴν γδ· ἀνάλογα γὰρ ὅθεν

*τὴν αβ καὶ τὴν βε συννοεῖ καὶ τὰς αγ γδ μέρη οὔσας, οὕτως ὁ τὰς αγ γδ τὰς αξ ζη. ὡς δὲ ἐπὶ τούτων, καὶ ἐπὶ τοῦ χρόνου. ὁ γὰρ κινηθεὶς τὰς κμ μν χρονικὰς γραμμάς, καὶ τὰς κθ θξ κεκίνηται, καὶ ἔτι τὰς κλ λρ. ἦν δὲ τοῦ μὲν αβ βε πράγματος ὁ κμ μν χρόνος· ἅμα γὰρ τῇ ἐκείνου νοήσει καὶ οὗτος συνήγετο, τοῦ δὲ αγ γδ ὁ κθ θξ χρόνος, τοῦ δὲ αξ ζη ὁ κλ λρ· ἅμα γὰρ πάντα καὶ ἀνάλογον. φανερὸν οὖν ὡς μνημονεύοντες ἢ ἀναμιμνησκόμενοι ἐξ ἀνάγκης καὶ τὸν πληροῦντα χρόνον συνεννοούμεθα.*

*Διττῶς δὲ συμβαίνει τὴν ἀπάτην κατὰ μνήμην γίνεσθαι, ἕνα μὲν τρόπον ὅταν ἀναλλαγὴ γένηται περὶ τὰ μνημονευόμενα καὶ τοὺς τύπους, οἷον εἴπερ ἡ ψυχὴ ὁρῶσα τὸ τοῦ Θεαιτήτου φάντασμα ὑπολάβοι Σωκράτους εἶναι· τότε γὰρ δόξει μνημονεύειν Σωκράτους Θεαιτήτου μεμνημένη· οὐδὲν γὰρ κωλύει διαψευσθῆναί τινα καὶ δοκεῖν μνημονεύειν μὴ μνημονεύοντα. δεύτερον δὲ ὅταν μνημονεύωμέν του μὴ συναισθώμεθα δὲ δι' ἑτέραν κίνησιν ὡς πολλάκις καὶ διαλογιζόμενός τι καὶ ἐννοῶν τὸν ἔμπροσθεν ἱστάμενον οὐχ ὁρῶ, ὡς ἐοικέναι με τῷ ὀνειρώττοντι καὶ μὴ συναισθομένῳ ὅτι ὀνειρώττει. οὐκ ἄρα οὖν* fol. 99. *ἔσται μνήμη ἢ ἀνάμνησις μὴ τῇ τοῦ πράγματος κινήσει καὶ τῆς τοῦ χρόνου ἐφεπομένης, καὶ ἐπὶ τούτοις συναίσθησις. τοῦ δὲ χρόνου ὡς εἴρηται ὁτὲ μὲν ἀορίστως, ὁτὲ δ' ὡρισμένως μεμνήμεθα. ὁτὲ μὲν γὰρ μέτρῳ οὐ μέμνηται αὐτοῦ, οἷον ὅτι τρίτην ἡμέραν ἔχω πράξας, ἢ πρὸ μηνός, ἀλλ' ἁπλῶς ὅτι πάλαι ποτὲ τόδε ἐποίησα· ὁτὲ δὲ καὶ μέτρῳ. σημεῖον δὲ τοῦ μεμνῆσθαι καὶ ἄνευ μέτρου τὸ εἰωθὸς λέγειν, ὅτι μέ-*

---

7 θξ] θζ A    19 *συναισθώμεθα*] *συναίσθωσαν* A

μνηνται μέν, πότε δὲ οὐκ ἴσασιν, ὅταν μὴ γνωρίσωσι τῷ ὡρισμένῳ μέτρῳ. ὅτι μὲν οὖν οὐχ οἱ αὐτοὶ μνημονικοὶ καὶ ἀναμνηστικοί, ἐν τοῖς πρότερον εἴρηται, διαφέρει δὲ καὶ τὸ μνημονεύειν τοῦ ἀναμιμνήσκεσθαι οὐ κατὰ τὸν χρόνον μόνον· πρότερον γὰρ ἡ μνήμη τῆς ἀναμνήσεως, ἀλλ' ὅτι καὶ τοῦ μὲν μνημονεύειν καὶ τῶν ἄλλων ζώων μετέχει πολλά, τῆς δὲ ἀναμνήσεως οὐδὲν ὡς εἰπεῖν τῶν γνωριζομένων ζώων πλὴν ἄνθρωπος· ᾧ γὰρ τὸ ἀναμιμνήσκεσθαι, τούτῳ καὶ τὸ συλλογίζεσθαι. ὡς γὰρ ὁ συλλογιζόμενος τῇδε τήνδε συνάπτει πρότασιν, καὶ ὁ ἀναμιμνησκόμενος τὰ ἐλάττω τοῖς μείζοσιν. ᾧ δὲ τὸ συλλογίζεσθαι, τούτῳ καὶ τὸ ζητεῖν, τὸ δέ, οἷς βουλή. ᾧ ἄρα ἀνάμνησις, τούτῳ καὶ βούλησις, μόνος δὲ ὁ ἄνθρωπος βουλεύεται, μόνος ἄρα καὶ ἀναμιμνήσκεται. τὸ μὲν οὖν ἀναμιμνήσκεσθαι ὅτι διανοίας ἐστί, δέδεικται· τὸ γὰρ βουλεύεσθαι νοῦ. ἀλλ' ἐπεὶ χωρὶς φαντασίας τοῦτο ποιῆσαι ἀδύνατον· τὰ γὰρ ἐν τῇ καρδίᾳ εἴδωλα καὶ τὸ ἐν αὐτῇ πνεῦμα κινοῦσα ἀναμιμνήσκεται, σωματικόν τι τὸ πάθος ἐστὶ καὶ ἡ ἀνάμνησις διανοίας ὁρμὴ ἐν τοιούτῳ φαντάσματι. ὡς γὰρ ὁ βουλόμενος ἀναγνῶναι τὸ βυβλίον ζητεῖ καὶ ὁρᾷ τὰ ἐν αὐτῷ γεγραμμένα, οὕτω καὶ ἐν τούτοις τῷ μὲν ἀναγνώσοντι ἔοικεν ἡ διάνοια, ἡ καρδία δὲ τῷ βυβλίῳ, τοῖς δὲ γράμμασι τὰ φαντάσματα, καὶ ἔστι σημεῖον τοῦ σωματικὸν εἶναι πάθος τὸ τῆς μνήμης καὶ ἀναμνήσεως τὸ παρενοχλεῖσθαι ἐνίους ἄκοντας, καίτοι ἐπέχοντες πάνυ τὴν διάνοιαν, καὶ μὴ περαιτέρω ζητεῖν ἐπιτρέποντες ὅμως οὐδὲν ἧττον ζητοῦσιν, ὡς καθάπαξ κινηθείσης τῆς καρδίας ἢ τοῦ ἐν αὐτῇ ὑγροῦ ἐν τῷ ἐπιχειρεῖν ἡμᾶς ἀναμιμνήσκεσθαι μηκέτι ῥᾳδίως ἐθέλειν ἵστασθαι τοιοῦτόν τι πάσχοντες, ὥσπερ ἂν ἡμῶν μὴ θε-

λόντων ἕλκοι τις πρὸς αὐτὸν ἐστράφθαι. μάλιστα δ' ἐνοχλοῦνται οἱ μελαγχολικοὶ ὑπὸ τῶν τοιούτων φαντασμάτων. εὐκίνητοι γὰρ ὄντες ὡς πολλοῦ καὶ παχέος ἐν καρδίᾳ πεπληρωμένοι πνεύματος, ἐπὰν ἑνὸς φαντάσματος κίνησις γένηται, εὐθὺς σωρηδὸν ἀνεγείρεται πάμπολλα διὰ τὴν ἐν τῷ ὑγρῷ τῆς καρδίας εὐκινησίαν. ἐπεὶ δὲ πολλάκις ἀναμνησθῆναι βουλόμενοι οὐ δυνάμεθα ἢ ὅλως ἢ οὐ τότε, ὅτε βουλόμεθα, αἴτιον τὸ μὴ ἐφ' ἑαυτοῖς εἶναι, ἀλλὰ καθάπερ τοῖς βάλλουσι λίθον οὐκ ἔστιν ἐπ' αὐτοῖς στῆσαι τῆς φορᾶς, οὕτω καὶ ὁ ἀναμιμνησκόμενος καὶ ὁ θηρεύων σωματικόν τι κινεῖ ἐν ᾧ τὸ πάθος· οὐδὲν γὰρ ἀσώματον κινεῖται καθ' αὑτό. διὸ καὶ οὐκ ἐφ' αὑτῷ στῆσαι καὶ ὥσπερ τῷ ἀναγνῶναι προθεμένῳ τόδε τὸ χωρίον οὐκ ἤρκεσεν μόνη ἡ τοῦ βυβλίου ἀνάπτυξις, εἰ μὴ καὶ τὸν τόπον εὕροι, οὕτω καὶ ἐπὶ διανοίας καὶ τῶν ἐν τῇ καρδίᾳ φαντασμάτων ἔχει· οὐ γὰρ μνησθήσεται κινοῦσα τὰ εἴδωλα, εἰ μὴ ἐντύχοι ὃ ζητεῖ. ὅθεν καὶ μάλιστα ἐνοχλοῦνται ὡς εἴρηται οἷς ἂν ὑγρότης τύχῃ ὑπάρχουσα περὶ τὸν αἰσθητικὸν τόπον· οὐ γὰρ ῥᾳδίως παύονται κινηθέντες, ἕως ἂν ἐπέλθωσι τὸ ζητούμενον καὶ εὐθυπορήσῃ ἡ κίνησις. διὸ καὶ ὀργαὶ καὶ φόβοι, ὅταν τι κινήσωσιν, ἀντικινούντων πάλιν ἐκείνων οὐ καθίστανται, ἀλλ' ἐπὶ τὸ αὐτὸ ἀντικινοῦσι μέχρι του, οἷον ἡ καρδία κινηθεῖσα ἐν ταῖς ὀργαῖς καὶ τοῖς θυμοῖς κρίναντος τοῦ λογισμοῦ ὑπὸ τοῦ ζέσαντος αἵματος καὶ ὡς στερροτέρα μᾶλλον θερμανθεῖσα ἀντιθερμαίνει τὸ αἷμα. καὶ ἐν τοῖς φόβοις δὲ γινομένων τῶν ἐναντίων ψύξεως καὶ συστολῆς οὐ ῥᾳδίως ἀποκαθίστανται, καὶ ἔοικε τὸ πάθος

---

20 τύχοι A

τοῖς ὀνόμασι καὶ μέλεσι καὶ λόγοις· ὅταν γὰρ διὰ στόματος αὐτῶν γένηταί τι σφόδρα, παυσαμένοις καὶ οὐ βουλομένοις πάλιν ᾄδειν ἢ λέγειν ἐπέρχεται. εἰσὶ δὲ καὶ οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ οἱ νανώδεις ἀμνημονέστεροι τῶν ἐναντίων διὰ τὸ πολὺ βάρος ἔχειν ἐπὶ τῷ αἰσθητικῷ καὶ μήτ' ἐξ ἀρχῆς τὰς κινήσεις δύνασθαι ἐμμένειν, ἀλλὰ διαλύεσθαι, μήτε ἐν τῷ ἀναμιμνήσκεσθαι ῥᾳδίως εὐθυπορεῖν. οἱ δὲ πάμπαν νέοι καὶ οἱ λίαν γέροντες ἀμνήμονες διὰ τὴν κίνησιν· οἱ μὲν γὰρ ἐν αὐξήσει, οἱ δὲ ἐν φθίσει πολλῇ εἰσίν. ἔτι δὲ τὰ παιδία καὶ νανώδη εἰσὶ μέχρι πόρρω τῆς ἡλικίας. περὶ μὲν οὖν μνήμης καὶ τοῦ μνημονεύειν καὶ τίς ἡ φύσις αὐτῶν καὶ τίνι τῶν τῆς ψυχῆς μνημονεύει τὰ ζῷα, καὶ περὶ τοῦ ἀναμιμνήσκεσθαι τί ἐστι καὶ πῶς γίνεται καὶ διὰ τίνα αἰτίαν, εἴρηται.

---

fol. 99b.

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΥΠΝΟΥ ΚΑΙ ΕΓΡΗΓΟΡΣΕΩΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

---

*Περὶ δὲ ὕπνου καὶ ἐγρηγόρσεως σκοπητέον, τίνα τε τυγχάνει καὶ ἐν ποίῳ μορίῳ τῆς ψυχῆς, καὶ πότερον ἴδια τῆς ψυχῆς ἢ καὶ τοῦ σώματος, καὶ διὰ τίνα αἰτίαν ὑπάρχει τοῖς ζώοις, καὶ πότερον ἅπαντα κεκοινώνηκεν ἀμφοῖν, ἢ τὰ μὲν ὕπνου τὰ δὲ θατέρου μόνου, πρὸς δὲ τούτοις τί ἐστι τὸ ἐνύπνιον, καὶ διὰ τίνα αἰτίαν οἱ καθεύδοντες ὁτὲ μὲν ὀνειρώσσουσιν, ὁτὲ δ᾽ οὐκ ὀνειρώσσουσιν, καὶ πότερον συμβαίνει μὲν ἀεὶ τοῖς καθεύδουσιν ἐνυπνιάζειν, ἀλλ᾽ οὐ μνημονεύουσιν, ἢ οὔ, κἂν εἰ συμβαίνοι, διὰ τίνα αἰτίαν γίνεται, καὶ πότερον τὰ μέλλοντα ἐνδέχεται προορᾶν ἢ οὐκ ἐνδέχεται, καὶ τίνα τρόπον εἰ ἐνδέχεται, καὶ πότερον τὰ μέλλοντα ὑπ᾽ ἀνθρώπου πράσσεσθαι μόνον, ἢ καὶ ὧν τὸ δαιμόνιον τὴν αἰτίαν ἔχει καὶ φύσει γίνεται ἢ ἀπὸ ταὐτομάτου. καὶ πρῶτον μέν γε τοῦτο φανερόν, ὅτι τῷ αὐτῷ μορίῳ τοῦ ζώου ἥ τε ἐγρήγορσις ὑπάρχει καὶ ὁ ὕπνος· ἀντίκεινται γὰρ καὶ φαίνεταί τις στέρησις ὁ ὕπνος τῆς ἐγρηγόρσεως. διὸ τὰ ἔσχατα καὶ ἀντικείμενα καὶ ἐπὶ τῶν τεχναστῶν καὶ ἐπὶ τῶν φυσικῶν ἐν τῷ αὐτῷ δεκτικῷ φαίνεται γινόμενα καὶ τοῦ αὐτοῦ πάθη εἰσί, λέγω δ᾽ οἷον ἁρμονία*

---

16 πράσσεται A

*καὶ ἀναρμοστία περὶ τὸ αὐτό, καὶ τάξις καὶ ἀταξία, ἔτι δὲ νόσος καὶ ὑγεία περὶ τὸ αὐτό· ἐν σώματι γάρ, καὶ αἶσχος καὶ κάλλος ἐν τοῖς ὀργανικοῖς, ἐν νεύροις δὲ ἰσχὺς καὶ ἀσθένεια, καὶ περὶ ὄψιν αὖ ὄψις καὶ τυφλότης, καὶ ἐν ἀκοῇ ὁμοίως. ἔτι δὲ καὶ ἐκ τῶνδε δῆλον. ᾧ γὰρ τὸν ἐγρηγορότα γνωρίζομεν, τούτῳ καὶ τὸν καθ' ὕπνον. γνωρίζομεν δὲ τὸν ἐγρηγορότα τῷ αἰσθάνεσθαι ἢ τῶν ἐκτός τινος κινήσεως ὡς ὁρᾶν ἢ ἀκούειν, ἢ τῶν ἐντὸς καὶ ἐν αὐτῷ ὡς λογίζεσθαι καὶ φαντάζεσθαι. καὶ ὑπνώττοντα δ' αὖ λέγομεν τὸν μήτε τῶν ἐξωτερικῶν τινὰ ἐνεργοῦντα κινήσεων, μήτε τῶν ἔνδοθεν. αἴσθησις δὲ καὶ ἀναισθησία ὡς ἕξις καὶ στέρησις, αὗται δὲ περὶ τὸ αὐτὸ καὶ ἓν ὑπάρξουσι, καὶ ὕπνος ἄρα καὶ ἐγρήγορσις τὸ αὐτὸ ἕξουσιν ὑποκείμενον. ἐπεὶ δ' οὔτε τῆς ψυχῆς ἴδιον τὸ αἰσθάνεσθαι οὔτε τοῦ σώματος· οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια, ἡ δὲ λεγομένη ἐνεργείᾳ αἴσθησις κίνησίς τίς ἐστι διὰ τοῦ σώματος τῆς ψυχῆς, φανερὸν ὅτι οὔτε τῆς ψυχῆς τὸ πάθος ἐστὶν ἴδιον, οὔτ' ἄψυχον σῶμα δυνατὸν αἰσθάνεσθαι, ἀλλὰ τοῦ συναμφοτέρου. διωρισμένων δ' ὡς μορίων πρότερον καὶ τοῦ μὲν θρεπτικοῦ χωριζομένου τῶν ἄλλων, τῶν δ' ἄλλων οὐδενὸς ἄνευ τούτου ὄντος, δῆλον ὡς ὅσα μὲν αὐξήσεως καὶ φθίσεως μετέχει μόνον τῶν ζώντων οἷον τὰ φυτά, τούτοις οὐχ ὑπάρχει ὕπνος οὐδὲ ἐγρήγορσις· οὐ γὰρ ἔχουσι τὸ αἰσθητικὸν μόριον ἐν ᾧ ταῦτα. τὸ δὲ αἰσθητικὸν τοῦ θρεπτικοῦ ὅτι ἕτερον τῷ εἶναι καὶ τῇ δυνάμει, φανερόν· εἰ δὲ καὶ τῷ ὑποκειμένῳ, οὐ παντί γε δῆλον. ἔτι τῶν θνητῶν καὶ ὑπὸ σελήνην καὶ δεκτικῶν ὕπνου καὶ ἐγρηγόρσεως*

---

29 *καὶ* delendum videtur

*οὐδέν ἐστιν, ὃ ἀεὶ ἐγρήγορεν ἢ ἀεὶ καθεύδει· ἀλλὰ τοῖς αὐτοῖς ὑπάρχει τῶν ζώων ἀμφότερα τὰ πάθη ταῦτα, καὶ οὐδέν ἐστι ζῶον ἀμφοτέρων στερούμενον· τοῦτο γάρ ἐστι τῶν ἀψύχων. ὑπεξαιρείσθω μέντοι κἂν τούτοις τὰ θεῖα ἐνεργοῦντα ἀεί· ἡ γὰρ ἐν αὐτοῖς ἐγρήγορσις ἀναντίθετος. ὕπνος δὲ καὶ ἐγρήγορσις ὡς πολλάκις εἴρηται πάθη περὶ αἴσθησιν τοῦ πρώτου αἰσθητικοῦ τῆς καρδίας. ἔτι ὅσων ἐστὶν ἔργον τι κατὰ φύσιν, ὅταν ὑπερβάλλῃ τὸν χρόνον καθ' ὃν πέφυκε τοῦτο ποιεῖν, ἀνάγκη κάμνειν καὶ μὴ δυνάμενον πρόσω βαίνειν παύεσθαι. φέρουσι γὰρ τὰ ὑποζύγια φόρτον ἄχρι τινός, ἢν δέ τις περαιτέρω βιάσαιτο, πίπτουσι· καὶ ἀναγνώσεταί τις ἕως τινός, εἶτα καμεῖται, καὶ ἀνδριαντοποιὸς καὶ τέκτων καὶ πᾶς ὁστισοῦν ἐνεργήσει μέχρι του, εἶτα στάσις τὴν κίνησιν διαδέξεται. κατὰ τὰ αὐτὰ δὲ καὶ ὄμματα καὶ ὦτα, ἔτι δὲ χεῖρες καὶ πόδες καὶ ἅπαν ὀργανικόν. εἰ δή τινός ἐστιν ἔργον τὸ αἰσθάνεσθαι, συνεχῶς ἀδυνατήσει καὶ οὐκέτι τοῦτο ποιήσει. ἐκμετρήσαντα γὰρ τὰ μόρια τὸν πληροῦντα χρόνον τὴν δύναμιν παύσεται. εἰ τοίνυν ἐναντίον τῷ ἐγρηγορέναι τὸ καθεύδειν, τῶν δ' ἀμέσων ἐναντίον ἢ τῶν καθ' ἕξιν καὶ στέρησιν, ἂν θάτερον τῷ δεκτικῷ μὴ παρῇ, ἀνάγκη παρ-*
fol. 100. *εἶναι θάτερον, καὶ τῆς ἐγρηγόρσεως μὴ παρούσης παρέσται ὕπνος, καὶ εἰ ἡ ὑπερβολὴ τοῦ ἐγρηγορέναι ὁτὲ μὲν νοσώδης· διετέλεσαν γάρ τινες καὶ ἕως ἡμερῶν ἐννέα ἄϋπνοι δι' ἀσθένειαν, ὁτὲ δὲ ἄνευ νόσου, ὥσπερ οἱ δι' ἴσχνανσιν ἢ ξήρανσιν αὐτὸ τοῦτο παθόντες, καὶ ἡ ἀδυναμία ἄρα καὶ ὁ μακρὸς ὕπνος ὁτὲ μὲν*

---

6 *ἀναντίθετος*] fort. *ἀναντίλεκτος* 18 *αἰσθάνεσθαι*] ex Arist. p. 454, 30 sic supplenda *αἰσθάνεσθαι, καὶ τοῦτο ἂν ὑπερβάλλῃ ὅσον ἦν χρόνον δυνάμενον αἰσθάνεσθαι* 24 *καὶ* fort. del.

διὰ νόσου, ὁτὲ δ᾽ ἄνευ νόσου γενήσεται. πυρέξας γάρ τις ἐπὶ τρισὶν ἡμέραις κοιμώμενος διετέλεσε, τά τε βρέφη καὶ ὅσοι τὴν δίαιταν ἢ τὴν κρᾶσιν ὑγρότεροι ἐπὶ πλεῖστον ὅσον ὑπνώττουσιν. εἰ δὲ ταῦτα οὕτω, πᾶν ἄρα τὸ ἐγρηγορὸς καθεύδει, καὶ τὸ καθεῦδον ἐγρήγορεν. εἰ γὰρ ὁ ὕπνος πάθος τί ἐστι τοῦ αἰσθητικοῦ μορίου καὶ οἷον δεσμός τις καὶ ἀκινησία, αἰσθητικὸν δὲ τὸ δυνατὸν αἰσθάνεσθαι κατ᾽ ἐνέργειαν, πᾶσα δὲ δύναμις ἄγεται εἰς ἐνέργειαν, ἀνάγκη ἄρα τὸ καθεῦδον καὶ δύναμιν γρηγορῆσαι ἔχον ἐγρηγορὸς γενέσθαι, καὶ οὐδεὶς ὕπνος ἀνέγερτος. τὰ μὲν οὖν ἄλλα σχεδὸν πάντα δῆλα τὰ κοινωνοῦντα ὕπνου καὶ πλωτὰ καὶ πτηνὰ καὶ πεζά· καὶ γὰρ τὰ τῶν ἰχθύων γένη πάντα καὶ τὰ τῶν μαλακίων ὦπται καθεύδοντα καὶ πάντα τἄλλα ὅσα ἔχει ὀφθαλμούς· καὶ γὰρ τὰ σκληρόφθαλμα φανερὰ καὶ τὰ ἔντομα κοιμώμενα, βραχύυπνα δὲ τὰ τοιαῦτα πάντα, διὸ καὶ λανθάνοι ἄν τινα πολλάκις, πότερον μετέχουσι τοῦ καθεύδειν ἢ οὔ. τῶν δ᾽ ὀστρακοδέρμων κατὰ μὲν τὴν αἴσθησιν οὐδέπω γέγονε φανερόν, εἰ καθεύδουσιν, εἰ δέ τῳ πιθανὸς ὁ λεχθεὶς λόγος, τούτῳ πεισθήσεται. ὅτι μὲν οὖν ὕπνου κοινωνεῖ τὰ ζῶα πάντα, φανερὸν ἐκ τούτων· τῷ γὰρ αἴσθησιν ἔχειν ὥρισται τὸ ζῶον, τῆς δ᾽ αἰσθήσεως τρόπον τινὰ τὴν ἀκινησίαν καὶ οἷον δεσμὸν τὸν ὕπνον φαμέν, τὴν δὲ λύσιν καὶ τὴν ἄνεσιν ἐγρήγορσιν. τῶν δὲ φυτῶν οὐδὲν οἷόν τε κοινωνεῖν οὐδετέρου τῶν παθημάτων· ἄνευ μὲν γὰρ αἰσθήσεως οὐχ ὑπάρχει οὔθ᾽ ὕπνος οὔτ᾽ ἐγρήγορσις, οἷς δ᾽ αἴσθησις ὑπάρχει, τούτοις καὶ τὸ λυπεῖσθαι καὶ χαίρειν, οἷς δὲ ταῦτα καὶ ἐπιθυμία, τοῖς δὲ φυτοῖς οὐδὲν ὑπάρχει τούτων. οὐδεὶς δὲ προσαναγκάσει λόγος ἥδεσθαι ἢ λυπεῖσθαι τὰ φυτὰ ἢ ὅλως ἐπι-

θυμεῖν ἢ αἰσθάνεσθαι, οὐδ' ἕπεται παντὶ θρεπτικῷ τὸ αἰσθητικόν, ὥσπερ τὸ ἔμπαλιν, ἀλλὰ κεχώρισται. σημεῖον δ' ὅτι καὶ τὸ ἔργον τὸ αὑτοῦ ποιεῖ τὸ θρεπτικὸν μόριον ἐν τῷ καθεύδειν μᾶλλον ἢ ἐγρηγορέναι· τρέφεται γὰρ καὶ αὔξεται μᾶλλον τότε ὡς οὐδὲν προσδεόμενα πρὸς ταῦτα τῆς αἰσθήσεως.

2 Διὰ τί δὲ καθεύδει καὶ ἐγρήγορεν, καὶ διὰ ποίαν τινὰ αἴσθησιν, ἢ καὶ ποίας εἰ καὶ διὰ πλείους, σκεπτέον. ἐπεὶ δ' ἔνια μὲν τῶν ζώων ἔχει τὰς αἰσθήσεις πάσας, ἔνια δ' οὐκ ἔχουσιν οἷον ὄψιν, τὴν δ' ἁφὴν καὶ τὴν γεῦσιν πάντ' ἔχει, καὶ μάλιστα κοινοτάτη πασῶν ἡ ἁφὴ ὡς ἐν τοῖς περὶ ψυχῆς εἴρηται, ἀδύνατον δ' ἐστὶν ἁπλῶς ὁποιανοῦν αἴσθησιν αἰσθάνεσθαι τὸ καθεῦδον ζῷον, φανερὸν ὅτι πᾶσιν ἀνάγκη ὑπάρχειν τὸ αὐτὸ πάθος ἐν τῷ καλουμένῳ ὕπνῳ, λέγω δὴ τὴν παντελῆ ἀκινησίαν καὶ ἀναισθησίαν. εἰ γὰρ τῇ μὲν τῶν αἰσθήσεων, ὡς εἰπεῖν τῇ ἀκοῇ, ἐνεργοίη, τῇ δὲ μή, τῇ ὄψει, συμβήσεται περὶ ταὐτὸ τἀναντία ἅμα· καθεῦδον γὰρ αἰσθήσεται. τοῦτο δὲ ἀδύνατον. πότερον δὲ πάσας ἐπίσης ἐν τοῖς εἰρημένοις αἰτιατέον παθήμασιν, ἢ τινὰς μὲν μᾶλλον, τινὰς δ' οὔ; ἢ καὶ μίαν μόνην, καὶ ἔστιν αὕτη ἡ ἁφή; ὡς ἀναγκαιοτέραν καὶ προτέραν φύσει τῶν ἄλλων καὶ τῇ κοινῇ αἰσθήσει ταὐτιζομένην κατὰ τὸ ὑποκείμενον; ἐπεὶ γὰρ ὑπάρχει καθ' ἑκάστην αἴσθησιν τὸ μέν τι ἴδιον, τὸ δὲ κοινόν, ἴδιον μὲν οἷον τῇ ὄψει τὸ ὁρᾶν, τῇ δ' ἀκοῇ τὸ ἀκούειν, καὶ ταῖς ἄλλαις ἑκάστη κατὰ τὸν αὐτὸν τρόπον. ἔστι δέ τις καὶ κοινὴ δύναμις ἀκολουθοῦσα ταύταις, ᾗ καὶ ὅτι ὁρᾷ καὶ ἀκούει καὶ αἰ-

8 καὶ fort. del. 29 ὅτι om A καὶ post ἀκούει fort. del.

σθάνεται. οὐ γὰρ δὴ τῇ γε ὄψει ὁρᾷ ὅτι ὁρᾷ. καὶ κρίνει δὴ καὶ δύναται κρίνειν ὅτι ἕτερα τὰ γλυκέα τῶν λευκῶν, οὔτε γεύσει οὔτ' ὄψει οὔτ' ἀμφοῖν, ἀλλά τινι κοινῷ μορίῳ τῶν αἰσθητικῶν πάντων, ἣν καὶ κοινὴν ἁπλῶς προσαγορεύομεν αἴσθησιν καὶ κυρίως, ἧς καὶ τὸ αἰσθητήριον κοινότατον καὶ κυρίως ἕν, καὶ μία μέν, τῷ δέ γε λόγῳ πλείους καὶ τοσαῦται, ὅσα καὶ ὑποκείμενα ταῖς καθ' ἕκαστα· ἕτερον γὰρ ψόφου χρῶμα καὶ ἀμφοτέρων ὀσμή, ὑπάρχει δ' αὕτη ἅμα καὶ πρώτως μάλιστα τῷ ἁπτικῷ. τοῦτο μὲν γὰρ χωρίζεται τῶν ἄλλων αἰσθητηρίων, τὰ δ' ἄλλα τούτου ἀχώριστα, εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς περὶ ψυχῆς θεωρήμασιν, φανερὸν ὅτι τούτου ἐστὶ πάθος ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος τῆς κοινῆς δηλαδὴ αἰσθήσεως περὶ τὸ κοινὸν αἰσθητήριον τὴν καρδίαν, τῇ ἁφῇ δὲ κατὰ τὸ ὑποκείμενον τὴν κοινὴν συνήψαμεν αἴσθησιν, διὸ καὶ πᾶσιν ὑπάρχει τοῖς ζῴοις· καὶ γὰρ ἡ ἁφὴ μόνη πᾶσιν. ὅτι δὲ ἀργία μόνης καὶ πρώτης ἁφῆς ὁ ὕπνος, καὶ οὐχ ἁπλῶς κοινῶς τῶν αἰσθήσεων, ἐντεῦθεν ἂν εἴη δῆλον. εἰ γὰρ μὴ ἀνάγκη ἅμα πάσας, οὐδὲ ἅμα πᾶσαι ἀκινητίζουσιν. ἀλλὰ μὴν τὸ πρῶτον. τίς γὰρ ἀνάγκη τὸν ὁρῶντα εὐθὺς καὶ ἀκούειν, ἢ τὸν γευόμενον ὁρᾶν. καὶ τὸ δεύτερον ἄρα. τοὐναντίον γὰρ εὐλογώτερον αὐταῖς συμβαίνειν ἔμελλεν τὸ ἅμα πάσας ἐνεργεῖν, ἤπερ ἅμα ἀκινητίζειν. εἰ δὲ ἅμα ἐνεργεῖν οὐκ ἐνδέχεται, ὃ μᾶλλον εὔλογον, πολλῷ μᾶλλον οὐδὲ ἀκινητίζειν. ἕπεται μέντοι τῷ τὴν ἁφὴν ἀργεῖν καὶ πάσας. οὐ μὴν ἐκ τῆς πασῶν ἀργίας ὁ ὕπνος ἐστίν, ἀλλ' ἐκ μόνης τῆς πρώτης τῆς ἁπτικῆς. τοῦ γὰρ κυρίου τῶν ἄλλων αἰσθητηρίων καὶ πρὸς ὃ συν-

---

7 μία μέν] fort. add. αἴσθ ησις 20 πάσας] add. ἐνεργεῖν

τείνει τὰ ἄλλα πεπονθότος τι συμπάσχειν ἀνάγκη καὶ τὰ λοιπὰ πάντα, ἐκείνων δέ τινος ἀδυνατοῦντος οὐκ ἀνάγκη τοῦτο ἀδυνατεῖν. ἔτι δ' ἐκ τῶνδε μᾶλλον φανερώτερον ὡς οὐκ ἐν τῷ τὰς αἰσθήσεις ἀργεῖν καὶ μὴ χρῆσθαι αὐταῖς ὁ ὕπνος, οὐδ' ἐν τῷ μὴ δύνασθαι αἰσθάνεσθαι. ἐν γὰρ ταῖς λειποψυχίαις τοιοῦτόν τι συμβαίνει· ἀδυναμία γὰρ αἰσθήσεων πασῶν ἡ λειποψυχία,
fol. 100 b. ὕπνος δ' οὔ. γίνονται δὲ καὶ ἔκνοιαί τινες τοιαῦται· οἱ γὰρ μαινόμενοι οὔθ' ὁρῶσιν οὔτ' ἀκούουσιν οὔτ' ἄλλην τινὰ αἰσθάνονται, πῶς γάρ; οἱ τὰς σάρκας τὰς ἑαυτῶν κατεσθίοντες οὐδεμιᾶς ὀδύνης λαμβάνουσιν αἴσθησιν· καὶ τὰς ἐν τῷ αὐχένι δὲ δύο φλέβας εἴ τις δήσει, ἀναισθητεῖ τὸ ζῶον, ὕπνος δ' οὐκ ἔστιν, ἀλλ' ὅταν ἡ ἀδυναμία τοῦ αἰσθάνεσθαι μήτε ἔν τινι τῶν αἰσθητηρίων γένηται· τύχοι γὰρ ἄν τινος πηρωθῆναι τὰ αἰσθητήρια καὶ ἀδυνατεῖν αἰσθάνεσθαι. καὶ οὐ καθεύδειν τοῦτό γε, μήτε δι' ἣν ἔτυχεν αἰτίαν, ἀλλὰ καθάπερ εἴρηται νῦν, ἐν τῷ πρώτῳ αἰσθητηρίῳ τῇ καρδίᾳ καὶ τῇ πρώτῃ αἰσθήσει καὶ διὰ τὴν ὑπερβολὴν τοῦ ἐγρηγορέναι, τοῦτό ἐστιν ὁ ὕπνος. ὅταν μὲν γὰρ τοῦτο ἀδυνατήσῃ, ἀνάγκη καὶ τοῖς αἰσθητηρίοις πᾶσιν ἀδυνατεῖν αἰσθέσθαι, ὅταν δὲ ἐκείνων τι, οὐκ ἀνάγκη τούτῳ.

Τούτων οὕτω διωρισμένων λεκτέον ἤδη καὶ δι' ἣν αἰτίαν τὸ καθεύδειν συμβαίνει, καὶ ποῖόν τι τὸ πάθος ἐστίν. ἐπεὶ δὲ τρόποι πλείονες τῆς αἰτίας· τέσσαρας γὰρ τοὺς κυριωτέρους ἐν τοῖς φυσικοῖς ἀποδεδώκαμεν· καὶ γὰρ τὸ τίνος ἕνεκα τελικὸν αἴτιον ἐκεῖσε ἐλέγομεν, καὶ ποιητικὸν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τὸν λόγον καθ' ὃν τὸ πρᾶγμα γί-

---

27 φυσικοῖς] II, 3. 29 scrib. ἐκεῖ

νεται εἰδικόν, καὶ ἐπὶ πᾶσι τὴν ὕλην ἐξ οὗ ἐνυπάρχοντος ἀποτελεῖταί τι· εἴη ἂν ὕπνου μὲν αἰτία ὡς οὗ ἕνεκα ἡ σωτηρία τῶν ζώων καὶ ἀνάπαυσις, ποιητικὴ δὲ ἡ τοῦ καρδιακοῦ πνεύματος κίνησις, ὑλικὴ δὲ ἡ παλίρροια τῆς ἀναχθείσης ἀναθυμιάσεως πρὸς τὰ κάτω, καὶ εἰδικὸν ἡ τοιαύτη τῶν ἐκτὸς καὶ ἐντὸς μελῶν καὶ μερῶν σύμπτωσις καὶ διάθεσις. ἔχει γὰρ ὧδε. πρῶτον μὲν οὖν ἐπειδὴ λέγομεν τὴν φύσιν ἕνεκά του ποιεῖν, τοῦτο δ' ἀγαθόν τι, τὴν δ' ἀνάπαυσιν ἀναγκαίαν εἶναι καὶ ὠφέλιμον τῷ πεφυκότι κινεῖσθαι, μὴ δυναμένῳ δ' ἀεὶ καὶ συνεχῶς κινεῖσθαι μεθ' ἡδονῆς, δῆλον ὡς σωτηρίας τῶν ζώων ὁ ὕπνος ἕνεκα, ὅθεν δι' αὐτὴν τὴν ἀλήθειαν τῷ ὕπνῳ τὴν μεταφορὰν ταύτην προσάπτουσιν ἀνάπαυσιν μόνον τῶν ἄλλων λέγοντες. ἡ δ' ἐγρήγορσις τὸ τέλος· τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν πᾶσι τέλος, οἷς ὑπάρχει θάτερον αὐτῶν· βέλτιστα γὰρ ταῦτα, τὸ δὲ τέλος βέλτιστον, τέλος δὲ ἀλόγοις μὲν αἴσθησις, ἀνθρώποις δὲ φρόνησις. ἔτι δ' ἀναγκαῖον ἑκάστῳ τῶν ζώων ὑπάρχειν τὸν ὕπνον διὰ τὴν τοιάνδε ὕλην, ἣν καὶ ἐξ ὑποθέσεως ἀνάγκην λέγειν εἰώθαμεν. εἰ γὰρ ζῶον ἔσται ἔχον τὴν φύσιν αὐτοῦ, ἐξ ἀνάγκης τινὰ ὑπάρχειν αὐτῷ δεῖ, καὶ τούτων ὑπαρχόντων ἕτερα ὑπάρχειν, οἷον ὑποτεθέντος τοῦ ζῶον εἶναι ἕπεται ἐξ ἀνάγκης τὸ τρέφεσθαι, τρεφομένου δὲ ἀναθυμίασιν γίνεσθαι, ταύτης δὲ τελεσθείσης ὕπνος. ἔτι δὲ ποίας κινήσεως καὶ πράξεως ἐν τῷ σώματι γινομένης συμβαίνει τὸ ἐγρηγορέναι καὶ τὸ καθεύδειν τοῖς ζώοις, καὶ ὅλως περὶ τοῦ ποιητικοῦ αἰτίου μετὰ ταῦτα λεκτέον. ἔσται δὲ ὁ περὶ αὐτοῦ λόγος μακρότερος. πρότερον δὲ ταῦτα λέγομεν, ὡς τοῖς μὲν ἄλλοις καθάπερ τοῖς ἐναίμοις ὑποληπτέον εἶναι τὰ

αἴτια τοῦ πάθους ἢ τὰ αὐτὰ ἢ τὰ ἀνάλογον, τοῖς δ' ἐναίμοις ἅπερ τοῖς ἀνθρώποις, ὥστ' ἐκ τούτων ὡς ἐγγυτέρω καὶ περὶ πάντων θεωρητέον. ὅτι μὲν οὖν ἡ τῆς αἰσθήσεως ἀρχὴ γίνεται ἀπὸ τοῦ αὐτοῦ μέρους τοῖς ζώοις, ἀφ' οὗπερ καὶ ἡ τῆς κινήσεως, διώρισται πρότερον ἐν ἑτέροις. αὕτη δέ ἐστι τριῶν διωρισμένων τόπων ὁ μέσος κεφαλῆς καὶ τῆς κάτω κοιλίας. τοῖς μὲν οὖν ἐναίμοις τοῦτ' ἔστι τὸ περὶ τὴν καρδίαν μέρος· πάντα γὰρ τὰ ἔναιμα καρδίαν ἔχει, καὶ ἀρχὴ ἄρα τῆς κινήσεως καὶ τῆς αἰσθήσεως τῆς κυρίας ἐντεῦθέν ἐστι. τῆς μὲν οὖν κινήσεως φανερὸν ὅτι καὶ ἡ τοῦ πνεύματος ἀρχὴ καὶ ὅλως ἡ τῆς ψύξεώς ἐστιν ἐνταῦθα καὶ τὸ ἀναπνεῖν καὶ τὸ ἐν τῷ ὑγρῷ ψύχεσθαι πρός γε τὴν σωτηρίαν τοῦ ἐν τούτῳ τῷ μορίῳ θερμοῦ ἡ φύσις πεποίηκεν. ῥηθήσεται δὲ περὶ αὐτῆς ὕστερον καθ' αὑτήν. τοῖς δ' ἀναίμοις καὶ τοῖς ἐντόμοις καὶ μὴ δεχομένοις πνεῦμα ἐν τῷ ἀνάλογον τὸ σύμφυτον πνεῦμα ἀναφυσώμενον καὶ συνιζάνον φαίνεται. δῆλον δὲ τοῦτο ἐπὶ τῶν ὁλοπτέρων οἷον σφηκῶν καὶ μελισσῶν καὶ ἐν ταῖς μυίαις καὶ ὅσα τοιαῦτα. ὁρῶμεν γὰρ φανερῶς ἐν τούτοις τὸ μέρος τὸ ἐν τῇ τομῇ ἐγγίζον εὐρυνόμενον καὶ συστελλόμενον. ἐπεὶ δὲ κινεῖν μέν τι ἢ ποιεῖν ἄνευ ἰσχύος ἀδύνατον, ἰσχὺν δὲ ποιεῖ ἡ τοῦ πνεύματος ἐποχὴ καὶ κάθεξις, ἔσται τοῖς μὲν εἰσφερομένοις καὶ ἀναπνέουσιν ἡ θύραθεν, τοῖς δὲ μὴ ἀναπνέουσιν ἡ σύμφυτος. διὸ καὶ βομβοῦντα φαίνεται τὰ πτερωτά, ὅτε κινεῖται· τριβομένου γὰρ τοῦ συμφύτου πνεύματος ἐν τῇ πτήσει καὶ προσπίπτοντος ἐν τῷ ὑποζώματι τῶν ὁλοπτέρων βομβεῖ. οὐ γὰρ ὁ ἔξω ἀήρ ἐστιν ὁ ψοφῶν,

---

14 τῷ om A  15 *πεποίηκεν*] scrib. *πεπόρικεν* ex Arist.

*ἀλλὰ τὸ σύμφυτον πνεῦμα. γίνεται δὲ βόμβος καὶ διὰ τοῦ ἔξω ἐν τοῖς ἐντόμοις τοῖς ἔχουσι σχίσμα ὑπὸ τὸ ὑπόζωμα. κινεῖται δὲ ἅπαν αἰσθήσεως γινομένης οἰκείας ἢ ἀλλοτρίας ἐν τῷ πρώτῳ αἰσθητηρίῳ, οἰκείας μὲν λέγομεν διὰ τὴν οἴκοθεν κίνησιν· κινούμεθα γὰρ καὶ ὑπό τινων ἐν ἡμῖν φαντασμάτων, ἀλλοτρίας διὰ τὴν ἔξωθεν, δηλαδὴ τὴν ἀπὸ τῶν αἰσθητῶν. φανερὸν οὖν ἐκ τούτων ἐν ᾧ τόπῳ καὶ ἐν ᾧ μορίῳ πρώτῳ ὁ ὕπνος γίνεται καὶ ἡ ἐγρήγορσις. ἐν ἐκείνῳ γὰρ οὗ πάθη, τῆς δὲ καρδίας εἰσὶ πάθη, καὶ ἐν ταύτῃ ἄρα. κινοῦνται δ' ἔνιοι καθεύδοντες καὶ ποιοῦσι πολλὰ ἐγρηγορικά, οὐ μέντοι ἄνευ φαντάσματος καὶ αἰσθήσεώς τινος· τὸ γὰρ ἐνύπνιόν ἐστιν αἴσθημα τρόπον τινά. λεκτέον δὲ περὶ αὐτῶν ὕστερον. διότι δὲ τὰ μὲν ἐνύπνια μνημονεύουσιν ἐγερθέντες, τὰς δ' ἐγρηγορικὰς πράξεις οὐ μνημονεύουσιν, ἐν τοῖς προβληματικοῖς ἡμῖν εἴρηται.*

3 *Τούτων οὖν προδιωρισμένων ἐχόμενον τῶν εἰρημένων ἐστὶν εἰπεῖν, τίνων γινομένων καὶ πόθεν ἡ* [fol. 101.] *ἀρχὴ τοῦ πάθους γίνεται τοῦ ἐγρηγορέναι καὶ τοῦ καθεύδειν· ἴσως γὰρ τὴν ποιοῦσαν αἰτίαν ἐν τούτοις ἂν μᾶλλον εὑρήσοιμεν καὶ τὴν ὑλικὴν τελεώτερον. φανερὸν οὖν ὡς ἀναγκαῖον τῷ ζῴῳ, ὅταν αἴσθησιν ἔχῃ, τότε πρῶτον ᾗ ζῷον τροφήν τε λαμβάνειν καὶ αὔξησιν· τρέφεται γὰρ καὶ ἔμβρυον ὄν, ἀλλ' οὐχ ᾗ ζῷον, ἀλλ' ᾗ φυτόν. ἐπειδὰν δὲ αἴσθησιν λάβῃ, τότε πρῶτον τρέφεται ᾗ ζῷον. ἐγγίνεται δὲ αὐτῷ ἡ αἰσθητικὴ ψυχὴ ὑστέρα ἀποτεχθέντι, τροφὴ δέ ἐστι πᾶσιν ἡ ἐσχάτη τοῖς μὲν ἐναίμοις ἡ τοῦ αἵματος φύσις, τοῖς δ' ἀναίμοις τὸ ἀνάλογον. τόποι δ' αἵματος αἱ φλέ-*

---

9 *γίνεται* bis A

βες, τούτων δ' ἀρχὴ ἡ καρδία. φανερὸν δὲ τὸ λεχθὲν ἐκ τῶν ἀνατομῶν. τῆς μὲν οὖν θύραθεν τροφῆς εἰσιούσης εἰς τοὺς δεκτικοὺς τόπους, κοιλίαν λέγω καὶ ἔντερα, γίνεται ἡ ἀναθυμίασις εἰς τὰς φλέβας, ὑφ' ὧν ἀποκομισθεῖσα ἐν τῷ ἥπατι ἐκεῖσε μεταβάλλουσα ἐξαιματοῦται, ἐκεῖθεν δὲ πορευθεῖσα ἐπὶ τὴν ἀρχὴν τὴν καρδίαν κυρίως πέττεται καὶ αἷμα τέλειον γίνεται· τῶν γὰρ φλεβῶν αἱ μὲν ἐπὶ τὴν καρδίαν φέρονται, αἱ δὲ ἐκεῖθεν ἔρχονται. κομίζουσι γὰρ αἱ μὲν ὥσπερ τινὲς διάκονοι πρὸς αὐτὴν ἀπὸ τῶν περὶ τὸ ἧπαρ τόπων τὸ ἀκατέργαστον αἷμα καὶ ἄπεπτον, ἥτις δεχομένη πέττει καὶ κατεργάζεται· αἱ δὲ τὴν χρείαν ἀποπληροῦσιν ἐπὶ τὸ ἔμπαλιν μετὰ τὴν πέψιν καὶ κατεργασίαν ἐπὶ τὸ ἅπαν σῶμα παραπομπήν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς περὶ τροφῆς, νῦν δ' ἀναληπτέον ὑπὲρ αὐτῶν τούτου χάριν, ὅπως τὰς ἀρχὰς τῆς κινήσεως θεωρήσωμεν, καὶ τί πάσχοντος τοῦ μορίου τοῦ αἰσθητικοῦ συμβαίνει ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος. οὐ γάρ ἐστιν ὁ ὕπνος ἥτισοῦν ἀδυναμία τοῦ αἰσθητικοῦ, καθάπερ εἴρηται· καὶ γὰρ ἔκνοια καὶ πνιγμός τις καὶ λειποψυχία ποιεῖ τὴν τοιαύτην ἀδυναμίαν, ἤδη δὲ γεγένηταί τισι καὶ φαντασία λειποψυχήσασιν ἰσχυρῶς καὶ ὁρῶσιν. τοῦτο μὲν οὖν ἔχει καί τινα ἀπορίαν· εἰ γὰρ ἐνδέχεται καταδαρθάνειν τὸν λειποψυχήσαντα, ἐνδέχοιτ' ἂν καὶ ἐνύπνιον εἶναι τὸ τούτου φάντασμα. ἀλλ' οὐ τὸ πρῶτον, οὐδὲ τὸ δεύτερον ἄρα. δῆλον γὰρ ὡς τῶν μὲν ἐνυπνίων εἰ καὶ μὴ πάντων ἀλλὰ τῶν πλείστων ἐγερθέντες μνημονεύομεν, οὐδενὸς δὲ τῶν ἐν ταῖς λειποψυχίαις μνημονεύουσι φαντασμάτων μετὰ τὴν ἀπαλλαγήν. πολλὰ δέ ἐστιν ἃ λέγουσιν ἐν τῷ καιρῷ οἱ σφόδρα λειποψυχήσαντες καὶ δόξαντες τεθνάναι,

ὧν οὐδενὸς ἐγερθέντες μνημονεύουσιν. οὐκ ἄρα ἐνύπνια τὰ ἐκείνων φαντάσματα, ὥστε οὐδὲ ὁ ὕπνος ἡ ἐπίληψις. τὰ αὐτὰ δὲ δεῖ λέγειν καὶ περὶ πνιγμοῦ καὶ ἐκνοίας καὶ τῶν ὁμοίων. ἀλλὰ γὰρ ὥσπερ εἴπομεν, οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο· ἀναγκαῖον γὰρ τὸ ἀναθυμιώμενον ὠθούμενον μέχρι του ὠθεῖσθαι, εἶτα ἀντιστρέφειν καὶ μεταβάλλειν καθάπερ εὔριπον· τὸ γὰρ θερμὸν ἑκάστου τῶν ζώων πρὸς τὸ ἄνω πέφυκεν αἴρεσθαι, ὅταν δ' ἐν τοῖς ἄνω τόποις γένηται, καὶ ὑπὸ τῆς τοῦ ἐγκεφάλου κράσεως ἑαυτοῦ ψυχρότερον ἀποτελεσθῇ ἀθρόου, πάλιν ἀντιστρέφει καὶ κάτω φέρεται ἐπὶ τὴν καρδίαν καὶ καταψύχει τὸ ἐν αὐτῇ θερμόν, καὶ οὕτω καθεύδει τὸ ζῶον. διὸ γίνονται μάλιστα οἱ ὕπνοι ἀπὸ τροφῆς. ἀθρόον γὰρ πολὺ τό τε ὑγρὸν καὶ τὸ σωματῶδες φέρεται. ἕως μὲν οὖν ἵστηται ἐν τῇ κεφαλῇ, βαρύνει αὐτήν. διὸ καὶ κινοῦμεν αὐτὴν τῇδε κἀκεῖσε νυστάζοντες, ἡνίκα δὲ ῥέψῃ ἀντιστρέψαν τὸ θερμὸν τὸ ἀγαγὸν ἄνω τὰ ὑγρὰ καὶ σωματώδη, συρρέουσιν ἅμα αὐτῷ καὶ ταῦτα, καὶ οὕτω γίνεται ὁ ὕπνος, καὶ τότε τὸ ζῶον καθεύδει. σημεῖον δέ, ὡς τὰ ὑγρὰ καὶ σωματώδη βαρύνουσι τὴν κεφαλήν, καὶ ἀπὸ τῶν ὑπνωτικῶν. πάντα γὰρ ἐπιδήλως καρηβαρεῖν ποιοῦσι τῇ ταχύτητι τῆς ἀναφορᾶς τῶν παρ' αὐτοῖς σωματοειδῶν ὑγρῶν καὶ τὰ ποτὰ καὶ τὰ βρωτά, μήκων, μανδραγόρας, οἶνος, αἶραι. γίνεται οὖν μετὰ τὰ σῖτα μάλιστα τοιοῦτος ὁ ὕπνος· πολλὴ γὰρ ἡ ἀπὸ τῶν σίτων ἀναθυμίασις, γίνεται δὲ καὶ ἐκ κόπων ἐνίων· ὁ μὲν γὰρ κόπος συντηκτικόν, τὸ δὲ

8 του] που A

σύντηγμα γίνεται ὥσπερ τροφὴ ἄπεπτος, ἂν μὴ ψυχρὸν ᾖ· τὰ γὰρ ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις ἐνόντα περιττώματα ἡ παρὰ τοῦ κόπου θερμότης συντήξασα ὦσεν ἐπὶ τὸν ἄνω τόπον καὶ τὸν ὕπνον ἐποίησεν. καὶ νόσοι δέ τινες τὸ αὐτὸ τοῦτο ποιοῦσιν, ὅσαι ἀπὸ περιττώματος ὑγροῦ καὶ θερμοῦ, οἷον συμβαίνει τοῖς πυρέττουσι καὶ ἐν τοῖς ληθάργοις. ἔτι δὲ ἐν τῇ πρώτῃ ἡλικίᾳ μᾶλλον ὁ ὕπνος ἢ ταῖς ἄλλαις· τὰ γὰρ παιδία καθεύδει σφόδρα διὰ τὸ τὴν τροφὴν ἄνω φέρεσθαι πᾶσαν. σημεῖον δὲ τὸ ὑπερβάλλειν τὸ μέγεθος τῶν ἄνω πρὸς τὰ κάτω κατὰ τὴν πρώτην ἡλικίαν διὰ τὸ ἐπὶ ταῦτα γίνεσθαι τὴν αὔξησιν. ἐν οἷς γὰρ πλείων ἡ τροφή, μείζω ταῦτα. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ ἐπιληπτικὰ γίνεται· ὅμοιον γὰρ ὁ ὕπνος ἐπιλήψει· ἑκάτερον γὰρ ἀργία αἰσθήσεων. διὸ καὶ συμβαίνει τισὶν ἡ ἀρχὴ τούτου τοῦ πάθους καθεύδουσι, καὶ καθεύδοντες μὲν ἁλίσκονται, ὅταν καὶ δέῃ τοῦτο παθεῖν, ἐγρηγορότες δ' οὔ. πολὺ γὰρ ὡς εἴρηται φερόμενον τὸ πνεῦμα ἄνω ἐν τοῖς ὕπνοις καταβαῖνον, πάλιν ὥσπερ εὔριπος ὀγκοῖ τὰς φλέβας· ἀνάγκη γὰρ τούτου μὲν κατιόντος ἑτέρου δ' ἀνιόντος διὰ τὸ ἅμα γίνεσθαι τὴν ἀπάτμισιν κάτω, τὴν δὲ κατάπτυξιν καὶ σύστασιν ἄνω ἐξογκοῦσθαι τὰς φλέβας, ὑφ' ὧν συνθλίβεσθαι καὶ συστέλλεσθαι τὸν τῆς ἀναπνοῆς πόρον, οὗ στενωθέντος ἀνάγκη μὴ γίνεσθαι εἰσπνοήν, καὶ ἐντεῦθεν ἐπίληψις. ἐπεὶ δὲ τοῖς παιδίοις τὰ ἄνω πλήρη τροφῆς, ταὐτὸν δὲ εἰπεῖν πνεύματος ἐκ τροφῆς ἀναδοθείσης, πνευματώδης δὲ καὶ ὁ οἶνος καὶ τούτου μᾶλλον ὁ μέλας, οὐ συμφέρει αὐτοῖς οὐδὲ ταῖς τίτθαις· διαφέρει γὰρ οὐδὲν ἴσως αὐτὰ πίνειν ἢ τὰς τίτθας, ἀλλὰ δεῖ πίνειν ὑδαρώδη καὶ ὀλίγον. οὕτω δὲ τὰ ἄνω πλήρη

fol. 101 b.

τροφῆς τοῖς παιδίοις, ὥστε πέντε μηνῶν οὐδὲ στρέφουσι τὸν αὐχένα. ὅμοιον δὲ τὸ πάθος τοῖς σφόδρα μεθύουσιν· ὑγρότης γὰρ ἐπ' ἀμφοῖν ἐπὶ τὰ ἄνω ἀνηνέχθη πολλή. εὔλογον δὲ τοῦτο τὸ πάθος αἴτιον εἶναι λέγειν καὶ τοῦ ἠρεμεῖν ἐν ταῖς μήτραις τὰ ἔμβρυα τὸ πρῶτον. καὶ τὸ ὅλον δὲ φίλυπνοι οἱ ἀδηλόφλεβοι καὶ οἱ νανώδεις καὶ οἱ μεγαλοκέφαλοι· τῶν μὲν γὰρ αἱ φλέβες στεναὶ καὶ λεπταί, ὅθεν κατελθὸν τὸ πνεῦμα ἀπὸ τῆς κεφαλῆς ῥᾳδίως ἐπλήρωσεν· τὸ γὰρ μικρὸν τάχιον πληροῦται. διὰ τοῦτο δὲ ψυχρῶν τῶν φλεβῶν γενομένων· καὶ γὰρ αἱ κοιλίαι πληρωθεῖσαι ψυχραίνονται, ἀνάγκη χρονίζειν ἐν αὐταῖς τὸ πνεῦμα. δεῖται γὰρ θερμότητος εἰς τὸ διαρρεῦσαι καὶ σκεδασθῆναι, χρονίζοντος δὲ τοῦ πνεύματος, ἐξ ἀνάγκης γίνεται καὶ ὁ ὕπνος μακρότερος, ἄλλως τε ὥσπερ τὸ ὕδωρ διὰ στενῶν σωλήνων βραδέως ἐξέρχεται, διὰ δὲ τῶν εὐρέων τάχιον, οὕτω καὶ τὸ πνεῦμα σωματῶδες ὂν βράδιον ἐξελεύσεται διὰ τῶν στενῶν πόρων. οἱ μὲν οὖν ἀδηλόφλεβοι διὰ τοῦτο φίλυπνοι, τοῖς δὲ νανώδεσι καὶ μεγαλοκεφάλοις ἡ ἄνω ὁρμὴ πολλὴ καὶ ἀναθυμίασις· τὰ γὰρ μεγάλα πολλῆς δεῖται τροφῆς, ἵνα πληρωθῇ καὶ χορτασθῇ. πολλῆς οὖν ἄνω γινομένης ἕπεται τὸ καὶ κάτω πολλὴν γίνεσθαι τὴν παλίρροιαν, τὸ δὲ πολὺ ὑπὸ τῆς αὐτῆς ἴσως θερμότητος βραδέως πέττεται καὶ κρατεῖται. οἱ δὲ φλεβώδεις οὐχ ὑπνωτικοὶ δι' εὔροιαν τῶν πόρων, ἂν μή τι ἄλλο πάθος ἔχωσιν ὑπεναντίον, οὐδ' οἱ μελαγχολικοί· κατέψυκται γὰρ ὁ εἴσω τόπος, ὥστε οὐ γίνεται πλῆθος αὐτοῖς ἀναθυμιάσεως. διὰ τοῦτο γὰρ βρωτικοὶ ξηροὶ ὄντες· ὥσπερ γὰρ οὐδ' ἀπολελαυκότα διάκειται τὰ σώματα αὐτοῖς ἐοικότα ξύλοις ἐν ἀνίκμῳ χώρᾳ οὖσιν· ἡ γὰρ μέλαινα χολὴ φύσει ψυχρὰ οὖσα

καὶ τὰ θρεπτικά, κοιλίαν, ἧπαρ, ψυχρὰ ποιεῖ καὶ τὰ ἄλλα μόρια, ὅπου ἂν ὑπάρχῃ ἡ δύναμις τοῦ τοιούτου περιττώματος. ἐπεὶ δὲ ἀναγινώσκοντες καὶ νοοῦντες πολλάκις νυστάζομεν, ἰστέον ὡς αἴτιον τὸ ἐν κινήσει καὶ φροντίδι τότε τὴν διάνοιαν εἶναι. ἀπεπτούσης γὰρ διὰ τοῦτο τῆς τροφῆς ἀνάγκη παχεῖαν εἶναι τὴν ἀνιοῦσαν καὶ κατιοῦσαν ἀτμίδα, ὥστε φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι ὁ ὕπνος σύνοδός τις τοῦ θερμοῦ εἴσω τῆς καρδίας καὶ ἀντιπερίστασις φυσικὴ διὰ τὴν εἰρημένην αἰτίαν. ὅθεν δ' ἐκλείπει τὸ θερμόν, καταψύχεται καὶ διὰ ψύξιν καταπίπτει τὰ βλέφαρα· τὸ γὰρ συνέχον πάντα τὰ μέρη καὶ κινοῦν καὶ ὀρθοῦν τὸ θερμόν ἐστι. κατέψυκται οὖν ἐν τῷ ὕπνῳ τὰ ἄνω καὶ τὰ ἔξω καὶ κύκλῳ παντὸς τοῦ σώματος, τὰ δ' ἐντὸς καὶ τὰ κάτω θερμά, οἷον τὰ περὶ τοὺς πόδας καὶ τὰ εἴσω. καίτοι τοῦτό τις ἀπορήσειεν ἄν, διὰ τί μετὰ τὰ σιτία ἰσχυρότερος ὁ ὕπνος καί ἐστιν ὑπνωτικὸς οἶνος καὶ ἄλλα τοιαύτην ἔχοντα θερμότητα, ἔστι δ' οὐκ εὔλογον τὸν μὲν ὕπνον εἶναι κατάψυξιν, τὰ δ' αἴτια τοῦ καθεύδειν θερμά. ἢ τοῦτο συμβαίνει, ὅτι ὥσπερ ἡ κοιλία κοινὴ μὲν οὖσα θερμή ἐστιν, ἡ δὲ πλήρωσις αὐτῆς καταψύχει· ἐπιπνίγει γὰρ καὶ σβέννυσι τὸ θερμὸν ἡ τῶν βρωμάτων πλήρωσις, ὥσπερ καὶ τὸ πῦρ τὸ τῶν ξύλων πλῆθος, οὕτω καὶ αἱ φλέβες καὶ οἱ ἐν τῇ κεφαλῇ πόροι καταψύχονται τῷ πλήθει τῆς ἀναφερομένης ἀναθυμιάσεως, τούτου δὲ γενομένου συνίσταται ἡ ἀναθυμίασις καὶ κάτω ῥεῖ, καὶ διὰ τοῦτο μετὰ τὰ σιτία ὕπνος. δεύτερον δὲ ὥσπερ τοῖς προσχεομένοις τὸ θερμὸν ἐξαίφνης φρίκη γίνεται· τοῦ γὰρ θερμοῦ προσχεομένου τὸ ἐκτὸς ψυχρὸν ἀντιπεριιστάμενον εἰς ἓν καὶ ἀθροιζόμενον τῇ φυγῇ εἴσω ποιεῖ φρίκην, οὕτω κα-

*κεῖ ἀνιόντος τοῦ θερμοῦ ἐπὶ τὴν κεφαλὴν ἀθροιζόμενον τὸ ἀπὸ τοῦ ἐγκεφάλου διαδιδόμενον εἰς τόπους ἐκείνους ψυχρὸν εἰς ἓν καὶ ἰσχυρότατον γινόμενον διὰ τὴν εἰς ἓν ἄθροισιν καταψύχει, καὶ τὸ κατὰ φύσιν ἐκεῖσε ἀναχθὲν θερμὸν καὶ ὑγρὸν ποιεῖ ἐξαδυνατεῖν καὶ συνίστασθαι καὶ ὑποχωρεῖν κάτω, καὶ πρὸς τούτοις, ὥσπερ τὸ πῦρ ἐπιτιθεμένων τῶν ξύλων σβέννυται, οὕτω πολλῆς ἐμπιπτούσης τροφῆς καταψύχεται καὶ οἷον σβέννυται τὸ ἐν καρδίᾳ θερμόν, ἕως ἂν καταπεφθῇ ἡ τροφή. γίνεται γὰρ ὁ ὕπνος ὥσπερ εἴρηται ἐν τῇ ἀνθυποστροφῇ πρὸς τὴν ἀρχὴν τοῦ σωματώδους ὑγροῦ τοῦ ὑπὸ τοῦ θερμοῦ ἀναφερομένου διὰ τῶν φλεβῶν πρὸς τὴν κεφαλήν. ὅταν γὰρ μηκέτι δύνηται ἄνω εἶναι τὸ ἀναχθέν, ἀλλὰ τῷ πλήθει ὑπερβάλλῃ καὶ βαρύνῃ, καὶ πρὸς τούτοις δὲ ψυχθῇ, πάλιν ἀνταπωθεῖ καὶ κάτω ῥεῖ. διὸ καὶ καταπίπτουσι νυστάζοντες οἱ ἄνθρωποι ὑποσπωμένου καὶ κάτω ῥέοντος τοῦ θερμοῦ τοῦ ἀνάγοντος καὶ ἱστῶντος. ὁ μὲν οὖν ἄνθρωπος κείμενος ὑπνώττει διὰ τὸ μόνον τῶν ζώων ὀρθὸν εἶναι καὶ ἐπιπεσὼν πρῶτα μὲν ἔκνοιαν ποιεῖ καὶ παντελῆ ἀναισθησίαν, ὕστερον δὲ φαντασίαν. ἢ αἱ μὲν εἰρημέναι λύσεις ἐνδεχόμεναί εἰσι καὶ πρὸς τὸ πιθανὸν ἐκδέδονται μᾶλλον ἢ τὸ ἀληθές; ἐκείνη δὲ κυρίως ἔσται, καὶ τοῦτο τοῦ ὑπνώττειν μᾶλλον ἀληθέστερον αἴτιον. ὁ γὰρ περὶ τὸν ἐγκέφαλον τόπος, ὥσπερ ἐν ἄλλοις εἴρηται, πάντων τυγχάνει ψυχρότατος τῶν ἐν τῷ σώματι, τοῖς δὲ μὴ ἔχουσι τὸ ἀνάλογον τούτου μόριον. ὥσπερ δὲ τὸ ἀπατμίζον ὑγρὸν ἐκ γῆς καὶ τῶν ὑδάτων ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος ὅταν ἔλθῃ εἰς τὸν ἄνω*

---

27 ψυχρότερος A

τόπον, διὰ τὴν ψυχρότητα αὐτοῦ καταψύχεται, καὶ συστὰν καταφέρεται γινόμενον πάλιν ὕδωρ, οὕτως ἐν τῇ ἀναφορᾷ τοῦ θερμοῦ τῇ πρὸς τὸν ἐγκέφαλον ἡ μὲν περιττωματικὴ ἀναθυμίασις εἰς φλέγμα συνίσταται· διὸ καὶ οἱ κατάρροι φαίνονται γινόμενοι ἐκ τῆς fol. 102 κεφαλῆς· ἡ δὲ τρόφιμος καὶ μὴ νοσώδης καταφέρεται καὶ συνισταμένη καταψύχει τὸ θερμόν. πρὸς τὸ καταψύχεσθαι καὶ μὴ δέχεσθαι ῥᾳδίως τὴν ἀναθυμίασιν συμβάλλεται καὶ ἡ στενότης καὶ λεπτότης τῶν περὶ τὸν ἐγκέφαλον φλεβῶν. διὰ γὰρ τὴν λεπτότητα ὀλιγόθερμα, τὸ δὲ ὀλίγον εὐπαθέστερον. τῆς μὲν οὖν καταψύξεως τοῦτ' ἐστὶν αἴτιον καὶ τοῦ ὕπνου. ἐγείρεται δ' ὅταν πεφθῇ καὶ κρατήσῃ ἡ συνεωσμένη θερμότης ἐν ὀλίγῳ πολλὴ ἐκ τοῦ περιεστῶτος καὶ διακριθῇ τό τε σωματωδέστερον αἷμα καὶ τὸ καθαρώτατον. ἔστι δὲ λεπτότατον μὲν αἷμα καὶ καθαρώτατον τὸ ἐν τῇ κεφαλῇ, παχύτατον δὲ καὶ θολερώτατον τὸ ἐν τοῖς κάτω μέρεσι. παντὸς δὲ τοῦ αἵματος ἀρχή, ὥσπερ εἴρηται καὶ ἐνταῦθα καὶ ἐν ἄλλοις, ἡ καρδία, τῶν δὲ ἐν τῇ καρδίᾳ ἑκατέρᾳ τῶν θαλάμων κοινὴ ἡ μέση, ἐκείνων δὲ ἑκατέρα δέχεται ἐξ ἑκατέρας τῆς φλεβὸς τῆς τε μεγάλης καὶ τῆς ἀορτῆς ἀγουσῶν ἀπὸ τοῦ ἥπατος τὸ αἷμα ἄπεπτον ἔτι καὶ ἀκατέργαστον, ἐν δὲ τῇ μέσῃ γίνεται ἡ διάκρισις. ἀλλὰ τὸ μὲν διορίζειν περὶ τούτων ἑτέρων λόγων ἐστὶν οἰκειότερον. διὰ δὲ τὸ γίνεσθαι ἀδιακριτώτερον τὸ αἷμα μετὰ τὴν τῆς τροφῆς προσφορὰν ὕπνος γίνεται, ἕως ἂν διακριθῇ τοῦ αἵματος τὸ μὲν καθαρώτατον ἄνω, τὸ δὲ θολερώτερον εἰς τὸ κάτω· ὅταν δὲ τοῦτο συμβῇ, ἐγείρονται ἀπολυθέντα τοῦ ἐκ τῆς

7 πρὸς] scrib. πρὸς δὲ

τροφῆς βάρους. τί μὲν οὖν τὸ αἴτιον τοῦ καθεύδειν εἴρηται, ὅτι ἡ ὑπὸ τοῦ σωματώδους τοῦ ἀναφερομένου ὑπὸ τοῦ συμφύτου θερμοῦ ἀντιπερίστασις ἀθρόως ἐπὶ τὸ πρῶτον αἰσθητήριον, καὶ τί ἐστιν ὁ ὕπνος, ὅτι ἡ τοῦ πρώτου αἰσθητηρίου κατάληψις πρὸς τὸ μὴ δύνασθαι ἐνεργεῖν ἐξ ἀνάγκης μὲν γινόμενον· οὐ γὰρ ἐνδέχεται τὸ ζῷον εἶναι μὴ συμβαινόντων τῶν ἀπεργαζομένων καὶ συντηρούντων αὐτὸ ὧν ἓν ἡ τροφή, ἐξ ἧς ἡ ἀναθυμίασις, ἕνεκα δὲ σωτηρίας· σώζει γὰρ ἡ ἀνάπαυσις.

---

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ
# ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ
# ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

---

1 *Μετὰ δὲ ταῦτα περὶ ἐνυπνίων ζητητέον, καὶ πρῶτον τίνι τῶν τῆς ψυχῆς φαίνεται, καὶ πότερον τοῦ νοητικοῦ τὸ πάθος ἐστὶ τοῦτο ἢ τοῦ αἰσθητικοῦ· τούτοις γὰρ μόνοις τῶν ἐν ἡμῖν γνωρίζομέν τι. ὅτι δὲ ἁπλῶς οὐδετέρου δῆλον. εἰ γὰρ χρῆσις ὄψεως ὅρασις καὶ ἀκοῆς τὸ ἀκούειν καὶ ὅλως αἰσθήσεως τὸ αἰσθάνεσθαι καὶ αἱ δυνάμεις τῶν ἐνεργειῶν ἕνεκα, τῶν δ' ἐν ταῖς αἰσθήσεσιν αἰσθητῶν τὰ μὲν κοινὰ τὰ δὲ ἴδια, κοινὰ μὲν οἷον σχῆμα μέγεθος κίνησις· πλείοσι γὰρ ὑποπίπτει καὶ τἆλλα τὰ τοιαῦτα, ἴδια δὲ οἷον χρῶμα ψόφος χυμός, τὸ μὲν ὄψει τὸ δὲ ἀκοῇ τὸ δὲ γεύσει, ἀδυνατεῖ δὲ τὰ ζῷα πάντα μύοντα καὶ καθεύδοντα ὁρᾶν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν, δῆλον ὡς οὐκ αἰσθανόμεθα οὐδὲν ἐν τοῖς ὕπνοις. οὐκ ἄρα γε τῇ αἰσθήσει τὸ ἐνύπνιον αἰσθανόμεθα. ἀλλὰ μὴν οὐδὲ τῆς διανοίας ἢ τῆς δόξης πάθη εἰσὶ τὰ ἐνύπνια. ἐπεὶ γὰρ ἐν τοῖς ὕπνοις οὐ μόνον συγκατατιθέμεθα τὸ προσιὸν εἶναι ἵππον ἢ ἄνθρωπον ἢ ὅλως οὐσίαν, ἀλλὰ καὶ ὅτι λευκὸν καλόν, ταῦτα δὲ ἡ δόξα ἄνευ αἰσθήσεως οὐχ*

*ὑπολαμβάνει, ἡ δὲ αἴσθησις ἐν τοῖς ὕπνοις οὐκ ἐνεργεῖ, οὐκ ἄρα οὐδὲ τῆς δόξης ἢ τῆς νοήσεώς εἰσι τὰ ἐνύπνια. ἔτι παρὰ τὸ ἐνύπνιον πολλάκις ἐννοοῦμεν ἄλλο τι. καθάπερ γὰρ ἐν τῷ ἐγρηγορέναι αἰσθανόμενοί τι διανοούμεθα πολλάκις περὶ αὐτοῦ ἕτερόν τι, οὕτω κἀν τοῖς ὕπνοις παρὰ τὰ φαντάσματα ἐνίοτε ἄλλα ἐννοοῦμεν· ἰδὼν γὰρ ἐν ὕπνῳ τις Σωκράτην ἐννοεῖ, ὅτι ἐν ὕπνῳ τοῦτο ὁρᾷ, ὥσπερ κἀγὼ ἰδὼν ὅτι εὗρον βυβλίον ὃ πάλαι ἐπόθουν, ἐνενόουν ὅτι ἐν ὀνείρῳ τοῦτο ὁρῶ, καὶ ὁ ἐμὸς ἑταῖρος ἰδὼν τὸν πάνσεπτον ἡμῶν καθηγεμόνα, ὅτι ἀνέστη ἐκ τῶν νεκρῶν, ἔτι κοιμώμενος ἐνενόει, ὅτι ὄναρ ὁρᾷ τὸν διδάσκαλον ἐγηγερμένον. ἀλλὰ καί τις ἰδὼν ἐν ὕπνῳ, ὅτι εὗρε χρυσόν, ἔτι κατεχόμενος τῷ ὕπνῳ ἐδόκει διηγεῖσθαι τοῖς φίλοις ὡς ἐν ὕπνῳ εὗρε θησαυρόν. οὐκ ἀεὶ δέ, ἐπὶ μέντοι τῆς δόξης ἀεὶ ὃ δοξάζομεν συναισθανόμεθα ὅτι δοξάζομεν. οὐκ ἄρα οὐδὲ οὕτω δόξης τὰ ἐνύπνια. ἅμα δὲ δῆλον ὡς οὐ πᾶν τὸ ἐν ὕπνῳ φάντασμα ἐνύπνιόν ἐστιν, ἀλλ' ὅταν μέν τι ὁρῶν τις μὴ ἐννοῇ, ὅτι ὅπερ ὁρᾷ ὄναρ ἐστὶν ἐνύπνιον τοῦτό γε· ὅταν δὲ ὁρῶν δύνηται ἐννοεῖν ὅτι τὸ ὁρώμενον ἐνύπνιόν ἐστιν, ἤδη τοῦτο φάντασμα, ἐνύπνιον δὲ οὐδαμῶς. δοκεῖ γὰρ εἶναι ἐνύπνια οὐκ ὄντα, ἀλλὰ φαντάσματα, τὰ δέ εἰσι τῶν κατ' ἐνέργειαν αἰσθημάτων τῶν ὑπὸ τὴν εἰς τὸν ὕπνον καταφορὰν γινομένων ἰσχύσασιν ἡμῖν ἀντιλαβέσθαι, ὅτι ἐγρηγορόσιν ἐφαντάσθη. τρόπον γάρ τινα ἐγρήγορσίς ἐστι τὸ δύνασθαι ἐννοεῖν, ὅτι τὸ ὁρώμενον ἐνύπνιόν ἐστιν. ὅτι δὲ πολλάκις ἐννοοῦμεν ἄλλο τι, δῆλόν ἐστι τοῖς πειρωμένοις μνημονεύειν τὰ ἐνύπνια μετὰ τὴν ἀνάστασιν. ὥσπερ γάρ τινες πειρώμενοι τὰ ἀποστοματισθέντα λόγια μνημονεύειν μνημονεύουσι μᾶλλον τῶν ἀποστοματιζόντων, μὴ*

fol. 102 b. πειρωμένων .δὲ μνημονεύειν τῷ τοὺς μὲν τιθέναι κατὰ τὸ διαλεκτικὸν παράγγελμα ἐν τῷ μνημονικῷ τόπῳ τὰ προβαλλόμενα, τοὺς δὲ μή, οὕτω καὶ ἐπὶ τῶν ἐνυπνίων μᾶλλον μνημονεύουσιν ἀναστάντες ἃ εἶδον οἱ ἑαυτοὺς ἠσκηκότες μεμνῆσθαι τὰ ὀνείρατα. γίνεται δὲ τοῦτο ὅταν τις ἅμα τῷ ἀναστῆναι τοῦ ὕπνου εὐθὺς ἀνανεῶται ἃ ἑωράκει καθ' ὕπνους. δῆλον δ' ἐκ τούτων πάντων γε τοσοῦτον, ὅτι τὸ αὐτὸ ᾧ καὶ ἐγρηγορότες ἐν ταῖς νόσοις ἀπατώμεθα, τοῦτο αὐτὸ καὶ ἐν τῷ ὕπνῳ ποιεῖ τὴν ἀπάτην. ὡς γὰρ ἐν νόσοις τὸ ἀνιὸν παχὺ πνεῦμα συνταράττει διὰ τὴν παχύτητα, καὶ τὴν ἀπὸ τοῦ πυρετοῦ σφοδρὰν κίνησιν τὸ ὀπτικὸν πνεῦμα, καὶ ποιεῖ ἡμᾶς ἀπατᾶσθαι καὶ δοκεῖν τὸ ἓν δύο, τάς τε ἐν τοῖς τοίχοις γραμμὰς ζῷα (τὰ γὰρ εἴδη τῶν γραμμῶν χωρὶς ὕλης ἐν τῇ ὄψει ἐμπίπτοντα καὶ συνταραττόμενα ὡδί πως καὶ συντιθέμενα διὰ τὴν τοῦ ὀπτικοῦ πνεύματος κίνησιν ἔμφασιν ποιεῖ ζώου), οὕτω καὶ ἐν τοῖς ὕπνοις τὸ τοιοῦτον πνεῦμα αἴτιον ἡμῖν ἀπάτης γίνεται, καὶ ὑγιαίνουσι καὶ εἰδόσιν οὐδὲν κωλύει ἀπατᾶσθαι ἢ διὰ τὸ πλῆθος τοῦ ἀποστήματος ἢ διὰ τὸ τὴν ὄψιν πάσχειν τι. ὅ τε γὰρ ἥλιος ποδιαῖος δοκεῖ καὶ ἡ γῆ κινεῖσθαι ἐν πλοίῳ οὖσιν, εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον νοσοῦσι καὶ ἔτι μᾶλλον ἐν ὕπνῳ. ἀλλ' εἴτε δὴ τὸ αὐτὸ εἴθ' ἕτερον τὸ φανταστικὸν τῆς ψυχῆς καὶ αἰσθητικόν, οὐδὲν ὅλως γίνεται ἀπάτη ἄνευ τοῦ ὁρᾶν ἢ ὅλως αἰσθάνεσθαί τι· τὸ γὰρ παρορᾶν καὶ παρακούειν ὁρῶντος ἀληθῶς τι καὶ ἀκούοντος, οὐ τοῦτο δὲ ὃ οἴεται. ἐν δὲ τῷ ὕπνῳ ὑπόκειται μηδὲν ὁρᾶν μηδ' ἀκούειν μηδ' ὅλως αἰσθάνεσθαι. ἆρ' οὖν τὸ μὲν ὁρᾶν μηδὲν ἀληθές, τὸ δὲ μηδὲ αἰσθάνεσθαι οὐκ ἀληθές, ἀλλ' ἐνδέχεται καὶ τὴν ὄψιν πάσχειν τι καὶ

τὰς ἄλλας αἰσθήσεις; τὰ γὰρ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα καὶ ἐν ὕπνῳ φέρουσιν, ὧν ἕκαστον ὥσπερ καὶ ἐγρηγορότων ἡμῶν προσβάλλει τῇ αἰσθητικῇ ἀρχῇ τῇ καρδίᾳ, καὶ ὁτὲ μὲν ἡ διάνοια λέγει ὅτι ψεῦδος, καὶ συνῄσθετο ὄναρ εἶναι, ὅταν μὴ πολλὴ ἡ κατιοῦσα ἀναθυμίασις ᾖ καὶ ὦμεν ὥσπερ ἐγρηγορότες, ὁτὲ δὲ κατέχεται ὁτὲ πλῆθός ἐστι τὸ κατερχόμενον, καὶ ἀκολουθεῖ ὡς ἀληθεῖ τῷ φαντάσματι τοὺς τύπους τῶν πραγμάτων ὡς αὐτὰ θεωροῦσα τὰ πράγματα. ὅτι μὲν οὖν οὐκ ἔστι τοῦ δοξάζοντος οὐδὲ τοῦ διανοουμένου ἢ ὅλως τοῦ νοοῦντος τὸ πάθος ὃ καλοῦμεν ἐνυπνιάζειν, φανερόν, ἀλλ' οὐδὲ τοῦ αἰσθανομένου ἁπλῶς· ὁρᾶν γὰρ ἀνάγκη καὶ ἀκούειν ἁπλῶς, ἀλλὰ πῶς δὴ καὶ τίνα τρόπον, ἐπισκεπτέον.

Ὑποκείσθω δ' ὅπερ ἐστὶ φανερόν, ὅτι τοῦ αἰσθητικοῦ τὸ πάθος, εἴπερ καὶ ὁ ὕπνος· οὐ γὰρ ἄλλῳ μέν τινι μορίῳ τῶν ζώων ὑπάρχει ὁ ὕπνος, ἄλλῳ δὲ τὸ ἐνυπνιάζειν, ἀλλὰ τῷ αὐτῷ, ἐπεὶ δὲ περὶ φαντασίας ἐν τοῖς περὶ ψυχῆς εἴρηται, καὶ ἔστι μὲν τὸ αὐτὸ τῷ αἰσθητικῷ τὸ φανταστικόν, τὸ δ' εἶναι φανταστικὸν καὶ αἰσθητικὸν ἕτερον, ἔστι δὲ φαντασία ἡ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γενομένη κίνησις καὶ μὴ παρόντων τῶν αἰσθητῶν, τὸ δὲ ἐνύπνιον φάντασμά τι φαίνεται εἶναι· τὸ γὰρ ἐν ὕπνῳ φάντασμα ἐνύπνιον λέγομεν εἴθ' ἁπλῶς εἴτε τρόπον τινὰ γενόμενον, φανερὸν ὅτι τοῦ αἰσθητικοῦ μέν ἐστι τὸ ἐνυπνιάζειν, τούτου δ' ᾗ φανταστικόν.

2 Τί δέ ἐστι τὸ ἐνύπνιον καὶ πῶς γίνεται ἐκ τῶν περὶ τὸν ὕπνον συμβαινόντων μάλιστ' ἂν θεωρήσαιμεν. τὰ γὰρ αἰσθητὰ καθ' ἕκαστον αἰσθητήριον

21 ἀπὸ] scrib. ὑπὸ

*ἡμῖν ἐμποιοῦσιν αἴσθησιν καὶ τὰ γινόμενα ὑπ' αὐτῶν πάθη καὶ ἐγκαταλείμματα οὐ μόνον ὑπάρχει ἐν τοῖς αἰσθητηρίοις ἐνεργουσῶν τῶν αἰσθήσεων, ἀλλὰ καὶ ἀπελθουσῶν, ὧν ὅσα σώζεται καὶ μὴ τέλεον ἠφάνισται διὰ πλῆθος ἀναθυμιάσεως τῇ αἰσθητικῇ ἀρχῇ προσεμπίπτοντα κατὰ τοὺς ὕπνους διὰ τὴν τότε εἰς τὰ κάτω τοῦ πνεύματος παλίρροιαν καὶ κινήσαντα τὴν αἴσθησιν παραπλησίως τῇ κατ' ἐνέργειαν αἰσθήσει ποιεῖ τὰ ἐνύπνια. ὅταν μὲν οὖν πολλὴ ᾖ ἡ ἀναθυμίασις, ὥστε λανθάνειν ἡμᾶς καὶ μὴ δύνασθαι ἐπιλαβέσθαι ὅτι ἐγρηγόραμεν, ἀπατώμεθα καὶ ὁρῶντες τὰ εἴδωλα καὶ ἐγκαταλείμματα τῶν αἰσθητῶν δοκοῦμεν αὐτὰ ἐκεῖνα τὰ ἀληθῆ αἰσθητὰ ὁρᾶν καὶ ἀκούειν, ὅταν δὲ μὴ οὕτως ᾖ πολλὴ ἡ αἱματικὴ ἀναθυμίασις, ὥστε λανθάνειν ἡμᾶς, ἀλλὰ σύμμετρος ὥστε μὴ λανθάνειν, οὐκ ἀπατώμεθα, ἀλλὰ λέγομεν ὑπνώττοντες ὅτι φαίνεται μὲν τὸ εἴδωλον τοῦτο ὅτι Σωκράτης ἐστίν, οὐκ ἔστι δὲ ἀλλ' ὁ τύπος Σωκράτους καὶ τὸ ἐγκατάλειμμα. δῆλον οὖν ὅτι τὸ κατιὸν πνεῦμά ἐστι τοῦ τε ἀπατᾶσθαι καὶ μὴ αἴτιον, ὅπερ καὶ ἐν ταῖς νόσοις ἄνω ὄν. ὅτι δὲ καὶ μὴ παρόντων τῶν αἰσθητῶν μέχρι τινὸς μένει ἐν τοῖς αἰσθητηρίοις τὸ ἐγκατάλειμμα, καὶ ἐκ τούτων δῆλον. παραπλήσιον γὰρ τὸ πάθος ἐπί τε τούτων καὶ ἐπὶ τῶν φερομένων ἔοικεν εἶναι· καὶ γὰρ ἐπὶ τῶν φερομένων τοῦ κινήσαντος οὐκέτι θιγγάνοντος κινεῖται· τὸ γὰρ κινῆσαν ἐκίνησεν ἀέρα τινὰ κἀκεῖνος πάλιν κινούμενος ἐκίνησεν ἕτερον, καὶ τοῦτον δὴ τὸν τρόπον ἕως ἂν στῇ, ποιεῖται τὴν κίνησιν καὶ ἐν ἀέρι καὶ ἐν ὑγρῷ. ὁμοίως δ' ὑπολαβεῖν τοῦτο δεῖ καὶ ἐπ' ἀλλοιώσεως· τὸ γὰρ*

---

26 *κινῆσαν*] *κινῆσαι* A 28 *τοῦτο* A

θερμανθὲν ὑπὸ τοῦ θερμοῦ τὸ πλήσιον θερμαίνει καὶ τοῦτο διαδίδωσιν ἕως τῆς ἀρχῆς, ὥστε καὶ ἐν ᾧ τὸ αἰσθάνεσθαι, ἐπειδή ἐστιν ἀλλοίωσίς τις ἡ κατ' ἐνέργειαν αἴσθησις, ἀνάγκη τοῦτο συμβαίνειν. διὸ τὸ πάθος ἐστὶν οὐ μόνον αἰσθανομένοις ἐν τοῖς αἰσθητηρίοις, ἀλλὰ καὶ πεπαυμένοις τῷ φανταστικῷ καὶ ἐν βάθει καὶ ἐπιπολῆς. φανερὸν δ' ὅταν συνεχῶς αἰσθανώμεθά τι· μεταφερόντων γὰρ τὴν αἴσθησιν ἀκολουθεῖ τὸ πάθος, οἷον ἐκ τοῦ ἡλίου εἰς τόπον ἀλαμπῆ καὶ ἀνήλιον· συμβαίνει γὰρ μηδὲν ὁρᾶν διὰ τὴν ὑποῦσαν κίνησιν ἐν τοῖς ὄμμασιν ὑπὸ τοῦ φωτός. κἂν πρὸς ἓν χρῶμα πολὺν χρόνον βλέψωμεν ἢ λευκὸν ἢ χλωρόν, τοιοῦτον φαίνεται ἐν ᾧ ἂν τὴν fol. 103. ὄψιν μεταβάλλωμεν. κἂν πρὸς τὸν ἥλιον βλέψαντες ἢ ἄλλο τι λαμπρὸν μύσωμεν, παρατηρήσασι κατέναντι τοῦ λαμπροῦ κεκαλυμμένων τῶν βλεφάρων ὄντων φαίνεται κατ' εὐθυωρίαν ᾗ συμβαίνει τὴν ὄψιν ὁρᾶν, πρῶτον μὲν τοιοῦτον τὴν χρόαν, εἶτα μεταβάλλει εἰς φοινικοῦν κἄπειτα εἰς πορφυροῦν, ἕως ἂν εἰς τὴν μέλαιναν ἔλθῃ χρόαν καὶ ἀφανισθῇ. καὶ ἀπὸ τῶν κινουμένων δὲ τὰ ὄμματα μεταβάλλει οἷον ἀπὸ τῶν ποταμῶν, μάλιστα δ' ἀπὸ τῶν τάχιστα ῥεόντων· φαίνεται γὰρ τὰ ἠρεμοῦντα κινούμενα. γίνονται καὶ ἀπὸ τῶν μεγάλων ψόφων δύσκωφοι, καὶ ἀπὸ τῶν ἰσχυρῶν ὀσμῶν δύσοσμοι τῶν ὁμοίων. φανερῶς δὲ ταῦτα συμβαίνει ὡς λέγομεν. ὅτι δὲ ταχὺ τὰ αἰσθητήρια καὶ μικρᾶς διαφορᾶς αἰσθάνεται, σημεῖον τὸ ἐπὶ τῶν ἐνόπτρων γινόμενον, περὶ οὗ κἂν καθ' αὑτὸ ἐπιστήσας σκέψαιτό τις ἂν καὶ ἀπορήσειεν. ἅμα δὲ ἐξ αὐτῶν δῆλον, ὅτι ὥσπερ ἡ ὄψις πάσχει, οὕτω καὶ

---

8 τι] ἔτι A    10 ἐλαμπῆ A

*ποιεῖ τι. καὶ γὰρ ἐν τοῖς ἐνόπτροις τοῖς σφόδρα καθαροῖς ὅταν τῶν καταμηνίων ταῖς γυναιξὶ γινομένων ἐμβλέψωσιν εἰς τὸ κάτοπτρον γίνεται ἐπιπολῆς τοῦ ἐνόπτρου οἷον νεφέλη τις αἱματώδης, κἂν μὲν καινὸν ᾖ τὸ κάτοπτρον, οὐ ῥᾴδιον ἐκμάξαι τὴν τοιαύτην κηλῖδα, εἰ δὲ παλαιόν, ῥᾷον. αἴτιον δὲ ὥσπερ εἴπομεν, ὅτι οὐ μόνον πάσχει ἡ ὄψις ὑπὸ τοῦ ἀέρος, ἀλλὰ καὶ ποιεῖ τι καὶ κινεῖ, ὥσπερ καὶ τὰ λαμπρά· καὶ γὰρ ὁ ὀφθαλμὸς τῶν λαμπρῶν καὶ ἐχόντων χρῶμα. τὰ μὲν οὖν ὄμματα διάκειται ἐν τῷ καιρῷ τοῦ τοιούτου πάθους ὥσπερ καὶ ἕτερον μέρος εὐλόγως τοῦ ὅλου σώματος· πάντα γὰρ μεταβέβληνται τῇ τῶν καταμηνίων ἀγωγῇ, οἱ δὲ καὶ μᾶλλον φλεβώδεις ὄντες. διὸ γινομένων τῶν καταμηνίων διὰ ταραχὴν καὶ φλεγμασίαν αἱματικὴν τοῖς μὲν ἄρρεσιν ἡ ἐν τοῖς σώμασι διαφορὰ ἄδηλος· ἀτενίζοντες γὰρ ἐν τῇ προέσει τοῦ σπέρματος τῷ κατόπτρῳ οὐχὶ συγκινοῦμεν αὐτό, ἔνεστι δέ· ἡ γὰρ αὐτὴ φύσις σπέρματος καὶ καταμηνίων, ἀλλὰ διὰ τὸ εἶναι λευκὸν καὶ ὅμοιον τῷ κατόπτρῳ οὐχὶ μεταβάλλει συγκινούμενον αὐτό· ὁ μέντοι ἀὴρ κινεῖται ὑπὸ τῶν καταμηνίων καὶ τὸν ἐπὶ τῶν κατόπτρων ἀέρα συνεχῆ ὄντα ποιόν τινα ποιεῖ καὶ τοιοῦτον οἷον αὐτὸς πάσχει, ὁ δὲ τοῦ κατόπτρου τὴν ἐπιφάνειαν. ὥσπερ δὲ τῶν ἱματίων τὰ μάλιστα καθαρὰ τάχιστα κηλιδοῦται· τὸ γὰρ καθαρὸν ἀκριβῶς δηλοῖ ὅ τι ἂν δέξηται, καὶ μάλιστα τὰς ἐλαχίστας κινήσεις, οὕτω καὶ ἐπὶ τούτων. ὁ δὲ χαλκὸς διὰ μὲν τὸ λεῖος εἶναι αἰσθητὰς τὰς ἐν αὐτῷ κηλῖδας ἡμῖν ἐμποιεῖ, διὰ δὲ τὸ καθαρὸν ἐκδήλους. δεῖ δὲ νοῆσαι οἷον τρίψιν οὖσαν τὴν τοῦ ἀέρος ἁφὴν καὶ ὥσπερ*

---

3 scrib. τὸ ἐπιπολῆς

ἔκμαξιν καὶ ἀνάπλυσιν. ὡς γοῦν ἐν τοῖς λείοις σώμασι μάλιστα γίνεται ὁ ψόφος διὰ τὸ μὴ θραύεσθαι ἐν αὐτοῖς τὸν ἀέρα μηδ' ὅλως εἰς λεπτὰ κατακερματίζεσθαι, οὕτω καὶ ἐν τοῖς λείοις κατόπτροις αἱ κηλῖδες διάδηλοι γίνονται διὰ τὸ μένειν οἱονεὶ μίαν διὰ τὴν τοῦ κατόπτρου λειότητα. τοῦ δὲ μὴ ἀπιέναι τάχιον ἐκ τῶν καινῶν κατόπτρων αἴτιον τὸ καθαρὸν εἶναι καὶ λεῖον· διαδύεται γὰρ διὰ τῶν τοιούτων καὶ εἰς βάθος καὶ πάντῃ, διὰ μὲν τὸ καθαρὸν εἰς βάθος, διὰ δὲ τὸ λεῖον πάντῃ. ἐν δὲ τοῖς παλαιοῖς οὐκ ἐμμένει, ὅτι οὐχ ὁμοίως εἰσδύεται ἡ κηλὶς ἀλλ' ἐπιπολαιότερον. ὅτι μὲν οὖν καὶ ὑπὸ τῶν μικρῶν διαφορῶν γίνεται κίνησις, καὶ ὅτι ταχεῖα ἡ αἴσθησις, ἔτι δὲ καὶ ὅτι οὐ μόνον πάσχει ἀλλὰ καὶ ἀντιποιεῖ τὸ τῶν χρωμάτων αἰσθητήριον, φανερὸν ἐκ τούτων. μαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τοὺς οἴνους καὶ τὴν μυρεψίαν συμβαίνοντα. τό τε γὰρ παρασκευασθὲν ἔλαιον ταχέως λαμβάνει τὰς τῶν πλησίον ὀσμάς, καὶ οἱ οἶνοι τὸ αὐτὸ τοῦτο πάσχουσιν· οὐ γὰρ μόνον τῶν ἐμβαλλομένων ἢ ὑποκιρναμένων, ἀλλὰ καὶ τῶν πλησίον τοῖς ἀγγείοις τιθεμένων ἢ πεφυκότων ἀναλαμβάνουσι τὰς ὀσμάς.

Πρὸς δὲ τὴν ἐξ ἀρχῆς σκέψιν ὑποκείσθω ἓν μὲν ὅπερ ἐκ τῶν εἰρημένων φανερόν, ὅτι καὶ ἀπελθόντος τοῦ θύραθεν αἰσθητοῦ ἐμμένει τὰ αἰσθήματα αἰσθητὰ ὄντα, πρὸς δὲ τούτοις ὅτι ῥᾳδίως ἀπατώμεθα περὶ τὰς αἰσθήσεις ἐν τοῖς πάθεσιν ὄντες, ἄλλοι δὲ ἐν ἄλλοις, οἷον οἱ δειλοὶ ἐν φόβοις, οἱ δὲ ἐρωτικοὶ ἐν ἔρωτι, ὥστε δοκεῖν ἀπὸ μικρᾶς ὁμοιότητος τὸν μὲν τοὺς πολεμίους ὁρᾶν, τὸν δὲ τὸν ἐρώμενον, καὶ ταῦτα ὅσον ἂν ἐμπαθέστερος ᾖ, τοσοῦτον ἀπ' ἐλάσσονος

---

10 εἰσδύεται] εἰσδέχεται A 21 ἀναλαμβάνειν A

ὁμοιότητος. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν ὀργαῖς καὶ πάσαις ἐπιθυμίαις εὐαπάτητοι γίνονται πάντες, καὶ μᾶλλον ὅσῳ ἂν μᾶλλον ἐν τοῖς πάθεσιν ὦσι. διὸ καὶ τοῖς πυρέσσουσιν ἐνίοτε φαίνεται ζῷα ἐν τοῖς τοίχοις ἀπὸ μικρᾶς ὁμοιότητος τῶν γραμμῶν συντιθεμένων καὶ. ταῦτ' ἐνίοτε συνεπιτείνει τοῖς πάθεσιν οὕτως, ὥστε ἂν μὴ σφόδρα κάμνωσιν, μὴ λανθάνειν ὅτι ψεῦδος, ἐὰν δὲ μεῖζον ᾖ τὸ πάθος, καὶ κινεῖσθαι πρὸς αὐτά. αἴτιον δὲ τοῦ συμβαίνειν ταῦτα τὸ μὴ κατὰ τὴν αὐτὴν δύναμιν κρίνειν τό τε κύριον ὃ ἐστιν ἡ διάνοια, καὶ ᾧ τὰ φαντάσματα γίνονται, ὃ δήπου προσαγορεύομεν αἴσθησιν. τούτου δὲ σημεῖον ὅτι φαίνεται μὲν ὁ ἥλιος τῇ αἰσθήσει ποδιαῖος, ὁ δὲ νοῦς ἀντιφάσκει ἔνδον μὴ τοσοῦτον εἶναι ὅσος φαίνεται. εἰ δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως ἔκριναν, τοσοῦτος ἂν ἐδοξάζετο ὅσος καὶ ὁρᾶται. ἔν τισι δὲ νόσοις οὐδὲν κωλύει τῆς αἰσθήσεως παρατραπείσης συννοεῖν καὶ τὸν νοῦν καὶ ταὐτοδοξεῖν περὶ τὰ φαινόμενα, ὥσπερ ἔνιοι τῶν ἐκστατικῶν κινουμένας τὰς γραμμὰς καὶ ζῷα οἰόμενοι, καὶ τί δεῖ ἐπὶ νοῦ καὶ αἰσθήσεως τὴν κατὰ τὴν κρίσιν διαφορὰν ἐπιζητεῖν; ὅπου γε καὶ ἐπ' αὐτῶν τῶν αἰσθήσεων οὐχ εἷς ὁ λόγος, ἀλλὰ τῶν κυριωτέρων, καὶ αἱ δυνάμεις ἀκριβέστεραι οἷον ἐπὶ ἁφῆς fol. 103 b. καὶ ὄψεως; ἐν γὰρ τῇ ἐπαλλάξει τῶν δακτύλων τῇ μὲν ἁφῇ τὸ ἓν δύο φαίνεται, τῇ δὲ ὄψει οὔ· κυριωτέρα γὰρ τῆς ἁφῆς ἡ ὄψις. εἰ δ' ἦν ἡ ἁφὴ μόνη, ἢ τὴν κρίσιν ἄμφω εἶχον μίαν, κἂν ἐκρίνομεν τὸ ἓν δύο. τοῦ δὲ διαψεύδεσθαι αἴτιον ὅτι οὐ μόνον τοῦ αἰσθητικοῦ κινουμένου φαίνεται ἁδήποτε, ἀλλὰ καὶ τῆς αἰσθήσεως κινουμένης αὐτῆς, ἐὰν ὡσαύτως κινῆ-

29 αἰσθητικοῦ] scrib. αἰσθητοῦ

ται, ὥσπερ ὑπὸ τοῦ αἰσθητοῦ, λέγω δ' οἷον ἡ γῆ δοκεῖ τοῖς πλέουσι κινεῖσθαι κινουμένης τῆς ὄψεως ὑπ' ἄλλου.

Ἐκ δὴ τούτων φανερόν, ὅτι οὐ μόνον ἐγρηγορότων αἱ κινήσεις εἰσὶν αἱ ἀπὸ τῶν αἰσθήσεων γινόμεναι τῶν θύραθεν καὶ τῶν ἐκ τοῦ σώματος ὑπαρχουσῶν, ἀλλὰ καὶ ὅταν γένηται τὸ πάθος τοῦτο ὃ καλεῖται ὕπνος, καὶ μᾶλλον τότε φαίνονται. μεθ' ἡμέραν γὰρ ἐκκρούονται ἐνεργουσῶν τῶν αἰσθήσεων καὶ τῆς διανοίας, καὶ ἀφανίζονται ὥσπερ παρὰ πολὺ πῦρ ἔλασσον καὶ λύπαι καὶ ἡδοναὶ μικραὶ παρὰ μεγάλας, παυσαμένων δὲ ἐπιπολάζει καὶ τὰ μικρά, νύκτωρ δὲ δι' ἀργίαν τῶν κατὰ μόριον αἰσθήσεων καὶ ἀδυναμίαν τοῦ ἐνεργεῖν διὰ τὸ ἐκ τῶν ἔξω εἰς τὸ ἐντὸς γίνεσθαι τὴν τοῦ θερμοῦ παλίρροιαν ἐπὶ τὴν ἀρχὴν τῆς αἰσθήσεως καταφέρονται, τὴν καρδίαν, καὶ γίνονται φανεραὶ καθισταμένης τῆς ταραχῆς. δεῖ δὲ ὑπολαβεῖν ἐπὶ τούτων ὅπερ καὶ ἐπὶ τῶν ῥευμάτων· ὥσπερ γὰρ ἐκεῖ τὰς μικρὰς δίνας τὰς ἐν τοῖς ποταμοῖς φερομένας πολλάκις μὲν ὁμοίας εἶναι, πολλάκις δὲ διαλυομένας εἰς ἄλλα συμβαίνει σχήματα διὰ τὴν ἀντίκρουσιν, οὕτως κἀνταῦθα τὴν κίνησιν ἑκάστην γίνεσθαι, λέγω δὲ κίνησιν τὴν εἰδωλικὴν ἐν τῇ καρδίᾳ ἐπιφορὰν τοῦ ἐγκαταλείμματος καθ' ἣν ἡ ἐκείνη αἰσθητικὴ ψυχὴ διεγείρεται, καὶ καθάπερ ἐκεῖ ἡ ἀφ' ἑτέρου εἰς ἕτερον σχῆμα μεταβολὴ οὐκ ἄμεσος, οὕτω καὶ ἡ ἑκάστου εἰδώλου κίνησις ὄντος ἐν ὑποκειμένῳ τῷ πνεύματι ἢ τῷ αἵματι ἢ τῇ καρδίᾳ, ὅταν

---

4 δὴ] δὲ A 5 αἰσθήσεων] sic pro αἰσθημάτων in Arist. cod. L, αἰσθητῶν Victorius 14 γίνεται A

*μὴ αὐτὴ μείνῃ ἀλλ' ἀντικρουσθῇ, διὰ πολλῶν τῶν μεταξὺ φθάνει πρὸς τὸ ἔσχατον. ἀναγκαῖον οὖν τὴν πρώτην αἴσθησιν μὴ ὑπὸ μόνων τοῦ τε ἐξ οὗ καὶ εἰς ὃ κινεῖσθαι, ἀλλὰ καὶ ὑπὸ τῶν μεταξύ. ὡς γὰρ τόδε τὸ νέφος εἰ ἐοικός ἐστι λέοντι, εἶτα μεταβαλὸν διά τινων μεταξὺ εἰς ἀνθρώπου ἧκεν ὁμοίωμα, οὐ μόνον τὸ τοῦ λέοντος καὶ ἀνθρώπου οἶδεν ἡ ψυχὴ σχῆμα ἀλλὰ καὶ τὰ μεταξύ, εἴτε ἡδέα ἦσαν αὐτῇ καὶ κεχαρισμένα εἴτε ἄλλως λυπηρὰ καὶ οὐκ εὔθυμα, οὕτω καὶ ἡ πρώτη αἴσθησις οὐ μόνον τῶν ἄκρων ἐν τοῖς ὕπνοις αἰσθάνεται, ἀλλὰ καὶ τῶν μεταξύ, ταῦτα δὲ ἢ τερατώδη πάντως ἢ προσηνῆ καὶ κατὰ φύσιν. διὸ καὶ μετὰ τὴν τροφὴν καὶ πάνυ νέοις οὖσιν οὐ γίνεται οἷον ἐνύπνια τοῖς παιδίοις· πολλὴ γὰρ ἡ κίνησις διὰ τὴν ἀπὸ τῆς τροφῆς θερμότητα, ὥστε καθάπερ ἐν ὑγρῷ, ἐὰν σφόδρα κινῇ τις, ὁτὲ μὲν οὐδὲν φαίνεται εἴδωλον, ὁτὲ δὲ φαίνεται μὲν διεστραμμένον δὲ πάμπαν, ὥστε φαίνεσθαι ἀλλοῖον ἢ οἷον ἦν, [τοῦ] ἠρεμήσαντος δὲ καθαρὰ καὶ φανερά, οὕτω καὶ ἐν τῷ καθεύδειν τὰ φάσματα καὶ αἱ ὑπόλοιποι κινήσεις αἱ συμβαίνουσαι ἀπὸ τῶν αἰσθήσεων ὁτὲ μὲν ὑπὸ μείζονος οὔσης τῆς εἰρημένης κινήσεως ἀφανίζονται πάμπαν, ὁτὲ δὲ τεταραγμέναι φαίνονται αἱ ὄψεις καὶ τερατώδεις καὶ χείρονα τὰ ἐνύπνια οἷον τοῖς μελαγχολικοῖς καὶ πυρέσσουσι καὶ οἰνωμένοις· πάντα γὰρ τὰ τοιαῦτα πάθη πνευματώδη ὄντα πολλὴν ποιεῖται τὴν κίνησιν καὶ ταραχήν. καθισταμένου δὲ καὶ διακρινομένου τοῦ αἵματος ἐν τοῖς ἐναίμοις σωζομένη τῶν αἰσθημάτων ἡ κίνησις ἀφ' ἑκά-*

---

7 scrib. *εἶδεν* 14 *οἷον ἐνύπνια*] scrib. *ἐνύπνια οἷον* 19 *τοῦ* del. 20 scrib. *φαντάσματα* 21 *ἀπὸ*] *ὑπὸ* A *αἰσθήσεων* item in Arist. pro *αἰσθημάτων* L

στης τῶν αἰσθήσεων ἐρρωμένα τε ποιεῖ τὰ ἐνύπνια καὶ φαίνεσθαί τε καὶ δοκεῖν. δοκεῖ μὲν γὰρ τὰ ἀπὸ τῆς ὄψεως καταφερόμενα ὁρᾶν καὶ τὰ ἀπὸ τῆς ἀκοῆς ἀκούειν, ὁμοιοτρόπως δὲ καὶ ἀπὸ τῶν ἄλλων αἰσθητηρίων· τῷ γὰρ ἐκεῖθεν ἀφικνεῖσθαι τὴν κίνησιν πρὸς τὴν ἀρχὴν καὶ ἐγρηγορὼς δοκεῖ ὁρᾶν καὶ ἀκούειν καὶ ὅλως αἰσθάνεσθαι. εἰ γὰρ ἡ ὄψις μὴ ἀπατηθείη ἐν τῇ τῶν δακτύλων ἐπαλλάξει ὁμοίως τῇ ἀφῇ, οὐδ' ἐν τοῖς ὕπνοις ἀπατηθήσεται ἡ αἰσθητικὴ ψυχή, ἀλλ' ἡ μὲν ἁπτικὴ δύναμις τὸ ἓν δύο λέγει, ἡ δὲ ὁρατικὴ [ἐγρηγόρως] ἀντέχεται καὶ ἀντιφάσκει, ὡς τὰ δοκοῦντα δύο οὐκ εἰσὶ δύο ἀλλ' ἕν. εἰ δὲ ἡ ὄψις οὐκ ἀπατᾶται ἐν τούτοις ὡς τῆς ἀφῆς λογικωτέρα, πολλῷ μᾶλλον τὸ κυρίως κριτήριον ἡ διάνοια, εἴπερ μὴ κατέχηται ὑπερβαλλούσῃ τῇ ἐπικαταφορᾷ τοῦ πνευματώδους ὑγροῦ. ὅλως γὰρ τὸ ἀφ' ἑκάστης αἰσθήσεως ἱκνούμενον πρὸς τὴν ἀρχὴν συντίθεται ἡ ἀρχή, ἐὰν μὴ ἑτέρα κυριωτέρα ἀντιφῇ· ἁπλῶς γὰρ ὁποῖον ἂν διαπορθμεύσῃ ἡ ἁφὴ ἢ ὄψις ἢ ἄλλη τις τῶν αἰσθήσεων, τοιοῦτον αὐτὸ εἶναι λέγει ἡ πρώτη αἴσθησις, ὥστε καὶ τὸ ἕν, ἂν ὡς δύο παρὰ τῆς ἁφῆς εἰσαγγελθῇ, ἢ ὁ ἥλιος ποδιαῖος παρὰ τῆς ὁράσεως, μὴ ὄντος τοῦ ἐπικρίνοντος, ὡς δύο τε τὸ ἓν φαντασθήσεται, καὶ ὁ ἥλιος τοσοῦτος ὑποληφθήσεται. νυνὶ δὲ φαίνεται μὲν πάντως, δοκεῖ δ' οὐ πάντως ἅπαν τὸ φαινόμενον, ἂν μὴ τὸ ἐπικρῖνον κατέχηται, ὡς πολλάκις εἴρηται, ἢ μὴ τὴν οἰκείαν κινῆται καὶ προσφυῆ κίνησιν. ὥσπερ δ' εἴπομεν, ὅτι ἄλλοι δι' ἄλλο πάθος εὐεξαπάτητοι, οὕτως ὁ καθεύδων διὰ τὸν

6 ἐγρηγόρως A et Arist. codices p. 461, 31. 8 ἀπαλλάξει A 11 ἐγρηγόρως del.

ὕπνον καὶ τὸ κινεῖσθαι τὰ αἰσθητήρια καὶ τἆλλα τὰ συμβαίνοντα περὶ τὴν αἴσθησιν, ὡς μικρὰν ἔχον ὁμοιότητα φαίνεται ἐκεῖνο. ὅταν γὰρ καθεύδῃ, κατιόντος τοῦ πνεύματος καὶ τοῦ αἵματος ἐπὶ τὴν ἀρχήν, συγκατέρχονται καὶ αἱ ἐνοῦσαι ὡς ἐν ὑποκειμένῳ κινήσεις καὶ τύποι τῶν αἰσθητῶν αἱ μὲν δυνάμει αἱ δὲ ἐνεργείᾳ, εἶτ' οὖν αἱ μὲν μέλλουσι καὶ οὔπω, αἱ δὲ πάρεισι καὶ κινοῦσι τὴν αἰσθητικὴν ἀρχὴν εἰς ἀντίληψιν, ὡς συμβαίνειν ἐν τῇ κινήσει τῇδὶ τῇ πρώτως εἰσελθούσῃ, τήνδ' ἐπιπολάζειν τὴν μετ' αὐτὴν ἐνεργήσουσαν, ταύτης φθαρείσης τὴν ἐφεξῆς fol. 104. εἰσιέναι. καὶ πρὸς ἀλλήλας ἔχουσιν, ὥσπερ οἱ πεπλασμένοι βάτραχοι οἱ ἀνιόντες ἐν τῷ ὕδατι τηκομένου τοῦ ἁλός. εἰ γάρ τις βατράχους ὑποθεῖτο πέντε τὸν ἀριθμὸν τυχὸν ἐν πίθῳ ἁλὸς ἐμβεβλημένους πεπληρωμένῳ καὶ συντεθειμένῳ ἄνωθεν κάτω καὶ κατὰ διαστήματα, ὡς τοὺς ἄκρους τὸν μὲν πρὸς τῷ χείλει κεῖσθαι, τὸν δὲ ἐν τῷ πυθμένι, καὶ τοὺς μέσους ἀναλόγως, κρυπτομένους δὲ πάντας, εἶτα τὸ ἅλας ἄνωθεν ἄρξηται τήκεσθαι, πρῶτος ἐπιπολάσει τῷ ὕδατι καὶ ἐνεργείᾳ αἰσθητὸς γενήσεται ὁ πάντων ἀνώτατος βάτραχος, εἶτα προϊούσης τῆς τήξεως ὁ μετ' αὐτὸν καὶ μετ' ἐκεῖνον ὁ ἕτερος, τελευταῖος δὲ πάντων τακέντος τοῦ ἅλατος ὁ ἔσχατος ἀναβήσεται. οὕτω καὶ αἱ κινήσεις ἐν τῷ ὕπνῳ καὶ τὰ τῶν αἰσθητῶν εἴδωλα αἱ μὲν πρώτως ἀπαντῶσαι πρώτως καὶ ἐνεργήσουσιν, αἱ δὲ δυνάμει οὖσαι καὶ μέλλουσαι ἀνιεμένου ποτὲ τοῦ κωλύοντος αἵματος καὶ λυομένου, ἔτι δὲ λεπτυνομένου καὶ καθαιρομένου τοῦ ὑπολει–

---

11 fort. καὶ ταύτης, vel ταύτης δὲ    15 πέντε τὸν] τὸν πέντε A

φθέντος ἀκριβέστερον ἐνεργήσουσιν, ὅθεν οἱ τελευταῖοι τῶν ὕπνων εὐθυονειρότεροι, καὶ καθαρώτερα τῇ ἀρχῇ τὰ ἐν τοῖς αἰσθητηρίοις τῶν ὑπνούντων τότε προσπίπτουσιν ὁμοιώματα, ὡς ἤδη τοῦ ταράσσοντος ἠρεμήσαντος. ἡ οὖν ἐν τοῖς ἐνυπνίοις τῶν φαντασμάτων μεταβολὴ τῇ ἐν τοῖς νέφεσιν ἔοικεν, ὡς καὶ πρότερον εἴρηται, ἃ παρεικάζουσιν ἀνθρώποις καὶ κενταύροις ταχέως μεταβάλλοντα. κοινῶς δὲ τῶν ἐν ὕπνῳ φαινομένων ἕκαστον ὑπόλειμμά ἐστιν, ὡς ἐν ἀρχαῖς ἐλέχθη, τοῦ ἐνεργείᾳ αἰσθήματος, καὶ ἀπελθόντος τοῦ ἀληθοῦς αἰσθητοῦ, ὅταν μὴ κατέχηται ὑπὸ τοῦ κατελθόντος αἵματος τὸ ἐπικρῖνον, ἔνεστι ἀληθὲς εἰπεῖν ὑπνώττοντα, ὅτι τοῦτο οὐ Κορίσκος, ἀλλ' οἷον Κορίσκος καὶ εἴδωλον, καὶ διὰ τούτου τὸν ἀληθινὸν διανοεῖται Κορίσκον· ὅταν δὲ παντελῶς κατέχηται, ὥστε τὸ ὅμοιον καὶ τὸ εἴδωλον δοκεῖν αὐτὸ εἶναι τὸ ἀληθές, οὐ κινεῖται ὑπὸ τῶν εἰδώλων ὡς αἰσθανόμενον καὶ τρόπον τινὰ ἐγρηγορός, ἀλλ' ὡς ἀναίσθητον, καὶ τοσαύτη τοῦ ὕπνου ἡ δύναμις, ὥστε ποιεῖν τοῦτο λανθάνειν. ὥσπερ οὖν εἴ ποτε λανθάνοι ὑποβαλλόμενος ὁ δάκτυλος τῷ ὀφθαλμῷ, οὐ μόνον φανεῖται, ἀλλὰ καὶ δόξει δύο τὸ ἕν, ὅταν δὲ μὴ λανθάνῃ, φανεῖται μέν, οὐ δόξει δέ· οὕτω κἀν τοῖς ὕπνοις, ἂν μὲν αἰσθάνηται ὅτι καθεύδει καὶ πρὸς τούτῳ τοῦ ἐνυπνίου, φανεῖται μέν, λέγει δέ τι ἐν αὐτῷ ὅτι φαίνεται μὲν Κορίσκος τόδε τὸ φάντασμα, οὐκ ἔστι δέ· πολλάκις γάρ τις καθεύδων καὶ συναισθόμενος λέγει ἐν τῇ ψυχῇ ὅτι ἐνύπνιον τὸ φαινόμενον. ἐὰν δὲ λανθάνῃ ὅτι καθεύδει, συνθήσεται καὶ οὐδὲν ἀντιφήσει τῇ φαντασίᾳ. ὅτι δ'

18 ἐγρηγορὼς A

*ἀληθῆ λέγομεν καὶ εἰσὶ κινήσεις φανταστικαὶ καὶ τύποι καὶ εἴδωλα τῶν αἰσθητῶν ἐν τῷ πρώτῳ αἰσθητηρίῳ τῇ καρδίᾳ καὶ μὴ παρόντων τῶν πραγμάτων καὶ ἠρεμουσῶν τῶν αἰσθήσεων, περὶ ἃ καὶ ἡ τῶν ἐνυπνίων πᾶσα δραματουργία συνίσταται, δῆλον ἐκεῖθεν. ὃ γὰρ ἐν τοῖς δευτέροις, πολλῷ μᾶλλον ἐν τῷ πρώτῳ, καὶ εἰ εἰσὶν ἐν τοῖς ἄλλοις αἰσθητηρίοις εἴδωλα καὶ ἐγκαταλείμματα καὶ μὴ ἐνεργοῦσι, πολλῷ μᾶλλον ἐν τῇ καρδίᾳ ἀφ' ἧς καὶ τὸ εἶναι τούτοις καὶ ἐνεργεῖν. ὅτι δέ εἰσι, φανερόν, ἐάν τις προσέχων πειρῷτο μνημονεύειν ἃ πάσχομεν ἐγειρόμενοι, ὅταν ἡ ἔγερσις γένηται, πλησίον τῆς καταφορᾶς. ἐνίοτε γὰρ τὰ φαινόμενα εἴδωλα καθεύδοντι φωράσει ἐγειρόμενος κινήσεις οὔσας ἐν τοῖς αἰσθητηρίοις· ἂν γαρ ὑπνώττων τις ὁρᾶν ἄρξηται ἐνύπνιον καὶ εὐθὺς ἐγερθῇ, ὁρᾷ εἴδωλα πρὸ ὀμμάτων· ἐνίοις γὰρ τῶν νεωτέρων καὶ πάμπαν ἀκριβῶς διαβλέπουσιν, ἐὰν ᾖ σκότος, φαίνεται εἴδωλα πολλὰ κινούμενα, ὥστ' ἐγκαλύπτεσθαι πολλάκις φοβουμένους. ταῦτα δέ ἐστιν αἱ ἐν τοῖς ὀφθαλμοῖς ἀπὸ τῶν αἰσθητῶν κινήσεις. ἐκ δὴ τούτων ἁπάντων συλλογίσασθαι δεῖ, ὅτι ἔστι τὸ ἐνύπνιον φάντασμα ἐν ὕπνῳ κατεχομένου τοῦ κυρίου καὶ ἐπικρίνοντος, ὥστε οὔτε τὰ εἰρημένα εἴδωλα καὶ φαντάσματά εἰσιν ἐνύπνια, οὔθ' ὅτι ἄλλο λελυμένων καὶ ἐνεργουσῶν τῶν αἰσθήσεων φαίνεται, οὔτε τὸ ἐν ὕπνῳ φάντασμα ἅπαν, εἰ μὴ συγκατέχοιτο ἡ διάνοια μὴ ἐπικρινουσα τὸ ὁρώμενον. καὶ ὃ δὲ συμβαίνει.ἐνίοις αἰσθάνεσθαί πῃ καὶ ψόφων καὶ χυμῶν καὶ φωτὸς καὶ ἁφῆς, ἀσθενικῶς μέντοι καὶ οἷον πόρρωθεν, οὐκ ἔστιν ἐνύπνιον· οἱ γὰρ*

24 οὐ δ' A

ὑπνώττοντες καὶ μεταξὺ ὄντες τοῦ τε ἁπλῶς ἐγρηγορότος καὶ τοῦ καθεύδοντος, ἐάν τις ψοφῇ, ἢ φῶς κρατοῦν διέρχηται, αἰσθάνονται καὶ τοῦ φωτὸς καὶ τῶν ψόφων, δοκοῦσι δὲ ἐν ὀνείρῳ τούτων αἰσθάνεσθαι, ὥστε καὶ πολλοὶ ἐγερθέντες λέγουσι πρὸς αὐτούς, σὺ ψοφεῖς ἢ σὺ τὸ φῶς κατέχεις, μὰ τὸν ἥλιον, ἐδόκουν ὄναρ ταῦτα ὁρᾶν. τάχα δὲ οὐκ ὄναρ ἦν ἀλλ' ἀληθῆ· ὡς γὰρ ἔχει ὁ ἁπλῶς ἐγρηγορὼς πρὸς τὸν πῇ ἐγρηγορότα, οὕτω καὶ ἡ ἁπλῶς αἴσθησις πρὸς τὴν πῇ αἴσθησιν. οὗτοι γοῦν πολλάκις καθεύδοντες καὶ μὴ ἔχοντες ἐγκεκλεισμένα τὰ βλέφαρα ἀλλ' ἠρέμα καὶ ὀλίγον ἠνεῳγμένα καὶ ὁρῶντες τὸ τοῦ παρακειμένου λύχνου φῶς καὶ ὄναρ οἰόμενοι διεγερθέντες εὐθὺς ἐγνώρισαν τὸ τοῦ λύχνου ὂν καὶ ἀλεκτρυόνων καὶ κυνῶν φωνὴν ἠρέμα ἀκούοντες καὶ νομίζοντες ἐνύπνια εἶναι ἐγερθέντες σαφῶς ἐγνώρισαν μὴ ταῦτα εἶναι. ἔνιοι δὲ καὶ ἀποκρίνονται ἐρωτώμενοι πολλάκις, οὐ μνημονεύουσι δὲ ἐγερθέντες ὡς ἀπεκρίναντο, καὶ δῆλον ὡς οὔτε ἁπλῶς ἐγρηγορότες ἦσαν· ἢ γὰρ ἂν ἐμνημόνευον, οὔτε καθάπαξ ἐκάθευδον· οὐ γὰρ ἂν ἀπεκρίναντο. τῶν οὖν εἰρημένων οὐδὲν ἐνύπνιον φατέον, οὐδ' ὅσαι δὴ ἐν τῷ ὕπνῳ γίνονται ἀληθεῖς ἔννοιαι παρὰ τὰ φαντάσματα, λέγω δὴ τὰς κρίσεις αἷς συναισθόμεθα ὀνειρώττοντες ὅτι ὀνειρώττομεν, ἀλλὰ τὸ φάντασμα τὸ ἀπὸ τῆς κινήσεως τῶν αἰσθημάτων, ὅταν ἐν τῷ καθεύδειν καὶ ᾗ καθεύδει, τοῦτ' fol. 104 b. ἔστιν ἐνύπνιον. ἤδη δέ τισι συμβέβηκε μηδὲν ἐνύπνιον ἑωρακέναι κατὰ τὸν βίον, τοῖς δὲ πόρρω παρελθούσης τῆς ἡλικίας ἰδεῖν πρότερον μὴ ἑωρακόσι,

---

3 κρατῶν A 28 scrib. προελθούσης, vid. var. lect. in Arist. p. 462, 32.

τὸ δ' αἴτιον τοῦ μὴ γίνεσθαι πρότερον παραπλήσιον φαίνεται τῶν ἐπὶ τῶν παίδων καὶ μετὰ τὰς τροφάς· ὅσοις γὰρ συνέστηκεν ἡ φύσις, ὥστε πολλὴν ἀναθυμίασιν πρὸς τὸν ἄνω τόπον ἀναφέρεσθαι, ἣ καταφερομένη ποιεῖ πλῆθος κινήσεως, τούτοις εὐλόγως οὐδὲν φαίνεται φάντασμα, προϊούσης δὲ τῆς ἡλικίας οὐδὲν ἄτοπον φανῆναι ἐνύπνιον· μεταβολῆς γάρ τινος γινομένης ἢ καθ' ἡλικίαν ἢ πάθος ἀναγκαῖον συμβῆναι τὴν ἐναντίωσιν ταύτην.

---

2 τῶν] scrib. τῷ

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ
# ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΚΑΘ' ῝ΥΠΝΟΝ ΜΑΝΤΙΚΗΣ
# ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

---

*Περὶ δὲ τῆς καθ' ὕπνον μαντικῆς τῆς ἐν τοῖς ὕπνοις γινομένης καὶ λεγομένης συμβαίνειν ἀπὸ τῶν ἐνυπνίων οὔτε καταφρονῆσαι ῥᾴδιον οὔτε πεισθῆναι. τὸ μὲν γὰρ πάντας ἢ πολλοὺς ὑπολαμβάνειν ἔχειν τι σημειῶδες καὶ τῶν μελλόντων προμάντευμα τὰ ἐνύπνια, παρέχει πίστιν ὡς ἐξ ἐμπειρίας λεγόμενον· πείθει γὰρ ἡμᾶς ὡς σημειώδη τὰ καθ' ἑκάστους γινόμενα. καὶ τὸ περὶ ἐνίων εἶναι τὴν μαντικὴν ἐν τοῖς ὕπνοις οὐκ ἄπιστον· ἔχει γάρ τινα λόγον· μικροῦ δεῖν καὶ περὶ πάντων τῶν ἐνυπνίων οἰηθείη ἄν τις ὡς ἔχει τι σημειῶδες, τὸ δὲ μηδεμίαν αἰτίαν εὔλογον ὁρᾶν, καθ' ἣν ἂν γίνοιτο διαπιστεῖν ποιεῖ. τό τε γὰρ θεὸν εἶναι τὸν πέμποντα, πρὸς τῇ ἄλλῃ ἀλογίᾳ, καὶ τὸ μὴ τοῖς βελτίστοις καὶ φρονιμωτάτοις ἀλλὰ τοῖς τυχοῦσι πέμπειν ἄλογον. ἀφαιρεθείσης δὲ τῆς ἀπὸ τοῦ θεοῦ αἰτίας οὐδεμία τῶν ἄλλων εὔλογος εἶναι φαίνεται αἰτία· τὸ γὰρ περὶ τῶν ἐφ' Ἡρακλείαις στήλαις ἢ τῶν ἐν Βορυσθένει προορᾶν τινά, ὑπὲρ τὴν ἡμετέραν εἶναι δόξειεν ἂν σύνεσιν εὑρεῖν τούτων τὴν ἀρχήν. ἀνάγκη δ' οὖν τὰ ἐνύπνια ἢ αἴτια εἶναι ἢ σημεῖα*

*τῶν γινομένων ἢ συμπτώματα, ἢ πάντα ἢ ἔνια τούτων ἢ ἓν μόνον. λέγω δ' αἴτιον μὲν οἷον τὴν σελήνην τοῦ ἐκλείπειν τὸν ἥλιον καὶ τὸν κόπον τοῦ πυρετοῦ, σημεῖον δὲ τῆς ἐκλείψεως τὸ τὸν ἀστέρα εἰσελθεῖν καὶ ὑποδραμεῖν, τὴν δὲ τραχύτητα τῆς γλώσσης τοῦ πυρέσσειν, συμπτώματα δὲ τὸ βαδίζοντος ἐκλείπειν τὸν ἥλιον· οὔτε γὰρ σημεῖον οὔτ' αἴτιόν ἐστιν ἡ ἐμὴ βάδισις τῆς ἐκλείψεως. διὸ τὰ συμπτώματα οὔτε ἀεὶ γίνεται οὔθ' ὡς ἐπὶ τὸ πολύ. τοιγαροῦν τῶν ἐνυπνίων τὰ μέν εἰσι σημεῖα τὰ δὲ αἴτια τὰ δὲ συμπτώματα, καὶ σημεῖα μὲν δι' ὧν παρίσταται καὶ προδηλοῦται σωματικὰ ἢ ψυχικὰ πάθη. λέγουσι γὰρ καὶ τῶν ἰατρῶν οἱ χαρίεντες ὅτι δεῖ προσέχειν σφόδρα τοῖς ἐνυπνίοις, ὡς ἐν τούτοις ἔσται τεκμήρασθαι περὶ τοῦ μέλλοντος ἀρρωστήματος. εὔλογον δὲ οὕτως ὑπολαβεῖν καὶ τοῖς τεχνίταις μέν, σκοπουμένοις δέ τι καὶ φιλοσοφοῦσι περί τινος. αἱ γὰρ μεθ' ἡμέραν γινόμεναι κινήσεις, ἂν μὴ σφόδρα μεγάλαι ὦσι καὶ ἰσχυραί, λανθάνουσι παρὰ μείζους τὰς ἐγρηγορικάς, ἐν δὲ τῷ καθεύδειν τοὐναντίον ἅπαν. καὶ γὰρ αἱ μικραὶ μεγάλαι δοκοῦσιν εἶναι. δῆλον δὲ ἐπὶ τῶν συμβαινόντων κατὰ τοὺς ὕπνους πολλάκις· οἴονται γὰρ κεραυνοῦσθαι καὶ βροντᾶσθαι μικρῶν ἤχων ἐν τοῖς ὠσὶ γινομένων, καὶ μέλιτος καὶ γλυκέων χυμῶν ἀπολαύειν ἀκαριαίου φλέγματος ἀπορρέοντος, καὶ βαδίζειν διὰ πυρὸς καὶ θερμαίνεσθαι σφόδρα μικρᾶς θερμασίας περί τινα μέρη γινομένης, ἐπεγειρομένοις δὲ ταῦτα γίνεται τοῦτον ἔχοντα τὸν τρόπον. ὥστ' ἐπεὶ μικραὶ πάντων αἱ ἀρχαί, δῆλον ὅτι καὶ τῶν νόσων καὶ ἄλλων παθημάτων*

---

16 *τοῖς*] *τοῖς μη* Victorius, sed om. etiam cod. L Aristot.
28 *ταῦτα*] scrib. *ταῦτα φανερὰ*

τῶν ἐν τοῖς σώμασι μελλόντων γίνεσθαι. φανερὸν οὖν ὅτι ταῦτα ἀναγκαῖον ἐν τοῖς ὕπνοις εἶναι καταφανῆ μᾶλλον ἢ ἐν τῷ ἐγρηγορέναι. ἀλλὰ τίνων μὲν καὶ ὅπως σημεῖα τὰ ἐνύπνια, εἴρηται, ὅπως δὲ καὶ αἴτια καὶ τίνα, ἤδη ῥηθήσεται. ὅτι δὲ τῶν οἰκείων ἑκάστῳ πράξεων καὶ οὐ τῶν ἀλλοτρίων μᾶλλον ἂν εὔλογον δόξειεν. ὥσπερ γὰρ μέλλοντες πρᾶξαί τι ἢ ἐν ταῖς πράξεσιν ὄντες ἢ πεπραχότες πολλάκις εὐθυονειρίᾳ τούτοις σύνεσμεν καὶ πράσσομεν ἀπὸ τῶν μεθ' ἡμέραν ἀρχῶν, οὕτω πάλιν καὶ τὰς καθ' ὕπνον κινήσεις ἀναγκαῖον πολλάκις ἀρχὴν εἶναι τῶν μεθ' ἡμέραν πράξεων διὰ τὸ προοδοποιεῖσθαι πάλιν καὶ τούτων τὴν διάνοιαν ἐν τοῖς φάσμασι τοῖς νυκτερινοῖς. οὕτω μὲν οὖν ἐνδέχεται τῶν ἐνυπνίων ἔνια καὶ σημεῖα καὶ αἴτια εἶναι, τὰ δὲ πολλὰ συμπτώμασιν ἔοικε. μάλιστα δὲ τὰ ὑπερβατὰ πάντα καὶ ὧν μὴ ἐν αὐτοῖς ἡ ἀρχή, οἷον περὶ ναυμαχίας τῆς ἐν Περσίδι γινομένης καὶ τῶν ἄλλων τῶν πόρρω συμβαινόντων. περὶ γὰρ τούτων τὸν αὐτὸν τρόπον ἔχειν εἰκὸς οἷον εἰ μεμνημένου του περί τινος τύχοι τοῦτο γενόμενον. τί γὰρ κωλύει καὶ ἐν τοῖς ὕπνοις οὕτω (μᾶλλον δὲ εἰκὸς) ταῦτα συμβαίνειν; ὥσπερ οὖν οὐδὲ τὸ μεμνῆσθαι περὶ τοῦδε σημεῖον οὐδ' fol. 105.
αἴτιον τοῦ παραγενέσθαι αὐτόν, οὕτως οὐδ' ἐκεῖ μετὰ τὸ ἀποβῆναι τὸ ἐνύπνιον τῷ δ' ὄντι οὔτε σημεῖον οὔτε αἴτιον ἀλλὰ σύμπτωμα. διὸ καὶ πολλὰ τῶν ἐνυπνίων οὐκ ἀποβαίνει· τὰ γὰρ συμπτώματα οὔτ' ἀεί, οὔθ' ὡς ἐπὶ τὸ πολὺ γίνεται.

Ὅλως δὲ ἐπεὶ καὶ τῶν ἄλλων ζώων ὀνειρώττει 2

---

13 scrib. φαντάσμασι   25 δ' ὄντι] sic pro ἰδόντι in Arist. cod. S.

τινά, θεόπεμπτα μὲν οὐκ ἂν εἴη τὰ ἐνύπνια οὐδὲ γέγονε τούτου χάριν δαιμόνια μέντοι· ἡ γὰρ φύσις δαιμονία, οὐ θεία. σημεῖον δέ. πάνυ γὰρ εὐτελεῖς ἄνθρωποι προορατικοί εἰσι καὶ εὐθυόνειροι ὡς οὐ θεοῦ πέμποντος, ἀλλ' ὅσων ὥσπερ ἂν εἰ λάλος ἡ φύσις ἐστὶ καὶ μελαγχολικὴ παντοδαπὰς τὰς ὄψεις ὁρώντων, διὰ δὲ τὸ πολλὰ καὶ παντοδαπὰ κινεῖσθαι ἐπιτυγχάνουσιν, ὥσπερ ἔνιοι ἁρπάζουσιν ἐρίζοντες οὐχ ἓν ἀλλὰ πολλά, εἰ πολλὰ τὰ ῥιπτούμενα εἴη, καὶ ὥσπερ λέγεται, εἰ πολλὰ βάλοις ἄλλοτε ἀλλοῖον βαλεῖς, καὶ ἐπὶ τούτων συμβαίνει τοῦτο. ὅτι δ' οὐκ ἀποβαίνει πολλὰ τῶν ἐνυπνίων, οὐδὲν ἄτοπον· οὐδὲ γὰρ τῶν ἐν τοῖς σώμασι σημείων καὶ τῶν οὐρανίων, οἷον τὰ τῶν ὑδάτων καὶ τῶν πνευμάτων· ἂν γὰρ ἄλλη κυριωτέρα ταύτης συμβῇ κίνησις ἀφ' ἧς μελλούσης ἐγένετο τὸ σημεῖον, οὐ γίνεται. ἰδὼν γάρ τις ἐν ὕπνῳ διέρχεσθαι βόρβορον μεθ' ἡμέρας νενόσηκεν· τῶν γὰρ ἐντὸς σεσημμένων χυμῶν ἀρχομένων κινεῖσθαι κατὰ τὴν νύκα ἠρεμῶν ἐλάμβανεν αἴσθησιν· καὶ ἐπὶ πυρὸς διαβαίνειν καὶ μετ' ὀλίγον ἐπύρεξεν. ἄλλοτε δ' αὖ ταῦτα ἰδὼν οὐκ ἐνόσησε τῷ τὴν φύσιν διεγερθεῖσαν καὶ τοὺς χυμοὺς πέψασαν ἀπεῖρξαι τῷ πάθει τὴν εἴσοδον. καὶ τὴν περὶ σελήνην ἅλω καὶ βροχῆς καὶ πνευμάτων ποιούμεθα σύμβολον, πολλάκις δὲ συνισταμένην οὐδὲν συνέβη τούτων διὰ τὴν ἀντιπερίστασιν τοῦ περιέχοντος κρατηθέντος ὑπὸ τῆς ἐναντίας κινήσεως. καὶ πολλὰ βουλευθέντα καλῶς τῶν πραχθῆναι δεόντων διελύθη δι' ἄλλας κυριωτέρας ἀρχάς. ὅλως γὰρ οὐ πᾶν γίνεται τὸ μελλῆσαν, οὐδὲ τὸ αὐτὸ ἐσόμενον καὶ μέλλον, ἀλλ' ὅμως

---

3 ἀτελεῖς A 15 μενούσης A 27 καλῶς τῶν] τῶν καλῶς A

ἀρχάς τε λεκτέον εἶναι ἀφ' ὧν οὐκ ἐπετελέσθη, καὶ σημεῖα πέφυκε τῶν ταῦτά τινων οὐ γενομένων. περὶ δὲ τῶν μὴ τοιαύτας ἀρχὰς ἐχόντων ἐνυπνίων μηδὲ τῶν ἐφ' ἃ ἡμεῖς κύριοι, ἀλλ' ὑπερορίας ἢ τοῖς χρόνοις ἢ τοῖς τόποις ἢ τοῖς μεγέθεσιν ἢ καὶ τῶν ἐγγὺς μὲν πραττομένων καὶ παρὰ γείτονος ἴσως, μὴ μέντοι γε ἐν αὑτοῖς ἐχόντων τὰς ἀρχὰς τῶν εἰδότων τὸ ἐνύπνιον, εἰ μὴ γίνεται τὸ προορᾶν ἀπὸ συμπτώματος, ἑτέρως ἂν ἔχοι μᾶλλον ἢ ὡς λέγει Δημόκριτος. εἴδωλα γὰρ ἐκεῖνος καὶ ἀπορροίας αἰτιᾶται, ὧν τὰ μέν φησιν ἀγαθοποιὰ τὰ δὲ κακοποιά, ὑπερμεγέθη τε εἶναι καὶ δύςφθαρτα, ἐμπελάζειν δὲ τοῖς ἀνθρώποις καὶ προσημαίνειν τὰ μέλλοντα θεωρούμενα, ἔστιν οἷς καὶ φωνὰς ἀφιέντα μόνον αἰσθητὰς ἐν ὕπνῳ τοῖς ἐπαΐουσιν, ὅθεν καὶ εὐλόγων τυχεῖν εἰδώλων ἐπεύχεται. ἀλλ' ἡμεῖς τὸ μὲν εἴδωλα λέγειν φέρεσθαι καὶ πάμπαν ἀπαγορεύομεν, κινήσεις δέ τινας μᾶλλον ἀντὶ τούτων εἰσάγομεν ἀπ' ἀρχῶν τῶν μελλόντων γίνεσθαι καὶ λόγων καὶ πράξεων, ὑφ' ὧν σχηματιζομένου τοῦ ἀέρος καὶ διὰ τῶν ὤτων ἢ τῶν μυκτήρων προσπιπτουσῶν ἐν τοῖς ὕπνοις τῇ καρδίᾳ προορᾶν τὸ μέλλον. ὥσπερ γὰρ ὅταν τι κινήσῃ τὸ ὕδωρ ἢ τὸν ἀέρα, τοῦθ' ἕτερον ἐκίνησε παυσαμένου δ' ἐκείνου συμβαίνει τὴν αὐτὴν κίνησιν προϊέναι μέχρι τινὸς τοῦ κινήσαντος οὐ παρόντος, οὕτως οὐδὲν κωλύει κίνησίν τινα καὶ αἴσθησιν ἀφικνεῖσθαι πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας, ἀφ' ὧν ἐκεῖνος ποιεῖ τὰ εἴδωλα καὶ τὰς ἀπορροίας, καὶ ὅποι δὴ ἔτυχεν ἀφικνουμένας μᾶλλον αἰσθητὰς εἶναι νύκτωρ διὰ τὸ μεθ' ἡμέραν φερομένας διαλύεσθαι μᾶλλον (ἀταραχωδέστερος γὰρ ὁ ἀὴρ τῆς νυκτὸς διὰ τὸ νηνεμωτέρας εἶναι τὰς νύκτας) καὶ ἐν τῷ σώματι ποιεῖν αἴσθησιν διὰ τὸν ὕπνον· τῶν γὰρ μι-

*κρῶν κινήσεων καθεύδοντες μᾶλλον ἢ ἐγρηγορότες αἰσθανόμεθα. ποιουσῶν οὖν τῶν εἰρημένων αἰσθήσεων φάντασμα ἐν τῷ ἡγεμονικῷ τὸ προορᾶν γίνεται, καὶ διὰ ταῦτα συμβαίνει τὸ πάθος τοῦτο τοῖς τυχοῦσι καὶ οὐ τοῖς φρονίμοις· μεθ' ἡμέραν τε γὰρ ἐγένετο καὶ τοῖς σοφοῖς, εἰ θεὸς ἦν ὁ πέμπων. καὶ ἔτι οὕτω γινομένου τοῦ προορᾶν εἰκὸς τοὺς τυχόντας μᾶλλον προορᾶν· ἡ γὰρ διάνοια τῶν τοιούτων οὐ φροντιστική, ἀλλ' ὥσπερ ἔρημος καὶ κενὴ πάντων, ὧν πλήρης ἡ τῶν φιλοσοφούντων ἐστίν, καὶ κινηθεῖσα κατὰ τὸ κινοῦν ἄγεται. καὶ τοῦ ἐνίους τῶν ἐκστατικῶν προορᾶν αἴτιον ὅτι αἱ οἰκεῖαι κινήσεις οὐκ ἐνοχλοῦσιν ἀλλ' ἀπορραπίζονται. τῶν ξενικῶν οὖν μάλιστα αἰσθάνονται· καὶ τῶν προσπιπτόντων ἔξωθεν. τὸ δέ τινας εὐθυονείρους εἶναι μάλιστα περὶ τῶν γνωρίμων καὶ προορᾶν συμβαίνει διὰ τὸ τοὺς γνωρίμους μάλιστα ὑπὲρ ἀλλήλων φροντίζειν· ὥσπερ γὰρ πόρρω ὄντων τάχιστα τῇ ὄψει γνωρίζουσι καὶ αἰσθάνονται, οὕτω καὶ ἐπὶ τῶν ἐν τῇ καρδίᾳ τύπων καὶ κινήσεων. αἱ γὰρ τῶν γνωρίμων γνωριμώτεραι κινήσεις. οἱ δὲ μελαγχολικοὶ διὰ τὸ σφοδρὸν κατὰ τοὺς πόρρωθεν βάλλοντας καὶ εὐστοχοῦντές εἰσιν. ὡς γὰρ ἐκεῖνοι τὸ τοξευθὲν ὅσα καὶ χειρὶ τῷ βέλει καὶ πόρρωθεν ὄντες κατέχουσι, καὶ οὗτοι τὸ μέλλον ὥσπερ προαρπάζουσι τῷ τάχει τῆς κινήσεως. εὐμετάβολον γὰρ ὂν τὸ φανταστικὸν αὐτοῖς ταχὺ τὸ ἐχόμενον τῆς ἀρχῆς τῶν ἐσομένων φαντάζεται. ὥσπερ γὰρ τὰ Φιλαιγίδου ποιήματα μὴ ἔχοντα μεταβολὰς προσώπων καὶ διηγημάτων μεταπτώσεις ἀεὶ ἐχόμενα τοῦ ὁμοίου διανοοῦνται καὶ συνείρουσιν, οἷον εἴ τις*

---

6 *ἐγένετο*] scr b. *ἐγίνετ' ἂν*

*Ἀφροδίτην ἐν ταῖς ἀρχαῖς εἶπε καὶ μέχρι τέλους ταύτης ἔχεται, οὕτω καὶ οἱ ἐμμανεῖς ἐχόμενα τοῦ ὁμοίου διανοοῦνται καὶ βλέπουσι. καὶ πρὸς τούτοις διὰ τὴν σφοδρότητα οὐκ ἐκκρούεται αὐτῶν ἡ κίνησις ὑφ'* fol. 105 b. *ἑτέρας κινήσεως. τεχνικώτατος δ' ἐστὶ κριτὴς ἐνυπνίων ὅστις δύναται τὰς ὁμοιότητας θεωρεῖν· τὰς γὰρ εὐθυονειρίας κρίνειν παντός ἐστι, λέγω δὴ τὰς ὁμοιότητας, ὅτι παραπλήσια συμβαίνει τὰ φαντάσματα τοῖς ἐν τοῖς ὕδασιν εἰδώλοις, καθάπερ καὶ πρότερον εἴρηται. ἐκεῖ γὰρ ἂν μὴ ἠρεμῇ τὸ ὕδωρ, ἀλλὰ πολλὴ κίνησις γένηται, οὐχ ὁμοία γίνεται ἡ ἔμφασις καὶ τὰ εἴδωλα τοῖς ἀληθινοῖς, κἂν τοῖς ὕπνοις δὲ ὅταν σφόδρα τυγχάνῃ καὶ συγκεχυμένη ἡ πρὸς τὴν καρδίαν καταφερομένη παλίρροια, οὔθ' ὁμοίους οὔτε καθαροὺς τοὺς τύπους ἐᾷ φαντάζεσθαι καὶ τὰ ἐγκαταλείμματα. ἡ γὰρ κίνησις ἐκκόπτει τὰς εὐθυονειρίας. δεινὸς δὲ ἑκάτερος ἔσται κριτὴς ὅ τε τὰς ἐμφάσεις συνορᾶν δυνάμενος καὶ ταχὺ διαισθάνεσθαι ἐν ὀχλουμένῳ ὕδατι καὶ τὰ πεφορημένα καὶ διεστραμμένα τῶν εἰδώλων τοῖς ἀληθινοῖς προσβιβάζειν, οἷον ὅτι τόδε ἀνθρώπου ἢ ἵππου καὶ μὴ τοιούτου ὀφθέντος, καὶ ὁ ἐν τοῖς ὕπνοις αὐτὸ τοῦτο ποιεῖν δυνάμενος. τί μὲν οὖν ἐστὶν ὕπνος καὶ ἐνύπνιον, καὶ διὰ τίν' αἰτίαν ἑκάτερον αὐτῶν γίνεται, ἔτι δὲ περὶ τῆς τῶν ἐνυπνίων μαντείας εἴρηται, περὶ δὲ κινήσεως τῆς κοινῆς τῶν ζώων λεκτέον.*



18 ἐνοχλουμένῳ A

# INDEX.

# CORRIGENDA.

I, 36, 21 ὑπὲρ
I, 73, 13 τῇ
I, 171, 1 ὑπὸ
I, 273, 4 μείζονα
I, 283, 21 ὀρθῶς
I, 434, 2 Δημόκριτος
II, 102, 11 ἀγαπῴη
II, 185, 34 αὐτῶν post ἀτιμότερα A, ne quid haereas, sic potius reddas αὐτῆς] αὐτῶν αὐτῆς A
II, 198, 23 ἆρα . . θετέον;
II, 294, 19 νύκτα

---